This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

UNIVERSITY OF VIRGINIA LIBRARY
X030475331
Google

LIBRARY OF THE
UNIVERSITY OF VIRGINIA

FROM THE HERTZ BOOKS
PRESENTED BY
THOMAS RANDOLPH PRICE
AND THE
NEW YORK ALUMNI

Digitized by Google

Digitized by Google

# CASSII DIONIS COCCEIANI

## RERUM ROMANARUM

LIBRI OCTOGINTA

AB

IMMANUELE BEKKERO

RECOGNITI.

**TOMUS ALTER.**

LIPSIAE

APUD WEIDMANNOS

A. MDCCCXLIX.

UNIVERSITY OF VIRGINIA
GENERAL LIBRARY
1819

Digitized by Google

PA
3947
.A2
1849
121167
v. 2

Digitized by Google

Ταῦτα μὲν ἔν τε τῇ βασιλείᾳ καὶ ἐν τῇ δημοκρατίᾳ ταῖς τε NB
δυναστείαις, πέντε τε καὶ εἴκοσι καὶ ἑπτακοσίοις ἔτεσι, καὶ ἔπραξαν
οἱ Ῥωμαῖοι καὶ ἔπαθον· ἐκ δὲ τούτου μοναρχεῖσθαι αὖθις ἀκριβῶς
ἤρξαντο, καίτοι τοῦ Καίσαρος βουλευσαμένου τά τε ὅπλα καταθέσθαι καὶ τὰ πράγματα τῇ τε γερουσίᾳ καὶ τῷ δήμῳ ἐπιτρέψαι.
ἐποιήσατο δὲ τὴν διάγνωσιν μετά τε τοῦ Ἀγρίππου καὶ μετὰ τοῦ 2
Μαικήνου (τούτοις γὰρ πάντα τὰ ἀπόρρητα ἀνεκοίνου), καὶ αὐτῷ ὁ Ἀγρίππας πρότερος εἶπε τοιάδε.

"μὴ θαυμάσῃς, ὦ Καῖσαρ, εἰ μέλλω σε ἀποτρέπειν ἀπὸ τῆς 2
μοναρχίας, καίπερ πολλὰ καὶ ἀγαθὰ ἀπολαύσας ἂν ἀπ' αὐτῆς σοῦ γε αὐτὴν ἔχοντος. εἰ μὲν γὰρ καὶ σοὶ ὠφέλιμος γενήσεσθαι ἔμελλεν,
καὶ πάνυ ἂν αὐτὴν ἐσπούδασα· ἐπειδὴ δ' οὐδὲν ὅμοιον τοῖς τε 2
αὐταρχοῦσι καὶ τοῖς φίλοις σφῶν παρέχεται, ἀλλ' οἱ μὲν καὶ ἀνεπιφθόνως καὶ ἀκινδύνως πάνθ' ὅσα ἐθέλουσι καρποῦνται, τοῖς δὲ καὶ φθόνοι καὶ κίνδυνοι συμβαίνουσιν, οὐ τὸ ἐμαυτοῦ ἴδιον, ὥσπερ οὐδ' ἐν τοῖς ἄλλοις, ἀλλὰ τὸ σὸν τό τε κοινὸν προϊδέσθαι ἐδικαίωσα.
σκεψώμεθα δὲ καθ' ἡσυχίαν πάντα τὰ προσόντα αὐτῇ, καὶ ὅπῃ 3
ποτ' ἂν ὁ λογισμὸς ἡμᾶς ἀγάγῃ τραπώμεθα· οὐ γάρ που καὶ ἐξ ἅπαντος τρόπου φήσει τις δεῖν ἡμᾶς ἑλέσθαι αὐτήν, κἂν μὴ λυσιτελοῦσα ᾖ. εἰ δὲ μή, δόξομεν ἤτοι τῆς τε εὐπραγίας ἡττῆσθαι 4
καὶ ὑπὸ τῶν κατωρθωμένων ἐκπεφρονηκέναι, ἢ καὶ πάλαι αὐτῆς ἐφιέμενοι τόν τε πατέρα καὶ τὴν ἐς αὐτὸν εὐσέβειαν ἐσκῆφθαι καὶ τὸν δῆμον τήν τε γερουσίαν προβεβλῆσθαι, οὐχ ἵν' αὐτοὺς τῶν ἐπιβουλευσάντων σφίσιν ἀπαλλάξωμεν, ἀλλ' ἵν' ἑαυτοῖς δουλωσώμεθα. ἑκάτερον δὲ ὑπαίτιον. τίς μὲν γὰρ οὐκ ἂν ἀγανακτήσειεν 5
ἄλλα μὲν ὁρῶν ἡμᾶς εἰρηκότας, ἄλλα δ' αἰσθανόμενος πεφρονη-

2 3 1 ὅποι?*    5 1 ἂν om

κότας; πῶς δ' οὐκ ἂν μᾶλλον νῦν μισήσειεν ἡμᾶς ἢ εἰ κατ' ἀρχὰς
εὐθὺς τήν τε ἐπιθυμίαν ἀπεγυμνώσαμεν καὶ ἐπὶ τὴν μοναρχίαν
7 ἄντικρυς ὡρμήσαμεν; τὸ μὲν γὰρ βίαιόν τι τολμᾶν προσήκειν πως
τῇ τῶν ἀνθρώπων φύσει, κἂν πλεονεκτικὸν εἶναι δοκῇ, πεπίστευται·
πᾶς γὰρ ὁ προφέρων ἔν τινι πλέον ἀξιοῖ τοῦ καταδεεστέρου ἔχειν,
καὶ κατορθώσας τέ τι ἐς τὴν τῆς ψυχῆς ἰσχὺν ἀναφέρεται, καὶ
8 διαμαρτών τινος τῇ τοῦ δαιμονίου φορᾷ προστίθεται. ὁ δὲ ἐξ
ἐπιβουλῆς καὶ κακουργίας τοιοῦτό τι ποιῶν πρῶτον μὲν δολερὸς
καὶ σκολιὸς καὶ κακοήθης καὶ κακότροπος εἶναι νομίζεται, ἅπερ εὖ
οἶδ' ὅτι περὶ σοῦ οὐδένα ἂν ὑπομείνειας εἰπεῖν ἢ φρονῆσαι, οὐδ'
εἰ πάσης ἐκ τούτου τῆς οἰκουμένης ἄρξειας· ἔπειτα δὲ καὶ κατορ-
θώσας ἄδικον τὴν πλεονεξίαν πεποιῆσθαι καὶ σφαλεὶς δικαίαν τὴν
3 κακοπραγίαν εἰληφέναι δοκεῖ. τούτου δὲ δὴ οὕτως ἔχοντος, οὐδὲν
ἂν ἧττον ἐπικαλέσειέ τις ἡμῖν καὶ εἰ μηδὲν τοιοῦτον ἀπὸ πρώτης
ἐνθυμηθέντες ἔπειτα νῦν ἐπιθυμήσαιμεν αὐτοῦ. τὸ γάρ τοι τῶν
τε παρόντων νικᾶσθαι καὶ μήτε ἑαυτοὺς κατέχειν τοῖς τε παρὰ
τῆς τύχης δοθεῖσι μὴ καλῶς χρῆσθαι πολὺ χεῖρόν ἐστι τοῦ ἐκ
2 κακοπραγίας ἀδικεῖν τινά· οἱ μὲν γὰρ ὑπ' αὐτῶν τῶν συμφορῶν
πολλάκις ἀναγκάζονται πρὸς τὴν τοῦ συμφέροντός σφισι χρείαν καὶ
ἄκοντες πλημμελεῖν, οἱ δ' ἐθελονταὶ ἀκράτορες ἑαυτῶν καὶ παρὰ
τὸ λυσιτελοῦν γίγνονται. τοὺς δὲ δὴ μήθ' ἁπλότητά τινα ἐν τῇ
ψυχῇ ἔχοντας μήτε τὰ δοθέντα σφίσιν ἀγαθὰ μετριάσαι δυναμένους
πῶς ἄν τις προσδοκήσειεν ἤτοι τῶν ἄλλων καλῶς ἡγεμονεύσειν ἢ
3 ταῖς συμφοραῖς ὀρθῶς χρήσεσθαι; ὡς οὖν μηδέτερον αὐτῶν πε-
πονθότες, μηδ' ἀλόγως τι πρᾶξαι ἐπιθυμοῦντες, ἀλλ' ὅ τι ποτ' ἂν
βουλευσαμένοις ἡμῖν ἄριστον φανῇ τοῦθ' αἱρησόμενοι, τὴν διά-
γνωσιν αὐτοῦ ποιησώμεθα. λέξω δὲ μετὰ παρρησίας· οὔτε γὰρ
αὐτὸς ἄλλως ἄν τι εἰπεῖν δυναίμην, οὔτε σοὶ σύνοιδα τὰ ψευδῆ
μετὰ κολακείας ἡδέως ἀκούοντι.

4 ἡ μὲν τοίνυν ἰσονομία τό τε πρόσρημα εὐώνυμον καὶ τὸ ἔργον
δικαιότατον ἔχει. τήν τε γὰρ φύσιν τὴν αὐτήν τινας εἰληχότας
καὶ ὁμοφύλους ἀλλήλοις ὄντας, ἔν τε τοῖς αὐτοῖς ἔθεσι τεθραμμέ-
2 νους καὶ ἐν τοῖς ὁμοίοις νόμοις πεπαιδευμένους, καὶ κοινὴν καὶ τὴν
τῶν σωμάτων καὶ τὴν τῶν ψυχῶν χρῆσιν τῇ πατρίδι παρέχοντας,
πῶς μὲν οὐ δίκαιον καὶ τἆλλα πάντα κοινοῦσθαι, πῶς δ' οὐκ
3 ἄριστον ἐν μηδενὶ πλὴν ἀπ' ἀρετῆς προτιμᾶσθαι; ἥ τε γὰρ ἰσογο-
νία ἰσομοιρίας ὀριγνᾶται, καὶ τυχοῦσα μὲν αὐτῆς χαίρει, διαμαρ-
τοῦσα δὲ ἄχθεται· καὶ τὸ ἀνθρώπειον πᾶν, ἅτε ἔκ τε θεῶν γεγονὸς

7 4 τύχης 4 1 3 ἤθεσι*

Digitized by Google

καὶ ἐς θεοὺς ἀνῆξον, ἄνω βλέπει, καὶ οὔτ' ἐθέλει ὑπὸ τοῦ αὐτοῦ
διὰ παντὸς ἄρχεσθαι, οὔθ' ὑπομένει τῶν μὲν πόνων καὶ τῶν κιν- 4
δύνων τῶν τε δαπανημάτων μετέχον, τῆς δὲ κοινωνίας τῶν κρειτ-
τόνων στερόμενον, ἀλλὰ κἂν ἀναγκασθῇ τι τοιοῦτον ὑποστῆναι,
μισεῖ τὸ βεβιασμένον, κἂν καιροῦ λάβηται, τιμωρεῖται τὸ μεμιση-
μένον. ἄρχειν τε γὰρ πάντες ἀξιοῦσι, καὶ διὰ τοῦτο καὶ ἄρχεσθαι 5
ἐν τῷ μέρει ὑπομένουσιν· καὶ πλεονεκτεῖσθαι οὐκ ἐθέλουσι, καὶ διὰ
τοῦτο οὐδ' αὐτοὶ πλεονεκτεῖν ἀναγκάζονται. ταῖς τε τιμαῖς ταῖς
παρὰ τῶν ὁμοτίμων χαίρουσι, καὶ τὰς τιμωρίας τὰς ἐκ τῶν νόμων
ἐπαινοῦσιν. κἂν οὕτω πολιτεύωνται, κοινὰ μὲν τἀγαθὰ κοινὰ δὲ 6
καὶ τὰ ἐναντία νομίζοντες εἶναι, οὔτε τι κακὸν οὐδενὶ τῶν πολιτῶν
γίγνεσθαι βούλονται, καὶ πάντα τὰ κρείττω πᾶσιν αὐτοῖς συνεύ-
χονται. καὶ ἄντε τις αὐτὸς ἀρετήν τινα ἔχῃ, καὶ προφαίνει αὐτὴν 7
προχείρως καὶ ἀσκεῖ προθύμως καὶ ἐπιδείκνυσιν ἀσμενέστατα, ἄντε
καὶ ἐν ἑτέρῳ ἴδῃ, καὶ προάγει ἑτοίμως καὶ συναύξει σπουδαίως
καὶ τιμᾷ λαμπρότατα. καὶ μέντοι κἂν κακύνηταί τις, πᾶς αὐτὸν 8
μισεῖ, κἂν δυστυχῇ, πᾶς ἐλεεῖ, κοινὴν τῆς πόλεως καὶ τὴν ζημίαν
καὶ τὴν αἰσχύνην τὴν ἀπ' αὐτῶν εἶναι νομίζων.

αὕτη μὲν ἡ τῶν δήμων κατάστασις, ἐν δὲ δὴ ταῖς τυραννίσι 5
πάντα τἀναντία συμβαίνει. καὶ τὰ μὲν πολλὰ τί δεῖ μηκύνειν λέ-
γοντα; τὸ δὲ δὴ κεφάλαιον, χρηστὸν μὲν οὐδεὶς οὐδὲν οὔτ' εἰδέναι
οὔτ' ἔχειν δοκεῖν βούλεται (πολέμιον γὰρ αὐτῷ πᾶν ἐπὶ τούτῳ τὸ
κρατοῦν ὡς πλήθει γίγνεται), τὸν δ' ἐκείνου τις τρόπον κανόνα τοῦ 2
βίου ποιησάμενος, ὅ τι ποτ' ἂν ἐλπίσῃ δι' αὐτοῦ πλεονεκτήσας
ἀκινδύνως κερδανεῖν, μετέρχεται. καὶ διὰ τοῦθ' οἱ πλείους σφῶν
τό τε καθ' ἑαυτοὺς μόνον σπεύδουσι καὶ πάντας τοὺς ἄλλους μι-
σοῦσι, τάς τε εὐπραγίας αὐτῶν οἰκείας ζημίας καὶ τὰς συμφορὰς
ἴδια κέρδη ποιούμενοι.

τοιούτων δὲ δὴ τούτων ὄντων οὐχ ὁρῶ τί ποτ' ἂν εἰκότως 3
ἐπάρειέ σε μοναρχῆσαι ἐπιθυμῆσαι. πρὸς γὰρ τῷ τοῖς δήμοις χα-
λεπὸν εἶναι τὸ πολίτευμα, πολὺ δυσχερέστερον αὐτῷ σοι γένοιτο
ἄν. ἢ οὐχ ὁρᾷς ὅπως ἥ τε πόλις καὶ τὰ πράγματα αὐτῆς ἔτι καὶ
νῦν ταράττεται; καὶ χαλεπὸν μέν ἐστι τὸ τὸν ὅμιλον ἡμῶν, τοσού- 4
τοις ἔτεσιν ἐν ἐλευθερίᾳ βεβιωκότα, καταλῦσαι, χαλεπὸν δὲ καὶ τὸ
τοὺς συμμάχους τούς τε ὑπηκόους, τοὺς μὲν ἀπὸ παλαιοῦ δημοκρα-
τουμένους τοὺς δ' ὑφ' ἡμῶν αὐτῶν ἠλευθερωμένους, ἐς δουλείαν
αὖθις καταστῆσαι, τοσούτων πέριξ πολεμίων ἡμῖν προσκειμένων.

καὶ ἵνα γε ἀπὸ πρώτου τοῦ βραχυτάτου ἄρξωμαι, χρήματά 6

3 4 ἀφῆξον  5 3 βιάζονται?*  6 1 πολ. καὶ κοινὰ



Digitized by Google

σοι πολλὰ καὶ πανταχόθεν ἀναγκαῖον ἔσται πορίζειν· ἀδύνατον γὰρ
τὰς νῦν οὔσας προσόδους πρός τε τἆλλα καὶ πρὸς τὴν τῶν στρα-
τιωτῶν τροφὴν ἐξαρκέσαι. τοῦτο δ' ἔστι μὲν καὶ ἐν ταῖς δημο-
κρατίαις· οὐ γὰρ οἷόν τε πολιτείαν τινὰ ἄνευ δαπάνης συστῆναι.
2 ἀλλ' ἐν μὲν ἐκείναις μάλιστα μὲν ἑκόντες πολλοὶ πολλὰ ἐπιδιδόασιν,
ἐν φιλοτιμίας μέρει τὸ πρᾶγμα ποιούμενοι καὶ τιμὰς ἀντ' αὐτῶν
ἀξίας ἀντιλαμβάνοντες· ἂν δέ που καὶ ἀναγκαῖαι παρὰ πάντων
ἐσφοραὶ γένωνται, ἑαυτούς τε πείθοντες καὶ ὑπὲρ ἑαυτῶν συντε-
3 λοῦντες ἀνέχονται. ἐν δὲ δὴ ταῖς δυναστείαις τό τε ἄρχον πάντες
μόνον ὡς καὶ ὑπερπλουτοῦν ἀξιοῦσι δαπανᾶσθαι, τὰς μὲν προσόδους
αὐτοῦ ἑτοίμως ἐξερευνώμενοι, τὰ δ' ἀναλώματα οὐκέθ' ὁμοίως
ἐκλογιζόμενοι· καὶ οὔτ' ἰδίᾳ ἡδέως ἢ καὶ ἑκόντες ἐπιδιδόασί τι, οὔτε
4 τὰς κοινὰς συντελείας αὐθαιρέτους ποιοῦνται. ἐκεῖνο μὲν γὰρ οὔτ'
ἂν ἐθελήσειέ τις (οὐδὲ γὰρ οὐδ' ὁμολογήσειεν ἂν ῥᾳδίως πλουτεῖν)
οὔτε συμφέρει τῷ κρατοῦντι γίγνεσθαι· αὐτίκα γὰρ ἂν δόξαν παρὰ
τοῖς πολλοῖς ὡς καὶ φιλόπολις ἔχων ὀγκωθείη καὶ νεωτερίσειεν. τὸ
δ' ἕτερον πάνυ τοὺς πολλοὺς βαρύνει, καὶ μάλισθ' ὅτι τὴν μὲν ζη-
5 μίαν αὐτοὶ ὑπομένουσι, τὸ δὲ δὴ κέρδος ἕτεροι λαμβάνουσιν. ἐν
μὲν γὰρ ταῖς δημοκρατίαις καὶ στρατεύονται ὡς πλήθει οἱ τὰ χρή-
ματα συνεσφέροντες, ὥστε τρόπον τινὰ αὖθις αὐτὰ ἀπολαμβάνου-
σιν· ἐν δὲ ταῖς μοναρχίαις ἄλλοι μὲν ὡς τὸ πολὺ καὶ γεωργοῦσι
καὶ δημιουργοῦσι καὶ ναυτίλλονται καὶ πολιτεύονται, παρ' ὧνπερ
καὶ αἱ λήψεις μάλιστα γίγνονται, ἄλλοι δὲ τὰ ὅπλα ἔχουσι καὶ τὸν
μισθὸν φέρουσιν.

7 Ἓν μὲν δὴ τοῦτο τοιοῦτον ὂν πράγματά σοι παρέξει, ἕτερον δὲ
ἐκεῖνο. πάντως μέν τινα δεῖ δίκην τὸν ἀεὶ κακουργοῦντα διδόναι·
οὔτε γὰρ ἐκ νουθεσίας οὔτε ἐκ παραδειγμάτων οἱ πολλοὶ σωφρο-
νίζονται, ἀλλ' ἀνάγκη πᾶσα αὐτοὺς καὶ ἀτιμίᾳ καὶ φυγῇ καὶ θα-
νάτῳ ζημιοῦσθαι, οἷα ἔν τε ἀρχῇ τηλικαύτῃ καὶ ἐν πλήθει ἀνθρώ-
πων τοσούτῳ, ἄλλως τε καὶ ἐν μεταβολῇ πολιτείας, φιλεῖ συμβαίνειν.
2 τούτοις δ' ἂν μὲν ἑτέρους δικαστὰς καθίζῃς, ἀπολύοιντό τε ἂν
διασπευδόμενοι, καὶ μάλιστα ὅσους ἂν ἐχθραίνειν νομισθῇς· καὶ
γὰρ προσποίησίν τινα ἐξουσίας οἱ δικάζοντες λαμβάνουσιν, ὅταν τι
3 παρὰ τὸ δοκοῦν τῷ κρατοῦντι ποιήσωσιν· κἂν ἄρα τινὲς ἁλίσκων-
ται, διὰ σὲ δόξουσιν ἐκ κατασκευάσματος κατεψηφίσθαι. ἂν δ'
αὐτὸς δικάζῃς, πολλοὺς ἀναγκασθήσῃ καὶ τῶν ὁμοτίμων κολάζειν
(τοῦτο δὲ οὐκ εὐτυχές), καὶ πάντως τινὰς αὐτῶν ὀργῇ μᾶλλον ἢ
4 δικαιώσει δόξεις εὐθύνειν· τοὺς γὰρ βιάζεσθαι δυναμένους οὐδεὶς

7 1 6 τοσούτων

Digitized by Google

δικάζοντας δικαιοπραγεῖν πιστεύει, ἀλλ' οἴονται πάντες αὐτοὺς σχῆμα
καὶ σκιαγραφίαν πολιτείας αἰσχύνῃ πρὸ τῆς ἀληθείας προπεταννύν-
τας, ὀνόματι ἐννόμου δικαστηρίου τὴν ἑαυτῶν ἐπιθυμίαν ἀποπιμ-
πλάναι. ἐν μὲν οὖν ταῖς μοναρχίαις ταῦθ' οὕτω γίγνεται· ἐν δὲ 5
δὴ ταῖς δημοκρατίαις, ἄντ' ἰδίᾳ τις ἀδικεῖν αἰτίαν λάβῃ, ἰδίαν δίκην
παρὰ δικασταῖς ἴσοις φεύγει, ἄντε δημοσίᾳ, καὶ ἐκείνῳ δικασταὶ
καθίζουσιν ἐκ τῶν ὁμοίων οὓς ἂν ὁ κλῆρος ἀποδείξῃ, ὥστε ῥᾷον
τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν τοὺς ἀνθρώπους φέρειν, μήτ' ἰσχύι
δικαστοῦ μήτε χάριτι ἀναγκασθῆναι νομίζοντάς τι πεπονθέναι.

ἔτι τοίνυν πολλοὶ χωρὶς τῶν τι ἀδικούντων, οἱ μὲν γένει οἱ δὲ 8
πλούτῳ οἱ δὲ ἑτέρῳ τινὶ ἐπαιρόμενοι, ἄλλως μὲν οὐ κακοὶ ἄνδρες,
τῇ δὲ δὴ προαιρέσει τῇ τῆς μοναρχίας ἐναντίοι φύονται· καὶ αὐ-
τοὺς οὔτ' αὔξεσθαί τις ἐῶν ἀσφαλῶς δύναται ζῆν, οὔτ' αὖ κολούειν
ἐπιχειρῶν δικαίως τοῦτο ποιεῖν. τί ποτ' οὖν τούτοις χρήσῃ; πῶς 2
αὐτοὺς μεταχειρίσῃ; ἂν μὲν γὰρ τά τε γένη σφῶν καθέλῃς καὶ τοὺς
πλούτους ἐλαττώσῃς τά τε φρονήματα ταπεινώσῃς, οὐδεμίαν ἂν
εὔνοιαν παρὰ τῶν ἀρχομένων λάβοις· πῶς γάρ, εἰ μήτε γεννηθῆναί
τῳ καλῶς μήτε πλουτῆσαι δικαίως, μήτ' ἰσχυρῷ μήτ' ἀνδρείῳ μήτε
συνετῷ γενέσθαι ἐξείη; ἂν δ' ἐάσῃς ταῦθ' ὡς ἕκαστα αὔξειν, οὐκ 3
ἂν ῥᾳδίως αὐτὰ διαθεῖο. καὶ γὰρ εἰ αὐτὸς μόνος καὶ πρὸς τὸ τὰ
πολιτικὰ καὶ πρὸς τὸ τὰ πολεμικὰ καλῶς καὶ κατὰ καιρὸν πράττειν
ἐξήρκεις, καὶ μηδενὸς συνεργοῦ πρὸς μηδὲν αὐτῶν ἔχρῃζες, ἕτερος
ἂν ἦν λόγος· νῦν δὲ πᾶσά σε ἀνάγκη συναγωνιστὰς πολλούς, ἅτε 4
τοσαύτης οἰκουμένης ἄρχοντα, ἔχειν, καὶ προσήκει που πάντας αὐ-
τοὺς καὶ ἀνδρείους καὶ φρονίμους εἶναι. οὐκοῦν ἂν μὲν τοιούτοις
τισὶ τά τε στρατεύματα καὶ τὰς ἀρχὰς ἐγχειρίζῃς, κίνδυνος ἔσται
καὶ σοὶ καὶ τῇ πολιτείᾳ καταλυθῆναι· οὐ γὰρ ἔστιν οὔτ' ἄνευ 5
φρονήματος ἀξιόλογον ἄνδρα φῦναι, οὔτ' αὖ φρόνημα μέγα λαβεῖν
ἐκ δουλοπρεποῦς ἐπιτηδεύσεως, οὐ μὴν οὐδὲ φρονηματίαν γενόμενον
μὴ οὐκ ἐλευθερίας ἐπιθυμῆσαι καὶ πᾶν τὸ δεσπόζον μισῆσαι. ἂν 6
δὲ δὴ τούτοις μὲν μηδὲν ἐπιτρέπῃς, τοῖς δὲ δὴ φαύλοις καὶ τοῖς
τυχοῦσι τὰ πράγματα προστάσσῃς, τάχιστα μὲν ἂν ὀργὴν παρ'
ἐκείνων ὡς ἀπιστουμένων λάβοις, τάχιστα δ' ἂν ἐν τοῖς μεγίστοις
πταίσειας. τί μὲν γὰρ ἂν ἀγαθὸν ἀμαθὴς ἢ ἀγενὴς ἄνθρωπος 7
ἐργάσαιτο; τίς δ' οὐκ ἂν καταφρονήσειεν αὐτοῦ τῶν πολεμίων;
τίς δ' ἂν πειθαρχήσειέν οἱ τῶν συμμάχων; τίς δ' οὐκ ἂν καὶ αὐ-
τῶν τῶν στρατιωτῶν ἀπαξιώσειεν ὑπὸ τοιούτου τινὸς ἄρχεσθαι;
καὶ μὴν ὅσα ἐκ τούτου κακὰ γίγνεσθαι πέφυκε, τὰ μὲν ἄλλα οὐδὲν

8 3 1 αὔξεσθαι?* cf. 1 4    4 2 ἄρχοντας

Digitized by Google

8 δέομαί σοι σαφῶς εἰδότι διηγεῖσθαι, ἐκεῖνο δὲ δὴ μόνον ἀναγκαίως
ἐρῶ, ὅτι ἂν μὲν μηδὲν δέον ὁ τοιοῦτος πράττῃ, πολὺ πλείω ἄν σε
τῶν πολεμίων βλάψειεν, ἂν δέ τι τῶν προσηκόντων ποιῇ, καὶ αὐτὸς
ἄν σοι φοβερὸς ἐκφρονήσας ὑπ' ἀπαιδευσίας γένοιτο.

9 οὐ μέντοι καὶ ταῖς δημοκρατίαις τοιοῦτό τι πρόσεστιν, ἀλλ'
ὅσῳ ἂν πλείους καὶ πλουτῶσι καὶ ἀνδρίζωνται, τόσῳ μᾶλλον αὐτοί
τε φιλοτιμοῦνται καὶ τὴν πόλιν αὔξουσι, καί σφισι καὶ ἐκείνη κέ-
χρηται καὶ χαίρει, πλὴν ἄν τις τυραννίδος ἐπιθυμήσῃ· τοῦτον γὰρ
2 ἰσχυρῶς κολάζουσιν. καὶ ὅτι ταῦθ' οὕτως ἔχει καὶ πολλῷ κρείττους
αἱ δημοκρατίαι τῶν μοναρχιῶν εἰσί, δηλοῖ μὲν καὶ τὸ Ἑλληνικόν·
τέως μὲν γὰρ οὕτως ἐπολιτεύοντο, οὐδὲν μέγα κατέπραξαν, ἐπειδὴ
3 δ' ἐκείνως ζῆν ἤρξαντο, ὀνομαστότατοι ἐγένοντο· δηλοῖ δὲ καὶ τὰ
τῶν ἄλλων ἀνθρώπων, ὧν οἱ μὲν ἐν τυραννίσι καὶ νῦν ἔτι διαγόμενοι
ἀεί τε δουλεύουσι καὶ ἀεὶ τοῖς ἄρχουσιν ἐπιβουλεύουσιν, οἱ δὲ δὴ
προστατείαις ἐπετησίοις ἢ καὶ ἐπὶ πλείω τινὰ χρόνον χρώμενοι καὶ
4 ἐλεύθεροι καὶ αὐτόνομοι διατελοῦσιν ὄντες. ἀλλὰ τί δεῖ ἡμᾶς ἀλ-
λοτρίοις παραδείγμασιν οἰκεῖα ἔχοντας χρῆσθαι; ἡμεῖς γὰρ αὐτοὶ
οἱ Ῥωμαῖοι ἄλλως τὸ πρῶτον πολιτευόμενοι, ἔπειτα ἐπειδὴ πολλὰ
καὶ δεινὰ ἐπάσχομεν, τῆς τε ἐλευθερίας ἐπεθυμήσαμεν καὶ λαβόντες
5 αὐτὴν πρὸς τοσοῦτον ὄγκον προήλθομεν, οὐκ ἄλλοις τισὶν ἢ τοῖς
ἐκ τῆς δημοκρατίας ἀγαθοῖς ἰσχύσαντες, ἐξ ὧν ἥ τε γερουσία
προεβούλευε καὶ ὁ δῆμος ἐπεκύρου τό τε στρατευόμενον προεθυ-
μεῖτο καὶ τὸ στρατηγοῦν ἐφιλοτιμεῖτο. ὧν οὐδὲν ἂν ἐν τυραννίδι
πραχθείη. ἀμέλει τοσοῦτον αὐτῆς διὰ ταῦτα μῖσος οἱ πάλαι Ῥω-
μαῖοι ἔσχον ὥστε καὶ ἐπάρατον τὸ πολίτευμα ποιήσασθαι.

10 χωρὶς δὲ τούτων, εἰ δεῖ τι καὶ περὶ τῶν ἰδίᾳ σοὶ αὐτῷ συμφε-
ρόντων εἰπεῖν, πῶς μὲν ἂν ὑγιάνειας τοσαῦτα καὶ μεθ' ἡμέραν
καὶ νύκτωρ διοικῶν, πῶς δ' ἂν μὴ ὑγιαίνων ἐξαρκέσειας; τίνος δ'
ἂν τῶν ἀγαθῶν τῶν ἀνθρωπίνων ἀπολαύσειας, πῶς δ' ἂν στερό-
μενος αὐτῶν εὐδαιμονήσειας; τίνι δ' ἂν ἀκριβῶς ἡσθείης, πότε δ'
2 οὐκ ἂν ἰσχυρῶς λυπηθείης; πᾶσα γὰρ ἀνάγκη τὸν τηλικαύτην ἀρχὴν
ἔχοντα καὶ φροντίζειν πολλὰ καὶ δεδιέναι συχνά, καὶ τῶν μὲν ἡδί-
στων ἐλάχιστα ἀπολαύειν, τὰ δὲ δυσχερέστατα ἀεὶ καὶ πανταχοῦ
καὶ ἀκούειν καὶ ὁρᾶν καὶ ποιεῖν καὶ πάσχειν. ὅθεν, οἶμαι, καὶ Ἕλ-
ληνες καὶ βάρβαροί τινες οὐδὲ διδομένας σφίσι βασιλείας ἐδέξαντο.
3 ταῦτ' οὖν προϊδόμενος προβούλευσαι πρὶν ἐν αὐτοῖς γενέσθαι·
αἰσχρὸν γάρ, μᾶλλον δὲ καὶ ἀδύνατόν ἐστι παρακύψαντά τινα ἅπαξ
ἐς αὐτὰ ἀναδῦναι. μηδέ σε ἐξαπατήσῃ μήτε τὸ μέγεθος τῆς ἐξου-

10 1 2 ὑπομείνειας     2 2 συχνά] πολλὰ* cf. 4 2     3 1 προει-
δόμενος*

σίας μήθ᾽ ἡ περιουσία τῶν κτημάτων, μὴ τὸ στῖφος τῶν σωματο-
φυλάκων, μὴ ὁ ὄχλος τῶν θεραπευόντων. οἵ τε γὰρ πολὺ δυνά- 4
μενοι πολλὰ πράγματα ἔχουσιν, καὶ οἱ συχνὰ κεκτημένοι συχνὰ
ἀναλίσκειν ἀναγκάζονται, τά τε πλήθη τῶν δορυφόρων διὰ τὰ
πλήθη τῶν ἐπιβουλευόντων ἀθροίζεται, καὶ οἱ κολακεύοντες ἐπι-
τρίψαιεν ἄν τινα μᾶλλον ἢ σώσαιεν. ὥσθ᾽ ἕνεκα μὲν τούτων οὐδ᾽
ἂν εἷς εὖ φρονῶν αὐταρχῆσαι ἐπιθυμήσειεν· εἰ δ᾽ ὅτι καὶ πλουτίζειν 11
καὶ σώζειν τινὰς ἄλλα τε πολλὰ καὶ ἀγαθὰ δρᾶν οἱ τοιοῦτοι δύ-
νανται, καὶ νὴ Δία καὶ ὑβρίζειν σφίσι καὶ κακῶς ποιεῖν ὃν ἂν
ἐθελήσωσιν ἔξεστιν, ἀξίαν τις διὰ ταῦτα σπουδῆς τὴν τυραννίδα
εἶναι νομίζει, τοῦ παντὸς ἁμαρτάνει. τὸ μὲν γὰρ ἀσελγαίνειν καὶ 2
κακόν τι ποιεῖν οὔθ᾽ ὡς αἰσχρὰ οὔθ᾽ ὡς σφαλερὰ καὶ μεμισημένα
καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων ἐστί, δέομαί σοι λέγειν· οὔτε
γὰρ ἄλλως τοιοῦτος εἶ, οὔτ᾽ ἂν διὰ ταῦτα μοναρχῆσαι ἕλοιο. προῄρη-
μαί τε ἐγὼ νῦν οὐ πάνθ᾽ ὅσα ἄν τις κακῶς τὸ πρᾶγμα μεταχειρι-
ζόμενος ἐξεργάσαιτο εἰπεῖν, ἀλλ᾽ ὅσα καὶ οἱ πάνυ ἄριστα αὐτῷ
χρώμενοι καὶ ποιεῖν καὶ πάσχειν ἀναγκάζονται. τὸ δ᾽ ἕτερον, τό 3
τινα ἀφθόνως εὐεργετεῖν ἔχειν, ἀξιοσπούδαστον μέν, ἀλλ᾽ ἐν μὲν
ἰδιώτῃ γιγνόμενον καὶ καλὸν καὶ σεμνὸν καὶ εὐκλεὲς καὶ ἀσφαλές
ἐστιν, ἐν δὲ δὴ ταῖς μοναρχίαις πρῶτον μὲν οὐκ ἀντάξιον τῶν
ἄλλων τῶν ἀτοπωτέρων, ὥστε τινὰ δι᾽ ἐκεῖνα καὶ τοῦτο ἑλέσθαι,
ἄλλως τε καὶ μέλλοντα τὴν μὲν ἐκ τούτου ἀπόλαυσιν ἑτέροις δώσειν
τὴν δὲ ἐξ ἐκείνων ἀηδίαν αὐτὸν ἕξειν, ἔπειτα δ᾽ οὐδ᾽ ἁπλοῦν, ὥς 12
τις οἴεται. οὔτε γὰρ ἂν πᾶσι τοῖς δεομένοις τινὸς ἐπαρκέσειέ τις.
οἱ μὲν γὰρ ἀξιοῦντές τι παρ᾽ αὐτοῦ λαμβάνειν πάντες ὡς εἰπεῖν
εἰσὶν ἄνθρωποι, κἂν μηδεμία εὐθὺς εὐεργεσία αὐτοῖς ὀφείληται·
πᾶς γάρ τις φύσει καὶ αὐτὸς ἑαυτῷ ἀρέσκει, κἀγαθόν τι ἐπαυρέσθαι 2
παρὰ τοῦ δοῦναι δυναμένου βούλεται· ἃ δὲ ἐνδέχεται αὐτοῖς δί-
δοσθαι (τιμάς τε καὶ ἀρχὰς λέγω, καὶ ἔστιν ὅτε καὶ χρήματα)
πάνυ ἂν εὐαρίθμητα ὡς πρὸς τοσοῦτο πλῆθος εὑρεθείη. τούτου
τε οὕτως ἔχοντος ἔχθος ἂν αὐτῷ παρὰ τῶν διαμαρτανόντων ὧν
χρῄζουσι μᾶλλον ἢ φιλία παρὰ τῶν τυγχανόντων ὑπάρξειεν. οἱ 3
μὲν γάρ, ὡς καὶ ὀφειλόμενόν τι λαμβάνοντες, οὔτ᾽ ἄλλως μεγάλην
οἴονται δεῖν τῷ διδόντι αὐτὸ χάριν ἔχειν ἅτε μηδὲν παρὰ δόξαν
εὑρισκόμενοι, καὶ προσέτι καὶ ὀκνοῦσι τοῦτο ποιεῖν, ἵνα μὴ καὶ
ἀναξίους ἐν τούτῳ σφᾶς τοῦ καλῶς πάσχειν ἀποφανοῦσιν· οἱ δὲ 4
ὧν ἐλπίζουσιν ἀτυχοῦντες λυποῦνται κατ᾽ ἀμφότερα, τοῦτο μὲν ὡς
οἰκείου τινὸς στερισκόμενοι (πάντες γὰρ ἔχειν ἤδη νομίζουσιν ὧν

4 1 ὁ om* 11 3 5 διὰ τοῦτο καὶ ἐκεῖνα?* 12 4 1 ἀπο-
φήνωσιν?

Digitized by Google

ἂν ἐπιθυμήσωσιν), τοῦτο δὲ ὡς καὶ αὐτοὶ ἑαυτῶν ἀδικίαν τινὰ
καταγινώσκοντες, ἂν ῥᾳδίως ἐπὶ τῷ μὴ τυχεῖν ὧν ἂν προσδοκήσωσι
5 φέρωσιν. καὶ γὰρ ὁ ὀρθῶς διδοὺς τὰ τοιαῦτα τό τε κατ' ἀξίαν
ἑκάστου δῆλον ὅτι πρὸ πάντων προσκοπεῖ, καὶ τοὺς μὲν τιμᾷ τοὺς
δὲ παρορᾷ, ὥστε καὶ ἐκ τῆς ἐκείνου γνώμης τοῖς μὲν φρόνημα
τοῖς δ' ἀγανάκτησιν ὑπ' αὐτοῦ τοῦ συνειδότος σφῶν προσγίγνεσθαι.
ὡς ἄν γέ τις τοῦτ' εὐλαβούμενος ἀνωμάλως αὐτὰ διανέμειν ἐθελήσῃ,
6 τὸ σύμπαν ἁμαρτήσεται· οἵ τε γὰρ πονηροὶ παρὰ τὸ προσῆκον
τιμώμενοι χείρους ἄν, ἤτοι καὶ ἐπαινεῖσθαι ὡς ἀγαθοὶ ἢ πάντως
γε θεραπεύεσθαι ὡς φοβεροὶ δοκοῦντες, γίγνοιντο, καὶ οἱ χρηστοὶ
μηδὲν πλεῖον αὐτῶν εὑρισκόμενοι, ἀλλ' ἐξ ἴσου σφίσιν ἀγόμενοι,
μᾶλλον ἂν ἐκ τῆς πρὸς ἐκείνους ἰσομοιρίας λυποῖντο ἢ τῷ καὶ
7 αὐτοί τινος ἀξιοῦσθαι χαίροιεν, κἀκ τούτου τήν τε ἐπιτήδευσιν τῶν
κρειττόνων ἐῷεν ἂν καὶ τὴν ζήλωσιν τῶν χειρόνων μετέρχοιντο, καὶ
οὕτω κἂν ἐξ αὐτῶν τῶν τιμῶν οὔθ' οἱ διδόντες αὐτὰς ἀγαθόν τι
καρποῖντο καὶ οἱ λαμβάνοντες κακίους γίγνοιντο. ὥστε σοι τοῦτο,
ὃ μάλιστ' ἄν τισιν ἐν ταῖς μοναρχίαις ἀρέσειεν, δυσμεταχειριστότα-
τον συμβῆναι.

13 ταῦτά τε οὖν καὶ τἆλλα ἃ μικρῷ πρόσθεν εἶπον ἐνθυμηθεὶς
φρόνησον ἕως ἔξεστί σοι, καὶ ἀπόδος τῷ δήμῳ καὶ τὰ ὅπλα καὶ
τὰ ἔθνη καὶ τὰς ἀρχὰς καὶ τὰ χρήματα. ἂν μὲν γὰρ ἤδη τε καὶ
ἑκὼν αὐτὸ ποιήσῃς, ἐνδοξότατός τε ἅμα ἀνθρώπων ἔσῃ καὶ ἀσφα-
λέστατος· ἂν δ' ἀναμείνῃς βίαν τινά σοι προσαχθῆναι, τάχ' ἄν
2 τι δεινὸν μετὰ κακοδοξίας πάθοις. τεκμήριον δέ, Μάριος μὲν καὶ
Σύλλας καὶ Μέτελλος, καὶ Πομπήιος τὸ πρῶτον, ἐν κράτει τῶν
πραγμάτων γενόμενοι οὔτ' ἠθέλησαν δυναστεῦσαι οὔτ' ἔπαθον παρὰ
τοῦτο δεινὸν οὐδέν· Κίννας δὲ δὴ καὶ Κάρβων, ὅ τε Μάριος ὁ
ἕτερος καὶ ὁ Σερτώριος, ὅ τε Πομπήιος αὐτὸς μετὰ ταῦτα, τῆς
3 δυναστείας ἐπιθυμήσαντες κακῶς ἀπώλοντο. δυσχερὲς γάρ ἐστι
τὴν πόλιν ταύτην, τοσούτοις τε ἔτεσι δεδημοκρατημένην καὶ τοσού-
των ἀνθρώπων ἄρχουσαν, δουλεῦσαί τινι ἐθελῆσαι. καὶ ἀκούεις
μὲν ὅτι τὸν Κάμιλλον ὑπερώρισαν, ἐπειδὴ λευκοῖς ἵπποις ἐς τὰ
4 ἐπινίκια ἐχρήσατο, ἀκούεις δὲ ὅτι τὸν Σκιπίωνα κατέλυσαν, ἐπειδή
τινα πλεονεξίαν αὐτοῦ κατέγνωσαν, μέμνησαι δὲ ὅπως τῷ πατρί
σου προσηνέχθησαν, ὅτι τινὰ ὑποψίαν ἐς αὐτὸν μοναρχίας ἔσχον.
καίτοι τούτων μὲν ἀμείνους ἄνδρες οὐδένες ἄλλοι γεγόνασιν.

5 οὐ μέντοι καὶ ἁπλῶς οὕτω συμβουλεύω σοι τὴν ἀρχὴν ἀφεῖναι,
ἀλλὰ πάντα τὰ συμφέροντα τῷ δημοσίῳ προπρᾶξαι καὶ δόγμασι

4 5 τὸ 6 5 τῷ om* 7 3 κἂν] καὶ*

Digitized by Google

καὶ νόμοις ἃ προσήκει κατακλεῖσαι, καθάπερ που καὶ ὁ Σύλλας
ἐποίησεν· καὶ γὰρ εἴ τινα αὐτῶν μετὰ ταῦτα ἀνετράπη, ἀλλὰ τά
γε πλείω καὶ μείζω διαμένει. καὶ μὴ εἴπῃς ὅτι καὶ ὣς στασιάσουσι 6
τινές, ἵνα μὴ καὶ ἐγὼ αὖθις εἴπω ὅτι πολλῷ μᾶλλον οὐκ ἂν ἀνά-
σχοιντο μοναρχούμενοι. ὡς εἴγε πάνθ' ὅσα ἐνδέχεταί τισι συνε-
νεχθῆναι προσκοποίμεθα, ἀλογώτατα ἂν τὰς διχοστασίας τὰς ἐκ
τῆς δημοκρατίας συμβαινούσας φοβηθείημεν ἂν μᾶλλον ἢ τὰς τυ-
ραννίδας τὰς ἐκ τῆς μοναρχίας ἐκφυομένας. περὶ ὧν τῆς δεινότητος 7
οὐδ' ἐπεχείρησά τι εἰπεῖν· οὐ γὰρ δὴ καὶ καταδραμεῖν ἄλλως εὐκα-
τηγόρητον οὕτω πρᾶγμα ἠθέλησα, ἀλλὰ δεῖξαί σοι τοῦθ' ὅτι τοιοῦ-
τόν ἐστι τῇ φύσει ὥστε μηδὲ τοὺς χρηστοὺς ἄνδρας..."
"... οὔτε πεῖσαί τι ῥαδίως ὑπὸ παρρησίας τοὺς οὐχ ὁμοίους δύναν- 14
ται, κἂν ταῖς πράξεσιν ἅτε μὴ ὁμογνωμονούντων σφῶν κατορθοῦ-
σιν. ὥστε εἴ τι κήδῃ τῆς πατρίδος, ὑπὲρ ἧς τοσούτους πολέμους
πεπολέμηκας, ὑπὲρ ἧς καὶ τὴν ψυχὴν ἡδέως ἂν ἐπιδοίης, μεταρ-
ρύθμισον αὐτὴν καὶ κατακόσμησον πρὸς τὸ σωφρονέστερον. τὸ 2
γὰρ ἐξεῖναί τισι πάνθ' ὅσα ἁπλῶς βούλονται καὶ ποιεῖν καὶ λέγειν,
ἂν μὲν ἐπὶ τῶν εὖ φρονούντων ἐξετάζῃς, εὐδαιμονίας ἅπασιν αἴτιον
γίγνεται, ἂν δ' ἐπὶ τῶν ἀνοήτων, συμφορᾶς· καὶ διὰ τοῦτο ὁ μὲν
τοῖς τοιούτοις τὴν ἐξουσίαν διδοὺς παιδὶ δή τινι καὶ μαινομένῳ
ξίφος ὀρέγει, ὁ δ' ἐκείνοις τά τε ἄλλα καὶ αὐτοὺς τούτους καὶ μὴ
βουλομένους σώζει. διόπερ καὶ σὲ ἀξιῶ μὴ πρὸς τὰς εὐπρεπείας 3
τῶν ὀνομάτων ἀποβλέψαντα ἀπατηθῆναι, ἀλλὰ τὰ γιγνόμενα ἐξ
αὐτῶν προσκοπήσαντα τήν τε θρασύτητα τοῦ ὁμίλου παῦσαι καὶ
τὴν διοίκησιν τῶν κοινῶν ἑαυτῷ τε καὶ τοῖς ἄλλοις τοῖς ἀρίστοις
προσθεῖναι, ἵνα βουλεύωσι μὲν οἱ φρονιμώτατοι, ἄρχωσι δὲ οἱ
στρατηγικώτατοι, στρατεύωνται δὲ καὶ μισθοφορῶσιν οἵ τε ἰσχυ-
ρότατοι καὶ οἱ πενέστατοι. οὕτω γὰρ τά τε ἐπιβάλλοντά σφισιν 4
ἕκαστοι προθύμως ποιοῦντες, καὶ τὰς ὠφελείας ἀλλήλοις ἑτοίμως
ἀντιδιδόντες, οὔτε τῶν ἐλαττωμάτων, ἐν οἷς καταδέουσι τινῶν,
ἐπαισθήσονται, καὶ τὴν δημοκρατίαν τὴν ἀληθῆ τήν τε ἐλευθερίαν
τὴν ἀσφαλῆ κτήσονται· ἐκείνη μὲν γὰρ ἡ τοῦ ὄχλου ἐλευθερία τοῦ 5
τε βελτίστου δουλεία πικροτάτη γίγνεται καὶ κοινὸν ἀμφοῖν ὄλεθρον
φέρει, αὕτη δὲ τό τε σῶφρον πανταχοῦ προτιμῶσα καὶ τὸ ἴσον
ἅπασι κατὰ τὴν ἀξίαν ἀπονέμουσα πάντας ὁμοίως εὐδαίμονας τοὺς
χρωμένους αὐτῇ ποιεῖ. μὴ γάρ τοι οἰηθῇς ὅτι τυραννῆσαί σοι, 15
τόν τε δῆμον καὶ τὴν βουλὴν δουλωσαμένῳ, παραινῶ. τοῦτο μὲν
γὰρ οὔτ' ἂν ἐγώ ποτε εἰπεῖν οὔτ' ἂν σὺ πρᾶξαι τολμήσειας· ἐκεῖνα

13 5 3 ἃ] οἷς? 14 1 2 σφῶν ὀλίγα κατ.?* 2 1 μετα-κόσμησον?*

Digitized by Google

δὲ δὴ καὶ καλὰ καὶ χρήσιμα καὶ σοὶ καὶ τῇ πόλει γένοιτο ἄν, τό
τε πάντα τὰ προσήκοντα αὐτόν σε μετὰ τῶν ἀρίστων ἀνδρῶν νο-
μοθετεῖν, μηδενὸς τῶν πολλῶν μήτ' ἀντιλέγοντος αὐτοῖς μήτ' ἐναν-
2 τιουμένου, καὶ τὸ τοὺς πολέμους πρὸς τὰ ὑμέτερα βουλεύματα
διοικεῖσθαι, πάντων αὐτίκα τῶν ἄλλων τὸ κελευόμενον ποιούντων,
τό τε τὰς τῶν ἀρχόντων αἱρέσεις ἐφ' ὑμῖν εἶναι, καὶ τὸ τὰς τιμὰς
τάς τε τιμωρίας ὑμᾶς ὁρίζειν, ἵνα καὶ νόμος εὐθὺς ᾖ πᾶν ὅ τι ἂν
3 βουλευσαμένῳ σοι μετὰ τῶν ὁμοτίμων ἀρέσῃ, καὶ οἱ πολέμιοι κρύφα
καὶ κατὰ καιρὸν πολεμῶνται, οἵ τε τι ἐγχειριζόμενοι ἀπ' ἀρετῆς
ἀλλὰ μὴ κλήρῳ καὶ σπουδαρχίᾳ ἀποδεικνύωνται, καὶ οἱ μὲν ἀγαθοὶ
ἄνευ φθόνου τιμῶνται, οἱ δὲ κακοὶ ἄνευ συστάσεως κολάζωνται.
4 οὕτω γὰρ ἂν μάλιστα τά τέ πραττόμενα ὀρθῶς διοικηθείη, μήτε
ἐς τὸ κοινὸν ἀναφερόμενα μήτε ἐν τῷ φανερῷ βουλευόμενα μήτε
τοῖς παρακελευστοῖς ἐπιτρεπόμενα μήτε ἐκ φιλοτιμίας κινδυνευόμενα,
καὶ τῶν ὑπαρχόντων ἡμῖν ἀγαθῶν ἡδέως ἀπολαύσαιμεν, μήτε πο-
5 λέμους ἐπικινδύνους μήτε στάσεις ἀνοσίας ποιούμενοι. ταῦτα γὰρ
πᾶσα μὲν δημοκρατία ἔχει· οἱ γὰρ δυνατώτεροι, τῶν τε πρωτείων
ὀρεγόμενοι καὶ τοὺς ἀσθενεστέρους μισθούμενοι, πάντα ἄνω καὶ
κάτω φύρουσιν· πλεῖστα δὲ δὴ παρ' ἡμῖν γέγονε, καὶ οὐκ ἔστιν
6 ὅπως ἄλλως παύσεται. τεκμήριον δέ, πάμπολυς ἐξ οὗ χρόνος καὶ
πολεμοῦμεν καὶ στασιάζομεν. αἴτιον δὲ τό τε πλῆθος τῶν ἀνθρώ-
πων καὶ τὸ μέγεθος τῶν πραγμάτων· ἐκεῖνοί τε γὰρ παντοδαποὶ
καὶ τὰ γένη καὶ τὰς φύσεις ὄντες καὶ ποικίλας καὶ τὰς ὀργὰς καὶ
τὰς ἐπιθυμίας ἔχουσιν, καὶ ταῦτα ἐς τοσοῦτο προῆκται ὥστε καὶ
16 πάνυ δυσχερῶς ἂν διοικηθῆναι. καὶ ὅτι ταῦτα ἀληθῆ λέγω, μαρ-
τυρεῖ τὰ γεγονότα. τέως μὲν γὰρ οὔτε πολλοὶ ἦμεν οὔτε μεγάλῳ
τινὶ τῶν πλησιοχώρων διεφέρομεν, καλῶς τε ἐπολιτευόμεθα καὶ
2 πᾶσαν ὀλίγου τὴν Ἰταλίαν κατεστρεψάμεθα· ἀφ' οὗ δὲ ἔξω αὐτῆς
ἐξήχθημεν, καὶ ἐπὶ πολλὰς καὶ τῶν ἠπείρων καὶ τῶν νήσων ἐπε-
ραιώθημεν, καὶ πᾶσαν μὲν τὴν θάλασσαν πᾶσαν δὲ τὴν γῆν καὶ
τοῦ ὀνόματος καὶ τῆς δυνάμεως ἡμῶν ἐνεπλήσαμεν, οὐδενὸς χρηστοῦ
μετεσχήκαμεν, ἀλλὰ τὸ μὲν πρῶτον οἴκοι καὶ ἐντὸς τοῦ τείχους κατὰ
συστάσεις ἐστασιάσαμεν, ἔπειτα δὲ καὶ ἐς τὰ στρατόπεδα τὸ νό-
3 σημα τοῦτο προηγάγομεν. καὶ διὰ ταῦτα ἡ πόλις ἡμῶν, ὥσπερ
ὁλκὰς μεγάλη καὶ πλήρης ὄχλου παντοδαποῦ χωρὶς κυβερνήτου,
πολλὰς ἤδη γενεὰς ἐν κλύδωνι πολλῷ φερομένη σαλεύει τε καὶ
ἄττει δεῦρο κἀκεῖσε, καθάπερ ἀνερμάτιστος οὖσα. μήτ' οὖν χει-
4 μαζομένην ἔτ' αὐτὴν περιίδῃς, ὁρᾷς γὰρ ὡς ὑπέραντλός ἐστι, μήτε

15 1 6 μηδὲ ἐναντ.* 2 1 βουλήματα* 4 3 τοῖς] ἐν τοῖς
5 1 ἀνοσίους? * 2 πρώιων 16 2 2 πολλὰ

Digitized by Google

*περὶ ἕρμα περιρραγῆναι ἐάσῃς, σαθρὰ γάρ ἐστι καὶ οὐδένα ἔτι
χρόνον ἀντισχεῖν δυνήσεται· ἀλλ᾽ ἐπειδή περ οἱ θεοὶ ἐλεήσαντες
αὐτὴν καὶ ἐπιγνώμονά σε καὶ ἐπιστάτην αὐτῆς ἐπέστησαν, μὴ προ-
δῷς τὴν πατρίδα, ἵν᾽ ὥσπερ νῦν διὰ σὲ μικρὸν ἀναπέπνευκεν, οὕτω
καὶ τὸν λοιπὸν αἰῶνα μετ᾽ ἀσφαλείας διαγάγῃ.*

*ὅτι μὲν οὖν ὀρθῶς σοι παραινῶ, μοναρχεῖσθαι τὸν δῆμον ἀξιῶν,* 17
*πάλαι σε ἡγοῦμαι πεπεῖσθαι· τούτου δὲ δὴ οὕτως ἔχοντος καὶ
ἑτοίμως καὶ προθύμως τὴν προστασίαν αὐτοῦ ἀνάδεξαι, μᾶλλον
δὲ μὴ προῇ. οὐδὲ γὰρ οὐδ᾽ ὑπὲρ τοῦ λαβεῖν τι βουλευόμεθα, ἀλλ᾽
ὑπὲρ τοῦ μὴ ἀπολέσαι καὶ προσέτι καὶ κινδυνεῦσαι. τίς γάρ σου* 2
*φείσεται, ἄντε ἐς τὸν δῆμον τὰ πράγματ᾽ ἀνώσῃς, ἄντε καὶ ἑτέρῳ
τινὶ ἐπιτρέψῃς, παμπόλλων μὲν ὄντων τῶν ὑπὸ σοῦ λελυπημένων,
πάντων δ᾽ ὡς εἰπεῖν τῆς μοναρχίας ἀντιποιησομένων, ὧν οὐδεὶς
οὔτε μὴ ἀμύνασθαί σε ἐφ᾽ οἷς πεποίηκας οὔτ᾽ ἀντίπαλον ὑπολι-
πέσθαι ἐθελήσει. τεκμήριον δὲ ὅτι καὶ ὁ Πομπήιος ἐκστὰς τῆς* 3
*δυναστείας καὶ κατεφρονήθη καὶ ἐπεβουλεύθη, κἀκ τούτου μηκέτ᾽
αὐτὴν ἀναλαβεῖν δυνηθεὶς ἐφθάρη, καὶ ὁ Καῖσαρ ὁ πατὴρ ὁ σὸς
τὸ αὐτὸ τοῦτο ποιῆσαι ἐθελήσας προαπώλετο. πάντως δ᾽ ἂν καὶ
ὁ Μάριος καὶ ὁ Σύλλας ὅμοια αὐτοῖς ἐπεπόνθεσαν, εἰ μὴ προετε-
θνήκεσαν. καίτοι τὸν Σύλλαν φασί τινες αὐτὸ τοῦτο φοβηθέντα* 4
*φθῆναι καὶ ἑαυτὸν ἀναχρήσασθαι· συχνὰ γοῦν τῶν νομοθετηθέντων
ὑπ᾽ αὐτοῦ ζῶντος ἔτ᾽ αὐτοῦ λύεσθαι ἤρξατο. ὥστε καὶ σὺ πολλοὺς
μὲν Λεπίδους πολλοὺς δὲ Σερτωρίους Βρούτους Κασσίους γενή-
σεσθαί σοι προσδόκα.*

*ταῦτά τε οὖν ἰδὼν καὶ τἆλλα πάντα λογισάμενος, μὴ προῇ* 18
*καὶ σεαυτὸν καὶ τὴν πατρίδα, ἵνα μὴ δόξῃς τισὶν ἐθελούσιος τῆς
ἀρχῆς ἐφεῖσθαι. πρῶτον μὲν γάρ, ἂν καὶ τοῦτό τις ὑποπτεύσῃ,
οὔτ᾽ ἀπὸ τοῦ ἀνθρωπείου τρόπου τὸ ἐπιθύμημα ἐστί, καὶ καλὸς ὁ
κίνδυνος αὐτοῦ· ἔπειτα δὲ τίς οὐκ οἶδε τὴν ἀνάγκην ὑφ᾽ ἧς ἐς τὰ
πράγματα ταῦτα προήχθης; ὥστε εἴπερ τι αἰτίαμα αὐτῆς ἐστίν,* 2
*τοῖς τοῦ πατρός σου σφαγεῦσι δικαιότατα ἄν τις αὐτὸ ἐγκαλέσειεν·
εἰ γὰρ ἐκεῖνοι μήτ᾽ ἀδίκως μήτ᾽ οἰκτρῶς οὕτως αὐτὸν ἀπεκτόνεσαν,
οὔτ᾽ ἂν τὰ ὅπλα ἀντῆρω, οὔτ᾽ ἂν τὰ στρατεύματα συνελέξω, οὔτ᾽
ἂν Ἀντωνίῳ καὶ Λεπίδῳ συνέθου, οὔτ᾽ ἂν αὐτοὺς ἐκείνους ἠμύνω.
καὶ ὅτι μὲν ὀρθῶς καὶ δικαίως πάντα ταῦτα ἐποίησας, οὐδεὶς* 3
*ἀγνοεῖ· εἰ δ᾽ οὖν τι καὶ πεπλημμέληται, ἀλλ᾽ οὔτοι καὶ μεταθέσθαι
ἔτ᾽ ἀσφαλῶς δυνάμεθα. ὥστε καὶ ἡμῶν αὐτῶν ἕνεκα καὶ τῆς πό-
λεως πεισθῶμεν τῇ τύχῃ τῇ τὴν μοναρχίαν σοι διδούσῃ. καὶ χάριν* 4

17 2 1 *πράγματα ὡς ἦσάν τε**: cf. Thuc. 8 93 3 4 *προσαπώλετο*
18 2 5 *ἂν* ante *Ἀντ.* om

Digitized by Google

γε μεγάλην αὐτῇ ἔχωμεν, ὅτι μὴ μόνον τῶν κακῶν τῶν ἐμφυλίων
ἀπέλυσεν ἡμᾶς, ἀλλὰ καὶ τὴν κατάστασιν τῆς πολιτείας ἐπὶ σοὶ
πεποίηται, ἵν᾽ ἐπιμεληθεὶς αὐτῆς ὥσπερ προσήκει, δείξῃς ἅπασιν
ἀνθρώποις ὅτι ἐκεῖνα μὲν ἄλλοι καὶ ἐτάραξαν καὶ ἐκακούργησαν,
σὺ δὲ δὴ χρηστὸς εἶ.
5 καὶ μή μοι τὸ μέγεθος τῆς ἀρχῆς φοβηθῇς. ὅσῳ τε γὰρ
πλείων ὑπάρχει, τόσῳ πλείω καὶ τὰ σώζοντα ἔχει, καὶ μακρῷ τὸ
φυλάξαι τι τοῦ κτήσασθαι ῥᾷον ἐστίν· πρὸς μὲν γὰρ τὸ τἀλλότρια
προσποιήσασθαι καὶ πόνων καὶ κινδύνων δεῖ, πρὸς δὲ τὸ τὰ ὑπάρ-
6 χοντα σῶσαι βραχεῖα φροντὶς ἀρκεῖ. μὴ μέντοι μηδὲ δείσῃς ὅτι
οὐχὶ καὶ ἀσφαλέστατα ἐν αὐτῇ βιώσῃ καὶ πάντων τῶν ἐν ἀνθρώ-
ποις ἀγαθῶν ἀπολαύσεις, ἄν γε ἐθελήσῃς αὐτὴν ὡς παραινέσω σοι
διοικῆσαι. καί με μὴ νομίσῃς ἀπαρτᾶν ἀπὸ τῆς παρούσης ὑπο-
7 θέσεως τὸν λόγον, ἂν ἐπὶ πλεῖόν σοι περὶ αὐτῆς διαλεχθῶ· οὐ γάρ
που καὶ ὑπ᾽ ἀδολεσχίας τινὸς ἄλλως τοῦτο ποιήσω, ἀλλ᾽ ἵν᾽ ἀκρι-
βῶς καταμάθῃς ὅτι καὶ δυνατὸν καὶ ῥᾴδιον τῷ γε ἔμφρονι τὸ καὶ
καλῶς καὶ ἀκινδύνως ἄρξαι ἐστίν.
19 φημὶ τοίνυν χρῆναί σε κατὰ πρώτας εὐθὺς τὸ βουλευτικὸν πᾶν
καὶ φυλοκρινῆσαι καὶ διαλέξαι, ἐπειδή τινες οὐκ ἐπιτήδειοι διὰ τὰς
στάσεις βεβουλεύκασιν, καὶ τοὺς μὲν ἀρετήν τινα αὐτῶν ἔχοντας
2 κατασχεῖν, τοὺς δὲ λοιποὺς ἀπαλεῖψαι. μὴ μέντοι καὶ διὰ πενίαν
τινὰ ἀγαθόν γε ἄνδρα ὄντα ἀπαλλάξῃς, ἀλλὰ καὶ χρήματα αὐτῷ
τὰ ἀναγκαῖα δός. ἀντὶ δὲ δὴ τῶν ἄλλων τούς τε γενναιοτάτους
καὶ τοὺς ἀρίστους τούς τε πλουσιωτάτους ἀντεσάγαγε, μὴ μόνον
ἐκ τῆς Ἰταλίας ἀλλὰ καὶ παρὰ τῶν συμμάχων τῶν τε ὑπηκόων
3 ἐπιλεξάμενος· οὕτω γὰρ σύ τε πολλοῖς συνεργοῖς χρήσῃ, καὶ τοὺς
κορυφαίους ἐξ ἁπάντων τῶν ἐθνῶν ἐν ἀσφαλεῖ ποιήσῃ, καὶ οὔτε
ἐκεῖνα νεοχμώσει τι μηδένα ἐλλόγιμον προστάτην ἔχοντα, καὶ οἱ
πρωτεύοντες παρ᾽ αὐτοῖς φιλήσουσί σε ἅτε καὶ κοινωνοί σοι τῆς
4 ἀρχῆς γεγονότες. τὰ δὲ αὐτὰ ταῦτα καὶ ἐπὶ τῶν ἱππέων ποίησον.
τοὺς γὰρ τὰ δευτερεῖα ἑκασταχόθι καὶ γένει καὶ ἀρετῇ καὶ πλούτῳ
φερομένους ἐς τὴν ἱππάδα κατάλεξον, τοσούτους ἑκατέρους ἀντεγ-
γράψας ὁπόσοι ποτ᾽ ἂν ἀρέσωσί σε, μηδὲν περὶ τοῦ πλήθους αὐ-
τῶν ἀκριβολογούμενος· ὅσῳ γὰρ ἂν πλείους εὐδόκιμοι ἄνδρες συ-
5 νῶσί σοι, τοσούτῳ ῥᾷον αὐτός τε ἐν δέοντι πάντα διοικήσεις, καὶ
τοὺς ἀρχομένους πείσεις ὅτι οὔτε ὡς δούλοις σφίσιν οὔθ᾽ ὡς χείροσί
πῃ ἡμῶν οὖσι χρῇ, ἀλλὰ τά τε ἄλλα ἀγαθὰ πάντα τὰ ὑπάρχοντα
ἡμῖν καὶ τὴν ἡγεμονίαν αὐτοῖς κοινοῖ, ὅπως ὡς οἰκείαν αὐτὴν σπου-

4 3 ἀνέπλησεν*     5 2 πλεῖον     6 4 καὶ μή με?*

Digitized by Google

δάζωσιν. καὶ τοσοῦτόν γε δέω τοῦθ᾽ ὡς οὐκ ὀρθῶς εἰρημένον ἀνα- 6
θέσθαι, ὥστε καὶ τῆς πολιτείας πᾶσί σφισι μεταδοθῆναί φημι
δεῖν, ἵνα καὶ ταύτης ἰσομοιροῦντες πιστοὶ σύμμαχοι ἡμῖν ὦσιν,
ὥσπερ τινὰ μίαν τὴν ἡμετέραν πόλιν οἰκοῦντες, καὶ ταύτην μὲν
ὄντως πόλιν τὰ δὲ δὴ σφέτερα ἀγροὺς καὶ κώμας νομίζοντες εἶναι.

ἀλλὰ περὶ μὲν τούτου αὖθις ἀκριβέστερον σκεψόμεθα ἃ χρὴ
πρᾶξαι, ἵνα μὴ καὶ πάντα ἀθρόα αὐτοῖς χαρισώμεθα· καταλέγεσθαι 20
δὲ χρὴ ἐς μὲν τὴν ἱππάδα ὀκτωκαιδεκέτεις, ἐν γὰρ ταύτῃ τῇ ἡλικίᾳ
μάλιστα ἥ τε τῶν σωμάτων αὐτῶν εὐεξία καὶ ἡ τῶν ψυχῶν ἐπι-
τηδειότης διαφαίνεται, ἐς δὲ τὸ συνέδριον πεντεκαιεικοσιέτεις· πῶς
γὰρ οὐκ αἰσχρὸν καὶ σφαλερόν ἐστι τὰ μὲν οἰκεῖα μηδενὶ πρὸ ταύ-
της τῆς ἡλικίας ἐπιτρέπεσθαι, τὰ δὲ δημόσια καὶ νεωτέροις τισὶν
ἐγχειρίζεσθαι; ταμιεύσαντές τε καὶ ἀγορανομήσαντες ἢ δημαρχή- 2
σαντες στρατηγείτωσαν, τριακοντοῦται γενόμενοι. ταύτας τε γὰρ
τὰς ἀρχὰς καὶ τὰς τῶν ὑπάτων μόνας οἴκοι, τῆς τε τῶν πατρίων
μνήμης ἕνεκα καὶ τοῦ μὴ παντελῶς τὴν πολιτείαν μεταλλάττειν
δοκεῖν, ἀποδεικνύναι σέ φημι χρῆναι. αὐτὸς μέντοι σὺ πάντας 3
αὐτοὺς αἱροῦ, καὶ μήτε ἐπὶ τῷ πλήθει ἢ καὶ τῷ δήμῳ ἔτι τινὰ
αὐτῶν ποιήσῃ, στασιάσουσι γάρ, μήτε ἐπὶ τῷ συνεδρίῳ, διασπου-
δάσονται γάρ. μὴ μέντοι καὶ τὰς δυνάμεις σφῶν τὰς ἀρχαίας
τηρήσῃς, ἵνα μὴ τὰ αὐτὰ αὖθις γένηται, ἀλλὰ τὴν μὲν τιμὴν φύ-
λαξον, τῆς δ᾽ ἰσχύος παράλυσον τοσοῦτον ὅσον μήτε τοῦ ἀξιώματός
τι αὐτῶν ἀφαιρήσει καὶ τοῖς νεωτερίσαι τι ἐθελήσουσι μὴ ἐπιτρέψει.
ἔσται δὲ τοῦτο, ἂν τά τε ἄλλα καὶ ἐνδήμους αὐτοὺς ἀποφήνῃς, 4
καὶ μήτε ἐν τῷ τῆς ἀρχῆς καιρῷ ὅπλα τινὶ αὐτῶν ἐγχειρίσῃς μήτε
εὐθύς, ἀλλὰ χρόνου διελθόντος, ὅσον ἂν αὐτάρκη ἑκάστῳ σφῶν
νομίσῃς εἶναι. οὕτω γὰρ οὔτε τινὲς νεοχμώσουσι, στρατοπέδων
κύριοι ἐν τῷ τῶν ὀνομάτων φρονήματι γενόμενοι, καὶ χρόνον τινὰ
ἰδιωτεύσαντες πεπανθήσονται. καὶ οὗτοι μὲν τάς τε πανηγύρεις, 5
οἵ γε καὶ προσήκοντές σφισιν, ἐπιτελείτωσαν, καὶ τὰς δίκας πάντες
ὡς ἕκαστοι, πλὴν τῶν φονικῶν, ἐν τῷ τῆς ἐνδήμου ἀρχῆς χρόνῳ
δικαζέτωσαν· συναγέσθω μὲν γὰρ δικαστήρια καὶ ἐκ τῶν ἄλλων
βουλευτῶν τῶν τε ἱππέων, τὸ δ᾽ ὅλον ἐς ἐκείνους ἀνακείσθω. πο- 21
λίαρχος δὲ δή τις ἔκ τε τῶν προηκόντων καὶ ἐκ τῶν πάντα τὰ
καθήκοντα προπεπολιτευμένων ἀποδεικνύσθω, οὐχ ἵν᾽ ἀποδημησάν-
των πού τῶν ὑπάτων ἄρχῃ, ἀλλ᾽ ἵνα τά τε ἄλλα ἀεὶ τῆς πόλεως
προστατῇ, καὶ τὰς δίκας τάς τε παρὰ πάντων ὧν εἶπον ἀρχόντων
ἐφεσίμους τε καὶ ἀναπομπίμους καὶ τὰς τοῦ θανάτου τοῖς τε ἐν

20 3 3 ποιήσῃς    7 ἀφαιρήσῃ*    ἐπιτρέψῃ*

Digitized by Google

τῇ πόλει, πλὴν ὧν ἂν εἴπω, καὶ τοῖς ἔξω αὐτῆς μέχρι πεντήκοντα
3 καὶ ἑπτακοσίων σταδίων οἰκοῦσι κρίνῃ. ἕτερός τέ τις ἐκ τῶν ὁμοίων
καὶ αὐτὸς αἱρείσθω ὥστε τά τε γένη καὶ τὰς οὐσίας τούς τε τρό-
πους καὶ τῶν βουλευτῶν καὶ τῶν ἱππέων, ἀνδρῶν τε ὁμοίως καὶ
παίδων γυναικῶν τε καὶ τῶν προσηκόντων αὐτοῖς, ἐξετάζειν τε καὶ
4 ἐπισκοπεῖν, καὶ τὰ μὲν αὐτὸς ἐπανορθοῦν ὅσα μήτε τινὸς τιμωρίας
ἄξιά ἐστι καὶ παρορώμενα πολλῶν καὶ μεγάλων κακῶν αἴτια γί-
γνεται, τὰ δὲ δὴ μείζω σοὶ ἐπικοινοῦσθαι. βουλευτῇ γάρ τινι, καὶ
τῷ γε ἀρίστῳ μετὰ τὸν πολίαρχον, μᾶλλον ἤ τινι τῶν ἱππέων προσ-
5 τετάχθαι τοῦτο δεῖ. καὶ τό γε ὄνομα ἀπὸ τῆς σῆς τιμαρχίας
(πάντως γάρ σε προεστάναι τῶν τιμήσεων προσήκει) εἰκότως ἂν
λάβοι, ὥστε ὑποτιμητὴς καλεῖσθαι. ἀρχέτωσαν δὲ δὴ οἱ δύο οὗτοι
διὰ βίου, ἄν γε δὴ μὴ κακυνθῇ τις αὐτῶν τρόπον τινὰ ἢ καὶ νο-
6 σώδης ἢ καὶ ὑπεργήρως γένηται. ἐκ μὲν γὰρ τῆς χρονίου ἀρχῆς
οὐδὲν ἂν δεινόν, ἅτε ὁ μὲν παντελῶς ἄοπλος ὤν, ὁ δ' ὀλίγους τε
στρατιώτας ἔχων καὶ ἐν τοῖς σοῖς ὀφθαλμοῖς τὸ πλεῖστον ἄρχων,
7 ἐργάσαιντο· ἐκ δὲ δὴ τοῦ ἑτέρου καὶ ὀκνήσαιεν ἂν προσκροῦσαί
τινι καὶ φοβηθεῖεν ἐρρωμένως τι πρᾶξαι, τήν τε ἑαυτῶν ἰδιωτείαν
καὶ τὴν ἄλλων τινῶν δυναστείαν προορώμενοι. καὶ μισθόν γέ τινα
φερέτωσαν καὶ τῆς ἀσχολίας ἕνεκα καὶ τῆς ἀξιώσεως.
8 περὶ μὲν δὴ τούτων ταύτην σοι τὴν γνώμην δίδωμι, οἱ δὲ δὴ
στρατηγήσαντες ἀρχέτωσάν τινα ἀρχὴν ἐν τοῖς ὑπηκόοις· πρὶν γὰρ
στρατηγῆσαί σφας οὐχ ἡγοῦμαι δεῖν τοῦτο γίγνεσθαι.' ἐκεῖνοι δ'
ὑποστρατηγείτωσαν οἷς ἂν εἴπω, καὶ ἅπαξ καὶ δεύτερον· εἶθ' οὕ-
τως ὑπατευέτωσαν, ἄν γε καὶ ὀρθῶς διάρξωσι, καὶ μετὰ ταῦτα
22 τὰς μείζους ἡγεμονίας λαμβανέτωσαν. ὧδε γὰρ συμβουλεύω σοι
διατάξαι. τήν τε Ἰταλίαν πᾶσαν τὴν ὑπὲρ πεντήκοντα καὶ ἑπτα-
κοσίους ἀπὸ τῆς πόλεως σταδίους οὖσαν, καὶ τἆλλα πάντα τά τε
ἐν ταῖς νήσοις καὶ τὰ ἐν ταῖς ἠπείροις ὁμολογοῦντα ἡμῖν, κατάνει-
μον ἑκασταχόθι κατά τε γένη καὶ ἔθνη, τάς τε πόλεις ἁπάσας,
ὅσας γε καὶ αὐταρκές ἐστιν ὑφ' ἑνὸς ἀνδρὸς αὐτοτελοῦς ἄρχεσθαι·
2 κἀνταῦθα στρατιώτας ἐγκατάστησον, καὶ ἄρχοντας καθ' ἑκάστους
ἕνα μὲν ἐκ τῶν ὑπατευκότων ἐπὶ πᾶσι πέμπε, δύο δὲ ἐκ τῶν ἐστρα-
τηγηκότων, τὸν μὲν ἄρτι ἐκ τῆς πόλεως ἐξιόντα, καὶ αὐτῷ τά τε
ἰδιωτικὰ πράγματα καὶ ἡ τῶν ἐπιτηδείων παρασκευὴ προσκείσθω,
τὸν δὲ ἐκ τῶν τοῦτο πεποιηκότων, ὃς τά τε κοινὰ τῶν πόλεων
διοικήσει καὶ τῶν στρατιωτῶν ἄρξει, πλὴν ὅσα ἀτιμίας ἢ θανάτου
3 ἔχεται. ταῦτα γὰρ ἐς μόνον τὸν ὑπατευκότα ἄρχοντα ἀνηκέτω,

21 4 1 αὐτὸν* 7 1 ἑτέρου] προσκαίρου?* 3 ἄλλην
22 1 5 τε post τάς om

Digitized by Google

πλὴν περί τε τῶν ἑκατοντάρχων τῶν ἐν τοῖς καταλόγοις ὄντων καὶ
περὶ τῶν ἰδιωτῶν τῶν παρ' ἑκάστοις πρώτων· τούτους γὰρ δὴ
ἑκατέρους μηδενὶ ἄλλῳ κολάζειν ἐπιτρέψῃς, ἵνα μὴ οὕτω τινὰ αὐ-
τῶν φοβῶνται ὥστε ποτὲ καὶ κατὰ σοῦ τι πρᾶξαι. ὃ δ' εἶπον, 4
ὅτι τὸν ἕτερον τῶν ἐστρατηγηκότων ἐπὶ τοῖς στρατιώταις ἐπιτετά-
χθαι δεῖ, τοιοῦτον ἐστίν. ἂν μὲν ὀλίγοι τινὲς ἐν ξενικοῖς τείχεσιν
ἢ καὶ ἐν ἑνὶ πολιτικῷ στρατεύωνται, καλῶς ἔχει τοῦτο γίγνεσθαι·
ἂν δὲ δύο πολιτικὰ στρατεύματα ἐν ταὐτῷ ἔθνει χειμάζῃ (πλείω
γὰρ τούτων οὐκ ἂν συμβουλεύσαιμί σοι τῷ αὐτῷ ἄρχοντι ἐπιτρέ-
ψαι), δεήσει που τοὺς δύο τοὺς ἐστρατηγηκότας καὶ ἐκείνων, ἰδίᾳ 5
ἑκατέρου, καὶ τῶν ἄλλων τῶν τε πολιτικῶν καὶ τῶν ἰδιωτικῶν
ὁμοίως προΐστασθαι. ὁ δ' οὖν ὑπατευκὼς ταῦτά τε ... καὶ προ-
σέτι καὶ τὰς δίκας τάς τε ἐκκλήτους καὶ τὰς ἀναπομπίμους τὰς
ἀπὸ τῶν στρατηγῶν αὐτῷ φοιτώσας κρινέτω. καὶ μὴ θαυμάσῃς 6
εἰ καὶ τὴν Ἰταλίαν τοιαῦτα μέρη νεῖμαί σοι παραινῶ· πολλή τε
γὰρ καὶ πολυάνθρωπος οὖσα ἀδύνατός ἐστιν ὑπὸ τῶν ἐν τῷ ἄστει
ἀρχόντων καλῶς διοικεῖσθαι. δεῖ γὰρ τοῖς τε δήμοις τὸν ἄρχοντα
ἀεὶ παρεῖναι καὶ τοῖς ἄρχουσι τὰ δυνατὰ προστάσσεσθαι.

λαμβανέτωσαν δὲ μισθὸν πάντες οὗτοι οἱ τὰς ἔξω τῆς πόλεως 23
ἀρχὰς ἐπιτρεπόμενοι, πλείω μὲν οἱ μείζους, ἐλάττω δὲ οἱ κατα-
δεέστεροι, μέσον δὲ οἱ μέσοι· οὔτε γὰρ ἀπὸ τῶν οἰκείων οἷόν τ'
ἐστὶν αὐτοὺς ἐν τῇ ἀλλοτρίᾳ ἀποζῆν, οὔτ' ἀορίστῳ καὶ ἀσταθμήτῳ
ἀναλώματι ὥσπερ νῦν χρῆσθαι. καὶ ἀρχέτωσαν μήτε ἔλαττον ἐτῶν 2
τριῶν, εἰ μή τις ἀδικήσειέ τι, μήτε πλεῖον πέντε, τὸ μὲν ὅτι αἱ
ἐνιαύσιοι καὶ ὀλιγοχρόνιοι ἀρχαὶ διδάξασαί τινας τὰ ἀναγκαῖα ἀπο-
πέμπουσι πρίν τι αὐτῶν ἀποδειχθῆναι, τὸ δὲ ὅτι αἱ μακρότεραι
καὶ πολυχρονιώτεραι ἐπαίρουσί πως πολλοὺς καὶ ἐς νεωτεροποιίαν
ἐξάγουσιν. διόπερ οὐδ' ἐπαλλήλας τὰς μείζους ἡγεμονίας οἶμαί τισι 3
προσήκειν δίδοσθαι. οὔτε γὰρ διαφέρει τι ἄντε ἐν τῷ αὐτῷ ἔθνει
ἄντε καὶ ἐν πλείοσιν ἐφεξῆς ἐπὶ μακρότερον τοῦ δέοντος ἄρχωσιν·
καὶ ἀμείνονες γίγνονται, ἐπειδὰν διαλίπωσί τέ τινα χρόνον καὶ
οἴκαδε ἐπανέλθωσι καὶ ἰδιωτεύσωσιν.

τοὺς μὲν δὴ βουλευτὰς ταῦτά τε καὶ οὕτω διέπειν φημὶ χρῆναι,
τῶν δὲ δὴ ἱππέων δύο τοὺς ἀρίστους τῆς περὶ σὲ φρουρᾶς ἄρχειν· 24
τό τε γὰρ ἑνὶ ἀνδρὶ αὐτὴν ἐπιτρέπεσθαι σφαλερὸν καὶ τὸ πλείοσι
ταραχῶδες ἐστίν. δύο τε οὖν ἔστωσαν οἱ ἔπαρχοι οὗτοι, ἵν' ἂν καὶ 2
ὁ ἕτερος αὐτῶν ἐπαίσθηταί τι τῷ σώματι, μήτοι γε καὶ ἐνδεὴς τοῦ
φυλάξοντός σε εἴης· καὶ καθιστάσθωσαν ἐκ τῶν πολλάκις τε ἐστρα-

5 3 ...] ἐπισκοπείτω? an ἐφοράτω* 6 1 ὑπὸ αὐτοῦ
23 3 2 προσῆκον* 4 διαλείπωσί* 24,2,2 ἐπαίσθηται ci. Marquardt: Becker ant. R. II,3 p. 287 n. 1263.

Digitized by Google

3 τευμένων καὶ πολλὰ καὶ ἄλλα διῳκηκότων. ἀρχέτωσαν δὲ δὴ τῶν
τε δορυφόρων καὶ τῶν λοιπῶν στρατιωτῶν τῶν ἐν τῇ Ἰταλίᾳ πάν-
των, ὥστε καὶ θανατοῦν τοὺς ἀδικοῦντας αὐτῶν πλὴν τῶν τε ἑκα-
τοντάρχων καὶ τῶν ἄλλων τῶν τοῖς ἐκ τοῦ βουλευτικοῦ ἄρχουσι
4 προστεταγμένων. τούτους μὲν γὰρ αὐτοὶ ἐκεῖνοι δικαιούτωσαν, ἵν'
ἀπροφασίστως σφίσι χρῆσθαι, ἅτε καὶ κολάσαι καὶ τιμῆσαί σφας
τὴν ἐξουσίαν ἔχοντες, δύνωνται· τῶν δ' ἄλλων τῶν ἐν τῇ Ἰταλίᾳ
στρατιωτῶν οἱ ἔπαρχοι ἐκεῖνοι προστατείτωσαν, ὑπάρχους ἔχοντες,
καὶ προσέτι καὶ τῶν καισαρείων τῶν τε ἐν τῇ θεραπείᾳ σου ὄντων
5 καὶ τῶν ἄλλων τῶν λόγου τινὸς ἀξίων. ταῦτα γὰρ καὶ προσήκοντα
καὶ αὐτάρκη αὐτοῖς διάγεσθαι, ἵνα μὴ καὶ πλείω πράγματα ὧν
καλῶς φέρειν δυνήσονται ἐπιταχθέντες ἄσχολοι πρὸς τὰ ἀναγκαῖα
6 ἢ καὶ ἀδύνατοι πάντων αὐτῶν προΐστασθαι γένωνται. καὶ οὗτοι
μὲν διὰ βίου, ὥσπερ που καὶ ὁ πολίαρχος ὅ θ' ὑποτιμητής, τὴν
ἀρχὴν ἐχέτωσαν· νυκτοφύλαξ δὲ ἕτερος, καὶ ἐπὶ τοῦ σίτου τῆς τε
ἀγορᾶς τῆς λοιπῆς ἕτερος ἔκ τε τῶν ἱππέων τῶν πρώτων μετ' ἐκεί-
νους καὶ ἐς τακτὸν χρόνον ἀποδεικνύσθωσαν, καθάπερ οἱ ἐκ τοῦ
25 βουλευτικοῦ προχειριζόμενοι. τάς τε διοικήσεις τῶν χρημάτων, τῶν
τε τοῦ δήμου καὶ τῶν τῆς ἀρχῆς λέγω, καὶ τὰς ἐν τῇ Ῥώμῃ τῇ
2 τε ἄλλῃ Ἰταλίᾳ καὶ τὰς ἔξω πάσας οἱ ἱππεῖς διαχειριζέτωσαν. καὶ
μισθὸν οὗτοί τε καὶ οἱ ἄλλοι πάντες οἱ ἐκ τοῦ αὐτοῦ τέλους διοι-
κοῦντές τι, οἱ μὲν πλείονα οἱ δ' ἐλάττονα, πρός τε τὸ ἀξίωμα καὶ
3 πρὸς τὸ μέγεθος τῆς πράξεως φερέτωσαν, τοῦτο μὲν ὅτι οὐχ οἷόν
τ' ἐστὶν αὐτούς, ἅτε καὶ πενεστέρους τῶν βουλευτῶν ὄντας, ἀπὸ
τῶν οἰκείων, οὐδ' ἐν τῇ Ῥώμῃ τι πράττοντας, ἀναλίσκειν, ἐκεῖνο
δὲ ὅτι μήτε δυνατὸν μήτε συμφέρον ἐστί σοι τοὺς αὐτοὺς τῶν τε
4 δυνάμεων καὶ τῶν χρημάτων κυρίους γίγνεσθαι. πρὸς δ' ἔτι καὶ
καλῶς ἔχει διὰ πλειόνων πάντα τὰ τῇ ἀρχῇ προσήκοντα διάγεσθαι,
ὅπως καὶ ὠφελῶνται ἅμα συχνοὶ καὶ ἔμπειροι τῶν πραγμάτων
γίγνωνται· οὕτω γὰρ οἵ τε ἀρχόμενοι μᾶλλον εὐνοήσουσί σοι, πο-
λυειδῆ ἀπόλαυσιν τῶν κοινῶν ἀγαθῶν καρπούμενοι, καὶ σὺ ἀφθο-
5 νώτατα τοῖς ἀεὶ ἀρίστοις πρὸς πάντα τὰ ἀναγκαῖα χρήσῃ. ἀπόχρη
δὲ ἐν μὲν τῇ πόλει καθ' ἕκαστον χρηματίσεως εἶδος, ἔξω δὲ καθ'
ἕκαστον ἔθνος, εἷς τις ἐκ τῶν ἱππέων, ὑπομείονας ὅσους ἂν ἡ χρεία
ἀπαιτῇ ἔκ τε τῶν ἱππέων καὶ ἐκ τῶν ἐξελευθέρων σου ἔχων· δεῖ
γὰρ καὶ τοιούτους τινὰς συζευγνύναι σφίσιν, ἵνα ἥ τε θεραπεία
σου ἆθλόν τι ἀρετῆς ἔχῃ, καὶ σὺ μὴ ἀπορῇς παρ' ὧν καὶ ἀκόντων
6 τὴν ἀλήθειαν, ἄν γέ τι πλημμεληθῇ, μαθεῖν δυνήσῃ. ὅστις δ' ἂν

24·5 3 διαγίγνεσθαι

Digitized by Google

τῶν ἱππέων διὰ πολλῶν διεξελθὼν ἐλλόγιμος ὥστε καὶ βουλεῦσαι
γένηται, μηδὲν αὐτὸν ἡ ἡλικία ἐμποδιζέτω πρὸς τὸ μὴ οὐ καὶ ἐς
τὸ συνέδριον καταλεχθῆναι, ἀλλ' ἐσγραφέσθωσαν καὶ ἐξ ἐκείνων,
κἂν λελοχαγηκότες τινὲς ἐν τοῖς πολιτικοῖς στρατοπέδοις ὦσι, πλὴν
τῶν ἐν τῷ τεταγμένῳ ἐστρατευμένων. τούτων μὲν γὰρ τῶν καὶ 7
φορμοφορησάντων καὶ λαρκοφορησάντων καὶ αἰσχρὸν καὶ ἐπονεί-
διστόν ἐστιν ἐν τῷ βουλευτικῷ τινὰς ἐξετάζεσθαι· ἐκ δὲ δὴ τῶν
ἀπ' ἀρχῆς ἑκατονταρχησάντων οὐδὲν κωλύει τοὺς ἐλλογιμωτάτους
αὐτοῦ μεταλαμβάνειν.

περὶ μὲν οὖν τῶν βουλευτῶν τῶν τε ἱππέων ταῦτά σοι συμ- 26
βουλεύειν ἔχω, καὶ νὴ Δία καὶ ἐκεῖνα, ἵνα ἕως τε ἔτι παῖδές εἰσιν,
ἐς τὰ διδασκαλεῖα συμφοιτῶσι, καὶ ἐπειδὰν ἐς μειράκια ἐκβάλωσιν,
ἐπί τε τοὺς ἵππους καὶ ἐπὶ τὰ ὅπλα τρέπωνται, διδασκάλους ἑκα-
τέρων δημοσιεύοντας ἐμμίσθους ἔχοντες. οὕτω γὰρ εὐθὺς ἐκ παί- 2
δων πάνθ' ὅσα χρὴ ἄνδρας αὐτοὺς γενομένους ἐπιτελεῖν καὶ μαθόν-
τες καὶ μελετήσαντες ἐπιτηδειότεροί σοι πρὸς πᾶν ἔργον γενήσονται.
τὸν γὰρ ἄρχοντα τὸν ἄριστον, οὗ τέ τι ὄφελός ἐστί, δεῖ μὴ μόνον
αὐτὸν πάνθ' ἃ προσήκει ποιεῖν, ἀλλὰ καὶ τῶν ἄλλων, ὅπως ὅτι
βέλτιστοι γίγνωνται, προνοεῖν. τοῦτο δ' ὑπάρξειεν ἄν σοι οὐκ ἂν 3
ἐάσας αὐτοὺς ὅσα βούλονται πράττειν, ἔπειτ' ἐπιτιμᾷς τοῖς ἁμαρ-
τάνουσιν, ἀλλ' ἂν πρίν τι πλημμελεῖσθαι, προδιδάσκῃς πάνθ' ὅσα
ἀσκήσαντες χρησιμώτεροι καὶ ἑαυτοῖς καὶ σοὶ γενήσονται, καὶ μη-
δενί γε τὸ παράπαν πρόφασιν παρέχῃς, μήτε διὰ πλοῦτον μήτε δι' 4
εὐγένειαν μήτε δι' ἄλλο τι ἀρετῆς ἐχόμενον, ῥαθυμίαν ἢ μαλακίαν
ἢ καὶ ἐπιτήδευσίν τινα κίβδηλον προσποιεῖσθαι. πολλοὶ γὰρ φο-
βούμενοι μὴ καὶ διὰ τοιοῦτό τι καὶ φθονηθῶσι καὶ κινδυνεύσωσι,
πολλὰ καὶ ἀνάξια ἑαυτῶν ποιοῦσιν ὡς καὶ ἀσφαλέστερον ἀπ' αὐτῶν
βιωσόμενοι· κἀκ τούτου ἐκεῖνοι μὲν ἐλεοῦνται ὡς καὶ αὐτὸ τοῦτο 5
ἀδικούμενοι, τὸ μὴ δοκεῖν ἐξεῖναί σφισιν ὀρθῶς ζῆν, τῷ δ' ἄρχοντι
αὐτῶν καὶ ζημία ἅμα ἀγαθῶν ἀνδρῶν στερομένῳ καὶ κακοδοξία
τῆς αἰτιάσεως συμβαίνει. μήτ' οὖν περιίδῃς ποτὲ τοῦτο πραχθέν,
μήτ' αὖ δείσῃς ὅτι τραφείς τέ τις καὶ παιδευθεὶς ὡς ἐγὼ λέγω
νεώτερόν τι τολμήσει. πᾶν γὰρ τοὐναντίον τούς τε ἀμαθεῖς καὶ 6
τοὺς ἀσελγεῖς ὑποτοπεῖν δεῖ· οἱ μὲν γὰρ τοιοῦτοι πάντα ἁπλῶς
καὶ τὰ αἴσχιστα καὶ τὰ δεινότατα, πρῶτον μὲν ἐς σφᾶς αὐτοὺς
ἔπειτα δὲ καὶ ἐς τοὺς ἄλλους, ῥᾳδίως ποιεῖν προάγονται, οἱ δὲ δὴ
καλῶς τραφέντες τε καὶ παιδευθέντες οὔτ' ἄλλον τινὰ ἀδικεῖν προ-
αιροῦνται, καὶ πάντων ἥκιστα τὸν τῆς τε τροφῆς καὶ τῆς παιδείας

26 2 5 ὅπως ὡς ὅτι* 3 2 ἐάσῃς



Digitized by Google

7 αὐτῶν ἐπιμεληθέντα. ἂν δ' οὖν τις καὶ κακὸς καὶ ἀχάριστος γέ-
νηται, μηδὲν αὐτῷ τοιοῦτον ἐπιτρέψῃς ἐξ οὗ δεινόν τι δρᾶσαι
δυνήσεται· κἂν γε καὶ ὣς νεοχμώσῃ τι, καὶ ἐλεγχθήτω καὶ κολα-
σθήτω. μὴ γὰρ δὴ φοβηθῇς ὅτι σε αἰτιάσεταί τις ἐπὶ τούτῳ, ἂν
8 γε πάνθ' ὅσα εἴρηκα πράττῃς. σὺ μὲν γὰρ οὐδὲν ἁμαρτήσῃ τὸν
ἀδικήσαντα τιμωρησάμενος, ὥσπερ οὐδὲ ὁ ἰατρὸς καύσας τινὰ καὶ
τεμών· ἐκεῖνον δὲ δὴ πάντες δικαιώσουσιν, ὅτι καὶ τροφῆς καὶ
παιδείας τῆς αὐτῆς τοῖς ἄλλοις μετασχὼν ἐπεβούλευσέ σοι.

περὶ μὲν οὖν τοὺς βουλευτὰς τούς τε ἱππέας ταῦτα γιγνέσθω·
27 τοὺς δὲ δὴ στρατιώτας ἀθανάτους, ἔκ τε τῶν πολιτῶν κἀκ τῶν
ὑπηκόων τῶν τε συμμάχων, τῇ μὲν πλείους τῇ δ' ἐλάττους, καθ'
ἕκαστον ἔθνος, ὅπως ἂν ἡ χρεία τῶν πραγμάτων ἀπαιτῇ, τρέφεσθαι
2 προσήκει, καὶ αὐτοὺς ἀεί τε ἐν τοῖς ὅπλοις εἶναι καὶ τὴν ἄσκησιν
τῶν πολεμικῶν διὰ παντὸς ποιεῖσθαι δεῖ, χειμάδιά τε ἐν τοῖς ἐπι-
καιροτάτοις χωρίοις κατεσκευασμένους καὶ χρόνον τακτὸν στρατευο-
μένους, ὥστε τι αὐτοῖς καὶ πρὸ τοῦ γήρως τῆς ἡλικίας περιεῖναι.
3 οὔτε γὰρ ἐπὶ τῶν καιρῶν βοηθείαις τισὶν ἔτι χρῆσθαι δυνάμεθα,
αὐτοί τε τοσοῦτον ἀπὸ τῶν τῆς ἀρχῆς ἐσχατιῶν ἀπηρτημένοι καὶ
πολεμίους ἑκασταχόθι προσοικοῦντας ἔχοντες· ἄντε ἐπιτρέψωμεν
πᾶσι τοῖς ἐν τῇ ἡλικίᾳ οὖσι καὶ τὰ ὅπλα κεκτῆσθαι καὶ τὰ ἐμπο-
λέμια ἀσκεῖν, στάσεις καὶ πόλεμοι ἀπ' αὐτῶν ἐμφύλιοι ἀεὶ γενήσονται.
4 καὶ μέντοι κἂν κωλύσαντές σφας ταῦτα ποιεῖν ἔπειτα συμμαχίας
τινὸς παρ' αὐτῶν δεηθῶμεν, κινδυνεύσομεν ἀπείροις τε καὶ ἀγυ-
μνάστοις στρατιώταις ἀεὶ χρώμενοι. διὰ μὲν δὴ ταῦτα γνώμην
ποιοῦμαι τοὺς μὲν ἄλλους πάντας ἄνευ τε ὅπλων καὶ ἄνευ τειχῶν
ζῆν, τοὺς δὲ ἐρρωμενεστάτους καὶ βίου μάλιστα δεομένους κατα-
5 λέγεσθαί τε καὶ ἀσκεῖν. αὐτοί τε γὰρ ἄμεινον πολεμήσουσι τούτῳ
μόνῳ τῷ ἔργῳ σχολάζοντες, καὶ οἱ λοιποὶ ῥᾷον γεωργήσουσι καὶ
ναυτιλοῦνται τά τε ἄλλα τὰ τῇ εἰρήνῃ προσήκοντα πράξουσι μήτε
ἐκβοηθεῖν ἀναγκαζόμενοι καὶ προφύλακάς σφων ἑτέρους ἔχοντες,
τό τε ἀκμαιότατον καὶ ἰσχυρότατον καὶ ἐκ λῃστείας μάλιστα ζῆν
ἀναγκαζόμενον ἀλύπως τραφήσεται, καὶ τὸ λοιπὸν πᾶν ἀκινδύνως
βιώσεται.

28 πόθεν οὖν χρήματα καὶ ἐς τούτους καὶ ἐς τὰ ἄλλα τὰ ἀναγ-
καίως ἀναλωθησόμενα ἔσται; ἐγὼ καὶ τοῦτο διδάξω, σμικρὸν ἐκεῖνο
ὑπειπών, ὅτι κἂν δημοκρατηθῶμεν, πάντως που χρημάτων δεηθη-
σόμεθα· οὐ γὰρ οἷόν τε οὔτ' ἄνευ στρατιωτῶν ἡμᾶς σώζεσθαι οὔτ'
2 ἀμισθί τινας στρατεύεσθαι. μὴ οὖν ὡς καὶ τῇ μοναρχίᾳ μόνῃ τῆς
'ναγκαίας τῶν χρημάτων ἀθροίσεως προσηκούσης βαρυνώμεθα,
ηδὲ δι' αὐτὴν καὶ ἀπ' ἐκείνης ἀποτρεπώμεθα, ἀλλ' ὡς καὶ πάντως

Digitized by Google

ἀναγκαῖον ὂν ἡμῖν, ὅπως ποτ' ἂν πολιτευώμεθα, καὶ ἀργυρίζεσθαί τινα, οὕτω βουλευώμεθα. φημὶ τοίνυν χρῆναί σε πρῶτον μὲν ἁπάν- 3
των τὰ κτήματα τὰ ἐν τῷ δημοσίῳ ὄντα (πολλὰ δὲ ταῦτα ὁρῶ διὰ τοὺς πολέμους γεγονότα) πωλῆσαι, πλὴν ὀλίγων τῶν καὶ πάνυ χρησίμων σοι καὶ ἀναγκαίων, καὶ τὸ ἀργύριον τοῦτο πᾶν ἐπὶ μετρίοις
τισὶ τόκοις ἐκδανεῖσαι. οὕτω γὰρ ἥ τε γῆ ἐνεργὸς ἔσται, δεσπόταις 4
αὐτουργοῖς δοθεῖσα, καὶ ἐκεῖνοι ἀφορμὴν λαβόντες εὐπορώτεροι γενήσονται, τό τε δημόσιον διαρκῆ καὶ ἀθάνατον πρόσοδον ἕξει. εἶτα συλλογίσασθαι ταῦτά τε καὶ τἆλλα ὅσα ἔκ τε μεταλλείας καὶ
εἰ δή ποθεν ἄλλοθεν βεβαίως δύναται προσιέναι, καὶ μετὰ τοῦτο 5
ἀντιλογίσασθαι μὴ μόνον τὰ στρατιωτικὰ ἀλλὰ καὶ τἆλλα πάντα δι' ὧν πόλις καλῶς οἰκεῖται, καὶ προσέτι καὶ ὅσα ἔς τε τὰς αἰφνιδίους στρατείας καὶ ἐς τὰ λοιπὰ ὅσα εἴωθεν ἐπὶ καιροῦ συμβαίνειν,
ἀναγκαῖον ἔσται δαπανᾶσθαι· κἀκ τούτου πρὸς πᾶν τὸ λεῖπον φό- 6
ρον τε ἐπιτάξαι πᾶσιν ἁπλῶς τοῖς ἐπικαρπίαν τινὰ τῷ κεκτημένῳ αὐτὰ παρέχουσι, καὶ τέλη καταστῆσαι παρὰ πᾶσιν ὧν ἄρχομεν. καὶ γὰρ καὶ δίκαιον καὶ προσῆκόν ἐστι μηδένα αὐτῶν ἀτελῆ εἶναι, μὴ ἰδιώτην, μὴ δῆμον, ἅτε καὶ τῆς ὠφελείας τῆς ἀπ' αὐτῶν ὁμοίως
τοῖς ἄλλοις ἀπολαύσοντας. καί σφων ἐκλογέας τοὺς ἐπιτροπεύσον- 7
τας ἑκασταχόθι ποιῆσαι, ὥστε αὐτοὺς πᾶν τὸ τῷ τῆς ἐπιτροπείας αὐτῶν χρόνῳ προσῆκον ἐξ ἁπασῶν τῶν προσόδων ἐσπράττειν. τοῦτο γὰρ καὶ ἐκείνοις ῥᾴω τὴν ἔσπραξιν ποιήσει καὶ τοῖς διδοῦσί τι
ὠφέλειαν οὐκ ἐλαχίστην παρέξει· λέγω δὲ τὸ κατ' ὀλίγον σφᾶς ἐν 8
ταῖς τάξεσιν ὅσα ὀφείλουσιν ἐσφέρειν, καὶ μή, βραχὺν ῥαθυμήσαντας χρόνον, ἐπικεφαλαιωθέντα πάντα ἐσάπαξ ἀπαιτεῖσθαι.

καὶ οὐκ ἀγνοῶ μὲν ὅτι τινὲς τῶν τε φόρων καὶ τῶν τελῶν κα- 29
θισταμένων ἀχθεσθήσονται· ἀλλὰ καὶ ἐκεῖνο οἶδα ὅτι, ἂν μήτε προσεπηρεάζωνται καὶ τῷ ἔργῳ πεισθῶσιν ὅτι πάντα ταῦτα καὶ ὑπὲρ τῆς σωτηρίας σφῶν καὶ ὑπὲρ τοῦ τὰ λοιπὰ ἀδεῶς καρποῦ-
σθαι συνεσοίσουσι, καὶ προσέτι τὰ πλείω αὐτῶν οὐχ ἕτεροί τινες 2
ἀλλ' αὐτοὶ ἐκεῖνοι, οἱ μὲν ἄρχοντες οἱ δὲ ἐπιτροπεύοντες οἱ δὲ στρατευόμενοι, λήψονται, καὶ πάνυ πολλὴν χάριν εἴσονταί σοι, βραχέα ἀπὸ πολλῶν ὧν ἂν μηδὲν ἐπηρεαζόμενοι καρπῶνται διδόντες, ἄλλως τε κἂν ὁρῶσί σε σωφρόνως τε διαιτώμενον καὶ μηδὲν μάτην παρα-
ναλίσκοντα. τίς γὰρ οὐκ ἂν ἰδών σε πρὸς μὲν τὰ οἰκεῖα φειδωλό- 3
τατον πρὸς δὲ τὰ κοινὰ ἀφειδέστατον ὄντα, ἐθελοντὶ συντελέσειέ τι, καὶ ἀσφάλειαν καὶ εὐπορίαν ἑαυτοῦ τὸ σὲ πλουτεῖν εἶναι νομίζων;

χρήματα μὲν δὴ καὶ πάνυ πολλὰ ἐκ τούτων ὑπάρξειεν ἄν· τὰ 30
δὲ δὴ λοιπὰ τόνδε τὸν τρόπον διοικεῖν σοι παραινῶ. τὸ μὲν ἄστυ τοῦτο καὶ κατακόσμει πάσῃ πολυτελείᾳ καὶ ἐπιλάμπρυνε παντὶ εἴδει

πανηγύρεων· προσήκει τε γὰρ ἡμᾶς πολλῶν ἄρχοντας ἐν πᾶσι πάν-
των ὑπερέχειν, καὶ φέρει πως καὶ τὰ τοιαῦτα πρός τε τοὺς συμ-
2 μάχους αἰδῶ καὶ πρὸς τοὺς πολεμίους κατάπληξιν. τὰ δὲ δὴ τῶν
ἄλλων ὧδε δίεπε. πρῶτον μὲν οἱ δῆμοι μήτε κύριοί τινος ἔστωσαν
μήτε ἐς ἐκκλησίαν τὸ παράπαν φοιτάτωσαν· οὔτε γὰρ ἀγαθὸν
οὐδὲν φρονήσειαν ἂν καὶ συχνὰ ἂν ἀεὶ ταράξειαν. ὅθεν οὐδὲ τὸν
παρ᾽ ἡμῖν δῆμον οὔτε ἐς δικαστήριον οὔτε ἐς ἀρχαιρεσίας, οὔτε ἐς
ἄλλον τινὰ τοιοῦτον σύλλογον ἐν ᾧ τι καὶ χρηματισθῆναι δεῖ, συ-
3 νιέναι φημὶ χρῆναι. ἔπειτα δὲ μήτ᾽ οἰκοδομημάτων πλήθεσιν ἢ
καὶ μεγέθεσιν ὑπὲρ τἀναγκαῖα χρήσθωσαν, μήτ᾽ ἀγώνων πολλῶν
καὶ παντοδαπῶν ἀναλώμασι δαπανάσθωσαν, ἵνα μήτε σπουδαῖς
4 ματαίαις ἐκτρύχωνται μήτε φιλοτιμίαις ἀλόγοις πολεμῶνται. ἐχέ-
τωσαν μὲν γὰρ καὶ πανηγύρεις καὶ θεωρίας τινάς, χωρὶς τῆς ἱππο-
δρομίας τῆς παρ᾽ ἡμῖν ποιουμένης, μὴ μέντοι ὥστε καὶ τὸ δημόσιον
ἢ καὶ τοὺς ἰδίους οἴκους λυμαίνεσθαι, ξένον τέ τινα ἀναγκάζεσθαι
παρ᾽ αὐτοῖς καὶ ὁτιοῦν ἀναλίσκειν, καὶ σίτησιν ἀθάνατον πᾶσιν
5 ἁπλῶς τοῖς ἀγῶνά τινα νικήσασι δίδοσθαι. τούς τε γὰρ εὐπόρους
ἄλογόν ἐστιν ἔξω τι τῶν πατρίδων ἀναγκαστοὺς δαπανᾶν, καὶ τοῖς
ἀγωνισταῖς ἀπόχρη τὰ ἆθλα τὰ παρ᾽ ἑκάστοις τιθέμενα, χωρὶς ἢ
εἴ τις αὐτῶν Ὀλύμπια ἢ Πύθια ἤ τινα ἐνταῦθα ἀγῶνα ἀνέλοιτο·
6 τοὺς γὰρ τοιούτους μόνους σιτεῖσθαι δεῖ, ἵνα μήτε αἱ πόλεις μάτην
ἐπιτρίβωνται μήτε ἔξω τις τῶν ἀξιονίκων ἀσκῇ, δυνάμενος ἄλλο
τι χρησιμώτερον καὶ ἑαυτῷ καὶ τῷ κοινῷ μετιέναι. περὶ μὲν οὖν
7 τούτων ταῦτα γινώσκω, τὰς δ᾽ ἱπποδρομίας τὰς ἄνευ τῶν γυμνι-
κῶν ἀγώνων ἐπιτελουμένας οὐχ ἡγοῦμαι δεῖν ἄλλῃ τινὶ πόλει ποιεῖν
ἐπιτρέπειν, ὅπως μήτε χρήματα παμπληθῆ εἰκῇ παραπολλύηται
μήθ᾽ οἱ ἄνθρωποι κακῶς ἐκμαίνωνται, καὶ τὸ μέγιστον, ἵνα οἱ
8 στρατευόμενοι τοῖς ἀρίστοις ἵπποις ἀφθόνως χρῆσθαι ἔχωσιν. τοῦτο
μὲν δὴ διὰ ταῦτα ἀπαγορεύω παντάπασι μηδαμόθι ἄλλοθι πλὴν
ἐνταῦθα γίγνεσθαι, τὰ δὲ δὴ λοιπὰ ἐμετρίασα, ἵν᾽ εὐδαπάνους τὰς
ἀπολαύσεις καὶ τῶν θεωρημάτων καὶ τῶν ἀκουσμάτων ὡς ἕκαστοι
9 ποιούμενοι καὶ σωφρονέστερον καὶ ἀστασιαστότερον διάγωσιν. μήτε
δὲ νομίσματα ἢ καὶ σταθμὰ ἢ μέτρα ἰδίᾳ τις αὐτῶν ἐχέτω, ἀλλὰ
τοῖς ἡμετέροις καὶ ἐκεῖνοι πάντες χρήσθωσαν· μήτε πρεσβείαν
τινὰ πρὸς σέ, πλὴν εἰ πρᾶγμά τι διαγνώσεως ἐχόμενον εἴη, πεμπέ-
τωσαν, ἀλλὰ τῷ τε ἄρχοντί σφων δηλούτωσαν ὅσα βούλονται,
καὶ δι᾽ ἐκείνου σοι τὰς ἀξιώσεις, ὅσας ἂν δοκιμάσῃ, προσφερέτω-
10 σαν. οὕτω γὰρ οὔτ᾽ ἀναλώσουσί τι οὔτ᾽ αἰσχρῶς διαπράξονται,
ἀλλ᾽ ἀκεραίους τὰς ἀποκρίσεις ἄνευ δαπάνης ἢ καὶ πραγματείας
τινὸς λήψονται.

Digitized by Google

καὶ μέντοι καὶ τἆλλα ὧδ' ἂν μοι δοκεῖς ἄριστα διατάξαι, ἂν 31
πρῶτον μὲν τὰς πρεσβείας τάς τε παρὰ τῶν πολεμίων καὶ τὰς
παρὰ τῶν ἐνσπόνδων καὶ βασιλέων καὶ δήμων ἀφικνουμένας ἐς τὸ
συνέδριον ἐσάγῃς (τά τε γὰρ ἄλλα καὶ σεμνὸν καὶ ἀξιόλογόν ἐστι
τό τε τὴν βουλὴν πάντων κυρίαν δοκεῖν εἶναι, καὶ τὸ πολλοὺς τοὺς
ἀντιπάλους τοῖς ἀγνωμονοῦσιν αὐτῶν φαίνεσθαι), ἔπειτα δὲ ἂν 2
πάντα τὰ νομοθετούμενα δι' αὐτῶν ποιῇ, καὶ μηδὲν τὸ παράπαν
ἄλλο ἐπὶ πάντας ὁμοίως φέρῃ πλὴν τῶν ἐκείνης δογμάτων· οὕτω
γὰρ τό τε ἀξίωμα τὸ τῆς ἀρχῆς μᾶλλον ἂν βεβαιοῖτο, καὶ τὰ δι-
καιώματα τὰ ἐκ τῶν νόμων καὶ ἀναμφίλογα καὶ διάδηλα πᾶσιν
ἅμα γίγνοιτο. τρίτον, ἂν τούς τε βουλευτὰς τοὺς ἐκ τῆς γερουσίας 3
καὶ τοὺς παῖδας τάς τε γυναῖκας αὐτῶν, ἄν ποτέ τινα αἰτίαν βα-
ρυτέραν, ὥστε τὸν ἁλόντα σφῶν ἀτιμίαν ἢ φυγὴν ἢ καὶ θάνατον
ὀφείλειν, λάβωσιν, ὑπό τε τὸ βουλευτήριον ὑπάγῃς μηδὲν προκα-
ταγνούς, καὶ ἐκείνῳ πᾶσαν τὴν περὶ αὐτῶν διαψήφισιν ἀκέραιον 4
ἐπιτρέπῃς, ἵν' οἵ τε ἀδικοῦντές τι ἐν πᾶσι τοῖς ὁμοτίμοις ἐλεγχόμε-
νοι κολάζωνται χωρὶς τοῦ σοῦ φθόνου, καὶ οἱ ἄλλοι ταῦθ' ὁρῶντες
βελτίους γίγνωνται φόβῳ τοῦ μὴ καὶ αὐτοὶ ἐκδημοσιευθῆναι. καὶ 5
ταῦτα μέντοι περὶ ἐκείνων τῶν ἀδικημάτων, περὶ ὧν οἵ τε νόμοι
κεῖνται καὶ αἱ κρίσεις αἱ κατ' αὐτοὺς γίγνονται, λέγω. τὸ γὰρ ὅτι
τις ἐλοιδόρησέ σε ἢ καὶ ἕτερόν τι ἀνεπιτήδειον εἶπε, μήτε ἀκούσῃς
ποτὲ κατηγοροῦντός τινος μήτε ἐπεξέλθῃς. αἰσχρὸν μὲν γὰρ τὸ 6
πιστεύειν ὅτι τις μήτε τι ἀδικοῦντά σε καὶ εὐεργετοῦντα πάντας
προεπηλάκισεν, καὶ μόνοι τοῦτο ποιοῦσιν οἱ κακῶς ἄρχοντες· ἐκ γὰρ
τοῦ συνειδότος καὶ τὸ πιστὸν τῶν λεγομένων εἰρῆσθαι τεκμαίρον-
ται· δεινὸν δὲ καὶ τὸ χαλεπαίνειν ἐπὶ τοῖς τοιούτοις, ἃ εἰ μὲν ἀληθῆ 7
εἴη, κρεῖττόν ἐστι μὴ ποιεῖν, εἰ δὲ ψευδῆ, μὴ προσποιεῖσθαι, ὡς
πολλοί γε ἤδη διὰ τούτου πολὺ πλείω καὶ χαλεπώτερα λογοποιεῖσθαι
καθ' ἑαυτῶν ἐποίησαν. περὶ μὲν οὖν τῶν λόγῳ τι προπηλακίζειν 8
αἰτιαζομένων ταῦτ' ἐγὼ φρονῶ· κρείττω τε γάρ καὶ ὑψηλότερον
πάσης ὕβρεως εἶναί σε χρή, καὶ μηδ' ἐς ἔννοιάν ποτε μήτε αὐτὸν
ἀφικνεῖσθαι μήτε τοὺς ἄλλους προάγειν ὅτι δύναταί τις ἀσελγᾶναί
τι ἐς σέ, ἵν' ὡς περὶ τῶν θεῶν, οὕτω καὶ περὶ σοῦ φρονῶσιν ὅτι
σεπτὸς εἶ. ἂν δὲ δή τις ἐπιβουλεύειν σοι αἰτίαν λάβῃ (γένοιτο 9
γὰρ ἄν τι καὶ τοιοῦτον), αὐτὸς μὲν μηδὲν περὶ ἐκείνου τι μήτε
δικάσῃς μήτε προδιαγνῷς (ἄτοπον γὰρ τὸν αὐτὸν καὶ κατήγορον
καὶ δικαστὴν γίγνεσθαι), ἐπὶ δὲ δὴ τὴν βουλὴν αὐτὸν ἀγαγὼν ἀπο-
λογήσασθαί τε ποίησον, κἂν ἐλεγχθῇ, κόλασον μετριάσας ὡς οἷόν

31 1 1 δοκῇς* 9 2 ἐκ. τι] ἐκ. σὺ?*

Digitized by Google

10 τ᾽ ἐστὶ τὸ τιμώρημα, ἵνα καὶ πιστευθῇ τὸ ἀδίκημα. χαλεπώτατα γὰρ οἱ πολλοὶ πείθονται ὅτι τις ἄοπλος ὢν ἐπιβουλεύει τῷ ὡπλισμένῳ· καὶ μόνως ἂν οὕτως αὐτῶν τύχοις, εἰ μήτε πρὸς ὀργὴν μήτ᾽ ἀνηκέστως, ἐφ᾽ ὅσον γε καὶ ἐνδέχεται, τὴν τιμωρίαν αὐτοῦ ποιοῖο. λέγω δὲ ταῦτα χωρὶς ἢ εἴ τις στράτευμά τι ἔχων ἄντικρυς ἐπανασταίη· οὐδὲ γὰρ δικάζεσθαι τὸν τοιοῦτόν που προσῆκεν, ἀλλ᾽ ἐν πολεμίου μοίρᾳ κολάζεσθαι.

32 ταῦτά τε οὖν οὕτω, καὶ τἆλλα τὰ πλεῖστα καὶ μέγιστα τῶν τῷ δημοσίῳ προσηκόντων, τῇ γερουσίᾳ ἀνατίθει· τά τε γὰρ κοινὰ κοινῶς διοικεῖσθαι δεῖ, καὶ ἔστι που πᾶσιν ἀνθρώποις ἔμφυτον καὶ τὸ χαίρειν ἐφ᾽ οἷς ἂν παρὰ τοῦ κρείττονος ὡς καὶ ἰσότιμοι αὐτῷ ὄντες ἀξιωθῶσι, καὶ τὸ πάντα τὰ μετὰ σφῶν τινὶ γνωσθέντα καὶ
2 ἐπαινεῖν ὡς οἰκεῖα καὶ ἀγαπᾶν ὡς αὐθαίρετα. ἐς μὲν οὖν τὸ βουλευτήριον τὰ τοιαῦτα ἐσφέρεσθαί φημι χρῆναι, καὶ περὶ μὲν τῶν ἄλλων πάντας ὁμοίως τοὺς παρόντας γνώμην διδόναι, ὅταν δὲ δὴ κατηγορῆταί τις αὐτῶν, μὴ πάντας, πλὴν ἄν τις ἢ μηδέπω βου-
3 λεύῃ ἢ καὶ ἐν τοῖς τεταμιευκόσιν ἔτι ὢν κρίνηται. ἄτοπον γὰρ τὸν μηδέπω δεδημαρχηκότα ἢ ἠγορανομηκότα ψῆφον κατά τινος τῶν τοιούτων φέρειν, ἢ νὴ Δία τούτων τινὰ κατὰ τῶν ἐστρατηγηκότων, ἢ καὶ ἐκείνων κατὰ τῶν ὑπατευκότων. ἀλλ᾽ οὗτοι μὲν ἐπὶ πάντας τὴν τοῦ τι ἀποφήνασθαι ἐξουσίαν ἐχέτωσαν, οἱ δ᾽ ἄλλοι ἐπί τε τοὺς ὁμοίους καὶ ἐπὶ τοὺς ὑποδεεστέρους.

33 δίκαζε δὲ καὶ αὐτὸς ἰδίᾳ τά τε ἐφέσιμα καὶ τὰ ἀναπόμπιμα, ὅσα ἂν παρά τε τῶν μειζόνων ἀρχόντων καὶ παρὰ τῶν ἐπιτρόπων, τοῦ τε πολιάρχου καὶ τοῦ ὑποτιμητοῦ καὶ τῶν ἐπάρχων τοῦ τε τὸν σῖτον ἐπισκοποῦντος καὶ τοῦ νυκτοφυλακοῦντος, ἀφικνῆται· μήτε γὰρ αὐτόδικος μήτ᾽ αὐτοτελὴς οὕτω τις τὸ παράπαν ἔστω
2 ὥστε μὴ οὐκ ἐφέσιμον ἀπ᾽ αὐτοῦ δίκην γίγνεσθαι. ταῦτά τε οὖν κρῖνε, καὶ περὶ τῶν ἱππέων τῶν τε ἑκατοντάρχων τῶν ἐκ τοῦ καταλόγου καὶ τῶν ἰδιωτῶν τῶν πρώτων, ὅταν περὶ θανατώσεως ἢ καὶ ἀτιμίας τινὸς ἀγωνίζωνται. σοὶ γὰρ δὴ τὰ τοιαῦτα μόνῳ προσκείσθω, καὶ μηδεὶς ἄλλος περὶ αὐτῶν αὐτὸς καθ᾽ ἑαυτόν, δι᾽ ἅπερ
3 εἶπον, δικαζέτω. μετὰ γὰρ δὴ σοῦ ἀεὶ μὲν οἱ ἐντιμότατοι καὶ τῶν βουλευτῶν καὶ τῶν ἱππέων, ἤδη δὲ καὶ ἕτεροί τινες ἔκ τε τῶν ὑπατευκότων καὶ ἐκ τῶν ἐστρατηγηκότων ἄλλοι ἄλλοτε διαγινωσκέτωσαν, ἵνα σύ τε τοὺς τρόπους αὐτῶν ἀκριβέστερον ἐν τούτῳ προκαταμανθάνων ὀρθῶς σφίσιν ἔχῃς χρῆσθαι, καὶ ἐκεῖνοι προσυγγιγνόμενοι τοῖς τε ἤθεσι καὶ τοῖς βουλεύμασί σου οὕτως ἐς τὰς

10 3 μόνος

Digitized by Google

τῶν ἐθνῶν ἡγεμονίας ἐξίωσιν. τὰς μέντοι γνώμας αὐτῶν μὴ φα- 4
νερῶς, ὅσαι γε καὶ ἐπισκέψεως ἀκριβεστέρας δέονται, διαπυνθάνου,
ἵνα μὴ τοῖς προήκουσί σφων ἐφεπόμενοι κατοκνῶσι παρρησιάζεσθαι,
ἀλλ' ἐς γραμματεῖα γραφομένας, οἷς αὐτὸς μόνος ἐντυχών, ὑπὲρ
τοῦ μηδενὶ ἄλλῳ ἐκδήλους αὐτὰς γίγνεσθαι, εὐθέως αὐτὰς ἀπα-
λείφεσθαι κέλευε· οὕτω γὰρ ἂν μάλιστα τὴν ἑκάστου γνώμην δια-
κριβώσειας, εἰ ἀνέλεγκτον αὐτὴν παρὰ τοῖς ἄλλοις πιστεύσειαν
ἔσεσθαι. καὶ μέντοι καὶ πρὸς τὰς δίκας τάς τε ἐπιστολὰς καὶ τὰ 5
ψηφίσματα τῶν πόλεων τάς τε τῶν ἰδιωτῶν ἀξιώσεις, καὶ ὅσα ἄλλα
τῇ τῆς ἀρχῆς διοικήσει προσήκει, συνεργούς τέ τινας καὶ ὑπηρέτας
ἐκ τῶν ἱππέων ἔχε· ῥᾷόν τε γὰρ οὕτως ὡς ἕκαστα διαχωρήσει, καὶ
σὺ οὔτ' αὐτογνωμονῶν σφαλήσῃ οὔτ' αὐτουργῶν ἐκκαμῇ. τήν τε 6
παρρησίαν παντὶ τῷ βουλομένῳ καὶ ὁτιοῦν συμβουλεῦσαί σοι μετ'
ἀδείας νέμε· ἄντε γὰρ ἀρεσθῇς τοῖς λεχθεῖσιν ὑπ' αὐτοῦ, πολλὰ
ὠφελήσῃ, ἄντε καὶ μὴ πεισθῇς, οὐδὲν βλαβήσῃ. καὶ τοὺς μὲν 7
τυχόντας τῆς γνώμης καὶ ἐπαίνει καὶ τίμα (τοῖς γὰρ ἐκείνων ἐξευ-
ρήμασιν αὐτὸς εὐδοκιμήσεις), τοὺς δ' ἁμαρτόντας μήτ' ἀτιμάσῃς
ποτὲ μήτ' αἰτιάσῃ· τὴν γὰρ διάνοιαν αὐτῶν δεῖ σκοπεῖν, ἀλλ' οὐ
τὴν οὐκ ἐπιτυχίαν μέμφεσθαι. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν πο- 8
λεμικῶν φύλαττε, καὶ μήτε ἐπὶ δυστυχίᾳ ἀκουσίῳ χαλεπήνῃς τινὶ
μήτε ἐπ' εὐτυχίᾳ φθονήσῃς, ἵνα καὶ προθύμως καὶ ἡδέως πάντες
ὑπὲρ σοῦ κινδυνεύσωσι, πιστεύοντες ὅτι οὔτε πταίσαντές τι κολα-
σθήσονται οὔτε κατορθώσαντες ἐπιβουλευθήσονται. πολλοὶ γοῦν 9
τὸν παρὰ τῶν τὸ κράτος ἐχόντων φθόνον φοβούμενοι σφαλῆναί τι
μᾶλλον ἢ καταπρᾶξαι προείλοντο, κἀκ τούτου τὸ μὲν ἀσφαλὲς αὐτοὶ
ἔσχον, τὸ δὲ δὴ ζημίωμα ἐκείνοις προσετρίψαντο. ὥστε αὐτὸς τὸ
πλεῖον ἀπ' ἀμφοτέρων ὁμοίως καὶ τῶν χειρόνων καὶ τῶν ἀμεινόνων
ἀπολαύσων, μηδέποτ' ἐθελήσῃς λόγῳ μὲν ἄλλοις ἔργῳ δὲ σαυτῷ
φθονῆσαι.

πάνθ' ὅσα τοὺς ἀρχομένους καὶ φρονεῖν καὶ πράττειν βούλει, 34
καὶ λέγε καὶ ποίει. οὕτω γὰρ ἂν μᾶλλον παιδεύσειας αὐτοὺς ἢ
ταῖς ἐκ τῶν νόμων ἀνάγκαις δειματώσειας· τὸ μὲν γὰρ ζῆλον τὸ
δὲ φόβον ἔχει, καὶ ῥᾷόν τις μιμεῖται τὰ κρείττω, ὁρῶν ἔργῳ γιγνό-
μενα, ἢ φυλάττεται τὰ χείρω, ἀκούων λόγῳ κεκωλυμένα. καὶ αὐτὸς 2
μὲν ἀκριβῶς πάντα πράττε, μηδεμίαν συγγνώμην ἑαυτῷ νέμων,
ὡς γε καὶ εὖ εἰδὼς ὅτι παραχρῆμα πάντες καὶ ὅσα ἂν εἴπῃς καὶ
ὅσα ἂν ποιήσῃς μαθήσονται. καθάπερ γὰρ ἔν τινι τῆς ὅλης οἰ-
κουμένης θεάτρῳ ζήσῃ, καὶ οὐχ οἷόν τέ σοι ἔσται οὐδὲ βραχύτατον

33 1 3 προσήκουσι    34 2 3 γε] τε

Digitized by Google

3 ἁμαρτόντι διαλαθεῖν· οὔτε γὰρ κατὰ μόνας ποτὲ ἀλλὰ καὶ μετὰ
συχνῶν ἀεί τι πράξεις, καὶ πολυπραγμονοῦσί πως τὰ ὑπὸ τῶν ἀρ-
χόντων γιγνόμενα καὶ οἱ λοιποὶ πάντες ἥδιστα, ὥστ᾽ ἂν ἅπαξ κατα-
μάθωσί σε ἄλλα μὲν αὐτοῖς προαγορεύοντα ἄλλα δὲ αὐτὸν ποιοῦντα,
4 οὐ τὰς ἀπειλάς σου φοβηθήσονται ἀλλὰ τὰ ἔργα μιμήσονται. τὸν
δὲ δὴ τῶν ἄλλων βίον ἐπισκόπει μέν, μὴ μέντοι καὶ χαλεπῶς ἐξέ-
ταζε, ἀλλ᾽ ὅσα μὲν ἂν ὑφ᾽ ἑτέρων τινῶν ἐσάγηται, κρῖνε, ὅσα δ᾽ ἂν
ὑπὸ μηδενὸς αἰτιάζηται, μηδὲ προσποιοῦ εἰδέναι, ἔξω τῶν ἐς τὸ
5 δημόσιον πλημμελουμένων. ταῦτα μὲν γὰρ τῆς προσηκούσης ἐπι-
στροφῆς, κἂν μηδεὶς ἐγκαλῇ, τυγχάνειν ὀφείλει· τὰ δὲ ἄλλα τὰ
ἰδιωτικὰ ἴσθι μέν, ἵνα μὴ καὶ σφαλῇς ποτε ἀνεπιτηδείῳ τινὶ ὑπη-
6 ρέτῃ πρός τι χρησάμενος, μὴ μέντοι καὶ ἐξέλεγχε. πολλὰ γὰρ ἡ
φύσις καὶ παρὰ τὸν νόμον πολλοὺς ἁμαρτάνειν ἐξάγει, οἷς ἂν μὲν
ἀκριβῶς τις ἐπεξίῃ, ἤ τινα ἢ οὐδένα ἂν αὐτῶν ἀτιμώρητον κατα-
λίποι, ἂν δ᾽ ἀνθρωπίνως τὸ ἐπιεικὲς τῷ νενομισμένῳ παραμιγνύῃ,
7 τάχ᾽ ἂν καὶ σωφρονίσειεν αὐτούς. ὁ μὲν γὰρ νόμος, καίτοι ἰσχυρὰ
τὰ κολάσματα ἀναγκαίως ποιούμενος, οὐ δύναται τῆς φύσεως ἀεὶ
κρατεῖν· τῶν δ᾽ ἀνθρώπων τινὲς λανθάνειν μὲν δόξαντες ἢ καὶ
μετρίως πως νουθετηθέντες ἀμείνους γίγνονται, οἱ μὲν αἰσχυνόμενοι
8 ἐλεγχθῆναι οἱ δὲ αἰδούμενοι πάλιν σφαλῆναι, φανερωθέντες δὲ καὶ
ἀπερυθριάσαντες ἢ καὶ πέρα τοῦ μετρίου κολασθέντες τά τε νενο-
μισμένα πάντα συγχέουσι καὶ καταπατοῦσι, καὶ μόναις ταῖς τῆς
φύσεως ὁρμαῖς δουλεύουσιν. κἀκ τούτου οὔτε τὸ πάντας αὐτοὺς
κολάζειν ῥᾴδιον, οὔτε τὸ περιορᾶν φανερῶς τινὰς ἀσελγαίνοντας
εὐπρεπὲς γίγνεται.

9 τὰ μὲν δὴ οὖν ἁμαρτήματα τῶν ἀνθρώπων τοῦτόν σοι τὸν
τρόπον, πλὴν τῶν πάνυ ἀνηκέστων, μεταχειρίζεσθαι παραινῶ, τὰ
δ᾽ ὀρθῶς ὑπ᾽ αὐτῶν γιγνόμενα καὶ ὑπὲρ τὴν ἀξίαν τῶν ἔργων
τιμᾶν· οὕτω γὰρ ἂν μάλιστα ποιήσειας αὐτοὺς τῶν τε χειρόνων
ἀπέχεσθαι, τῇ φιλανθρωπίᾳ, καὶ τῶν βελτιόνων ἐφίεσθαι, τῇ με-
10 γαλοδωρίᾳ. μὴ γάρ τοι καταδείσῃς μήθ᾽ ὅτι ἐπιλείψει σέ ποτε ἢ
χρήματα ἢ τἆλλα οἷς τοὺς ἀγαθόν τι ποιοῦντας ἀμείψῃ (πολὺ γὰρ
μᾶλλον ἔγωγε ἐλάττους αὐτῶν τοὺς εὖ τι παθεῖν ἀξίους οἶμαι γε-
νήσεσθαι, τοσαύτης σοῦ καὶ γῆς καὶ θαλάττης ἄρχοντος), μήθ᾽ ὅτι
11 τινὲς εὐεργετηθέντες ἀχαρίστως τι πράξουσιν· οὐδὲν γὰρ οὕτω καὶ
δουλοῖ καὶ οἰκειοῦταί τινα, κἂν ἀλλότριος κἂν ἐχθρὸς ὢν τύχῃ, ὡς
τὸ μήτ᾽ ἀδικεῖσθαι καὶ προσέτι καὶ εὖ πάσχειν.

35 πρὸς μὲν οὖν τοὺς ἄλλους οὕτω σοι προσφέρεσθαι γνώμην

9 4 τε τῶν*

δίδωμι· σαυτῷ δὲ δὴ μήτε ἔξαλλόν τι μήθ' ὑπερήφανον μήτε παρὰ
τῶν ἄλλων μήτε παρὰ τῆς βουλῆς ἢ ἔργῳ ἢ καὶ λόγῳ δοθὲν περιί-
δῃς. τοῖς μὲν γὰρ ἄλλοις κόσμον ἡ παρὰ σοῦ τιμὴ φέρει, σοὶ δ' 2
αὐτῷ μεῖζον μὲν τῶν ὑπαρχόντων οὐδὲν ἂν δοθείη, ὑποψία δ' ἂν
κιβδηλίας πολλὴ προσγένοιτο· καὶ γάρ τοι τῶν μὲν ἄλλων οὐδεὶς
ἑκὼν τοιοῦτό τι τῷ κρατοῦντι ψηφίζεσθαι δοκεῖ, πάντα δὲ δή τις
αὐτὰ αὐτὸς παρ' ἑαυτοῦ λαμβάνων οὐχ ὅσον οὐκ ἔπαινον ἴσχει,
ἀλλὰ καὶ γέλωτα προσοφλισκάνει. τήν τε οὖν ἄλλην λαμπρότητα 3
σαυτῷ διὰ τῶν ἀγαθῶν ἔργων παρασκεύαζε, καὶ εἰκόνας σου χρυσᾶς
μὲν ἢ καὶ ἀργυρᾶς μηδέποτε ἐπιτρέψῃς γενέσθαι (οὐ γὰρ μόνον
δαπανηραὶ ἀλλὰ καὶ εὐεπιβούλευτοι καὶ ὀλιγοχρόνιοι εἰσίν), ἄλλας
δὲ ἐν αὐταῖς ταῖς τῶν ἀνθρώπων ψυχαῖς καὶ ἀκηράτους καὶ ἀθα-
νάτους ἐξ εὐεργεσιῶν δημιούργει. μὴ μέντοι μηδὲ ναόν ποτε περιί- 4
δῃς σαυτῷ γενόμενον. μάτην γὰρ παμπληθῆ χρήματα ἐς τὰ τοιαῦτα
ἀναλίσκεται, ἃ κρεῖττόν ἐστιν ἐς τὰ ἀναγκαῖα δαπανᾶσθαι (πλοῦτος
γὰρ ἀκριβὴς οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν ὡς ἐκ τοῦ μὴ
πολλὰ ἀναλίσκειν ἀθροίζεται), καὶ ἐς εὔκλειαν οὐδὲν ἀπ' αὐτῶν
προσγίγνεται. ἀρετὴ μὲν γὰρ ἰσοθέους πολλοὺς ποιεῖ, χειροτονητὸς 5
δ' οὐδεὶς πώποτε θεὸς ἐγένετο, ὥστε σοὶ μὲν ἀγαθῷ τε ὄντι καὶ
καλῶς ἄρχοντι πᾶσα μὲν γῆ τεμένισμα ἔσται, πᾶσαι δὲ πόλεις ναοί,
πάντες δ' ἄνθρωποι ἀγάλματα (ἐν γὰρ ταῖς γνώμαις αὐτῶν ἀεὶ
μετ' εὐδοξίας ἐνιδρυθήσῃ), τοὺς δ' ἄλλως πως τὰ κράτη διέποντας 6
οὐ μόνον οὐ σεμνύνει τὰ τοιαῦτα, κἂν ἐν ἁπάσαις ταῖς πόλεσιν
ἐξαιρεθῇ, ἀλλὰ καὶ προσδιαβάλλει, τρόπαιά τέ τινα τῆς κακίας
αὐτῶν καὶ μνημεῖα τῆς ἀδικίας γιγνόμενα· ὅσῳ γὰρ ἂν ἐπὶ πλεῖον
ἀνταρκέσῃ, τοσούτῳ μᾶλλον καὶ ἡ κακοδοξία αὐτῶν διαμένει. ὥστ' 36
εἴπερ ἀθάνατος ὄντως ἐπιθυμεῖς γενέσθαι, ταῦτά τε οὕτω πρᾶττε,
καὶ προσέτι τὸ μὲν θεῖον πάντῃ πάντως αὐτός τε σέβου κατὰ τὰ
πάτρια καὶ τοὺς ἄλλους τιμᾶν ἀνάγκαζε, τοὺς δὲ δὴ ξενίζοντάς τι
περὶ αὐτὸ καὶ μίσει καὶ κόλαζε, μὴ μόνων τῶν θεῶν ἕνεκα, ὧν 2
καταφρονήσας οὐδ' ἄλλου ἄν τινος προτιμήσειεν, ἀλλ' ὅτι καὶ καινά
τινα δαιμόνια οἱ τοιοῦτοι ἀντεσφέροντες πολλοὺς ἀναπείθουσιν ἀλ-
λοτριονομεῖν, κἀκ τούτου καὶ συνωμοσίαι καὶ συστάσεις ἑταιρεῖαί
τε γίγνονται, ἅπερ ἥκιστα μοναρχίᾳ συμφέρει. μήτ' οὖν ἀθέῳ τινὶ
μήτε γόητι συγχωρήσῃς εἶναι. μαντικὴ μὲν γὰρ ἀναγκαία ἐστίν, 3
καὶ πάντως τινὰς καὶ ἱερόπτας καὶ οἰωνιστὰς ἀπόδειξον, οἷς οἱ
βουλόμενοί τι κοινώσασθαι συνέσονται· τοὺς δὲ δὴ μαγευτὰς πάνυ
οὐκ εἶναι προσήκει. πολλοὺς γὰρ πολλάκις οἱ τοιοῦτοι, τὰ μέν τινα

35 1 3 τῆς] τῶν τῆς · 5 2 τε ἀγαθῷ μὲν 36 2 1 ὧν ὁ κατ.?

4 ἀληθῆ τὰ δὲ δὴ πλείω ψευδῆ λέγοντες, νεοχμοῦν ἐπαίρουσιν. τὸ
δ᾽ αὐτὸ τοῦτο καὶ τῶν φιλοσοφεῖν προσποιουμένων οὐκ ὀλίγοι
ποιοῦσιν· διὸ καὶ ἐκείνους φυλάσσεσθαί σοι παραινῶ. μὴ γὰρ ὅτι
καὶ Ἀρείου καὶ Ἀθηνοδώρου καλῶν καὶ ἀγαθῶν ἀνδρῶν πεπείρα-
σαι, πίστευε καὶ τοὺς ἄλλους πάντας τοὺς φιλοσοφεῖν λέγοντας
ὁμοίους αὐτοῖς εἶναι· μυρία γὰρ κακὰ καὶ δήμους καὶ ἰδιώτας τὸ
πρόσχημα τοῦτο προβαλλόμενοί τινες δρῶσιν.

37 τῇ μὲν οὖν γνώμῃ καὶ τῷ μηδενὸς πλείονος τῶν ὑπαρχόντων
ἐπιθυμεῖν εἰρηνικώτατον εἶναί σε χρή, ταῖς δὲ παρασκευαῖς πολε-
μικώτατον, ὅπως μάλιστα μὲν μήτε ἐθελήσῃ μήτε ἐπιχειρήσῃ τις
2 ἀδικῆσαί σε, εἰ δὲ μή, ῥᾳδίως καὶ παραχρῆμα κολασθῇ. καὶ ἐπειδή
γε ἀναγκαῖόν ἐστι καὶ διὰ ταῦτα καὶ διὰ τἆλλα καὶ ὠτακουστεῖν
τινὰς καὶ διοπτεύειν πάντα τὰ τῇ ἡγεμονίᾳ σου προσήκοντα, ἵνα
μηδὲν τῶν φυλακῆς τινὸς καὶ ἐπανορθώσεως δεομένων ἀγνοῇς,
μέμνησο ὅτι οὐ χρὴ πᾶσιν ἁπλῶς τοῖς λεγομένοις ὑπ᾽ αὐτῶν πι-
3 στεύειν, ἀλλ᾽ ἀκριβῶς αὐτὰ διασκοπεῖν. συχνοὶ γάρ, οἱ μὲν μισοῦν-
τές τινας, οἱ δὲ ἐπιθυμοῦντες ὧν ἔχουσιν, ἄλλοι χαριζόμενοί τισιν,
ἄλλοι χρήματα αἰτήσαντές τινας καὶ μὴ λαβόντες, ἐπηρεάζουσιν
αὐτοὺς ὡς νεωτερίζοντας ἢ καὶ ἄλλο τι ἀνεπιτήδειον κατὰ τοῦ αὐ-
4 ταρχοῦντος ἢ φρονοῦντας ἢ λέγοντας. οὔκουν εὐθὺς οὐδὲ ῥᾳδίως
προσέχειν αὐτοῖς δεῖ, ἀλλὰ καὶ πάνυ πάντα διελέγχειν· βραδύνας
μὲν γὰρ ἐν τῷ πιστεῦσαί τινα οὐδὲν μέγα ἀδικηθήσῃ, σπεύσας δὲ
τάχ᾽ ἄν τι καὶ ἐξαμάρτοις, ὃ μὴ δυνηθήσῃ ἀνακέσασθαι.

5 τιμᾶν μὲν οὖν σε τοὺς ἀγαθοὺς καὶ τῶν ἀπελευθέρων καὶ τῶν
ἄλλων τῶν συνόντων σοι καὶ δεῖ καὶ ἀναγκαῖον ἐστίν· καὶ γὰρ κόσμον
καὶ ἀσφάλειάν σοι μεγάλην τοῦτο οἴσει. μὴ μέντοι καὶ ὑπέρογκόν
τι ἰσχυέτωσαν, ἀλλ᾽ ἀκριβῶς πάντες σωφρονείτωσαν, ὥστε σε μη-
6 δὲν ὑπ᾽ αὐτῶν διαβληθῆναι· πάντα γὰρ ὅσα ἂν ἢ καλῶς ἢ κακῶς
πράξωσι, σοὶ προστεθήσεται, καὶ τοιοῦτος αὐτὸς ὑφ᾽ ἁπάντων νο-
μισθήσῃ ὁποῖα ἂν ἐκείνοις ποιεῖν ἐπιτρέπῃς.

τοὺς μὲν δὴ οὖν δυνατοὺς μὴ πλεονεκτεῖν τινὰ μηδ᾽ αὖ συκο-
φαντεῖσθαι ἔα· μηδ᾽ ἔστω τινὶ αὐτῶν αὐτὸ τοῦτο ἔγκλημα, ὅτι
7 δύναται, κἂν μηδὲν ἁμαρτάνῃ. τοῖς δὲ δὴ πολλοῖς ἄμυνε μὲν ἰσχυ-
ρῶς ἀδικουμένοις, μὴ πρόσεχε δὲ ῥᾳδίως αἰτιωμένοις, ἀλλ᾽ αὐτὰ
τὰ ἔργα καθ᾽ ἑαυτὰ ἐξέταζε, μήτε ἐς τὸ προέχον πᾶν ὑποπτεύων
8 μήτε τῷ καταδεεστέρῳ παντὶ πιστεύων. καὶ τοὺς μὲν ἐργαζομένους
χρήσιμόν τέ τι τεχνωμένους τίμα, τοὺς δ᾽ ἀργοῦντας ἢ καὶ φλαῦ-
ρόν τι πραγματευομένους μίσει, ἵνα τῶν μὲν διὰ τὰς ὠφελείας

37 8 3 τοῦ μὲν — τοῦ δὲ?*

Digitized by Google

ὀριγνώμενοι, τῶν δὲ διὰ τὰς ζημίας ἀπεχόμενοι, πρός τε τὰ οἰκεῖα
ἀμείνους καὶ πρὸς τὰ κοινὰ συμφορώτεροί σοι γίγνωνται.

καλὸν μὲν οὖν ἐστι καὶ τὸ τὰ τῶν ἰδιωτῶν ἀμφισβητήματα 9
ὡς ἐλάχιστα ποιοῦντα τὰς διαλύσεις αὐτῶν ὡς τάχιστα καθιστάναι,
κάλλιστον δὲ τὸ τὰς τῶν δήμων ὁρμὰς κολούειν, κἂν ἐπευχόμενοί
τινα τῇ τε ἀρχῇ καὶ τῇ σωτηρίᾳ τῇ τε τύχῃ σου ἐκβιάζεσθαί τινας
ἢ πρᾶξαί τι ἢ ἀναλῶσαι παρὰ δύναμιν ἐπιχειρῶσι, μὴ ἐπιτρέπειν,
τάς τε ἔχθρας αὐτῶν καὶ τὰς φιλοτιμίας τὰς πρὸς ἀλλήλους παν- 10
τάπασιν ἐκκόπτειν, καὶ μήτε ἐπωνυμίας τινὰς κενὰς μήτ' ἄλλο τι
ἐξ οὗ διενεχθήσονταί τισιν ἐφιέναι σφίσι ποιεῖσθαι. ῥᾳδίως δέ
σοι πάντες καὶ ἐς ταῦτα καὶ ἐς τἆλλα καὶ ἰδίᾳ καὶ κοινῇ πειθαρ-
χήσουσιν, ἂν μηδὲν παρὰ ταῦτα μηδέποτε συγχωρήσῃς τινί· ἡ γὰρ
ἀνωμαλία καὶ τὰ καλῶς πεπηγότα διαλύει. καὶ διὰ τοῦτ' οὐδ' 11
αἰτεῖν τι ἀρχήν, ὅ γε μὴ δώσεις, ἐπιτρέπειν σφίσιν ὀφείλεις, ἀλλὰ
καὶ αὐτὸ τοῦτο πρῶτον ἰσχυρῶς φυλάττειν σφᾶς ἀναγκάζειν, τὸ
μηδὲν ἀξιοῦν τῶν κεκωλυμένων.

ταῦτα μὲν περὶ ἐκείνων λέγω, καθ' ἁπάντων δέ σοι συμβουλεύω 38
μήτ' ἀποχρήσασθαί ποτε τῇ ἐξουσίᾳ, μήτ' οἰηθῆναι μείωσίν τινα
αὐτῆς εἶναι ἂν μὴ πάντα ἁπαξαπλῶς ὅσα δύνασαι καὶ ποιήσῃς·
ἀλλ' ὅσῳ μᾶλλον πάνθ' ὅσα ἂν βουληθῇς καὶ δυνήσῃ πρᾶξαι, τόσῳ
μᾶλλον προθυμοῦ πάνθ' ὅσα προσήκει βούλεσθαι. καὶ ἀεί γε αὐ- 2
τὸς παρὰ σαυτῷ ἐξέταζε, εἴτε ὀρθῶς τι ποιεῖς εἴτε καὶ μή, τί τε
πράττοντά σε φιλήσουσί τινες καὶ τί μή, ἵνα τὰ μὲν ποιῇς αὐτῶν
τὰ δ' ἐκκλίνῃς. μὴ γὰρ δὴ ἡγήσῃ δεόντως τι παρὰ τοῦτο πράτ-
τειν δόξειν, ἂν μηδενὸς αἰτιωμένου σε ἀκούσῃς· μηδ' ἀναμείνῃς
οὕτω τινὰ ἐκφρονῆσαί ποτε ὥστε σοι φανερῶς τι ἐξονειδίσαι. τοῦτο 3
μὲν γὰρ οὐδεὶς ἂν ποιήσειεν, οὐδ' εἰ σφόδρα ἀδικηθείη· πᾶν γὰρ
τοὐναντίον καὶ ἐπαινεῖν πολλοὶ ἔν γε τῷ φανερῷ τοὺς ἀδικοῦντάς
σφας ἀναγκάζονται, ἀνταγωνιζόμενοι μὴ δοκεῖν ὀργίζεσθαι. τὸν δ'
ἄρχοντα χρὴ μὴ ἐξ ὧν λέγουσί τινες τεκμαίρεσθαι τὴν διάνοιαν
αὐτῶν, ἀλλ' ἐξ ὧν φρονεῖν αὐτοὺς εἰκός ἐστιν.

ταῦτά σε καὶ τὰ τοιαῦτα βούλομαι πράττειν· πολλὰ γὰρ καὶ 39
παραλείπω διὰ τὸ μὴ οἷόν τε εἶναι πάντα αὐτὰ καθάπαξ συλλα-
βόντα εἰπεῖν. ἓν δ' οὖν ἐν κεφαλαίῳ καὶ κατὰ τῶν εἰρημένων καὶ
κατὰ τῶν λοιπῶν φράσω. ἂν γὰρ ὅσα ἂν ἕτερόν τινα ἄρξαντά 2
σου ποιεῖν ἐθελήσῃς, ταῦτα αὐτὸς αὐτεπάγγελτος πράσσῃς, οὔτε
τι ἁμαρτήσῃ καὶ πάντα κατορθώσεις, κἀκ τούτου καὶ ἥδιστα καὶ
ἀκινδυνότατα βιώσῃ. πῶς μὲν γὰρ οὐχ ὡς πατέρα, πῶς δ' οὐχ

38 2 2 εἴγε ὀρθῶς

Digitized by Google

ὡς σωτῆρα καὶ προσόψονταί σε ἅπαντες καὶ φιλήσουσιν, ὅταν σε ὁρῶσι κόσμιον εὐβίοτον εὐπόλεμον εἰρηναῖον ὄντα, ὅταν μήθ' ὑβρίζῃς
4 τι μήτε πλεονεκτῇς, ὅταν ἐκ τοῦ ὁμοίου σφίσι προσφέρῃ, καὶ μὴ αὐτὸς μὲν πλουτῇς τοὺς δ' ἄλλους ἀργυρολογῇς, μηδ' αὐτὸς μὲν τρυφᾷς τοὺς δ' ἄλλους ταλαιπωρῇς, μηδ' αὐτὸς μὲν ἀκολασταίνῃς τοὺς δ' ἄλλους νουθετῇς, ἀλλ' ἐς πάντα δὴ πάντως ὁμοιοτροπώτατα αὐτοῖς ζῇς; ὥστ' αὐτὸς παρὰ σαυτῷ μέγα φυλακτήριον ἐν τῷ μηδένα ποτὲ ἀδικῆσαι ἔχων θάρσει, καὶ πίστευέ μοι λέγοντι ὅτι οὔτε
5 μισηθήσῃ ποτὲ οὔτε ἐπιβουλευθήσῃ. τούτου δὲ δὴ οὕτως ἔχοντος πᾶσά σε ἀνάγκη καὶ ἡδέως βιῶναι· τί μὲν γὰρ ἥδιον, τί δὲ εὐδαιμονέστερόν ἐστι τοῦ πάντων τῶν ἐν ἀνθρώποις ἀγαθῶν μετ' ἀρετῆς ἀπολαύοντα καὶ τοῖς ἄλλοις αὐτὰ διδόναι δύνασθαι;

40 ταῦτά τε οὖν καὶ τἆλλα πάνθ' ὅσα εἴρηκα ἐννοήσας πείσθητί μοι, καὶ μὴ προῇ τὴν τύχην, ἥτις σε ἐκ πάντων ἐπελέξατο καὶ προεστήσατο. ὡς εἴ γε τὸ μὲν πρᾶγμα τὸ τῆς μοναρχίας αἱρῇ, τὸ δ' ὄνομα τὸ τῆς βασιλείας ὡς καὶ ἐπάρατον φοβῇ, τοῦτο μὲν μὴ προσλάβῃς, τῇ δὲ δὴ τοῦ Καίσαρος προσηγορίᾳ χρώμενος αὐτάρχει.
2 εἰ δ' οὖν καὶ ἄλλων τινῶν κλήσεων προσδέῃ, δώσουσι μέν σοι τὴν τοῦ αὐτοκράτορος, ὥσπερ καὶ τῷ πατρί σου ἔδωκαν, σεβιοῦσι δὲ σε καὶ ἑτέρᾳ τινὶ προσρήσει, ὥστε σε πᾶν τὸ τῆς βασιλείας ἔργον ἄνευ τοῦ τῆς ἐπωνυμίας αὐτῆς ἐπιφθόνου καρποῦσθαι."

41 Μαικήνας μὲν ταῦτα εἰπὼν ἐπαύσατο, ὁ δὲ δὴ Καῖσαρ ἀμφοτέρους μὲν σφας καὶ ἐπὶ τῇ πολυνοίᾳ καὶ ἐπὶ τῇ πολυλογίᾳ τῇ τε παρρησίᾳ ἰσχυρῶς ἐπῄνεσε, τὰ δὲ δὴ τοῦ Μαικήνου μᾶλλον εἵλετο. οὐ μέντοι καὶ πάντα εὐθὺς ὥσπερ ὑπετέθειτο ἔπραξε, φοβηθεὶς μὴ καὶ σφαλῇ τι, ἀθρόως μεταρρυθμίσαι τοὺς ἀνθρώπους ἐθελήσας·
2 ἀλλὰ τὰ μὲν παραχρῆμα μετεκόσμησε τὰ δ' ὕστερον, καί τινα καὶ τοῖς μετὰ ταῦτα ἄρξουσι ποιῆσαι κατέλιπεν ὡς καὶ κατὰ καιρὸν μᾶλλον ἐν τῷ χρόνῳ γενησόμενα. καὶ αὐτῷ καὶ ὁ Ἀγρίππας πρὸς πάντα, καίπερ τὴν ἐναντίαν σφίσι γνώμην δούς, προθυμότατα συνήρατο, ὥσπερ ἂν εἰ καὶ ἐσηγητὴς αὐτῶν ἐγεγόνει.
3 ταῦτά τε ὁ Καῖσαρ, καὶ ὅσα μοι ἄνω τοῦ λόγου εἴρηται, ἔπραξεν ἐν τῷ ἔτει ἐκείνῳ ἐν ᾧ τὸ πέμπτον ὑπάτευσε, καὶ τὴν τοῦ αὐτοκράτορος ἐπίκλησιν ἐπέθετο. λέγω δὲ οὐ τὴν ἐπὶ ταῖς νίκαις κατὰ τὸ ἀρχαῖον διδομένην τισίν (ἐκείνην γὰρ πολλάκις μὲν καὶ πρότερον πολλάκις δὲ καὶ ὕστερον ἀπ' αὐτῶν τῶν ἔργων ἔλαβεν,
4 ὥστε καὶ ἅπαξ καὶ εἰκοσάκις ὄνομα αὐτοκράτορος σχεῖν) ἀλλὰ τὴν ἑτέραν τὴν τὸ κράτος διασημαίνουσαν, ὥσπερ τῷ τε πατρὶ αὐτοῦ

41 3 1 ὁ] καὶ ὁ 4 1 ἅπ. καὶ εἰκ.] ἐν εἰκόσιν 4 2 ἰδίᾳ σημαίνουσαν?*

Digitized by Google

τῷ Καίσαρι καὶ τοῖς παισὶ τοῖς τε ἐγγόνοις ἐψήφιστο. καὶ μετὰ 42
ταῦτα τιμητεύσας σὺν τῷ Ἀγρίππᾳ ἄλλα τέ τινα διώρθωσε καὶ
τὴν βουλὴν ἐξήτασεν. πολλοὶ μὲν γὰρ ἱππεῖς πολλοὶ δὲ καὶ πεζοὶ
παρὰ τὴν ἀξίαν ἐκ τῶν ἐμφυλίων πολέμων ἐβούλευον, ὥστε καὶ ἐς
χιλίους τὸ πλήρωμα τῆς γερουσίας αὐξηθῆναι. τούτους οὖν ἐκκρῖναι 2
βουληθεὶς αὐτὸς μὲν οὐδένα αὐτῶν ἀπήλειψε, προτρεψάμενος δέ
σφας ἐκ τοῦ συνειδότος τοῦ τε γένους καὶ τοῦ βίου δικαστὰς ἑαυ-
τοῖς γενέσθαι τὸ μὲν πρῶτον πεντήκοντά που ἔπεισεν ἐθελοντὰς
ἐκστῆναι τοῦ συνεδρίου, ἔπειτα δὲ καὶ ἄλλους ἑκατὸν καὶ τεσσαρά-
κοντα μιμήσασθαί σφας ἠνάγκασεν. καὶ αὐτῶν ἠτίμωσε μὲν οὐδένα, 3
τὰ δ' ὀνόματα τῶν δευτέρων ἐξέθηκεν· τοῖς γὰρ προτέροις, ὅτι μὴ
ἐχρόνισαν ἀλλ' εὐθὺς ἐπειθάρχησάν οἱ, ἀφῆκε τὸ ὀνείδισμα, ὥστ'
αὐτοὺς μὴ ἐκδημοσιευθῆναι. οὗτοι μὲν οὖν ἑκούσιοι δῆθεν ἰδιώ-
τευσαν, Κύιντον δὲ δὴ Στατίλιον καὶ πάνυ ἄκοντα τῆς δημαρχίας,
ἐς ἣν ἀπεδέδεικτο, εἶρξεν. ἑτέρους τέ τινας βουλεύειν ἐποίησε, καὶ 4
ἔς γε τοὺς ὑπατευκότας δύο ἄνδρας ἐκ τῶν βουλευόντων, Κλούβιόν
τέ τινα καὶ Φούρνιον Γαΐους, ἐγκατέλεξεν, ὅτι προαποδεδειγμένοι
οὐκ ἠδυνήθησαν, ἄλλων τινῶν τὰς ἀρχὰς αὐτῶν προκαταλαβόντων,
ὑπατεῦσαι. τό τε τῶν εὐπατριδῶν γένος συνεπλήθυσε, τῆς βουλῆς 5
οἱ δῆθεν ἐπιτρεψάσης τοῦτο ποιῆσαι, ἐπειδὴ τό τε πλεῖστόν σφων
ἀπολώλει (οὐδὲν γὰρ οὕτως ὡς τὸ γενναῖον ἐν τοῖς ἐμφυλίοις πολέ-
μοις ἀναλίσκεται) καὶ ἐς τὴν ποίησιν τῶν πατρίων ἀναγκαῖοι ἀεὶ
εἶναι νομίζονται. ταῦτά τε οὖν ἔπραξε, καὶ προσαπεῖπε πᾶσι τοῖς 6
βουλεύουσι μὴ ἐκδημεῖν ἔξω τῆς Ἰταλίας, ἂν μὴ αὐτός τινι κελεύσῃ
ἢ καὶ ἐπιτρέψῃ. καὶ τοῦτο καὶ δεῦρο ἀεὶ φυλάσσεται· πλὴν γὰρ
ὅτι ἔς τε τὴν Σικελίαν καὶ ἐς τὴν Γαλατίαν τὴν περὶ Νάρβωνα,
οὐδαμόσε ἄλλοσε βουλευτῇ ἀποδημῆσαι ἔξεστιν. ἐκεῖσε γὰρ διά τε 7
τὸ σύνεγγυς καὶ διὰ τὸ ἄοπλον τό τε εἰρηναῖον τῶν ἀνθρώπων
δέδοται τοῖς γέ τι κεκτημένοις αὐτόθι καὶ ἄνευ παραιτήσεως, ὁσάκις
ἂν ἐθελήσωσιν, ἀπιέναι. ἐπειδή τε πολλοὺς ἔτι καὶ τῶν βουλευτῶν 8
καὶ τῶν ἄλλων τῶν τὰ τοῦ Ἀντωνίου σπουδασάντων ὑπόπτως πρὸς
αὐτὸν διακειμένους ἑώρα, καὶ ἐφοβήθη μὴ νεοχμώσωσί τι, πάντα
ἔφη τὰ γράμματα τὰ ἐν τοῖς κιβωτίοις αὐτοῦ εὑρεθέντα κατακε-
καυκέναι. καὶ ὡς ἀληθῶς γε διεφθάρκει τινά· τὰ γὰρ δὴ πλείω
καὶ πάνυ ἐτήρει, ὥστε μηδ' ὀκνῆσαι ὕστερον αὐτοῖς χρήσασθαι.

τοῦτό τε οὖν οὕτως ἐποίησε καὶ τὴν Καρχηδόνα ἐπαπῴκισεν, 34
ὅτι ὁ Λέπιδος μέρος τι αὐτῆς ἠρημώκει καὶ διὰ τοῦτο τὰ δίκαια
τῆς ἀποικίας σφῶν λελυκέναι ἐδόκει. τόν τε Ἀντίοχον τὸν Κομμα-
γηνὸν μετεπέμψατο, ὅτι τινὰ πρεσβευτὴν ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ

42 5 2 γε

Digitized by Google

διαφόρου οἱ ὄντος σταλέντα ἐς τὴν Ῥώμην ἐδολοφόνησεν, καὶ ἔς τε
2 τὸ συνέδριον ἐσήγαγε καὶ καταψηφισθέντα ἀπέκτεινεν. καὶ τὴν
Καπρίαν παρὰ τῶν Νεαπολιτῶν, ὧνπερ τὸ ἀρχαῖον ἦν, ἀντιδόσει
χώρας ἠλλάξατο. κεῖται δὲ οὐ πόρρω τῆς κατὰ Συρρεντὸν ἠπείρου,
χρηστὸν μὲν οὐδέν, ὄνομα δὲ καὶ νῦν ἔτι διὰ τὴν τοῦ Τιβερίου
ἐνοίκησιν ἔχουσα.

ΝΓ τότε μὲν ταῦτα ἐγένετο, τῷ δὲ ἑξῆς ἔτει ἕκτον ὁ Καῖσαρ ἦρξε,
a. u. 726 καὶ τά τε ἄλλα κατὰ τὸ νομιζόμενον ἀπὸ τοῦ πάνυ ἀρχαίου ἐποίησε,
καὶ τοὺς φακέλους τῶν ῥάβδων τῷ Ἀγρίππᾳ συνάρχοντί οἱ κατὰ
τὸ ἐπιβάλλον παρέδωκεν, αὐτός τε ταῖς ἑτέραις ἐχρήσατο, καὶ
2 διάρξας τὸν ὅρκον κατὰ τὰ πάτρια ἐπήγαγεν. καὶ εἰ μὲν καὶ αὖθις
ταῦτα ἐποίησεν, οὐκ οἶδα· τὸν γὰρ Ἀγρίππαν ἐς ὑπερβολὴν ἐτίμα·
ἀμέλει τήν τε ἀδελφιδῆν αὐτῷ συνῴκισε, καὶ σκηνήν, ὁπότε συ-
στρατεύοιντο, ὁμοίαν τῇ ἑαυτοῦ παρεῖχε, τό τε σύνθημα παρ᾽ ἀμ-
3 φοτέρων σφῶν ἐδίδοτο. ἐν δ᾽ οὖν τῷ τότε παρόντι τά τε ἄλλα
ὥσπερ εἴθιστο ἔπραξε, καὶ τὰς ἀπογραφὰς ἐξετέλεσε, καὶ ἐν αὐταῖς
πρόκριτος τῆς γερουσίας ἐπεκλήθη, ὥσπερ ἐν τῇ ἀκριβεῖ δημοκρα-
τίᾳ ἐνενόμιστο. τό τε ἀπολλώνιον τὸ ἐν τῷ παλατίῳ καὶ τὸ τε-
μένισμα τὸ περὶ αὐτό, τάς τε ἀποθήκας τῶν βιβλίων, ἐξεποίησε
4 καὶ καθιέρωσεν. καὶ τὴν πανήγυριν τὴν ἐπὶ τῇ νίκῃ τῇ πρὸς τῷ
Ἀκτίῳ γενομένῃ ψηφισθεῖσαν ἤγαγε μετὰ τοῦ Ἀγρίππου, καὶ ἐν
αὐτῇ τὴν ἱπποδρομίαν διά τε τῶν παίδων καὶ διὰ τῶν ἀνδρῶν
5 τῶν εὐγενῶν ἐποίησεν. καὶ αὕτη μὲν διὰ πέντε ἀεὶ ἐτῶν μέχρι που
ἐγίγνετο, ταῖς τέσσαρσιν ἱερωσύναις ἐκ περιτροπῆς μέλουσα, λέγω
δὲ τούς τε ποντίφικας καὶ τοὺς οἰωνιστὰς τούς τε ἑπτὰ καὶ τοὺς
πεντεκαίδεκα ἄνδρας καλουμένους· τότε δὲ καὶ γυμνικὸς ἀγὼν στα-
δίου τινὸς ἐν τῷ ἀρείῳ πεδίῳ ξυλίνου κατασκευασθέντος ἐποιήθη,
6 ὁπλομαχία τε ἐκ τῶν αἰχμαλώτων ἐγένετο. καὶ ταῦτα καὶ ἐπὶ
πλείους ἡμέρας ἐπράχθη, οὐδὲ διέλιπε καίτοι νοσήσαντος τοῦ Καί-
σαρος, ἀλλὰ καὶ ὣς ὁ Ἀγρίππας καὶ τὸ ἐκείνου μέρος ἀνεπλήρου.

2 ὁ δ᾽ οὖν Καῖσαρ ἔς τε τὰς θεωρίας ἐκ τῶν ἰδίων δῆθεν ἀνή-
λισκε, καὶ ἐπειδὴ χρημάτων τῷ δημοσίῳ ἐδέησεν, ἐδανείσατό τινα
καὶ ἔδωκεν αὐτῷ, πρός τε τὴν διοίκησίν σφων δύο κατ᾽ ἔτος ἐκ
τῶν ἐστρατηγηκότων αἱρεῖσθαι ἐκέλευσεν. καὶ τῷ πλήθει τετρα-
πλάσιον τὸν σῖτον ἔνειμε, βουλευταῖς τέ τισι χρήματα ἐχαρίσατο·
2 οὕτω γὰρ δὴ πολλοί σφων πένητες ἐγεγόνεσαν ὥστε μηδ᾽ ἀγορανο-
μῆσαί τινα διὰ τὸ μέγεθος τῶν ἀναλωμάτων ἐθελῆσαι, ἀλλὰ τά
τε ἄλλα καὶ τὰ δικαστήρια τὰ τῇ ἀγορανομίᾳ προσήκοντα τοῖς

1 3 4 τὸ ἐν] τό τε ἐν* 5 1 που] οὗ*

στρατηγοῖς, καθάπερ εἴθιστο, τὰ μὲν μείζω τῷ ἀστυνόμῳ τὰ δὲ
ἕτερα τῷ ξενικῷ προσταχθῆναι. πρὸς δὲ δὴ τούτοις τὸν ἀστυνόμον 3
αὐτὸς ἀπέδειξεν· ὃ καὶ αὖθις πολλάκις ἐποίησεν. καὶ τὰς ἐγγύας
τὰς πρὸς τὸ δημόσιον πρὸ τῆς πρὸς τῷ Ἀκτίῳ μάχης γενομένας,
πλὴν τῶν περὶ τὰ οἰκοδομήματα, ἀπήλλαξεν, τά τε παλαιὰ συμβό-
λαια τῶν τῷ κοινῷ τι ὀφειλόντων ἔκαυσεν. καὶ τὰ μὲν ἱερὰ τὰ 4
Αἰγύπτια οὐκ ἐσεδέξατο εἴσω τοῦ πωμηρίου, τῶν δὲ δὴ ναῶν πρό-
νοιαν ἐποιήσατο· τοὺς μὲν γὰρ ὑπ' ἰδιωτῶν τινῶν γεγενημένους
τοῖς τε παισὶν αὐτῶν καὶ τοῖς ἐγγόνοις, εἴ γέ τινες περιῆσαν, ἐπι-
σκευάσαι ἐκέλευσεν, τοὺς δὲ λοιποὺς αὐτὸς ἀνεκτήσατο. οὐ μέντοι 5
καὶ τὴν δόξαν τῆς οἰκοδομήσεώς σφων ἐσφετερίσατο, ἀλλ' ἀπέδω-
κεν αὐτοῖς τοῖς κατασκευάσασιν αὐτούς. ἐπειδή τε πολλὰ πάνυ
κατά τε τὰς στάσεις κἀν τοῖς πολέμοις, ἄλλως τε καὶ ἐν τῇ τοῦ
Ἀντωνίου τοῦ τε Λεπίδου συναρχίᾳ, καὶ ἀνόμως καὶ ἀδίκως ἐτε-
τάχει, πάντα αὐτὰ δι' ἑνὸς προγράμματος κατέλυσεν, ὅρον τὴν
ἕκτην αὐτοῦ ὑπατείαν προσθείς. εὐδοκιμῶν τε οὖν ἐπὶ τούτοις καὶ 6
ἐπαινούμενος ἐπεθύμησε καὶ ἑτέραν τινὰ μεγαλοψυχίαν διαδείξα-
σθαι, ὅπως καὶ ἐκ τοῦ τοιούτου μᾶλλον τιμηθείη, καὶ παρ' ἑκόντων
δὴ τῶν ἀνθρώπων τὴν μοναρχίαν βεβαιώσασθαι τοῦ μὴ δοκεῖν
ἄκοντας αὐτοὺς βεβιάσθαι. κἀκ τούτου τοὺς μάλιστα ἐπιτηδείους 7
οἱ τῶν βουλευτῶν παρασκευάσας ἔς τε τὴν γερουσίαν ἐσῆλθεν
ἕβδομον ὑπατεύων, καὶ ἀνέγνω τοιάδε. a. u. 727

"ἄπιστα μὲν εὖ οἶδ' ὅτι δόξω τισὶν ὑμῶν ὦ πατέρες προῃρῆ- 3
σθαι· ἃ γὰρ αὐτὸς ἕκαστος τῶν ἀκουόντων οὐκ ἂν ἐθελήσειε ποιῆ-
σαι, ταῦτ' οὐδ' ἑτέρου λέγοντος πιστεύειν βούλεται, καὶ μάλισθ'
ὅτι πᾶς παντὶ τῷ ὑπερέχοντι φθονῶν ἑτοιμότερον ἀπιστεῖ τοῖς ὑπὲρ
ἑαυτὸν λεγομένοις. καὶ προσέτι καὶ γινώσκω τοῦθ', ὅτι οἱ τὰ μὴ 2
πιστὰ δοκοῦντα εἶναι λέγοντες οὐχ ὅσον οὐ πείθουσί τινας, ἀλλὰ
καὶ κόβαλοι δοκοῦσιν εἶναι. οὐ μὴν ἀλλ' εἰ μέν τι τοιοῦτον ἐπηγ-
γελλόμην ὃ μὴ παραχρῆμα ποιήσειν ἔμελλον, σφόδρ' ἂν ἀπώκνησα
αὐτὸ ἐκφῆναι, μὴ καὶ αἰτίαν τινὰ μοχθηρὰν ἀντὶ χάριτος λάβω·
νῦν δ' ὁπότε εὐθὺς καὶ τήμερον ἐπακολουθήσει τὸ ἔργον αὐτῷ, 3
πάνυ θαρσούντως ἔχω μὴ μόνον μηδεμίαν αἰσχύνην ψευδολογίας
ὀφλήσειν, ἀλλὰ καὶ πάντας ἀνθρώπους εὐδοξίᾳ νικήσειν. ὅτι μὲν 4
γὰρ πάρεστί μοι διὰ παντὸς ἄρχειν ὑμῶν, καὶ αὐτοὶ ὁρᾶτε· τό τε
γὰρ στασιάσαν πᾶν ἤτοι δικαιωθὲν πέπαυται ἢ καὶ ἐλεηθὲν σεσω-
φρόνισται, καὶ τὸ συναράμενόν μοι τῇ τε ἀμοιβῇ τῶν εὐεργεσιῶν
ᾠκείωται καὶ τῇ κοινωνίᾳ τῶν πραγμάτων ὠχύρωται, ὥστε μήτε 2

2 4 1 ἐκγόνοις*  6 1 προθείς?  3 2 1 ἑαυτῶν

Digitized by Google

ἐπιθυμῆσαί τινα νεωτέρων ἔργων, κἂν ἄρα τι καὶ τοιοῦτο γένηται,
τὸ γοῦν βοηθῆσον ἡμῖν ἕτοιμον ἔτι καὶ μᾶλλον εἶναι. τά τε στρα-
τιωτικὰ ἀκμάζει μοι καὶ εὐνοίᾳ καὶ ῥώμῃ, καὶ χρήματα ἔστι καὶ
σύμμαχοι, καὶ τὸ μέγιστον, οὕτω καὶ ὑμεῖς καὶ ὁ δῆμος διάκεισθε
3 πρός με ὥστε καὶ πάνυ ἂν προστατεῖσθαι ὑπ' ἐμοῦ ἐθελῆσαι. οὐ
μέντοι καὶ ἐπὶ πλεῖον ὑμᾶς ἐξηγήσομαι, οὐδ' ἐρεῖ τις ὡς ἐγὼ τῆς
αὐταρχίας ἕνεκα πάντα τὰ προκατειργασμένα ἔπραξα· ἀλλ' ἀφίημι
τὴν ἀρχὴν ἅπασαν καὶ ἀποδίδωμι ὑμῖν πάντα ἁπλῶς, τὰ ὅπλα
τοὺς νόμους τὰ ἔθνη, οὐχ ὅπως ἐκεῖνα ὅσα μοι ὑμεῖς ἐπετρέψατε,
4 ἀλλὰ καὶ ὅσα αὐτὸς μετὰ ταῦτα ὑμῖν προσεκτησάμην, ἵνα καὶ ἐξ
αὐτῶν τῶν ἔργων καταμάθητε τοῦθ', ὅτι οὐδ' ἀπ' ἀρχῆς δυναστείας
τινὸς ἐπεθύμησα, ἀλλ' ὄντως τῷ τε πατρὶ δεινῶς σφαγέντι τιμω-
ρῆσαι καὶ τὴν πόλιν ἐκ μεγάλων καὶ ἐπαλλήλων κακῶν ἐξελέσθαι
5 ἠθέλησα. ὤφελον μὲν γὰρ μηδ' ἐπιστῆναί ποτε οὕτω τοῖς πράγ-
μασιν· τοῦτ' ἔστιν, ὤφελον μὴ δεδεῆσθαί μου πρὸς τοιοῦτό τι τὴν
πόλιν, ἀλλ' ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, καθάπερ ποτὲ καὶ οἱ πατέρες
ἡμῶν, καὶ ἡμᾶς τοὺς ἐν τῇδε τῇ ἡλικίᾳ ἀπ' ἀρχῆς βεβιωκέναι.
2 ἐπεὶ δὲ εἱμαρμένη τις, ὡς ἔοικεν, ἐς τοῦτο προήγαγεν ὑμᾶς ὥστε
καὶ ἐμοῦ, καίπερ νέου ἔτι τότε ὄντος, καὶ χρείαν σχεῖν καὶ πεῖραν
λαβεῖν, μέχρι μὲν οὗ τὰ πράγματα τῆς παρ' ἐμοῦ ἐπικουρίας ἔχρῃζε,
πάντα τε προθύμως καὶ ὑπὲρ τὴν ἡλικίαν ἐποίησα καὶ πάντα εὐ-
3 τυχῶς καὶ ὑπὲρ τὴν δύναμιν κατέπραξα· καὶ οὐκ ἔστιν ὅ τι τῶν
πάντων ἀπέτρεψέ με κινδυνεύουσιν ὑμῖν ἐπικουρῆσαι, οὐ πόνος, οὐ
φόβος, οὐκ ἐχθρῶν ἀπειλαί, οὐ φίλων δεήσεις, οὐ τὸ πλῆθος τῶν
συνεστηκότων, οὐχ ἡ ἀπόνοια τῶν ἀντιτεταγμένων, ἀλλ' ἐπέδωκα
ἀφειδῶς ὑμῖν ἐμαυτὸν ἐς πάντα τὰ περιεστηκότα, καὶ ἔπραξα καὶ
4 ἔπαθον ἅπερ ἴστε. ἐξ ὧν αὐτὸς μὲν οὐδὲν κεκέρδαγκα πλὴν τοῦ
τὴν πατρίδα περιπεποιῆσθαι, ὑμεῖς δὲ καὶ σώζεσθε καὶ σωφρονεῖτε.
ἐπειδὴ δὲ καλῶς ποιοῦσα ἡ τύχη καὶ τὴν εἰρήνην ἄδολον καὶ τὴν
ὁμόνοιαν ἀστασίαστον δι' ἐμοῦ ὑμῖν ἀποδέδωκεν, ἀπολάβετε καὶ
τὴν ἐλευθερίαν καὶ τὴν δημοκρατίαν, κομίσασθε καὶ τὰ ὅπλα καὶ
τὰ ἔθνη τὰ ὑπήκοα, καὶ πολιτεύεσθε ὥσπερ εἰώθειτε.

6 καὶ μήτε θαυμάσητε εἰ ταῦθ' οὕτω φρονῶ, τήν τε ἄλλην ἐπι-
είκειάν μου καὶ πρᾳότητα καὶ ἀπραγμοσύνην ὁρῶντες, καὶ προσ-
εκλογιζόμενοι ὅτι οὐδὲν πώποτε οὐθ' ὑπέρογκον οὐθ' ὑπὲρ τοὺς
πολλούς, καίπερ πολλὰ πολλάκις ψηφισαμένων ὑμῶν, ἐδεξάμην·
2 μήτ' αὖ μωρίαν μου καταγνῶτε, ὅτι ἐξόν μοι καὶ ὑμῶν ἄρχειν καὶ
τηλικαύτην ἡγεμονίαν τοσαύτης οἰκουμένης ἔχειν οὐ βούλομαι. ἐγὼ

4 2 4 εὔνοια καὶ ῥώμη* 5 2 1 ἡμᾶς 3 μέν που*
6 1 1 μήτοι*

Digitized by Google

γάρ, ἄντε τὸ δίκαιόν τις ἐξετάζῃ, δικαιότατον εἶναι νομίζω τὸ τὰ
ὑμέτερα ὑμᾶς διέπειν, ἄντε καὶ τὸ συμφέρον, συμφορώτατον ἡγοῦ-
μαι καὶ ἐμοὶ τὸ μήτε πράγματα ἔχειν μήτε φθονεῖσθαι μήτε ἐπι-
βουλεύεσθαι καὶ ὑμῖν τὸ μετ᾽ ἐλευθερίας καὶ σωφρόνως καὶ φιλικῶς
πολιτεύεσθαι· ἄντε καὶ τὸ εὐκλεές, οὗπερ ἕνεκα πολλοὶ καὶ πολεμεῖν 3
καὶ κινδυνεύειν πολλάκις αἱροῦνται, πῶς μὲν οὐκ εὐδοξότατόν μοι
ἔσται τηλικαύτης ἀρχῆς ἀφέσθαι, πῶς δ᾽ οὐκ εὐκλεέστατον ἐκ το-
σούτου ἡγεμονίας ὄγκου ἐθελοντὶ ἰδιωτεῦσαι; ὥστ᾽ εἴ τις ὑμῶν
ἀπιστεῖ ταῦτ᾽ ὄντως τινὰ ἄλλον καὶ φρονῆσαι ἐπ᾽ ἀληθείας καὶ
εἰπεῖν δύνασθαι, ἔμοιγε πιστευσάτω. πολλὰ γὰρ καὶ μεγάλα κατα- 4
λέξαι ἔχων ὅσα καὶ ὑπ᾽ ἐμοῦ καὶ ὑπὸ τοῦ πατρός μου εὐηργέτησθε,
ἐφ᾽ οἷς εἰκότως ἂν ἡμᾶς ὑπὲρ πάντας τοὺς ἄλλους καὶ φιλοίητε
καὶ τιμῴητε, οὐδὲν ἂν ἄλλο τούτου μεῖζον εἴποιμι, οὐδ᾽ ἂν ἐπ᾽
ἄλλῳ τινὶ μᾶλλον σεμνυναίμην, ὅτι τὴν μοναρχίαν μήτε ἐκεῖνος
καίτοι διδόντων ὑμῶν λαβεῖν ἠθέλησε καὶ ἐγὼ ἔχων ἀφίημι. τί 7
γὰρ ἄν τις καὶ παρεξετάσειεν αὐτῷ; τὴν Γαλατίας ἅλωσιν ἢ τὴν
Μυσίας χείρωσιν ἢ τὴν Αἰγύπτου καταστροφὴν ἢ τὴν Παννονίας
δούλωσιν; ἀλλὰ τὸν Φαρνάκην τὸν Ἰόβαν τὸν Φραάτην, τὴν ἐπὶ
τοὺς Βρεττανοὺς στρατείαν, τὴν τοῦ Ῥήνου διάβασιν; καίτοι το-
σαῦτα καὶ τοιαῦτα ταῦτ᾽ ἐστὶν ὅσα καὶ οἷα οὐδὲ σύμπαντες οἱ
πατέρες ἡμῶν ἐν παντὶ τῷ πρόσθεν χρόνῳ πεποιήκασιν. ἀλλ᾽ 2
ὅμως οὔτε τούτων τι τῷ παρόντι ἔργῳ παραβαλεῖν ἐστὶν ἄξιον,
οὐθ᾽ ὅτι τοὺς ἐμφυλίους πολέμους καὶ μεγίστους καὶ ποικιλωτά-
τους διὰ πάντων γενομένους καὶ διεπολεμήσαμεν καλῶς καὶ διε-
θέμεθα φιλανθρώπως, τοῦ μὲν ἀντιστάντος ὡς καὶ πολεμίου παν-
τὸς κρατήσαντες, τὸ δ᾽ ὑπεῖξαν ὡς καὶ φίλιον πᾶν περισώσαν-
τες, ὥστ᾽ εἴπερ ποτὲ καὶ αὖθις πεπρωμένον εἴη τὴν πόλιν ἡμῶν 3
νοσῆσαι, τοῦτον ἂν αὐτὴν τὸν τρόπον εὔξασθαί τινα στασιάσαι·
τὸ γάρ τοι τοσοῦτό τε ἰσχύσαντας ἡμᾶς καὶ οὕτω καὶ τῇ ἀρετῇ
καὶ τῇ τύχῃ ἀκμάσαντας ὥστε καὶ ἑκόντων καὶ ἀκόντων ὑμῶν
αὐταρχῆσαι δυνηθῆναι, μήτε ἐκφρονῆσαι μήτε τῆς μοναρχίας
ἐπιθυμῆσαι, ἀλλὰ καὶ ἐκεῖνον διδομένην αὐτὴν ἀπώσασθαι καὶ
ἐμὲ δεδομένην ἀποδιδόναι, ὑπὲρ ἄνθρωπον ἐστίν. λέγω δὲ ταῦτα 4
οὐκ ἄλλως ἐπικομπῶν (οὐδὲ γὰρ ἂν εἶπον αὐτὰ ἀρχήν, εἰ καὶ
ὁτιοῦν πλεονεκτήσειν ἀπ᾽ αὐτῶν ἔμελλον) ἀλλ᾽ ἵν᾽ ἴδητε ὅτι πολ-
λῶν καὶ μεγάλων ἔς τε τὸ κοινὸν εὐεργετημάτων καὶ ἐς τὰ οἰ-
κεῖα σεμνολογημάτων ἡμῖν ὄντων ἐπὶ τούτῳ μάλιστα ἀγαλλόμεθα
ὅτι, ὧν ἕτεροι καὶ βιαζόμενοί τινας ἐπιθυμοῦσι, ταῦθ᾽ ἡμεῖς οὐδ᾽

4 4 μεῖζον] μᾶλλον*     7 3 2 ἂν om*

8 ἀναγκαζόμενοι προσιέμεθα. τίς μὲν γὰρ ἂν μεγαλοψυχότερός μου,
ἵνα μὴ καὶ τὸν πατέρα τὸν μετηλλαχότα αὖθις εἴπω, τίς δὲ δαι-
μονιώτερος εὑρεθείη; ὅστις, ὦ Ζεῦ καὶ Ἡρακλες, στρατιώτας
τοσούτους καὶ τοιούτους, καὶ πολίτας καὶ συμμάχους, φιλοῦν-
τάς με ἔχων, καὶ πάσης μὲν τῆς ἐντὸς τῶν Ἡρακλείων στηλῶν
θαλάσσης πλὴν ὀλίγων κρατῶν, ἐν πάσαις δὲ ταῖς ἠπείροις καὶ
2 πόλεις καὶ ἔθνη κεκτημένος, καὶ μήτ᾽ ἀλλοφύλου τινὸς ἔτι προσ-
πολεμοῦντός μοι μήτ᾽ οἰκείου στασιάζοντος, ἀλλὰ πάντων ὑμῶν καὶ
εἰρηνούντων καὶ ὁμονοούντων καὶ εὐθηνούντων καὶ τὸ μέγιστον
ἐθελοντηδὸν πειθαρχούντων, ἔπειθ᾽ ἑκούσιος αὐτεπάγγελτος καὶ ἀρ-
χῆς τηλικαύτης ἀφίσταμαι καὶ οὐσίας τοσαύτης ἀπαλλάττομαι.
3 ὥστ᾽ εἴπερ ὁ Ὁράτιος ὁ Μούκιος ὁ Κούρτιος ὁ Ῥήγουλος οἱ Δέκιοι
καὶ κινδυνεῦσαι καὶ ἀποθανεῖν ὑπὲρ τοῦ μέγα τι καὶ καλὸν πεποιη-
κέναι δόξαι ἠθέλησαν, πῶς οὐκ ἂν ἐγὼ μᾶλλον ἐπιθυμήσαιμι τοῦτο
πρᾶξαι ἐξ οὗ κἀκείνους καὶ τοὺς ἄλλους ἅμα πάντας ἀνθρώπους
4 εὐκλείᾳ ζῶν ὑπερβαλῶ; μὴ γάρ τοι νομίσῃ τις ὑμῶν τοὺς μὲν πά-
λαι Ῥωμαίους καὶ ἀρετῆς καὶ εὐδοξίας ἐφεῖσθαι, νῦν δὲ ἐξίτηλον
ἐν τῇ πόλει πᾶν τὸ ἀνδρῶδες γεγονέναι. μὴ μέντοι μηδ᾽ ὑποπτεύσῃ
ὅτι προέσθαι τε ὑμᾶς καὶ πονηροῖς τισὶν ἀνδράσιν ἐπιτρέψαι, ἢ
καὶ ὀχλοκρατίᾳ τινί, ἐξ ἧς οὐ μόνον οὐδὲν χρηστὸν ἀλλὰ καὶ πάντα
τὰ δεινότατα ἀεὶ πᾶσιν ἀνθρώποις γίγνεται, ἐκδοῦναι βούλομαι.
5 ὑμῖν γάρ, ὑμῖν τοῖς ἀρίστοις καὶ φρονιμωτάτοις πάντα τὰ κοινὰ
ἀνατίθημι. ἐκεῖνο μὲν γὰρ οὐδέποτ᾽ ἂν ἐποίησα, οὐδ᾽ εἰ μυριάκις
ἀποθανεῖν ἢ καὶ μοναρχῆσαί με ἔδει· τοῦτο δὲ καὶ ὑπὲρ ἐμαυτοῦ
6 καὶ ὑπὲρ τῆς πόλεως ποιῶ. αὐτός τε γὰρ καὶ πεπόνημαι καὶ τεταλ-
λαιπώρημαι, καὶ οὐκέτ᾽ οὔτε τῇ ψυχῇ οὔτε τῷ σώματι ἀντέχειν
δύναμαι· καὶ προσέτι καὶ τὸν φθόνον καὶ τὸ μῖσος, ἃ καὶ πρὸς
τοὺς ἀρίστους ἄνδρας ἐγγίγνεταί τισι, τάς τε ἐξ αὐτῶν ἐπιβουλὰς
7 προορῶμαι. καὶ διὰ ταῦτα καὶ ἰδιωτεῦσαι μᾶλλον εὐκλεῶς ἢ μο-
ναρχῆσαι ἐπικινδύνως αἱροῦμαι. καὶ τὰ κοινὰ κοινῶς ἂν πολὺ
βέλτιον ἅτε καὶ ὑπὸ πολλῶν ἅμα διαγόμενα καὶ μὴ ἐς ἕνα τινὰ
ἀνηρτημένα διοικοῖτο.

9 δι᾽ οὖν ταῦτα καὶ ἱκετεύω καὶ δέομαι πάντων ὑμῶν ὁμοίως
καὶ συνεπαινέσαι καὶ συμπροθυμηθῆναί μοι, λογισαμένους πάνθ᾽
ὅσα καὶ πεπολέμηκα ὑπὲρ ὑμῶν καὶ πεπολίτευμαι, κἂν τούτῳ πᾶ-
σάν μοι τὴν ὑπὲρ αὐτῶν χάριν ἀποδόντας, ἐν τῷ συγχωρῆσαί μοι
ἐν ἡσυχίᾳ ἤδη ποτὲ καταβιῶναι, ἵνα καὶ ἐκεῖνο ἴδητε ὅτι οὐ μόνον
ἄρχειν ἀλλὰ καὶ ἄρχεσθαι ἐπίσταμαι, καὶ πάνθ᾽ ὅσα ἄλλοις ἐπέταξα,

8 2 3 εὐσθενούντων*

καὶ αὐτὸς ἀντεπιταχθῆναι δύναμαι. μάλιστα μὲν γὰρ καὶ ἀσφα- 2
λῶς ζήσειν καὶ μηδὲν ὑπὸ μηδενὸς μήτ' ἔργῳ μήτε λόγῳ κακὸν
πείσεσθαι προσδοκῶ· τοσοῦτό που τῇ εὐνοίᾳ ὑμῶν, ἐξ ὧν αὐτὸς
ἐμαυτῷ σύνοιδα, πιστεύω. ἂν δέ τι καὶ πάθω, οἷα πολλοῖς συμ- 3
βαίνει (οὐδὲ γὰρ οἷόν τ' ἐστὶ πᾶσί τινα, ἄλλως τε καὶ ἐν τοσούτοις
πολέμοις, τοῖς μὲν ὀθνείοις τοῖς δὲ καὶ ἐμφυλίοις, γενόμενον καὶ
τηλικαῦτα πράγματα ἐπιτραπέντα, ἀρέσαι), καὶ πάνυ ἑτοίμως καὶ
πρὸ τοῦ εἱμαρμένου μοι χρόνου τελευτῆσαι μᾶλλον ἰδιωτεύσας, ἢ
καὶ ἀθάνατος μοναρχήσας γενέσθαι, αἱροῦμαι. ἐμοὶ μὲν γὰρ εὔ- 4
κλειαν καὶ αὐτὸ τοῦτο οἴσει ὅτι οὐ μόνον οὐκ ἐφόνευσά τινα ὑπὲρ
τοῦ τὴν ἀρχὴν κατασχεῖν, ἀλλὰ καὶ προσαπέθανον ὑπὲρ τοῦ μὴ
μοναρχῆσαι· ὁ δὲ δὴ τολμήσας ἀποκτεῖναί με πάντως που καὶ ὑπὸ
τοῦ δαιμονίου καὶ ὑφ' ὑμῶν κολασθήσεται. ἅπερ που καὶ ἐπὶ τοῦ 5
πατρός μου γέγονεν· ἐκεῖνος μὲν γὰρ καὶ ἰσόθεος ἀπεδείχθη καὶ
τιμῶν αἰδίων ἔτυχεν, οἱ δ' ἀποσφάξαντες αὐτὸν κακοὶ κακῶς ἀπώ-
λοντο. ἀθάνατοι μὲν γὰρ οὐκ ἂν δυνηθείημεν γενέσθαι, ἐκ δὲ δὴ
τοῦ καλῶς ζῆσαι καὶ ἐκ τοῦ καλῶς τελευτῆσαι καὶ τοῦτο τρόπον
τινὰ κτώμεθα. ἀφ' οὗπερ καὶ ἐγὼ τὸ μὲν ἤδη ἔχων τὸ δὲ ἕξειν 6
ἐλπίζων, ἀποδίδωμι ὑμῖν καὶ τὰ ὅπλα καὶ τὰ ἔθνη τάς τε προσό-
δους καὶ τοὺς νόμους, τοσοῦτο μόνον ὑπειπών, ἵνα μήτε τὸ μέγεθος
ἢ καὶ τὸ δυσμεταχείριστον τῶν πραγμάτων φοβηθέντες ἀθυμήσητε,
μήτ' αὖ καταφρονήσαντες αὐτῶν ὡς καὶ ῥᾳδίως διοικεῖσθαι δυνα-
μένων ἀμελήσητε.

καίτοι καὶ καθ' ἕκαστον τῶν μειζόνων οὐκ ἂν ὀκνήσαιμι ὑμῖν 10
ἐν κεφαλαίοις ὅσα χρὴ πράττειν ὑποθέσθαι. τίνα δὲ ταῦτα ἐστίν;
πρῶτον μὲν τοὺς κειμένους νόμους ἰσχυρῶς φυλάττετε, καὶ μηδένα
αὐτῶν μεταβάλητε· τὰ γὰρ ἐν ταὐτῷ μένοντα, κἂν χείρω ᾖ, συμφο-
ρώτερα τῶν ἀεὶ καινοτομουμένων, κἂν βελτίω εἶναι δοκῇ, ἐστίν.
ἔπειτα δέ, ὅσα προστάττουσιν ὑμῖν οὗτοι ποιεῖν καὶ ὅσων ἀπαγο- 2
ρεύουσιν ἀπέχεσθαι, μὴ τῷ λόγῳ μόνον ἀλλὰ καὶ τῷ ἔργῳ, μηδ'
ἐν τῷ κοινῷ μόνον ἀλλὰ καὶ ἰδίᾳ ἀκριβῶς παρατηρεῖσθε, ὅπως μὴ
τιμωρίας ἀλλὰ τιμῶν τυγχάνητε. τάς τε ἀρχὰς καὶ τὰς εἰρηνικὰς 3
καὶ τὰς πολεμικὰς τοῖς ἀεὶ ἀρίστοις τε καὶ ἐμφρονεστάτοις ἐπι-
τρέπετε, μήτε φθονοῦντές τισι, μήθ' ὑπὲρ τοῦ τὸν δεῖνα ἢ τὸν
δεῖνα πλεονεκτῆσαί τι, ἀλλ' ὑπὲρ τοῦ τὴν πόλιν καὶ σώζεσθαι καὶ
εὐπραγεῖν φιλοτιμούμενοι. καὶ τοὺς μὲν τοιούτους τιμᾶτε, τοὺς 4
δ' ἄλλως πως πολιτευομένους κολάζετε. καὶ τὰ μὲν ἴδια κοινὰ τῇ
πόλει παρέχετε, τῶν δὲ δημοσίων ὡς ἀλλοτρίων ἀπέχεσθε. καὶ τὰ
μὲν ὑπάρχοντα ὑμῖν ἀκριβῶς φυλάττετε, τῶν δὲ μὴ προσηκόντων
μηδαμῶς ἐφίεσθε. καὶ τοὺς μὲν συμμάχους καὶ τοὺς ὑπηκόους 5



Digitized by Google

μήτε ὑβρίζετε μήτε ἐκχρηματίζεσθε, τοὺς δὲ πολεμίους μήτ᾽ ἀδικεῖτε μήτε φοβεῖσθε. τὰ μὲν ὅπλα ἐν ταῖς χερσὶν ἀεὶ ἔχετε, μὴ μέντοι μήτε κατ᾽ ἀλλήλων μήτε κατὰ τῶν εἰρηνούντων αὐτοῖς χρῆσθε.
6 τούς τε στρατιώτας τρέφετε μὲν ἀρκούντως, ὥστε μηδενὸς τῶν ἀλλοτρίων δι᾽ ἀπορίαν ἐπιθυμῆσαι, συνέχετε δὲ καὶ σωφρονίζετε, ὥστε μηδὲν κακὸν διὰ θρασύτητα δρᾶσαι.
7 ἀλλὰ τί δεῖ μακρολογεῖν, πάνθ᾽ ἃ προσήκει ποιεῖν ὑμᾶς ἐπεξιόντα; καὶ γὰρ τὰ λοιπὰ ῥᾳδίως ἂν ἐκ τούτων ὡς χρὴ πράττεσθαι συνίδοιτε. ἓν οὖν ἔτι τοῦτο εἰπὼν παύσομαι, ὅτι ἂν μὲν οὕτω πολιτεύσησθε, αὐτοί τε εὐδαιμονήσετε καὶ ἐμοὶ χαριεῖσθε, ὅστις
8 ὑμᾶς στασιάζοντας κακῶς λαβὼν τοιούτους ἀπέδειξα, ἂν δ᾽ ἀδυνατήσητε καὶ ὁτιοῦν πρᾶξαι αὐτῶν, ἐμὲ μὲν μετανοῆσαι ποιήσετε, τὴν δὲ δὴ πόλιν ἔς τε πολέμους πολλοὺς καὶ ἐς κινδύνους μεγάλους αὖθις ἐμβαλεῖτε."

11 τοιαῦτα τοῦ Καίσαρος ἀναλέγοντος ποικίλον τι πάθος τοὺς βουλευτὰς κατελάμβανεν. ὀλίγοι μὲν γὰρ τήν τε διάνοιαν αὐτοῦ ᾔδεσαν κἀκ τούτου καὶ συνεσπούδαζον αὐτῷ· τῶν δ᾽ ἄλλων οἱ μὲν ὑπώπτευον τὰ λεγόμενα οἱ δ᾽ ἐπίστευον σφίσι, καὶ διὰ ταῦτα καὶ
2 ἐθαύμαζον ὁμοίως ἀμφότεροι, οἱ μὲν τὴν περιτέχνησιν αὐτοῦ οἱ δὲ τὴν γνώμην, καὶ ἤχθοντο οἱ μὲν τῇ πραγματείᾳ αὐτοῦ οἱ δὲ τῇ μετανοίᾳ. τό τε γὰρ δημοκρατικὸν ἤδη τινὲς ὡς καὶ στασιῶδες ἐμίσουν, καὶ τῇ μεταστάσει τῆς πολιτείας ἠρέσκοντο, τῷ τε Καίσαρι ἔχαιρον. καὶ ἀπ᾽ αὐτῶν τοῖς μὲν παθήμασι διαφόροις τοῖς δὲ ἐπι-
3 νοήμασιν ὁμοίοις ἐχρῶντο. οὔτε γὰρ πιστεύσαντες ἀληθῶς αὐτὰ λέγεσθαι χαίρειν ἐδύναντο, οὔθ᾽ οἱ βουλόμενοι τοῦτο διὰ τὸ δέος, οὔθ᾽ οἱ ἕτεροι διὰ τὰς ἐλπίδας· οὔτ᾽ ἀπιστήσαντες διαβαλεῖν τε αὐτὸν καὶ ἐλέγξαι ἐτόλμων, οἱ μὲν ὅτι ἐφοβοῦντο, οἱ δὲ ὅτι οὐκ
4 ἐβούλοντο. ὅθεν περ καὶ πιστεύειν αὐτῷ πάντες οἱ μὲν ἠναγκάζοντο οἱ δὲ ἐπλάττοντο. καὶ ἐπαινεῖν αὐτὸν οἱ μὲν οὐκ ἐθάρσουν οἱ δ᾽ οὐκ ἤθελον, ἀλλὰ πολλὰ μὲν καὶ μεταξὺ ἀναγινώσκοντος αὐτοῦ διεβόων πολλὰ δὲ καὶ μετὰ τοῦτο, μοναρχεῖσθαί τε δεόμενοι καὶ πάντα τὰ ἐς τοῦτο φέροντα ἐπιλέγοντες, μέχρις οὗ κατηνάγκασαν
5 δῆθεν αὐτὸν αὐταρχῆσαι. καὶ παραυτίκα γε τοῖς δορυφορήσουσιν αὐτὸν διπλάσιον τὸν μισθὸν τοῦ τοῖς ἄλλοις στρατιώταις διδομένου ψηφισθῆναι διεπράξατο, ὅπως ἀκριβῆ τὴν φρουρὰν ἔχῃ. οὕτως ὡς ἀληθῶς καταθέσθαι τὴν μοναρχίαν ἐπεθύμησεν.

12 τὴν μὲν οὖν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ καὶ παρὰ τῆς γερουσίας τοῦ τε δήμου ἐβεβαιώσατο, βουληθεὶς δὲ δὴ καὶ ὡς δημοτικός

11 1 1 ἀναλεγομένου?* 5 3 διεπράξαντο*

Digitized by Google

τις εἶναι δόξαι, τὴν μὲν φροντίδα τήν τε προστασίαν τῶν κοινῶν πᾶσαν ὡς καὶ ἐπιμελείας τινὸς δεομένων ὑπεδέξατο, οὔτε δὲ πάντων αὐτὸς τῶν ἐθνῶν ἄρξειν, οὐθ' ὅσων ἂν ἄρξῃ, διὰ παντὸς τοῦτο 2
ποιήσειν ἔφη, ἀλλὰ τὰ μὲν ἀσθενέστερα ὡς καὶ εἰρηναῖα καὶ ἀπόλεμα ἀπέδωκε τῇ βουλῇ, τὰ δ' ἰσχυρότερα ὡς καὶ σφαλερὰ καὶ ἐπικίνδυνα καὶ ἤτοι πολεμίους τινὰς προσοίκους ἔχοντα ἢ καὶ αὐτὰ καθ' ἑαυτὰ μέγα τι νεωτερίσαι δυνάμενα κατέσχεν, λόγῳ μὲν ὅπως 3
ἡ μὲν γερουσία ἀδεῶς τὰ κάλλιστα τῆς ἀρχῆς καρπῶται, αὐτὸς δὲ τούς τε πόνους καὶ τοὺς κινδύνους ἔχῃ, ἔργῳ δὲ ἵνα ἐπὶ τῇ προφάσει ταύτῃ ἐκεῖνοι μὲν καὶ ἄοπλοι καὶ ἄμαχοι ὦσιν, αὐτὸς δὲ δὴ μόνος καὶ ὅπλα ἔχῃ καὶ στρατιώτας τρέφῃ. καὶ ἐνομίσθη διὰ 4
ταῦτα ἡ μὲν Ἀφρικὴ καὶ ἡ Νουμιδία ἥ τε Ἀσία καὶ ἡ Ἑλλὰς μετὰ τῆς Ἠπείρου, καὶ τὸ Δελματικὸν τό τε Μακεδονικὸν καὶ Σικελία, Κρήτη τε μετὰ Λιβύης τῆς περὶ Κυρήνην καὶ Βιθυνία μετὰ τοῦ προσκειμένου οἱ Πόντου, Σαρδώ τε καὶ Βαιτικὴ τοῦ τε δήμου καὶ τῆς γερουσίας εἶναι, τοῦ δὲ δὴ Καίσαρος ἥ τε λοιπὴ Ἰβηρία, ἥ τε 5
περὶ Ταρράκωνα καὶ ἡ Λυσιτανία, καὶ Γαλάται πάντες, οἵ τε Ναρβωνήσιοι καὶ οἱ Λουγδουνήσιοι Ἀκυτανοί τε καὶ Κελτικοί, αὐτοί τε καὶ οἱ ἄποικοί σφων· Κελτῶν γάρ τινες, οὓς δὴ Γερμα- 6
νοὺς καλοῦμεν, πᾶσαν τὴν πρὸς τῷ Ῥήνῳ Κελτικὴν κατασχόντες Γερμανίαν ὀνομάζεσθαι ἐποίησαν, τὴν μὲν ἄνω τὴν μετὰ τὰς τοῦ ποταμοῦ πηγάς, τὴν δὲ κάτω τὴν μέχρι τοῦ ὠκεανοῦ τοῦ Βρεττανικοῦ οὖσαν. ταῦτά τε οὖν καὶ ἡ Συρία ἡ κοίλη καλουμένη ἥ τε 7
Φοινίκη καὶ Κιλικία καὶ Κύπρος καὶ Αἰγύπτιοι ἐν τῇ τοῦ Καίσαρος μερίδι τότε ἐγένοντο· ὕστερον γὰρ τὴν μὲν Κύπρον καὶ τὴν Γαλατίαν τὴν περὶ Νάρβωνα τῷ δήμῳ ἀπέδωκεν, αὐτὸς δὲ τὴν Δελματίαν ἀντέλαβεν. καὶ τοῦτο μὲν καὶ ἐπ' ἄλλων ἐθνῶν μετὰ ταῦτα 8
ἐπράχθη, ὥς που καὶ ἡ διέξοδος τοῦ λόγου δηλώσει· ταῦτα δὲ οὕτω κατέλεξα, ὅτι νῦν χωρὶς ἕκαστον αὐτῶν ἡγεμονεύεται, ἐπεὶ τό γε ἀρχαῖον καὶ ἐπὶ πολὺ καὶ σύνδυο καὶ σύντρια τὰ ἔθνη ἅμα ἤρχετο. τῶν δὲ δὴ λοιπῶν οὐκ ἐμνημόνευσα, ὅτι τὰ μὲν ὕστερον 9
αὐτῶν προσεκτήθη, τὰ δέ, εἰ καὶ τότε ἤδη ἐκεχείρωτο, ἀλλ' οὔτοι γε καὶ ὑπὸ τῶν Ῥωμαίων ἤρχετο, ἀλλ' ἢ αὐτόνομα ἀφεῖτο ἢ καὶ βασιλείαις τισὶν ἐπετέτραπτο· καὶ αὐτῶν ὅσα μετὰ τοῦτο ἐς τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀφίκετο, τῷ ἀεὶ κρατοῦντι προσετέθη.

τὰ μὲν οὖν ἔθνη οὕτω διῃρέθη, βουληθεὶς δὲ δὴ καὶ ὣς ὁ 13
Καῖσαρ πόρρω σφᾶς ἀπαγαγεῖν τοῦ τι μοναρχικὸν φρονεῖν δοκεῖν, ἐς δέκα ἔτη τὴν ἀρχὴν τῶν δοθέντων οἱ ὑπέστη· τοσούτῳ τε γὰρ

12 2 1 ἄρχειν* . 2 3 τῇ βουλῇ e Xiphilino et Zonara addita
6 3 κατὰ?* [illegible]

χρόνῳ καταστήσειν αὐτὰ ὑπέσχετο, καὶ προσενεανιεύσατο εἰπὼν ὅτι,
2 ἂν καὶ θᾶττον ἡμερωθῇ, θᾶττον αὐτοῖς καὶ ἐκεῖνα ἀποδώσει. κἀκ
τούτου πρῶτον μὲν αὐτοὺς τοὺς βουλευτὰς ἑκατέρων τῶν ἐθνῶν,
πλὴν Αἰγυπτίων, ἄρχειν κατέδειξεν (ἐκείνοις γὰρ δὴ καὶ μόνοις τὸν
ὠνομασμένον ἱππέα, δι' ἅπερ εἶπον, προσέταξεν)· ἔπειτα δὲ τοὺς
μὲν καὶ ἐπετησίους καὶ κληρωτοὺς εἶναι, πλὴν εἴ τῳ πολυπαιδίας
3 ἢ γάμου προνομία προσείη, καὶ ἔκ τε τοῦ κοινοῦ τῆς γερουσίας
συλλόγου πέμπεσθαι μήτε ξίφος παραζωννυμένους μήτε στρατιω-
τικῇ ἐσθῆτι χρωμένους, καὶ ἀνθυπάτους καλεῖσθαι μὴ ὅτι τοὺς
δύο τοὺς ὑπατευκότας ἀλλὰ καὶ τοὺς ἄλλους τοὺς ἐκ τῶν ἐστρα-
4 τηγηκότων ἢ δοκούντων γε ἐστρατηγηκέναι μόνον ὄντας, ῥαβδούχοις
τέ σφας ἑκατέρους ὅσοις περ καὶ ἐν τῷ ἄστει νενόμισται χρῆσθαι,
καὶ τὰ τῆς ἀρχῆς ἐπίσημα καὶ παραχρῆμα ἅμα τῷ ἔξω τοῦ πω-
μηρίου γενέσθαι προστίθεσθαι καὶ διὰ παντὸς μέχρις ἂν ἀνακο-
5 μισθῶσιν ἔχειν ἐκέλευσεν. τοὺς δὲ ἑτέρους ὑπό τε ἑαυτοῦ αἱρεῖσθαι
καὶ πρεσβευτὰς αὐτοῦ ἀντιστρατήγους τε ὀνομάζεσθαι, κἂν ἐκ τῶν
ὑπατευκότων ὦσι, διέταξεν. τῶν γὰρ δὴ δύο τούτων ὀνομάτων
ἐπὶ πλεῖστον ἐν τῇ δημοκρατίᾳ ἀνθησάντων, τὸ μὲν τοῦ στρατηγοῦ
τοῖς αἱρετοῖς ὡς καὶ τῷ πολέμῳ ἀπὸ τοῦ πάνυ ἀρχαίου προσῆκον
ἔδωκεν, ἀντιστρατήγους σφᾶς προσειπών, τὸ δὲ δὴ τῶν ὑπάτων
τοῖς ἑτέροις ὡς καὶ εἰρηνικωτέροις, ἀνθυπάτους αὐτοὺς ἐπικαλέσας.
6 αὐτὰ μὲν γὰρ τὰ ὀνόματα, τό τε τοῦ στρατηγοῦ καὶ τὸ τοῦ ὑπά-
του, ἐν τῇ Ἰταλίᾳ ἐτήρησε, τοὺς δὲ ἔξω πάντας ὡς καὶ ἀντ' ἐκείνων
ἄρχοντας προσηγόρευσεν. τῇ τε οὖν ἐπικλήσει τῇ τῶν ἀντιστρατή-
γων τοὺς αἱρετοὺς χρῆσθαι, καὶ ἐπὶ πλείω καὶ ἐνιαυτοῦ χρόνον,
ἐφ' ὅσον ἂν ἑαυτῷ δόξοι, ἄρχειν ἐποίησε, τήν τε στρατιωτικὴν
στολὴν φοροῦντας καὶ ξίφος, οἷς γε καὶ στρατιώτας δικαιῶσαι
7 ἔξεστιν, ἔχοντας. ἄλλῳ γὰρ οὐδενὶ οὔτε ἀνθυπάτῳ οὔτε ἀντιστρα-
τήγῳ οὔτε ἐπιτρόπῳ ξιφηφορεῖν δέδοται, ᾧ μὴ καὶ στρατιώτην
τινὰ ἀποκτεῖναι ἐξεῖναι νενόμισται· οὐ γὰρ ὅτι τοῖς βουλευταῖς
ἀλλὰ καὶ τοῖς ἱππεῦσιν, οἷς τοῦθ' ὑπάρχει, καὶ ἐκεῖνο συγκεχώρηται.
8 ταῦτα μὲν οὖν οὕτως ἔχει, ῥαβδούχοις δὲ δὴ ἓξ πάντες ὁμοίως οἱ
ἀντιστράτηγοι χρῶνται· καὶ ὅσοι γε οὐκ ἐκ τῶν ὑπατευκότων εἰσί,
καὶ ὀνομάζονται ἐπ' αὐτοῦ τοῦ ἀριθμοῦ τούτου. τά τε τῆς ἡγεμο-
νίας κοσμήματα, ὅταν τε ἐς τὴν προστεταγμένην σφίσι χώραν ἐσέλ-
θωσιν, ἑκάτεροι ὁμοίως ἀναλαμβάνουσι, καὶ ἐπειδὰν διάρξωσιν,
εὐθὺς κατατίθενται.

14 οὕτω μὲν καὶ ἐπὶ τούτοις ἔκ τε τῶν ἐστρατηγηκότων καὶ ἐκ

13 8 1 ἓξ] πέντε [illegible]

Digitized by Google

τῶν ὑπατευκότων ἄρχοντες ἀμφοτέρωσε πέμπεσθαι ἐνομίσθησαν.
καὶ αὐτῶν ὁ μὲν αὐτοκράτωρ ὅποι τέ τινα καὶ ὁπότε ἤθελεν ἔστελλεν,
καὶ πολλοὶ καὶ στρατηγοῦντες καὶ ὑπατεύοντες ἡγεμονίας ἐθνῶν
ἔσχον, ὃ καὶ νῦν ἔστιν ὅτε γίγνεται· τῇ δὲ δὴ βουλῇ ἰδίᾳ μὲν τοῖς 2
τε ὑπατευκόσι τήν τε Ἀφρικὴν καὶ τὴν Ἀσίαν καὶ τοῖς ἐστρατηγη-
κόσι τὰ λοιπὰ πάντα ἀπένειμε, κοινῇ δὲ δὴ πᾶσιν αὐτοῖς ἀπηγόρευσε
μηδένα πρὸ πέντε ἐτῶν μετὰ τὸ ἐν τῇ πόλει ἄρξαι κληροῦσθαι.
καὶ χρόνῳ μέν τινι πάντες οἱ τοιοῦτοι, εἰ καὶ πλείους τῶν ἐθνῶν 3
ἦσαν, ἐλάγχανον αὐτά· ὕστερον δέ, ἐπειδή τινες αὐτῶν οὐ καλῶς
ἦρχον, τῷ αὐτοκράτορι καὶ ἐκεῖνοι προσετέθησαν, καὶ οὕτω καὶ
τούτοις αὐτὸς τρόπον τινὰ τὰς ἡγεμονίας δίδωσιν. ἰσαρίθμους τε 4
γὰρ τοῖς ἔθνεσι, καὶ οὓς ἂν ἐθελήσῃ, κληροῦσθαι κελεύει. αἱρετούς
τέ τινες καὶ ἐκεῖσε ἔπεμψαν, καὶ ἐπὶ πλείω ἐνιαυτοῦ χρόνον ἔστιν
οἷς ἄρξαι ἐπέτρεψαν· καί τινες καὶ ἱππεῦσιν ἀντὶ τῶν βουλευτῶν
ἔθνη τινὰ προσέταξαν.

ταῦτα μὲν οὕτω τότε περὶ τοὺς βουλευτὰς τούς γε καὶ θανατοῦν 5
τοὺς ἀρχομένους ἐξουσίαν ἔχοντας ἐνομίσθη. πέμπονται γὰρ καὶ
οἷς οὐκ ἔξεστι τοῦτο, ἐς μὲν τὰ τοῦ δήμου τῆς τε βουλῆς λεγόμενα
ἔθνη οἵ τε ταμιεύοντες, οὓς ἂν ὁ κλῆρος ἀποδείξῃ, καὶ οἱ παρε-
δρεύοντες τοῖς τὸ κῦρος τῆς ἀρχῆς ἔχουσιν. οὕτω γὰρ ἂν ὀρθῶς 6
αὐτούς, οὐ πρὸς τὸ ὄνομα ἀλλὰ πρὸς τὴν πρᾶξιν, ὥσπερ εἶπον,
καλέσαιμι, ἐπεὶ οἵ γε ἄλλοι πρεσβευτὰς καὶ τούτους ἑλληνίζοντες
ὀνομάζουσιν. καὶ περὶ μὲν τῆς ἐπικλήσεως ταύτης ἀρκούντως ἐν
τοῖς ἄνω λόγοις εἴρηται, τοὺς δὲ δὴ παρέδρους αὐτὸς ἑαυτῷ ἕκαστος 7
αἱρεῖται, ἕνα μὲν οἱ ἐστρατηγηκότες καὶ ἐκ τῶν ὁμοίων σφίσιν ἢ
τῶν ὑποδεεστέρων, τρεῖς δὲ οἱ ὑπατευκότες ἐκ τῶν ὁμοτίμων, οὓς
ἂν καὶ ὁ αὐτοκράτωρ δοκιμάσῃ. ἐκαινοτομήθη μὲν γάρ τι καὶ κατὰ
τούτους, ἀλλ᾽ ἐπειδὴ ταχὺ ἐπαύσατο, ἀρκέσει τότε αὐτὸ λεχθῆναι.

περὶ μὲν οὖν τὰ τοῦ δήμου ἔθνη ταῦθ᾽ οὕτω γίγνεται· πέμπον- 15
ται δὲ καὶ ἐς τὰ ἕτερα, τὰ τοῦ τε αὐτοκράτορος ὀνομαζόμενα καὶ
πολιτικὰ στρατόπεδα πλείω ἑνὸς ἔχοντα, οἱ ἄρξοντές σφων ὑπ᾽ αὐ-
τοῦ ἐκείνου, τὸ μὲν πλεῖστον ἐκ τῶν ἐστρατηγηκότων, ἤδη δὲ καὶ
ἐκ τῶν τεταμιευκότων ἢ καὶ ἄλλην τινὰ ἀρχὴν τῶν διὰ μέσου ἀρ-
ξάντων αἱρούμενοι.

τῶν μὲν δὴ οὖν βουλευόντων ταῦτα ἔχεται, ἐκ δὲ δὴ τῶν ἱππέων 2
τούς τε χιλιάρχους, καὶ τοὺς βουλεύσαντας καὶ τοὺς λοιπούς, ὧν
περὶ τῆς διαφορᾶς ἄνω μοι τοῦ λόγου προείρηται, αὐτὸς ὁ αὐτο-
κράτωρ τοὺς μὲν ἐς τὰ πολιτικὰ τείχη μόνα τοὺς δὲ καὶ ἐς τὰ

14 2 1 καὶ] γε vel τε    15 1 3 ὑπάρξοντες*

Digitized by Google

ξενικὰ ἀποστέλλει, ὥσπερ τότε πρὸς τοῦ πρώτου Καίσαρος ἐνο-
3 μίσθη· καὶ τοὺς ἐπιτρόπους (οὕτω γὰρ τούς τάς τε κοινὰς προσό-
δους ἐκλέγοντας καὶ τὰ προστεταγμένα σφίσιν ἀναλίσκοντας ὀνο-
μάζομεν) ἐς πάντα ὁμοίως τὰ ἔθνη, τά τε ἑαυτοῦ δὴ καὶ τὰ τοῦ
δήμου, τοὺς μὲν ἐκ τῶν ἱππέων τοὺς δὲ καὶ ἐκ τῶν ἀπελευθέρων
πέμπει, πλὴν καθ᾽ ὅσον τοὺς φόρους οἱ ἀνθύπατοι παρ᾽ ὧν ἄρ-
4 χουσιν ἐσπράσσουσιν. ἐντολάς τέ τινας καὶ τοῖς ἐπιτρόποις καὶ
τοῖς ἀνθυπάτοις τοῖς τε ἀντιστρατήγοις δίδωσιν, ὅπως ἐπὶ ῥητοῖς
ἐξίωσιν. καὶ γὰρ τοῦτο καὶ τὸ μισθοφορὰν καὶ ἐκείνοις καὶ τοῖς
5 ἄλλοις δίδοσθαι τότε ἐνομίσθη. τὸ μὲν γὰρ πάλαι ἐργολαβοῦντές
τινες παρὰ τοῦ δημοσίου πάντα σφίσι τὰ πρὸς τὴν ἀρχὴν φέροντα
παρεῖχον· ἐπὶ δὲ δὴ τοῦ Καίσαρος πρῶτον αὐτοὶ ἐκεῖνοι τακτόν τι
λαμβάνειν ἤρξαντο. καὶ τοῦτο μὲν οὐκ ἐκ τοῦ ἴσου πᾶσι σφίσιν,
ἀλλ᾽ ὥς που καὶ ἡ χρεία ἀπῄτει, ἐτάχθη· καὶ τοῖς γε ἐπιτρόποις
καὶ αὐτὸ τὸ τοῦ ἀξιώματος ὄνομα ἀπὸ τοῦ ἀριθμοῦ τῶν διδομέ-
6 νων αὐτοῖς χρημάτων προσγίγνεται. ἐκεῖνα δὲ ἐπὶ πᾶσιν ὁμοίως
ἐνομοθετήθη, μήτε καταλόγους σφᾶς ποιεῖσθαι, μήτ᾽ ἀργύριον ἔξω
τοῦ τεταγμένου ἐσπράσσειν, εἰ μὴ ἤτοι ἡ βουλὴ ψηφίσαιτο ἢ ὁ
αὐτοκράτωρ κελεύσειεν· ὅταν τέ τῳ ὁ διάδοχος ἔλθῃ, ἔκ τε τοῦ
ἔθνους αὐτίκα αὐτὸν ἐξορμᾶσθαι καὶ ἐν τῇ ἀνακομιδῇ μὴ ἐγχρο-
νίζειν, ἀλλ᾽ ἐντὸς τριῶν μηνῶν ἐπανιέναι.

16 ταῦτα μὲν οὖν οὕτω τότε ὥς γε εἰπεῖν διετάχθη· τῷ γὰρ ἔργῳ
καὶ πάντων καὶ διὰ παντὸς αὐτὸς ὁ Καῖσαρ, ἅτε καὶ τῶν χρημά-
των κυριεύων (λόγῳ μὲν γὰρ τὰ δημόσια ἀπὸ τῶν ἐκείνου ἀπεκέ-
κριτο, ἔργῳ δὲ καὶ ταῦτα πρὸς τὴν γνώμην αὐτοῦ ἀνηλίσκετο) καὶ
2 τῶν στρατιωτῶν κρατῶν, αὐταρχήσειν ἔμελλεν. τῆς γοῦν δεκαετίας
ἐξελθούσης ἄλλα ἔτη πέντε, εἶτα πέντε, καὶ μετὰ τοῦτο δέκα καὶ
ἕτερα αὖθις δέκα πεντάκις αὐτῷ ἐψηφίσθη, ὥστε τῇ τῶν δεκετη-
3 ρίδων διαδοχῇ διὰ βίου αὐτὸν μοναρχῆσαι. καὶ διὰ τοῦτο καὶ οἱ
μετὰ ταῦτα αὐτοκράτορες, καίτοι μηκέτ᾽ ἐς τακτὸν χρόνον ἀλλ᾽ ἐς
πάντα καθάπαξ τὸν βίον ἀποδεικνύμενοι, ὅμως διὰ τῶν δέκα ἀεὶ
ἐτῶν ἑώρτασαν ὡς καὶ τὴν ἡγεμονίαν αὖθις τότε ἀνανεούμενοι·
4 καὶ τοῦτο καὶ νῦν γίγνεται. ὁ δ᾽ οὖν Καῖσαρ πολλὰ μὲν καὶ πρό-
τερον, ὅτε τὰ περὶ τῆς ἐξωμοσίας τῆς μοναρχίας καὶ τὰ περὶ τῆς
τῶν ἐθνῶν διανομῆς διελέχθη, ἔλαβεν· καὶ γὰρ τό τε τὰς δάφνας
πρὸ τῶν βασιλείων αὐτοῦ προτίθεσθαι, καὶ τὸ τὸν στέφανον τὸν
δρύινον ὑπὲρ αὐτῶν ἀρτᾶσθαι, τότε οἱ ὡς καὶ ἀεὶ τούς τε πολε-
5 μίους νικῶντι καὶ τοὺς πολίτας σώζοντι ἐψηφίσθη. (καλεῖται δὲ τὰ

2 5 πρώτου] αὐτοῦ    4 3 τὸ] τὴν*    5 6 τὸ τοῦ] τοῦτο*
6 3 ἤτοι] ἤ τι    16 2 3 πεμπτάκις    4 1 πρότερα

Digitized by Google

βασίλεια παλάτιον, οὐχ ὅτι καὶ ἔδοξέ ποτε οὕτως αὐτὰ ὀνομάζεσθαι,
ἀλλ' ὅτι ἔν τε τῷ Παλατίῳ ὁ Καῖσαρ ᾤκει καὶ ἐκεῖ τὸ στρατήγιον
εἶχε, καί τινα καὶ πρὸς τὴν τοῦ Ῥωμύλου προενοίκησιν φήμην ἡ
οἰκία αὐτοῦ ἀπὸ τοῦ παντὸς ὄρους ἔλαβεν· καὶ διὰ τοῦτο κἂν ἄλ- 6
λοθί που ὁ αὐτοκράτωρ καταλύῃ, τὴν τοῦ παλατίου ἐπίκλησιν ἡ
καταγωγὴ αὐτοῦ ἴσχει). ἐπεὶ δὲ καὶ τῷ ἔργῳ αὐτὰ ἐπετέλεσεν,
οὕτω δὴ καὶ τὸ τοῦ Αὐγούστου ὄνομα καὶ παρὰ τῆς βουλῆς καὶ
παρὰ τοῦ δήμου ἐπέθετο. βουληθέντων γάρ σφων ἰδίως πως αὐ- 7
τὸν προσειπεῖν, καὶ τῶν μὲν τὸ τῶν δὲ τὸ καὶ ἐσηγουμένων καὶ
αἱρουμένων, ὁ Καῖσαρ ἐπεθύμει μὲν ἰσχυρῶς Ῥωμύλος ὀνομασθῆ-
ναι, αἰσθόμενος δὲ ὅτι ὑποπτεύεται ἐκ τούτου τῆς βασιλείας ἐπι-
θυμεῖν, οὐκέτ' αὐτοῦ ἀντεποιήσατο, ἀλλ' Αὔγουστος ὡς καὶ πλεῖόν 8
τι ἢ κατ' ἀνθρώπους ὢν ἐπεκλήθη· πάντα γὰρ τὰ ἐντιμότατα καὶ
τὰ ἱερώτατα αὔγουστα προσαγορεύεται. ἐξ οὗπερ καὶ σεβαστὸν
αὐτὸν καὶ ἑλληνίζοντές πως, ὥσπερ τινὰ σεπτόν, ἀπὸ τοῦ σεβάζε-
σθαι, προσεῖπον.

οὕτω μὲν δὴ τό τε τοῦ δήμου καὶ τὸ τῆς γερουσίας κράτος 17
πᾶν ἐς τὸν Αὔγουστον μετέστη, καὶ ἀπ' αὐτοῦ καὶ ἀκριβὴς μοναρχία
κατέστη. μοναρχία γάρ, εἰ καὶ τὰ μάλιστα καὶ δύο καὶ τρεῖς ἅμα
τὸ κῦρός ποτε ἔσχον, ἀληθέστατα ἂν νομίζοιτο. τὸ μὲν γὰρ ὄνομα 2
αὐτὸ τὸ μοναρχικὸν οὕτω δή τοι οἱ Ῥωμαῖοι ἐμίσησαν ὥστε μήτε
δικτάτορας μήτε βασιλέας μήτ' ἄλλο τι τοιουτότροπον τοὺς αὐτο-
κράτοράς σφων ὀνομάζειν· τοῦ δὲ δὴ τῆς πολιτείας τέλους ἐς αὐ-
τοὺς ἀνακειμένου οὐκ ἔστιν ὅπως οὐ βασιλεύονται. αἵ μὲν γὰρ 3
ἀρχαὶ αἱ ἐκ τῶν νόμων ὡς πλήθει γενόμεναι καὶ νῦν πλὴν τῆς τῶν
τιμητῶν καθίστανται, διάγεται δὲ καὶ διοικεῖται πάντα ἁπλῶς ὅπως
ἂν ὁ ἀεὶ κρατῶν ἐθελήσῃ. καὶ ἵνα γε μὴ ἐκ δυναστείας ἀλλ' ἐκ
τῶν νόμων τοῦτ' ἔχειν δοκῶσι, πάνθ' ὅσα ἐν τῇ δημοκρατίᾳ μέγα
παρ' ἑκοῦσί σφισιν ἴσχυσεν, αὐτοῖς τοῖς ὀνόμασι χωρὶς τοῦ τῆς
δικτατορίας προσεποιήσαντο. ὕπατοί τε γὰρ πλειστάκις γίγνονται, 4
καὶ ἀνθύπατοι ἀεί, ὁσάκις ἂν ἔξω τοῦ πωμηρίου ὦσιν, ὀνομάζονται·
τήν τε τοῦ αὐτοκράτορος πρόσρησιν διὰ παντὸς οὐ μόνον οἱ νική-
σαντές τινας ἀλλὰ καὶ οἱ ἄλλοι πάντες, πρὸς δήλωσιν τῆς αὐτοτε-
λοῦς σφῶν ἐξουσίας, ἀντὶ τῆς τοῦ βασιλέως τοῦ τε δικτάτορος ἐπι-
κλήσεως ἔχουσιν. αὐτὰς μὲν γὰρ ἐκείνας οὐ τίθενται, ἐπειδή περ 5
ἅπαξ ἐκ τῆς πολιτείας ἐξέπεσον, τὸ δὲ δὴ ἔργον αὐτῶν τῇ τοῦ
αὐτοκράτορος προσηγορίᾳ βεβαιοῦνται. καὶ ἐκ μὲν τούτων τῶν
ὀνομάτων καταλόγους τε ποιεῖσθαι καὶ χρήματα ἀθροίζειν πολέμους

5 3 Παλατίῳ ὄρει ὁ?*

Digitized by Google

6 τε ἀναιρεῖσθαι καὶ εἰρήνην σπένδεσθαι, τοῦ τε ξενικοῦ καὶ τοῦ
πολιτικοῦ ἀεὶ καὶ πανταχοῦ ὁμοίως ἄρχειν, ὥστε καὶ ἐντὸς τοῦ
πωμηρίου καὶ τοὺς ἱππέας καὶ τοὺς βουλευτὰς θανατοῦν δύνασθαι,
τά τε ἄλλα ὅσα τοῖς τε ὑπάτοις καὶ τοῖς ἄλλοις τοῖς αὐταρχήσασί
7 ποτε ποιεῖν ἐξῆν, λαμβάνουσιν· ἐκ δὲ δὴ τοῦ τιμητεύειν τούς τε
βίους καὶ τοὺς τρόπους ἡμῶν ἐξετάζουσι, καὶ ἀπογραφὰς ποιοῦνται
καὶ τοὺς μὲν καταλέγουσι καὶ ἐς τὴν ἱππάδα καὶ ἐς τὸ βουλευτικόν,
8 τοὺς δὲ καὶ ἀπαλείφουσιν, ὅπως ἂν αὐτοῖς δόξῃ. ἔκ τε τοῦ ἐν
πάσαις ταῖς ἱερωσύναις ἱερῶσθαι καὶ προσέτι καὶ τοῖς ἄλλοις τὰς
πλείους σφῶν διδόναι, ἀρχιέρεών τέ τινα αὐτῶν, κἂν δύο κἂν τρεῖς
ἅμα ἄρχωσιν, εἶναι, πάντων αὐτοὶ καὶ τῶν ὁσίων καὶ τῶν ἱερῶν
9 κυριεύουσιν. ἥ τε ἐξουσία ἡ δημαρχικὴ καλουμένη, ἣν οἱ πάνυ
ποτὲ ἀνθήσαντες ἔσχον, δίδωσί σφισι τά τε γιγνόμενα ὑφ᾽ ἑτέρου
τινός, ἂν μὴ συνεπαινῶσι, παύειν, καὶ μὴ καθυβρίζεσθαι, κἂν ἄρα
τι καὶ τὸ βραχύτατον μὴ ὅτι ἔργῳ ἀλλὰ καὶ λόγῳ ἀδικεῖσθαι δό-
ξωσι, καὶ ἄκριτον τὸν ποιήσαντα αὐτὸ ὡς καὶ ἐναγῆ ἀπολλύναι.
10 δημαρχεῖν μὲν γάρ, ἅτε καὶ ἐς τοὺς εὐπατρίδας πάντως τελοῦντες,
οὐχ ὅσιον νομίζουσιν εἶναι· τὴν δὲ δὴ δύναμιν τὴν τῶν δημάρχων
πᾶσαν, ὅση περ τὰ μάλιστα ἐγένετο, προστίθενται, καὶ δι᾽ αὐτῆς
καὶ ἡ ἐξαρίθμησις τῶν ἐτῶν τῆς ἀρχῆς αὐτῶν, ὡς καὶ κατ᾽ ἔτος
11 αὐτὴν μετὰ τῶν ἀεὶ δημαρχούντων λαμβανόντων, προβαίνει. ταῦτα
μὲν ἐκ τῆς δημοκρατίας, ὥς που καὶ ἕκαστα ἐνομίσθη, οὕτω τε
καὶ διὰ τούτων τῶν ὀνομάτων εἰλήφασιν, ὅπως μηδὲν ἄνευ δόσεώς
18 τινος ἔχειν δοκῶσιν· ἤδη δὲ καὶ ἕτερόν τι, ὃ μηδενὶ τῶν πάλαι
Ῥωμαίων ἐς πάντα ἄντικρυς ἐδόθη, προσεκτήσαντο, ὑφ᾽ οὗπερ καὶ
μόνου καὶ ἐκεῖνα ἂν καὶ τἆλλα αὐτοῖς πράττειν ἐξῆν. λέλυνται
γὰρ δὴ τῶν νόμων, ὡς αὐτὰ τὰ Λατινικὰ ῥήματα λέγει· τοῦτ᾽
ἔστιν ἐλεύθεροι ἀπὸ πάσης ἀναγκαίας νομίσεώς εἰσι καὶ οὐδενὶ
2 τῶν γεγραμμένων ἐνέχονται. καὶ οὕτως ἐκ τούτων τῶν δημοκρα-
τικῶν ὀνομάτων πᾶσαν τὴν τῆς πολιτείας ἰσχὺν περιβέβληνται ὥστε
καὶ τὰ τῶν βασιλέων, πλὴν τοῦ φορτικοῦ τῆς προσηγορίας αὐτῶν,
ἔχειν. ἡ γὰρ δὴ τοῦ Καίσαρος ἥ τε τοῦ Αὐγούστου πρόσρησις
δύναμιν μὲν οὐδεμίαν αὐτοῖς οἰκείαν προστίθησι, δηλοῖ δ᾽ ἄλλως
τὸ μὲν τὴν τοῦ γένους σφῶν διαδοχήν, τὸ δὲ τὴν τοῦ ἀξιώματος
3 λαμπρότητα. καὶ ἥ γε τοῦ πατρὸς ἐπωνυμία τάχα μὲν καὶ ἐξου-
σίαν τινὰ αὐτοῖς, ἥν ποτε οἱ πατέρες ἐπὶ τοὺς παῖδας ἔσχον, κατὰ
πάντων ἡμῶν δίδωσιν, οὐ μέντοι καὶ ἐπὶ τοῦτο ἀρχὴν ἐγένετο ἀλλ᾽
ἔς τε τιμὴν καὶ ἐς παραίνεσιν, ἵν᾽ αὐτοί τε τοὺς ἀρχομένους ὡς
καὶ παῖδας ἀγαπῷεν καὶ ἐκεῖνοι σφᾶς ὡς καὶ πατέρας αἰδῶνται.

17 9 2 ἐπιγιγνόμενα

Digitized by Google

τοσαῦταί τε καὶ τοιαῦται αἱ προσηγορίαι εἰσὶν αἷς οἱ τὸ κρά- 4
τος ἔχοντες κατά τε τοὺς νόμους καὶ κατὰ τὸ ἤδη πάτριον νομί-
ζουσιν. καὶ νῦν μὲν πᾶσαι ἅμα αὐτοῖς ὡς τὸ πολύ, πλὴν τῆς τῶν
τιμητῶν, δίδονται, τοῖς δὲ δὴ πάλαι κατὰ χρόνους ὡς ἕκασται
ἐψηφίζοντο. τὴν γὰρ δὴ τιμητείαν ἔλαβον μέν τινες καὶ τῶν αὐ- 5
τοκρατόρων κατὰ τὸ ἀρχαῖον, ἔλαβε δὲ καὶ Δομιτιανὸς διὰ βίου·
οὐ μέντοι καὶ νῦν ἔτι τοῦτο γίγνεται· τὸ γὰρ ἔργον αὐτῆς ἔχοντες
οὔτε αἱροῦνται ἐπ' αὐτήν, οὔτε τὴν πρόσκλησιν αὐτῆς πλὴν ἐν ταῖς
ἀπογραφαῖς κτῶνται.

ἡ μὲν οὖν πολιτεία οὕτω τότε πρός τε τὸ βέλτιον καὶ πρὸς τὸ 19
σωτηριωδέστερον μετεκοσμήθη· καὶ γάρ που καὶ παντάπασιν ἀδύ-
νατον ἦν δημοκρατουμένους αὐτοὺς σωθῆναι. οὐ μέντοι καὶ ὁμοίως
τοῖς πρόσθεν τὰ μετὰ ταῦτα πραχθέντα λεχθῆναι δύναται. πρό- 2
τερον μὲν γὰρ ἔς τε τὴν βουλὴν καὶ ἐς τὸν δῆμον πάντα, καὶ εἰ
πόρρω που συμβαίη, ἐσεφέρετο· καὶ διὰ τοῦτο πάντες τε αὐτὰ
ἐμάνθανον καὶ πολλοὶ συνέγραφον, κἀκ τούτου καὶ ἡ ἀλήθεια αὐ-
τῶν, εἰ καὶ τὰ μάλιστα καὶ φόβῳ τινὰ καὶ χάριτι φιλίᾳ τε καὶ
ἔχθρᾳ τισὶν ἐρρέθη, παρὰ γοῦν τοῖς ἄλλοις τοῖς τὰ αὐτὰ γράψασι
τοῖς τε ὑπομνήμασι τοῖς δημοσίοις τρόπον τινὰ εὑρίσκετο. ἐκ δὲ 3
δὴ τοῦ χρόνου ἐκείνου τὰ μὲν πλείω κρύφα καὶ δι' ἀπορρήτων
γίγνεσθαι ἤρξατο, εἰ δέ πού τινα καὶ δημοσιευθείη, ἀλλ' ἀνεξέλεγκτά
γε ὄντα ἀπιστεῖται· καὶ γὰρ λέγεσθαι καὶ πράττεσθαι πάντα πρὸς
τὰ τῶν ἀεὶ κρατούντων τῶν τε παραδυναστευόντων σφίσι βουλή-
ματα ὑποπτεύεται. καὶ κατὰ τοῦτο πολλὰ μὲν οὐ γιγνόμενα θρυ- 4
λεῖται, πολλὰ δὲ καὶ πάνυ συμβαίνοντα ἀγνοεῖται, πάντα δὲ ὡς
εἰπεῖν ἄλλως πως ἢ ὡς πράττεται διαθροεῖται. καὶ μέντοι καὶ τὸ
τῆς ἀρχῆς μέγεθος τό τε τῶν πραγμάτων πλῆθος δυσχερεστάτην
τὴν ἀκρίβειαν αὐτῶν παρέχεται. ἔν τε γὰρ τῇ Ῥώμῃ συχνὰ καὶ 5
παρὰ τῷ ὑπηκόῳ αὐτῆς πολλά, πρός τε τὸ πολέμιον ἀεὶ καὶ καθ'
ἡμέραν ὡς εἰπεῖν γίγνεται τινά, περὶ ὧν τὸ μὲν σαφὲς οὐδεὶς ῥα-
δίως ἔξω τῶν πραττόντων αὐτὰ γιγνώσκει, πλεῖστοι δ' ὅσοι οὐδ'
ἀκούουσι τὴν ἀρχὴν ὅτι γέγονεν. ὅθεν περ καὶ ἐγὼ πάντα τὰ ἑξῆς, 6
ὅσα γε καὶ ἀναγκαῖον ἔσται εἰπεῖν, ὥς που καὶ δεδήμωται φράσω,
εἴτ' ὄντως οὕτως εἴτε καὶ ἑτέρως πως ἔχει. προσέσται μέντοι τι
αὐτοῖς καὶ τῆς ἐμῆς δοξασίας, ἐς ὅσον ἐνδέχεται, ἐν οἷς ἄλλο τι
μᾶλλον ἢ τὸ θρυλούμενον ἠδυνήθην ἐκ πολλῶν ὧν ἀνέγνων ἢ καὶ
ἤκουσα ἢ καὶ εἶδον τεκμήρασθαι.

Αὔγουστος μὲν δὴ ὁ Καῖσαρ, ὥσπερ εἶπον, ἐπωνομάσθη, καὶ 20

19 5 1 τὴν om

Digitized by Google

αὐτῷ σημεῖον οὐ σμικρὸν εὐθὺς τότε τῆς νυκτὸς ἐπεγένετο· ὁ γὰρ
Τίβερις πελαγίσας πᾶσαν τὴν ἐν τοῖς πεδίοις Ῥώμην κατέλαβεν
ὥστε πλεῖσθαι, καὶ ἀπ' αὐτοῦ οἱ μάντεις ὅτι τε ἐπὶ μέγα αὐξήσοι
2 καὶ ὅτι πᾶσαν τὴν πόλιν ὑποχειρίαν ἕξοι προέγνωσαν. χαριζομένων
δ' αὐτῷ καθ' ὑπερβολὴν ἄλλων ἄλλα, Σέξτος τις Πακούυιος, ὡς
δ' ἕτεροι λέγουσιν Ἀπούδιος, πάντας ἐξενίκησεν· ἐν γὰρ τῷ συνε-
δρίῳ ἑαυτόν τέ οἱ τὸν τῶν Ἰβήρων τρόπον καθωσίωσε καὶ τοῖς
3 ἄλλοις συνεβούλευε τοῦτο ποιῆσαι. ἐπειδή τε ὁ Αὔγουστος ἐμποδὼν
οἱ ἐγένετο, πρός τε τὸ πλῆθος τὸ προσεστὸς ἐξεπήδησεν (ἐδημάρχει
γάρ) καὶ ἐκείνους τε καὶ μετὰ ταῦτα καὶ τοὺς λοιπούς, κατά τε
τὰς ὁδοὺς καὶ κατὰ τοὺς στενωποὺς περινοστήσας, καθιερῶσαί
4 σφας τῷ Αὐγούστῳ κατηνάγκασεν· ἀφ' οὗπερ καὶ νῦν προστρεπό-
μενοι τὸν κρατοῦντα λέγειν εἰώθαμεν ὅτι σοι καθωσιώμεθα.

καὶ ὁ μὲν καὶ θῦσαι ἐπὶ τούτῳ πάντας ἐποίει, ἔν τε τῷ ὁμίλῳ
ποτὲ κληρονόμον ἔφη τὸν Αὔγουστον ἐξ ἴσου τῷ υἱεῖ καταλείψειν,
οὐχ ὅτι τι εἶχεν, ἀλλ' ὅτι καὶ προσλαβεῖν ἠθέλησεν, ὃ καὶ ἐγένετο·
21 Αὔγουστος δὲ τά τε ἄλλα τὰ τῇ ἀρχῇ προσήκοντα προθυμότερον,
ὡς καὶ ἐθελοντὶ δὴ παρὰ πάντων αὐτὴν εἰληφώς, ἔπραττε, καὶ
ἐνομοθέτει πολλά. οὐδὲν δὲ δέομαι καθ' ἕκαστον ἀκριβῶς ἐπεξιέ-
2 ναι, χωρὶς ἢ ὅσα τῇ συγγραφῇ πρόσφορα ἐστίν. τὸ δ' αὐτὸ τοῦτο
καὶ ἐν τοῖς ἔπειτα πραχθεῖσι ποιήσω, ἵνα μὴ καὶ δι' ὄχλου γένωμαι
πάντα τὰ τοιαῦτα ἐπεσφέρων ἃ μηδ' αὐτοὶ οἱ πάνυ αὐτὰ μελετῶν-
3 τες ἀκριβοῦσιν. οὐ μέντοι καὶ πάντα ἰδιογνωμονῶν ἐνομοθέτει,
ἀλλ' ἔστι μὲν ἃ καὶ ἐς τὸ δημόσιον προεξετίθει, ὅπως, ἄν τι μὴ
ἀρέσῃ τινά, προμαθὼν ἐπανορθώσῃ· προετρέπετό τε γὰρ πάνθ'
ὁντινοῦν συμβουλεύειν οἱ, εἴ τίς τι ἄμεινον αὐτῶν ἐπινοήσειεν, καὶ
4 παρρησίαν σφίσι πολλὴν ἔνεμε, καί τινα καὶ μετέγραφεν. τὸ δὲ
δὴ πλεῖστον τούς τε ὑπάτους ἢ τὸν ὕπατον, ὁπότε καὶ αὐτὸς ὑπα-
τεύοι, κἀκ τῶν ἄλλων ἀρχόντων ἕνα παρ' ἑκάστων, ἔκ τε τοῦ λοιποῦ
τῶν βουλευτῶν πλήθους πεντεκαίδεκα τοὺς κλήρῳ λαχόντας, συμ-
βούλους ἐς ἑξάμηνον παρελάμβανεν, ὥστε δι' αὐτῶν καὶ τοῖς ἄλλοις
5 πᾶσι κοινοῦσθαι τρόπον τινὰ τὰ νομοθετούμενα νομίζεσθαι. ἐσέ-
φερε μὲν γάρ τινα καὶ ἐς πᾶσαν τὴν γερουσίαν, βέλτιον μέντοι
νομίζων εἶναι τὸ μετ' ὀλίγων καθ' ἡσυχίαν τά τε πλείω καὶ τὰ
μείζω προσκοπεῖσθαι, τοῦτό τε ἐποίει καὶ ἔστιν ὅτε καὶ ἐδίκαζε
6 μετ' αὐτῶν. ἔκρινε μὲν γὰρ καὶ καθ' ἑαυτὴν ἡ βουλὴ πᾶσα ὡς
καὶ πρότερον, καί τισι καὶ πρεσβείαις καὶ κηρυκείαις καὶ δήμων
καὶ βασιλέων ἐχρημάτιζεν, ὅ τε δῆμος ἐς τὰς ἀρχαιρεσίας καὶ τὸ

20 4 1 προτρεπόμενοι*

Digitized by Google

πλῆθος αὖ συνελέγετο· οὐ μέντοι καὶ ἐπράττετό τι ὃ μὴ καὶ ἐκείνῳ ἤρεσκεν. τοὺς γοῦν ἄρξοντας τοὺς μὲν αὐτὸς ἐκλεγόμενος προεβάλ- 7
λετο, τοὺς δὲ καὶ ἐπὶ τῷ δήμῳ τῷ τε ὁμίλῳ κατὰ τὸ ἀρχαῖον ποιούμενος ἐπεμελεῖτο ὅπως μήτ' ἀνεπιτήδειοι μήτ' ἐκ παρακελεύσεως ἢ καὶ δεκασμοῦ ἀποδεικνύωνται.

τὸ μὲν οὖν σύμπαν οὕτω τὴν ἀρχὴν διῴκησεν, λέξω δὲ καὶ καθ' 22
ἕκαστον ὅσα ἀναγκαῖόν ἐστι μετὰ τῶν ὑπάτων, ἐφ' ὧν ἐγένετο, μνημονεύεσθαι. ἐν μὲν γὰρ τῷ προειρημένῳ ἔτει τὰς ὁδοὺς τὰς ἔξω τοῦ τείχους δυσπορεύτους ὑπ' ἀμελείας ὁρῶν οὔσας τὰς μὲν ἄλλας ἄλλοις τισὶ τῶν βουλευτῶν ἐπισκευάσαι τοῖς οἰκείοις τέλεσι προσέταξε, τῆς δὲ δὴ Φλαμινίας αὐτός, ἐπειδή περ ἐκστρατεύσειν δι' αὐτῆς ἔμελλεν, ἐπεμελήθη. καὶ ἡ μὲν εὐθὺς τότε ἐγένετο, καὶ 2
διὰ τοῦτο καὶ εἰκόνες αὐτῷ ἐφ' ἁψίδων ἔν τε τῇ τοῦ Τιβέριδος γεφύρᾳ καὶ ἐν Ἀριμίνῳ ἐποιήθησαν· αἱ δ' ἄλλαι ὕστερον, εἴτ' οὖν πρὸς τοῦ δημοσίου, ἐπειδὴ μηδεὶς τῶν βουλευτῶν ἡδέως ἀνήλισκεν, εἴτε καὶ πρὸς τοῦ Αὐγούστου τις εἰπεῖν ἐθέλει, ἐπεσκευάσθησαν. οὐ γὰρ δύναμαι διακρῖναι τοὺς θησαυροὺς αὐτῶν, οὐδ' εἰ τὰ μά- 3
λιστα ὁ Αὔγουστος καὶ ἀνδριάντας τινὰς ἑαυτοῦ ἀργυροῦς, πρός τε τῶν φίλων καὶ πρὸς δήμων τινῶν γεγονότας, ἐς νόμισμα κατέκοψε τοῦ δὴ καὶ οἴκοθεν πάνθ' ὅσα γε καὶ ἔλεγε δαπανᾶν δοκεῖν· καὶ διὰ τοῦτο οὔτ' εἴ ποτε ἐκ τῶν δημοσίων τι χρημάτων ὁ ἀεὶ 4
κρατῶν ἔλαβεν, οὔτ' εἴ ποτε αὐτὸς ἔδωκε, γνώμην ἔχω συγγράψαι. πολλάκις τε γὰρ ἑκάτερον αὐτῶν ἐγένετο, καὶ τί ἄν τις ἐς δανείσματα ἢ καὶ δωρεὰς τὰ τοιαῦτα καὶ λέγοι, ὁπότε καὶ τούτοις καὶ ἐκείνοις καὶ ὁ δῆμος καὶ ὁ αὐτοκράτωρ ἐπίκοινον ἀεὶ χρῶνται;

τότε μὲν δὴ ταῦτα ὁ Αὔγουστος ἔπραξε, καὶ ἐξώρμησε μὲν ὡς 5
καὶ ἐς τὴν Βρεττανίαν στρατεύσων, ἐς δὲ δὴ τὰς Γαλατίας ἐλθὼν ἐνταῦθα ἐνδιέτριψεν· ἐκεῖνοί τε γὰρ ἐπικηρυκεύσασθαί οἱ ἐδόκουν, καὶ τὰ τούτων ἀκατάστατα ἔτι, ἅτε τῶν ἐμφυλίων πολέμων εὐθὺς ἐπὶ τῇ ἁλώσει σφῶν ἐπιγενομένων, ἦν. καὶ αὐτῶν καὶ ἀπογραφὰς ἐποιήσατο καὶ τὸν βίον τήν τε πολιτείαν διεκόσμησεν. κἀντεῦθεν ἔς τε τὴν Ἰβηρίαν ἀφίκετο, καὶ κατεστήσατο καὶ ἐκείνην. μετὰ δὲ 23
δὴ τοῦτο αὐτός τε τὸ ὄγδοον σὺν τῷ Ταύρῳ τῷ Στατιλίῳ ὑπά- a. u. 728
τευσεν, καὶ ὁ Ἀγρίππας τὰ σέπτα ὠνομασμένα καθιέρωσεν· ὁδὸν 2
μὲν γὰρ οὐδεμίαν ἐπισκευάσειν ὑπέσχετο, ταῦτα δὲ ἐν τῷ ἀρείῳ πεδίῳ στοαῖς πέριξ ὑπὸ τοῦ Λεπίδου πρὸς τὰς φυλετικὰς ἀρχαιρεσίας συνῳκοδομημένα καὶ πλαξὶ λιθίναις καὶ ζωγραφήμασιν ἐπεκόσμησεν, Ἰούλια αὐτὰ ἀπὸ τοῦ Αὐγούστου προσαγορεύσας. καὶ 3

22 1 2 ὑφ' 4 3 ἐς] ἢ?*

ὁ μὲν οὐχ ὅπως φθόνον τινὰ ἐπ' αὐτοῖς ὠφλίσκανεν, ἀλλὰ καὶ
πάνυ καὶ πρὸς αὐτοῦ ἐκείνου καὶ πρὸς τῶν ἄλλων ἁπάντων ἐτιμᾶτο
4 (αἴτιον δὲ ὅτι τὰ φιλανθρωπότατα καὶ τὰ εὐκλεέστατα τά τε συμ-
φορώτατα καὶ συμβουλεύων οἱ καὶ συμπράττων οὐδ' ἐπὶ βραχὺ
τῆς δόξης αὐτῶν ἀντεποιεῖτο, ταῖς τε παρ' αὐτοῦ τιμαῖς οὔτε ἐς
πλεονεξίαν οὔτε ἐς ἀπόλαυσιν ἰδίαν ἐχρῆτο, ἀλλ' ἔς τε τὸ αὐτῷ
5 ἐκείνῳ καὶ ἐς τὸ τῷ δημοσίῳ συμφέρον), ὁ δὲ δὴ Γάλλος Κορνή-
λιος καὶ ἐξύβρισεν ὑπὸ τῆς τιμῆς. πολλὰ μὲν γὰρ καὶ μάταια ἐς
τὸν Αὔγουστον ἀπελήρει, πολλὰ δὲ καὶ ἐπαίτια παρέπραττεν· καὶ
γὰρ καὶ εἰκόνας ἑαυτοῦ ἐν ὅλῃ ὡς εἰπεῖν τῇ Αἰγύπτῳ ἔστησε, καὶ
6 τὰ ἔργα ὅσα ἐπεποιήκει ἐς τὰς πυραμίδας ἐσέγραψεν. κατηγορήθη
τε οὖν ἐπ' αὐτοῖς ὑπὸ Οὐαλερίου Λάργου, ἑταίρου τέ οἱ καὶ συμ-
βιωτοῦ ὄντος, καὶ ἠτιμώθη ὑπὸ τοῦ Αὐγούστου, ὥστε καὶ ἐν τοῖς
ἔθνεσιν αὐτοῦ κωλυθῆναι διαιτᾶσθαι. γενομένου δὲ τούτου καὶ
ἄλλοι αὐτῷ συχνοὶ ἐπέθεντο καὶ γραφὰς κατ' αὐτοῦ πολλὰς ἐπή-
7 νεγκαν, καὶ ἡ γερουσία ἅπασα ἁλῶναί τε αὐτὸν ἐν τοῖς δικαστηρίοις
καὶ φυγεῖν τῆς οὐσίας στερηθέντα, καὶ ταύτην τε τῷ Αὐγούστῳ
δοθῆναι καὶ ἑαυτοὺς βουθυτῆσαι ἐψηφίσατο. καὶ ὁ μὲν περιαλ-
24 γήσας ἐπὶ τούτοις ἑαυτὸν προκατεχρήσατο, τὸ δὲ δὴ τῶν πολλῶν
κίβδηλον καὶ ἐκ τούτου διηλέγχθη ὅτι ἐκεῖνόν τε, ὃν τέως ἐκολά-
κευον, οὕτω τότε διέθηκαν ὥστε καὶ αὐτοχειρίᾳ ἀποθανεῖν ἀναγκά-
σαι, καὶ πρὸς τὸν Λάργον ἀπέκλιναν, ἐπειδή περ αὔξειν ἤρχετο,
μέλλοντές που καὶ κατὰ τούτου τὰ αὐτά, ἄν γέ τι τοιοῦτόν οἱ
2 συμβῇ, ψηφιεῖσθαι. ὁ μέντοι Προκουλήιος οὕτω πρὸς αὐτὸν ἔσχεν
ὥστ' ἀπαντήσας ποτὲ αὐτῷ τήν τε ῥῖνα καὶ τὸ στόμα τὸ ἑαυτοῦ
τῇ χειρὶ ἐπισχεῖν, ἐνδεικνύμενος τοῖς συνοῦσιν ὅτι μηδ' ἀναπνεῦσαί
3 τινα παρόντος αὐτοῦ ἀσφάλεια εἴη. ἄλλος τέ τις προσῆλθέ τε
αὐτῷ, καίπερ ἀγνὼς ὤν, μετὰ μαρτύρων, καὶ ἐπήρετο εἰ γνωρίζοι
ἑαυτόν, ἐπειδή τε ἐξηρνήσατο, ἐς γραμματεῖον τὴν ἄρνησιν αὐτοῦ
ἐσέγραψεν, ὥσπερ οὐκ ἐξὸν τῷ κακῷ καὶ ὃν οὐκ ᾔδει πρότερον
4 συκοφαντῆσαι. οὕτω δ' οὖν οἱ πολλοὶ τὰ ἔργα τινῶν, κἂν πονηρὰ
ᾖ, μᾶλλον ζηλοῦσιν ἢ τὰ παθήματα φυλάσσονται, ὥστε καὶ τότε
Μάρκος Ἐγνάτιος Ῥοῦφος ἀγορανομήσας, καὶ ἄλλα τε πολλὰ κα-
λῶς πράξας καὶ ταῖς οἰκίαις ταῖς ἐν τῷ ἔτει ἐκείνῳ ἐμπρησθείσαις
ἐπικουρίαν μετὰ τῶν ἑαυτοῦ δούλων καὶ μεθ' ἑτέρων τινῶν μισθω-
5 τῶν ποιησάμενος, καὶ διὰ τοῦτο τά τε ἀναλώματα τὰ τῇ ἀρχῇ
αὐτοῦ προσήκοντα παρὰ τοῦ δήμου λαβὼν καὶ στρατηγὸς παρα-
νόμως ἀποδειχθείς, ἐπήρθη τε ὑπ' αὐτῶν τούτων καὶ τὸν Αὔγου-
στον ὑπερεφρόνησεν, ὥστε καὶ προγράψαι ὅτι ἄθραυστον καὶ ὁλό-
6 κληρον τῷ διαδόχῳ τὴν πόλιν παρέδωκεν. ἐπ' οὖν τούτῳ οἵ τε

Digitized by Google

ἄλλοι πάντες οἱ πρῶτοι καὶ αὐτὸς ὅτι μάλιστα ὁ Αὔγουστος ὀργὴν ἔσχε, καὶ ἐκεῖνον μὲν ἐκδιδάξειν οὐκ ἐς μακρὰν ἔμελλε τὸ μὴ ὑπὲρ τοὺς πολλοὺς φρονεῖν, τοῖς δ' ἀγορανόμοις παραχρῆμα ἐπιμελεῖσθαί τε ὅπως μηδὲν ἐμπίπρηται, κἂν ἄρα τι τοιοῦτο συμβῇ, κατασβεννύναι τὸ πῦρ προσέταξεν.

κἀν τῷ αὐτῷ ἔτει τούτῳ ὅ τε Πολέμων ὁ ἐν τῷ Πόντῳ βα- 25
σιλεύων ἔς τε τοὺς φίλους καὶ ἐς τοὺς συμμάχους τοῦ δήμου ἐνε-
γράφη, καὶ προεδρία τοῖς βουλευταῖς ἐν πάσῃ τῇ ἀρχῇ αὐτοῦ ἐς
πάντα τὰ θέατρα ἐδόθη· τόν τε Αὔγουστον ἐς τὴν Βρεττανίαν, 2
ἐπειδὴ μὴ ἠθέλησαν ὁμολογῆσαι, στρατευσείοντα κατέσχον οἵ τε
Σάλασσοι ἐπαναστάντες αὐτῷ καὶ οἱ Κάνταβροι οἵ τε Ἄστυρες
πολεμωθέντες. οἰκοῦσι δὲ ἐκεῖνοι μὲν ὑπὸ τὰς Ἄλπεις, ὥσπερ εἴρη-
ταί μοι, οὗτοι δὲ ἑκάτεροι τοῦ τε Πυρηναίου τοῦ πρὸς τῇ Ἰβηρίᾳ
τὸ καρτερώτατον καὶ τὴν πεδιάδα τὴν ὑπ' αὐτοῦ οὖσαν. δι' οὖν 3
ταῦτα ὁ Αὔγουστος (ἤδη δὲ ἔνατον μετὰ Μάρκου Σιλανοῦ ὑπά- a. u. 729
τευεν) ἐπὶ μὲν τοὺς Σαλάσσους Τερέντιον Οὐάρρωνα ἔπεμψεν. καὶ
ὃς πολλαχῇ ἅμα, ὅπως μὴ συστραφέντες δυσχειρωτότεροι γένωνται,
ἐμβαλὼν ῥᾷστά τε αὐτούς, ἅτε καὶ κατ' ὀλίγους προσπίπτοντάς
σφισιν, ἐνίκησε, καὶ συμβῆναι καταναγκάσας ἀργύριόν τέ τι ῥητόν, 4
ὡς καὶ μηδὲν δεινὸν ἄλλο δράσων, ᾔτησε, κἀκ τούτου πανταχῇ
πρὸς τὴν ἔσπραξιν δῆθεν αὐτοῦ στρατιώτας διαπέμψας συνέλαβέ
τε τοὺς ἐν τῇ ἡλικίᾳ καὶ ἀπέδοτο, ἐφ' ᾧ μηδεὶς σφων ἐντὸς εἴκοσιν
ἐτῶν ἐλευθερωθείη. καὶ αὐτῶν ἡ ἀρίστη τῆς γῆς τῶν τε δορυφό- 5
ρων τισὶν ἐδόθη, καὶ πόλιν τὴν Αὐγοῦσταν πραιτωριανῶν ὠνομα-
σμένην ἔσχεν. αὐτὸς δὲ ὁ Αὔγουστος πρός τε τοὺς Ἄστυρας καὶ
πρὸς τοὺς Καντάβρους ἅμα ἐπολέμησεν, καὶ ἐπειδὴ μήτε προσεχώ-
ρουν οἷά τε ἐπὶ τοῖς ἐρυμνοῖς ἐπαιρόμενοι, μήτε ἐς χεῖρας διά τε 6
τὸ τῷ πλήθει ἐλαττοῦσθαι καὶ διὰ τὸ ἀκοντισταὶ τὸ πλεῖστον εἶναι
ᾔεσαν, καὶ προσέτι καὶ πράγματα αὐτῷ πολλά, εἴ που κινηθείη,
τά τε ὑπερδέξια ἀεὶ προκαταλαμβάνοντες καὶ ἐν τοῖς κοίλοις τοῖς
τε ὑλώδεσιν ἐνεδρεύοντες παρεῖχον, ἐν ἀπόρῳ παντάπασιν ἐγένετο.
καὶ ὁ μὲν ἔκ τε τοῦ καμάτου καὶ ἐκ τῶν φροντίδων νοσήσας ἐς 7
Ταρράκωνα ἀνεχώρησε καὶ ἐκεῖ ἠρρώστει· Γάιος δὲ Ἀντίστιος προσ-
επολέμησέ τε αὐτοῖς ἐν τούτῳ καὶ συχνὰ κατειργάσατο, οὐχ ὅτι
καὶ ἀμείνων τοῦ Αὐγούστου στρατηγὸς ἦν, ἀλλ' ὅτι καταφρονή- 8
σαντες αὐτοῦ οἱ βάρβαροι ὁμόσε τε τοῖς Ῥωμαίοις ἐχώρησαν καὶ
ἐνικήθησαν. καὶ οὕτως ἐκεῖνός τέ τινα ἔλαβεν, καὶ Τίτος μετὰ
ταῦτα Καρίσιος τήν τε Λαγκίαν τὸ μέγιστον τῶν Ἀστύρων πόλισμα
ἐκλειφθὲν εἷλε καὶ ἄλλα πολλὰ παρεστήσατο.

25 2 5 πρὸς] τε πρὸς    6 1 οἷά τε] ἅτε?*    2 ἀκοντιστὰς*

Digitized by Google

26 παυσαμένου δὲ τοῦ πολέμου τούτου ὁ Αὔγουστος τοὺς μὲν
ἀφηλικεστέρους τῶν στρατιωτῶν ἀφῆκε, καὶ πόλιν αὐτοῖς ἐν Λυ-
σιτανίᾳ τὴν Αὐγοῦσταν ἠμέριταν καλουμένην κτίσαι ἔδωκε, τοῖς δὲ
τὴν στρατεύσιμον ἡλικίαν ἔτ' ἔχουσι θέας τινὰς διά τε τοῦ Μαρ-
κέλλου καὶ διὰ τοῦ Τιβερίου ὡς καὶ ἀγορανομούντων ἐν αὐτοῖς
2 τοῖς στρατοπέδοις ἐποίησεν. καὶ τῷ μὲν Ἰόβᾳ τῆς τε Γαιτουλίας
τινὰ ἀντὶ τῆς πατρῴας ἀρχῆς, ἐπείπερ ἐς τὸν τῶν Ῥωμαίων κό-
σμον οἱ πλείους αὐτῶν ἐσεγεγράφατο, καὶ τὰ τοῦ Βόκχου τοῦ τε
3 Βογούου ἔδωκεν· τοῦ δ' Ἀμύντου τελευτήσαντος οὐ τοῖς παισὶν
αὐτοῦ τὴν ἀρχὴν ἐπέτρεψεν, ἀλλ' ἐς τὴν ὑπήκοον ἐσήγαγε, καὶ οὕτω
καὶ ἡ Γαλατία μετὰ τῆς Λυκαονίας Ῥωμαῖον ἄρχοντα ἔσχε, τά τε
χωρία τὰ ἐκ τῆς Παμφυλίας πρότερον τῷ Ἀμύντᾳ προσνεμηθέντα
4 τῷ ἰδίῳ νομῷ ἀπεδόθη. ὑπὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον Μάρκος
Οὐινίκιος Κελτῶν τινὰς μετελθών, ὅτι Ῥωμαίους ἄνδρας ἐς τὴν χώ-
ραν σφῶν κατὰ τὴν ἐπιμιξίαν ἐσελθόντας συλλαβόντες ἔφθειραν,
τὸ ὄνομα καὶ αὐτὸς τὸ τοῦ αὐτοκράτορος τῷ Αὐγούστῳ ἔδωκεν.
5 καὶ ἐψηφίσθη μέν που καὶ τὰ ἐπινίκια αὐτῷ καὶ ἐπὶ τούτοις καὶ
ἐπὶ τοῖς ἄλλοις τοῖς τότε γενομένοις· ἐπεὶ δ' οὐκ ἠθέλησεν αὐτὰ
πέμψαι, ἁψίς τε ἐν ταῖς Ἄλπεσι τροπαιοφόρος οἱ ᾠκοδομήθη, καὶ
ἐξουσία ἐδόθη τοῦ τῇ πρώτῃ τοῦ ἔτους ἡμέρᾳ καὶ τῷ στεφάνῳ
καὶ τῇ ἐσθῆτι τῇ νικητηρίᾳ ἀεὶ χρῆσθαι.

Αὔγουστος μὲν ταῦτά τε ἐν τοῖς πολέμοις ἔπραξε, καὶ τὸ τοῦ
27 Ἰανοῦ τεμένισμα ἀνοιχθὲν δι' αὐτοὺς ἔκλεισεν, Ἀγρίππας δὲ ἐν
τούτῳ τὸ ἄστυ τοῖς ἰδίοις τέλεσιν ἐπεκόσμησεν. τοῦτο μὲν γὰρ τὴν
στοὰν τὴν τοῦ Ποσειδῶνος ὠνομασμένην καὶ ἐξῳκοδόμησεν ἐπὶ ταῖς
ναυκρατίαις καὶ τῇ τῶν Ἀργοναυτῶν γραφῇ ἐπελάμπρυνε, τοῦτο
δὲ τὸ πυριατήριον τὸ Λακωνικὸν κατεσκεύασεν· Λακωνικὸν γὰρ τὸ
γυμνάσιον, ἐπειδή περ οἱ Λακεδαιμόνιοι γυμνοῦσθαί τε ἐν τῷ τότε
2 χρόνῳ καὶ λίπα ἀσκεῖν μάλιστα ἐδόκουν, ἐπεκάλεσεν. τό τε πάνθειον
ὠνομασμένον ἐξετέλεσεν· προσαγορεύεται δὲ οὕτω τάχα μὲν ὅτι πολ-
λῶν θεῶν εἰκόνας ἐν τοῖς ἀγάλμασι, τῷ τε τοῦ Ἄρεος καὶ τῷ τῆς
Ἀφροδίτης, ἔλαβεν, ὡς δ' ἐγὼ νομίζω, ὅτι θολοειδὲς ὂν τῷ οὐρανῷ
3 προσέοικεν. ἐβουλήθη μὲν οὖν ὁ Ἀγρίππας καὶ τὸν Αὔγουστον
ἐνταῦθα ἱδρῦσαι, τήν τε τοῦ ἔργου ἐπίκλησιν αὐτῷ δοῦναι· μὴ
δεξαμένου δὲ αὐτοῦ μηδέτερον ἐκεῖ μὲν τοῦ προτέρου Καίσαρος,
ἐν δὲ τῷ προνάῳ τοῦ τε Αὐγούστου καὶ ἑαυτοῦ ἀνδριάντας ἔστησεν.
4 καὶ ἐγίγνετο γὰρ ταῦτα οὐκ ἐξ ἀντιπάλου τῷ Ἀγρίππᾳ πρὸς τὸν
Αὔγουστον φιλοτιμίας, ἀλλ' ἔκ τε τῆς πρὸς ἐκεῖνον λιπαροῦς εὐνοίας

26 5 4 τῷ] τῷ τε

Digitized by Google

καὶ ἐκ τῆς πρὸς τὸ δημόσιον ἐνδελεχοῦς σπουδῆς, οὐ μόνον οὐδὲν αὐτὸν ἐπ' αὐτοῖς ὁ Αὔγουστος ᾐτιάσατο, ἀλλὰ καὶ ἐπὶ πλεῖον ἐτί-
μησεν. τούς τε γὰρ γάμους τῆς τε θυγατρὸς τῆς Ἰουλίας καὶ τοῦ 5
ἀδελφιδοῦ τοῦ Μαρκέλλου μὴ δυνηθεὶς ὑπὸ τῆς νόσου ἐν τῇ Ῥώμῃ τότε ποιῆσαι δι' ἐκείνου καὶ ἀπὼν ἑώρτασεν· καὶ ἐπειδὴ ἡ οἰκία ἡ ἐν τῷ Παλατίῳ ὄρει, ἡ πρότερον μὲν τοῦ Ἀντωνίου γενομένη ὕστερον δὲ τῷ τε Ἀγρίππᾳ καὶ τῷ Μεσσάλᾳ δοθεῖσα, κατεφλέχθη, τῷ μὲν Μεσσάλᾳ ἀργύριον ἐχαρίσατο, τὸν δὲ Ἀγρίππαν σύνοικον ἐποιή-
σατο. οὗτός τε οὖν ἐκ τούτων οὐκ ἀπεικότως ἐγαυροῦτο, καί τις 6
Γάιος Θοράνιος αἰτίαν ἀγαθὴν ἔσχεν, ὅτι δημαρχῶν τὸν πατέρα, καίπερ ἐξελεύθερόν τινος ὄντα, ἔς τε τὸ θέατρον ἐσήγαγε καὶ ἐν τῷ δημαρχικῷ βάθρῳ παρεκαθίσατο. Πούπλιός τε Σερουίλιος ὄνομα καὶ αὐτὸς ἔλαβεν, ὅτι στρατηγῶν ἄρκτους τε τριακοσίας καὶ Λιβυκὰ ἕτερα θηρία ἴσα ἐν πανηγύρει τινὶ ἀπέκτεινεν.

ἐκ δὲ τούτου δέκατον ὁ Αὔγουστος μετὰ Γαΐου Νωρβανοῦ 28
ἦρξε, καὶ ἔν τε τῇ νουμηνίᾳ ὅρκους ἡ βουλὴ βεβαιοῦσα τὰς πράξεις a. u. 730
αὐτοῦ ἐποιήσατο, καὶ ἐπειδὴ πλησιάζειν τε ἤδη τῇ πόλει ἠγγέλθη (ὑπὸ γὰρ τῆς ἀρρωστίας ἐχρόνισε) καὶ τῷ δήμῳ καθ' ἑκατὸν δραχ-
μὰς δώσειν ὑπέσχετο, τό τε γράμμα τὸ περὶ αὐτῶν ἀπηγόρευσε μὴ 2
πρότερον ἐκτεθῆναι πρὶν ἂν καὶ ἐκείνῃ συνδόξῃ, πάσης αὐτὸν τῆς τῶν νόμων ἀνάγκης ἀπήλλαξαν, ἵν', ὥσπερ εἴρηταί μοι, καὶ αὐτοτελὴς ὄντως καὶ αὐτοκράτωρ καὶ ἑαυτοῦ καὶ τῶν νόμων πάντα τε
ὅσα βούλοιτο ποιοίη καὶ πάνθ' ὅσα μὴ βούλοιτο μὴ πράττοι. ταῦτα 3
μὲν ἀποδημοῦντι ἔτ' αὐτῷ ἐψηφίσθη, ἀφικομένῳ δ' ἐς τὴν Ῥώμην ἄλλα τινὰ ἐπί τε τῇ σωτηρίᾳ καὶ ἐπὶ τῇ ἀνακομιδῇ αὐτοῦ ἐγένετο. τῷ τε Μαρκέλλῳ βουλεύειν τε ἐν τοῖς ἐστρατηγηκόσι καὶ τὴν ὑπατείαν δέκα θᾶττον ἔτεσιν ἤπερ ἐνενόμιστο αἰτῆσαι, καὶ τῷ Τιβερίῳ
πέντε πρὸ ἑκάστης ἀρχῆς ἔτεσι τὸ αὐτὸ τοῦτο ποιῆσαι ἐδόθη· καὶ 4
παραχρῆμά γε οὗτος μὲν ταμίας ἐκεῖνος δὲ ἀγορανόμος ἀπεδείχθησαν. τῶν τε ταμιευσόντων ἐν τοῖς ἔθνεσιν ἐπιλιπόντων ἐκληρώθησαν ἐς αὐτὰ πάντες οἱ μέχρι δέκα ἄνω ἐτῶν ἄνευ τοῦ ἔργου τούτου τεταμιευκότες.

ἐν μὲν οὖν τῇ πόλει ταῦτα τότε ἄξια μνήμης ἐγένετο· οἱ δὲ δὴ 29
Κάνταβροι οἵ τε Ἄστυρες, ὡς τάχιστα ὁ Αὔγουστος ἐκ τῆς Ἰβηρίας, Λούκιον Αἰμίλιον ἄρχοντα αὐτῆς καταλιπών, ἀπηλλάγη, ἐπανέστησαν, καὶ πέμψαντες πρὸς τὸν Αἰμίλιον, πρὶν καὶ ὁτιοῦν ἐκφῆναί οἱ, σῖτόν τε καὶ ἄλλα τινὰ χαρίσασθαι τῷ στρατεύματι βούλεσθαι
ἔφασαν, κἀκ τούτου στρατιώτας συχνοὺς ὡς καὶ κομιοῦντας αὐτὰ 2

28 3 1 ὅσα ἂν μὴ*

λαβόντες ἔς τε χωρία αὐτοὺς ἐπιτήδειά σφισιν ἐσήγαγον καὶ κατε-
φόνευσαν. οὐ μέντοι καὶ ἐπὶ πολὺ ᾔσθησαν· τῆς τε γὰρ χώρας
αὐτῶν δῃωθείσης καὶ τειχῶν τινῶν καυθέντων, τό τε μέγιστον τῶν
χειρῶν τοῖς ἀεὶ ἁλισκομένοις ἀποκοπτομένων, ταχέως ἐχειρώθησαν.
3 ἐν ᾧ δὲ ταῦτα ἐγίγνετο, καὶ ἄλλη τις στρατεία καινὴ ἀρχήν τε
ἅμα καὶ τέλος ἔσχεν· ἐπὶ γὰρ Ἀραβίαν τὴν εὐδαίμονα καλουμένην,
ἧς Σαβὼς ἐβασίλευεν, Αἴλιος Γάλλος ὁ τῆς Αἰγύπτου ἄρχων ἐπε-
4 στράτευσεν. καὶ ἐς μὲν ὄψιν οὐδεὶς αὐτῷ τήν γε πρώτην ἦλθεν,
οὐ μὴν καὶ ἀπόνως προεχώρει· ἥ τε γὰρ ἐρημία καὶ ὁ ἥλιος τά τε
ὕδατα φύσιν τινὰ ἄτοπον ἔχοντα πάνυ αὐτοὺς ἐταλαιπώρησεν, ὥστε
5 τὸ πλεῖον τοῦ στρατοῦ φθαρῆναι. τὸ δὲ νόσημα οὐδενὶ τῶν συ-
νήθων ομοιον ἐγίγνετο, ἀλλ' ἐς τὴν κεφαλὴν ἐνσκῆψαν ἐξήραινεν
αὐτήν, καὶ τοὺς μὲν πολλοὺς αὐτίκα ἀπώλλυε, τῶν δὲ δὴ περιγιγ-
νομένων ἔς τε τὰ σκέλη κατῄει, πᾶν τὸ μεταξὺ τοῦ σώματος ὑπερ-
βάν, καὶ ἐκεῖνά τε ἐλυμαίνετο, ἴαμά τε αὐτοῦ οὐδὲν ἦν χωρὶς ἢ εἴ
6 τις ἔλαιον οἴνῳ μεμιγμένον καὶ ἔπιε καὶ ἠλείψατο. ὅπερ που πάνυ
ὀλίγοις σφῶν ὑπῆρξε ποιῆσαι· οὔτε γὰρ ἡ χώρα οὐδέτερον αὐτῶν
φέρει οὔτε ἐκεῖνοι ἄφθονα αὐτὰ προπαρεσκευάσαντο. κἀν τῷ πόνῳ
7 τούτῳ καὶ οἱ βάρβαροί σφισι προσεπέθεντο. τέως μὲν γὰρ ἥττους,
ὁπότε γε καὶ προσμίξειαν αὐτοῖς, ἐγίγνοντο, καί τινα καὶ χωρία
ἀπέβαλον· τότε δὲ συμμάχῳ τῇ νόσῳ αὐτῶν χρησάμενοι τά τε
σφέτερα ἐκομίσαντο καὶ ἐκείνων τοὺς περιλειφθέντας ἐξήλασαν ἐκ
8 τῆς χώρας. πρῶτοι μὲν δὴ Ῥωμαίων οὗτοι, νομίζω δ' ὅτι καὶ
μόνοι, τοσοῦτον ἐπὶ πολέμῳ τῆς Ἀραβίας ταύτης ἐπῆλθον· μέχρι
γὰρ τῶν Ἀθλούλων καλουμένων, χωρίου τινὸς ἐπιφανοῦς, ἐχώρησαν.
30 ὁ δ' Αὔγουστος ἑνδέκατον μετὰ Καλπουρνίου Πίσωνος ἄρξας
a. u. 731 ἠρρώστησεν αὖθις, ὥστε μηδεμίαν ἐλπίδα σωτηρίας σχεῖν· πάντα
γοῦν ὡς καὶ τελευτήσων διέθετο, καὶ τάς τε ἀρχὰς τούς τε ἄλλους
τοὺς πρώτους καὶ τῶν βουλευτῶν καὶ τῶν ἱππέων ἀθροίσας διά-
2 δοχον μὲν οὐδένα ἀπέδειξε, καίτοι τὸν Μάρκελλον πάντων προκρι-
θήσεσθαι ἐς τοῦτο προσδοκώντων, διαλεχθεὶς δέ τινα αὐτοῖς περὶ
τῶν δημοσίων πραγμάτων τῷ μὲν Πίσωνι τάς τε δυνάμεις καὶ τὰς
προσόδους τὰς κοινὰς ἐς βιβλίον ἐσγράψας ἔδωκε, τῷ δ' Ἀγρίππᾳ
3 τὸν δακτύλιον ἐνεχείρισεν. καὶ αὐτὸν μηδὲν ἔτι μηδὲ τῶν πάνυ
ἀναγκαίων ποιεῖν δυνάμενον Ἀντώνιός τις Μούσας καὶ ψυχρολου-
σίαις καὶ ψυχροποσίαις ἀνέσωσεν· καὶ διὰ τοῦτο καὶ χρήματα παρά
τε τοῦ Αὐγούστου καὶ παρὰ τῆς βουλῆς πολλὰ καὶ τὸ χρυσοῖς
δακτυλίοις (ἀπελεύθερος γὰρ ἦν) χρῆσθαι τήν τε ἀτέλειαν καὶ ἑαυτῷ

29 6 3 προπαρεσκευάδατο?* 8 3 Ἀδούλων? 30 1 3 τάς γε
3 1 ὅτι

Digitized by Google

*καὶ τοῖς ὁμοτέχνοις, οὐχ ὅτι τοῖς τότε οὖσιν ἀλλὰ καὶ τοῖς ἔπειτα*
*ἐσομένοις, ἔλαβεν. ἀλλ' ἔδει γὰρ αὐτὸν τά τε τῆς τύχης καὶ τὰ* 4
*τῆς πεπρωμένης ἔργα προσποιούμενον παρὰ πόδας ἁλῶναι, ὁ μὲν*
*Αὔγουστος οὕτως ἐσώθη, ὁ δὲ δὴ Μάρκελλος νοσήσας οὐ πολλῷ*
*ὕστερον καὶ τὸν αὐτὸν ἐκείνῳ ὑπ' αὐτοῦ τοῦ Μούσα τρόπον θε-*
*ραπευόμενος ἀπέθανεν. καὶ αὐτὸν ὁ Αὔγουστος δημοσίᾳ τε ἔθαψεν,* 5
*ἐπαινέσας ὥσπερ εἴθιστο, καὶ ἐς τὸ μνημεῖον ὃ ᾠκοδόμειτο κατέ-*
*θετο, τῇ τε μνήμῃ τοῦ θεάτρου τοῦ προκαταβληθέντος μὲν ὑπὸ*
*τοῦ Καίσαρος, Μαρκέλλου δὲ ὠνομασμένου ἐτίμησεν, καί οἱ καὶ* 6
*εἰκόνα χρυσῆν καὶ στέφανον χρυσοῦν δίφρον τε ἀρχικὸν ἔς τε τὸ*
*θέατρον ἐν τῇ τῶν Ῥωμαίων πανηγύρει ἐσφέρεσθαι καὶ ἐς τὸ μέσον*
*τῶν ἀρχόντων τῶν τελούντων αὐτὰ τίθεσθαι ἐκέλευσεν.*

*ταῦτα μὲν ὕστερον ἔπραξεν, τότε δὲ σωθεὶς τὰς διαθήκας ἐσή-* 31
*νεγκε μὲν ἐς τὸ συνέδριον καὶ ἀναλέξασθαι ἠθέλησεν, ἐνδεικνύμενος*
*τοῖς ἀνθρώποις ὅτι οὐδένα τῆς ἀρχῆς διάδοχον καταλελοιπὼς ἦν,*
*οὐ μέντοι καὶ ἀνέγνω· οὐδεὶς γὰρ ἐπέτρεψεν. ἐθαύμαζον μέντοι* 2
*καὶ πάνυ πάντες αὐτοῦ ὅτι τὸν Μάρκελλον καὶ ὡς γαμβρὸν καὶ*
*ὡς ἀδελφιδοῦν ἀγαπῶν, καὶ ἄλλας τε αὐτῷ τιμὰς διδοὺς καὶ τὴν*
*ἑορτὴν ἣν ἐκ τῆς ἀγορανομίας ἐπετέλει συνδιαθεὶς λαμπρῶς, ὥστε* 3
*τήν τε ἀγορὰν ἐν παντὶ τῷ θέρει παραπετάσμασι κατὰ κορυφὴν*
*διαλαβεῖν καὶ ὀρχηστήν τινα ἱππέα γυναῖκά τε ἐπιφανῆ ἐς τὴν*
*ὀρχήστραν ἐσαγαγεῖν, ὅμως τὴν μοναρχίαν οὐκ ἐπίστευσεν, ἀλλὰ*
*καὶ τὸν Ἀγρίππαν αὐτοῦ προετίμησεν. οὕτως, ὡς ἔοικεν, οὐδέπω* 4
*τῇ τοῦ μειρακίου γνώμῃ ἐθάρσει, ἀλλ' ἤτοι τὸν δῆμον τὴν ἐλευθε-*
*ρίαν κομίσασθαι ἢ καὶ τὸν Ἀγρίππαν τὴν ἡγεμονίαν παρ' ἐκείνου*
*λαβεῖν ἠθέλησεν· εὖ τε γὰρ ἠπίστατο προσφιλῆ σφίσιν ἐς τὰ μά-*
*λιστα αὐτὸν ὄντα, καὶ οὐκ ἐβούλετο παρ' ἑαυτοῦ δὴ δοκεῖν αὐτὴν*
*ἐπιτρέπεσθαι. ῥαΐσας δ' οὖν, καὶ μαθὼν τὸν Μάρκελλον οὐκ ἐπι-* 32
*τηδείως τῷ Ἀγρίππᾳ διὰ τοῦτο ἔχοντα, ἐς τὴν Συρίαν εὐθὺς τὸν*
*Ἀγρίππαν, μὴ καὶ διατριβή τις καὶ ἀψιμαχία αὐτοῖς ἐν ταὐτῷ*
*οὖσι συμβῇ, ἔστειλεν. καὶ ὃς ἐκ μὲν τῆς πόλεως εὐθὺς ἐξώρμησεν,*
*οὐ μέντοι καὶ ἐς τὴν Συρίαν ἀφίκετο, ἀλλ' ἔτι καὶ μᾶλλον μετριάζων*
*ἐκεῖσε μὲν τοὺς ὑποστρατήγους ἔπεμψεν, αὐτὸς δὲ ἐν Λέσβῳ διέτριψεν.*

*ταῦτά τε οὕτως ὁ Αὔγουστος ἐποίησε, καὶ στρατηγοὺς δέκα,* 2
*ὡς οὐδὲν ἔτι πλειόνων δεόμενος, ἀπέδειξεν· καὶ τοῦτο καὶ ἐπὶ πλείω*
*ἔτη ἐγένετο. ἔμελλον δὲ αὐτῶν οἱ μὲν ἄλλοι τὰ αὐτὰ ἅπερ καὶ*
*πρόσθεν ποιήσειν, δύο δὲ ἐπὶ τῇ διοικήσει ὅσα ἔτη γενήσεσθαι.*
*διατάξας δὲ ταῦτα ὡς ἕκαστα, ἀπεῖπε τὴν ὑπατείαν ἐς Ἀλβανὸν* 3

31 3 2 *παρ.*] *ἐν παρ.**



Digitized by Google

ἐλθών· ἐπεὶ γὰρ αὐτός, ἐξ οὗπερ τὰ πράγματα κατέστη, καὶ τῶν
ἄλλων οἱ πλείους δι' ἔτους ἦρξαν, ἐπισχεῖν τε τοῦτο αὖθις, ὅπως
ὅτι πλεῖστοι ὑπατεύωσιν, ἠθέλησε, καὶ ἔξω τοῦ ἄστεος αὐτὸ ἐποίη-
4 σεν, ἵνα μὴ κωλυθῇ. καὶ ἐπί τε τούτῳ ἔπαινον ἔσχε, καὶ ὅτι Λού-
κιον ἀνθ' ἑαυτοῦ Σήστιον ἀνθείλετο, ἀεί τε τῷ Βρούτῳ συσπου-
δάσαντα καὶ ἐν πᾶσι τοῖς πολέμοις συστρατεύσαντα, καὶ ἔτι καὶ
τότε καὶ μνημονεύοντα αὐτοῦ καὶ εἰκόνας ἔχοντα καὶ ἐπαίνους
ποιούμενον· τό τε γὰρ φιλικὸν καὶ τὸ πιστὸν τοῦ ἀνδρὸς οὐ μόνον
5 οὐκ ἐμίσησεν ἀλλὰ καὶ ἐτίμησεν. καὶ διὰ ταῦτα ἡ γερουσία δήμαρ-
χόν τε αὐτὸν διὰ βίου εἶναι ἐψηφίσατο, καὶ χρηματίζειν αὐτῷ περὶ
ἑνός τινος ὅτου ἂν ἐθελήσῃ καθ' ἑκάστην βουλήν, κἂν μὴ ὑπατεύῃ,
ἔδωκεν, τήν τε ἀρχὴν τὴν ἀνθύπατον ἐσαεὶ καθάπαξ ἔχειν ὥστε
μήτε ἐν τῇ ἐσόδῳ τῇ εἴσω τοῦ πωμηρίου κατατίθεσθαι αὐτὴν μήτ'
αὖθις ἀνανεοῦσθαι, καὶ ἐν τῷ ὑπηκόῳ τὸ πλεῖον τῶν ἑκασταχόθι
6 ἀρχόντων ἰσχύειν ἐπέτρεψεν. ἀφ' οὗ δὴ καὶ ἐκεῖνος καὶ οἱ μετ'
αὐτὸν αὐτοκράτορες ἐν νόμῳ δή τινι τοῖς τε ἄλλοις καὶ τῇ ἐξουσίᾳ
τῇ δημαρχικῇ ἐχρήσαντο· τὸ γάρ τοι ὄνομα αὐτὸ τὸ τῶν δημάρχων
οὔθ' ὁ Αὔγουστος οὔτ' ἄλλος οὐδεὶς αὐτοκράτωρ ἔσχεν.

33 καί μοι δοκεῖ ταῦθ' οὕτω τότε οὐκ ἐκ κολακείας ἀλλ' ἐπ' ἀλη-
θείας τιμηθεὶς λαβεῖν. τά τε γὰρ ἄλλα ὡς ἐλευθέροις σφίσι προσ-
εφέρετο, καὶ ἐπειδὴ ὁ μὲν Τηριδάτης αὐτός, παρὰ δὲ δὴ τοῦ
Φραάτου πρέσβεις, ἐφ' οἷς ἀντενεκάλουν ἀλλήλοις ἀφίκοντο, ἐς τὴν
2 βουλὴν αὐτοὺς ἐσήγαγε, καὶ μετὰ τοῦτο ἐπιτραπεὶς παρ' αὐτῆς τὴν
διάγνωσιν τὸν μὲν Τηριδάτην τῷ Φραάτῃ οὐκ ἐξέδωκεν, τὸν δὲ
υἱὸν αὐτῷ, ὃν πρότερον παρ' ἐκείνου λαβὼν εἶχεν, ἀπέπεμψεν ἐπὶ
τῷ τούς τε αἰχμαλώτους καὶ τὰ σημεῖα τὰ στρατιωτικὰ τά ἔν τε τῇ
τοῦ Κράσσου καὶ ἐν τῇ τοῦ Ἀντωνίου συμφορᾷ ἁλόντα κομίσασθαι.

3 κἂν τῷ αὐτῷ τούτῳ ἔτει ἀγορανόμον τέ τινα τῶν καταδεεστέ-
ρων ἀποθανόντα Γάιος Καλπούρνιος, καίτοι προηγορανομηκὼς ἐν
τοῖς ἀμείνοσι, διεδέξατο, ὅπερ ἐπ' οὐδενὸς ἄλλου μνημονεύεται γε-
νόμενον· κἂν ταῖς ἀνοχαῖς δύο καθ' ἑκάστην ἡμέραν ἐπολιάρχησαν,
καὶ εἷς γέ τις αὐτῶν οὐδ' ἐς μειράκιόν πω τελῶν ὅμως ἦρξεν.

4 αἰτίαν μὲν οὖν ἡ Λιουία τοῦ θανάτου τοῦ Μαρκέλλου ἔσχεν,
ὅτι τῶν υἱέων αὐτῆς προετετίμητο· ἐς ἀμφίβολον δ' οὖν ἡ ὑποψία
αὕτη καὶ ὑπ' ἐκείνου τοῦ ἔτους καὶ ὑπὸ τοῦ ἔπειτα, οὕτω νοσω-
δῶν γενομένων ὥστε πάνυ πολλοὺς ἐν αὐτοῖς ἀπολέσθαι, κατέστη.
5 καὶ φιλεῖ γάρ πως ἀεί τι πρὸ τῶν τοιούτων προσημαίνεσθαι, τότε
μὲν λύκος τε ἐν τῷ ἄστει συνελήφθη, καὶ πῦρ χειμών τε πολλοῖς

32 5 3 ὅπου    33 4 3 νοσώδους γενομένου*

Digitized by Google

οἰκοδομήμασιν ἐλυμήνατο, ὅ τε Τίβερις αὐξηθεὶς τήν τε γέφυραν
τὴν ξυλίνην κατέσυρε καὶ τὴν πόλιν πλωτὴν ἐπὶ τρεῖς ἡμέρας
ἐποίησεν.

τῷ δ' ἐπιγιγνομένῳ ἔτει, ἐν ᾧ Μάρκος τε Μάρκελλος καὶ Λού- ΝΔ
κιος Ἀρρούντιος ὑπάτευσαν, ἥ τε πόλις πελαγίσαντος αὖθις τοῦ a. u. 732
ποταμοῦ ἐπλεύσθη, καὶ κεραυνοῖς ἄλλα τε πολλὰ ἐβλήθη καὶ οἱ
ἀνδριάντες οἱ ἐν τῷ πανθείῳ, ὥστε καὶ τὸ δόρυ ἐκ τῆς τοῦ Αὐ-
γούστου χειρὸς ἐκπεσεῖν. πονούμενοι οὖν ὑπό τε τῆς νόσου καὶ 2
ὑπὸ τοῦ λιμοῦ (ἔν τε γὰρ τῇ Ἰταλίᾳ πάσῃ ὁ λοιμὸς ἐγένετο καὶ
τὴν χώραν οὐδεὶς εἰργάσατο· δοκῶ δ' ὅτι καὶ ἐν τοῖς ἔξω χωρίοις
τὸ αὐτὸ τοῦτο συνηνέχθη) νομίσαντες οἱ Ῥωμαῖοι οὐκ ἄλλως σφίσι
ταῦτα συμβεβηκέναι, ἀλλ' ὅτι μὴ καὶ τότε ὑπατεύοντα τὸν Αὔ-
γουστον ἔσχον, δικτάτορα αὐτὸν ἠθέλησαν προχειρίσασθαι, καὶ τήν 3
τε βουλὴν κατακλείσαντες ἐς τὸ συνέδριον ἐπηνάγκασαν τοῦτο ψη-
φίσασθαι, ἀπειλοῦντές σφας καταπρήσειν, καὶ μετὰ ταῦτα τὰς
ῥάβδους τὰς τέσσαρας καὶ εἴκοσι λαβόντες προσῆλθον αὐτῷ, δικ-
τάτορά τε ἅμα δεόμενοι λεχθῆναι καὶ ἐπιμελητὴν τοῦ σίτου, καθά-
περ ποτὲ τὸν Πομπήιον, γενέσθαι. καὶ ὃς τοῦτο μὲν ἀναγκαίως 4
ἐδέξατο, καὶ ἐκέλευσε δύο ἄνδρας τῶν πρὸ πέντε που ἀεὶ ἐτῶν
ἐστρατηγηκότων πρὸς τὴν τοῦ σίτου διανομὴν κατ' ἔτος αἱρεῖσθαι,
τὴν δὲ δικτατορίαν οὐ προσήκατο, ἀλλὰ καὶ τὴν ἐσθῆτα προσκα-
τερρήξατο, ἐπειδὴ μηδένα τρόπον ἄλλως σφᾶς ἐπισχεῖν, μήτε δια-
λεγόμενος μήτε δεόμενος, ἠδυνήθη· τήν τε γὰρ ἐξουσίαν καὶ τὴν 5
τιμὴν καὶ ὑπὲρ τοὺς δικτάτορας ἔχων, ὀρθῶς τό τε ἐπίφθονον καὶ
τὸ μισητὸν τῆς ἐπικλήσεως αὐτῶν ἐφυλάξατο. τὸ δ' αὐτὸ τοῦτο 2
καὶ τιμητὴν αὐτὸν διὰ βίου χειροτονῆσαι βουλομένων ἐποίησεν·
οὔτε γὰρ τὴν ἀρχὴν ὑπέστη, καὶ εὐθὺς ἑτέρους τιμητάς, Παῦλόν
τε Αἰμίλιον Λέπιδον καὶ Λούκιον Μουνάτιον Πλάγκον, τοῦτον μὲν
ἀδελφὸν τοῦ Πλάγκου ἐκείνου τοῦ ἐπικηρυχθέντος ὄντα, τὸν δὲ δὴ
Λέπιδον αὐτὸν τότε θανατωθέντα, ἀπέδειξεν. ἔσχατοι οὗτοι τὴν 2
τιμητείαν ἰδιῶται ἅμα ἔσχον, ὥσπερ που καὶ παραχρῆμα αὐτοῖς
ἐδηλώθη· τὸ γὰρ βῆμα ἀφ' οὗ τι πράξειν τῶν προσηκόντων σφίσιν
ἔμελλον, συνέπεσεν ἀναβάντων αὐτῶν ἐν τῇ πρώτῃ τῆς ἀρχῆς ἡμέρᾳ
καὶ συνετρίβη, καὶ μετὰ τοῦτο οὐδένες ἄλλοι τιμηταὶ ὅμοιοι αὐτοῖς
ἅμα ἐγένοντο. καὶ τότε δὲ ὁ Αὔγουστος, καίπερ ἐκείνων αἱρεθέν- 3
των, πολλὰ τῶν ἐς αὐτοὺς ἀνηκόντων ἔπραξεν. τῶν τε συσσιτίων
τὰ μὲν παντελῶς κατέλυσε, τὰ δὲ πρὸς τὸ σωφρονέστερον συνέστειλεν.
καὶ τοῖς μὲν στρατηγοῖς τὰς πανηγύρεις πάσας προσέταξεν, ἔκ τε

1 1 1 ἐπιγενομένῳ* 2 3 1 δή*

Digitized by Google

4 τοῦ δημοσίου δίδοσθαί τι αὐτοῖς κελεύσας, καὶ προσαπειπὼν μήτε
ἐς ἐκείνας οἴκοθέν τινα πλεῖον τοῦ ἑτέρου ἀναλίσκειν μήθ' ὁπλομα-
χίαν μήτ' ἄλλως εἰ μὴ ἡ βουλὴ ψηφίσαιτο, μήτ' αὖ πλεονάκις ἢ
δὶς ἐν ἑκάστῳ ἔτει, μήτε πλειόνων εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν ποιεῖν·
τοῖς δ' ἀγορανόμοις τοῖς κουρουλίοις τὴν τῶν ἐμπιπραμένων κατά-
5 σβεσιν ἐνεχείρισεν, ἑξακοσίους σφίσι βοηθοὺς δούλους δούς. ἐπειδή
τε καὶ ἱππεῖς καὶ γυναῖκες ἐπιφανεῖς ἐν τῇ ὀρχήστρᾳ καὶ τότε γε
ἐπεδείξαντο, ἀπηγόρευσεν οὐχ ὅτι τοῖς παισὶ τῶν βουλευτῶν, ὅπερ
που καὶ πρὶν ἐκεκώλυτο, ἀλλὰ καὶ τοῖς ἐγγόνοις, τοῖς γε ἐν τῇ
ἱππάδι δῆλον ὅτι ἐξεταζομένοις, μηδὲν ἔτι τοιοῦτο δρᾶν.
3 καὶ ἐν μὲν τούτοις τό τε τοῦ νομοθέτου καὶ τὸ τοῦ αὐτοκρά-
τορος καὶ σχῆμα καὶ ὄνομα ἐπεδείκνυτο, ἐν δὲ δὴ τοῖς ἄλλοις ἐμε-
2 τρίαζεν, ὥστε καὶ φίλοις τισὶν εὐθυνομένοις παραγίγνεσθαι. Μάρ-
κου τέ τινος Πρίμου αἰτίαν ἔχοντος ὅτι τῆς Μακεδονίας ἄρχων
Ὀδρύσαις ἐπολέμησε, καὶ λέγοντος τοτὲ μὲν τῇ τοῦ Αὐγούστου
τοτὲ δὲ τῇ τοῦ Μαρκέλλου γνώμῃ τοῦτο πεποιηκέναι, ἔς τε τὸ δι-
καστήριον αὐτεπάγγελτος ἦλθε, καὶ ἐπερωτηθεὶς ὑπὸ τοῦ στρατηγοῦ
3 εἰ προστάξειέν οἱ πολεμῆσαι, ἔξαρνος ἐγένετο. τοῦ τε συναγορεύοντος
τῷ Πρίμῳ Λικινίου Μουρήνου ἄλλα τε ἐς αὐτὸν οὐκ ἐπιτήδεια
ἀπορρίψαντος, καὶ πυθομένου "τί δὴ ἐνταῦθα ποιεῖς, καὶ τίς σε
ἐκάλεσεν;" τοσοῦτο μόνον ἀπεκρίνατο ὅτι τὸ δημόσιον. ἐπὶ οὖν
τούτοις ὑπὸ μὲν τῶν εὖ φρονούντων ἐπῃνεῖτο, ὥστε καὶ τὸ τὴν
βουλὴν ἀθροίζειν ὁσάκις ἂν ἐθελήσῃ λαβεῖν, τῶν δ' ἄλλων τινὲς
4 κατεφρόνησαν αὐτοῦ. ἀμέλει καὶ τοῦ Πρίμου οὐκ ὀλίγοι ἀπεψηφί-
σαντο, καὶ ἐπιβουλὴν ἕτεροι ἐπ' αὐτῷ συνέστησαν. Φάννιος μὲν
γὰρ Καιπίων ἀρχηγὸς αὐτῆς ἐγένετο, συνεπελάβοντο δὲ καὶ ἄλλοι·
καί σφισι καὶ ὁ Μουρήνας συνομωμοκέναι, εἴτ' οὖν ἀληθῶς εἴτε
καὶ ἐκ διαβολῆς, ἐλέχθη, ἐπειδὴ καὶ ἀκράτῳ καὶ κατακορεῖ παρρη-
5 σίᾳ πρὸς πάντας ὁμοίως ἐχρῆτο. καὶ οὐ γὰρ ὑπέμειναν τὸ δικα-
στήριον, ἐρήμην μὲν ὡς καὶ φευξόμενοι ἥλωσαν, ἀπεσφάγησαν δὲ
οὐ πολλῷ ὕστερον, οὐδὲ ἐπήρκεσαν τῷ Μουρήνᾳ οὔτε ὁ Προκου-
λήιος ἀδελφὸς ὢν οὔτε ὁ Μαικήνας τῇ ἀδελφῇ αὐτοῦ συνοικῶν,
6 καίπερ ἐς τὰ πρῶτα ὑπὸ τοῦ Αὐγούστου τιμώμενοι. ὡς δ' οὖν
καὶ τούτους τῶν δικαζόντων τινὲς ἀπέλυσαν, ἐνομοθέτησε μήτε
κρύφα τὰς ψήφους ἐν ταῖς ἐρήμοις δίκαις φέρεσθαι, καὶ πάσαις
αὐταῖς τὸν εὐθυνόμενον ἁλίσκεσθαι. καὶ ὅτι γε ταῦτ' οὐχ ὑπ'
ὀργῆς ἀλλ' ὡς καὶ συμφέροντα τῷ δημοσίῳ διέταξεν, ἰσχυρῶς διέ-
7 δειξεν· τοῦ γοῦν πατρὸς τοῦ Καιπίωνος τὸν μὲν ἕτερον τῶν δούλων
τῶν συμφυγόντων τῷ υἱεῖ ἐλευθερώσαντος, ὅτι ἀμῦναί οἱ θνήσκοντι

5 2 τε] περ* 4 γέ] τε

Digitized by Google

ἠθέλησε, τὸν δὲ ἕτερον τὸν προδόντα αὐτὸν διά τε τῆς ἀγορᾶς
μέσης μετὰ γραμμάτων τὴν αἰτίαν τῆς θανατώσεως αὐτοῦ δηλούν-
των διαγαγόντος καὶ μετὰ ταῦτα ἀνασταυρώσαντος, οὐκ ἠγανάκ-
τησεν. κἂν ἐξηκέσατο πᾶσαν τὴν τῶν οὐκ ἀρεσκομένων τοῖς πρα- 8
χθεῖσι μέμψιν, εἰ μὴ καὶ θυσίας ὡς καὶ ἐπὶ νίκῃ τινὶ καὶ ψηφι-
σθείσας περιεῖδε καὶ γενομένας.

τότε δ' οὖν καὶ τὴν Κύπρον καὶ τὴν Γαλατίαν τὴν Ναρβω- 4
νησίαν ἀπέδωκε τῷ δήμῳ ὡς μηδὲν τῶν ὅπλων αὐτοῦ δεομένας·
καὶ οὕτως ἀνθύπατοι καὶ ἐς ἐκεῖνα τὰ ἔθνη πέμπεσθαι ἤρξαντο.
καὶ τὸν τοῦ Διὸς τοῦ βροντῶντος ἐπικαλουμένου ναὸν καθιέρωσεν· 2
περὶ οὗ δύο ταῦτα παραδέδοται, ὅτι τότε τε ἐν τῇ ἱερουργίᾳ βρον-
ταὶ ἐγένοντο, καὶ μετὰ ταῦτα ὄναρ τῷ Αὐγούστῳ τοιόνδε ἐπέστη.
τῶν γὰρ ἀνθρώπων, τὸ μέν τι πρὸς τὸ ξένον καὶ τοῦ ὀνόματος
αὐτοῦ καὶ τοῦ εἴδους, τὸ δὲ καὶ ὅτι ὑπὸ τοῦ Αὐγούστου ἵδρυτο,
μέγιστον δὲ ὅτι πρώτῳ οἱ ἀνιόντες ἐς τὸ Καπιτώλιον ἐνετύγχανον, 3
προσερχομένων τε αὐτῷ καὶ σεβόντων, ἔδοξε τὸν Δία τὸν ἐν τῷ
μεγάλῳ ναῷ ὄντα ὀργὴν ὡς καὶ τὰ δεύτερα αὐτοῦ φερόμενον ποι-
εῖσθαι, καὶ ἐκ τούτου ἐκείνῳ τε εἰπεῖν ἔλεγεν ὅτι προφύλακα τὸν
βροντῶντα ἔχοι, καὶ ἐπειδὴ ἡμέρα ἐγένετο, κώδωνα αὐτῷ περιῆψε, 4
βεβαιῶν τὴν ὀνείρωξιν· οἱ γὰρ τὰς συνοικίας νύκτωρ φυλάσσοντες κω-
δωνοφοροῦσιν, ὅπως σημαίνειν σφίσιν ὁπόταν βουληθῶσι δύνωνται.

ἐν μὲν δὴ τῇ Ῥώμῃ ταῦτ' ἐγίγνετο, ὑπὸ δὲ τοὺς αὐτοὺς τού- 5
τους χρόνους καὶ οἱ Κάνταβροι οἵ τε Ἄστυρες ἐπολέμησαν αὖθις,
οὗτοι μὲν διά τε τρυφὴν καὶ δι' ὠμότητα τοῦ Καρισίου, οἱ δὲ δὴ
Κάνταβροι, ἐπειδὴ ἐκείνους τε νεωτερίζοντας ᾔσθοντο καὶ τοῦ ἄρ-
χοντός σφων Γαΐου Φουρνίου κατεφρόνησαν, ὅτι τε νεωστὶ ἀφῖκτο
καὶ ὅτι ἄπειρον αὐτὸν τῶν παρ' ἑαυτοῖς πραγμάτων εἶναι ἔδοξαν.
οὐ μέντοι καὶ ἐν τῷ ἔργῳ τοιοῦτός σφισιν ἐφάνη, ἀλλ' ἡττηθέντες 2
ἀμφότεροι ὑπ' αὐτοῦ (καὶ γὰρ τῷ Καρισίῳ προσήμυνεν) ἐδουλώ-
θησαν. καὶ τῶν μὲν Κανταβρων οὐ πολλοὶ ἑάλωσαν· ἐπειδὴ γὰρ
ἀνέλπιστον τὴν ἐλευθερίαν ἔσχον, οὐδὲ ζῆν ἠθέλησαν, ἀλλ' οἱ μὲν 3
τὰ ἐρύματα προεμπρήσαντες ἑαυτοὺς ἀπέσφαξαν, οἱ δὲ καὶ ἐκείνοις
ἐθελονταὶ συγκατεκαύθησαν, ἄλλοι δημοσίᾳ φαρμάκων ἐνεπλήσθη-
σαν, ὥστε τό τε πλεῖστον καὶ τὸ ἀγριώτατον αὐτῶν φθαρῆναι· οἱ
δ' Ἄστυρες ὡς τάχιστα χωρίον τέ τι πολιορκοῦντες ἀπηλάθησαν καὶ
μάχῃ μετὰ τοῦτ' ἐνικήθησαν, οὐκέτ' ἀντῆραν ἀλλ' εὐθὺς ἐχειρώθησαν.

ὑπὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον οἱ Αἰθίοπες οἱ ὑπὲρ Αἰγύπ- 4
του οἰκοῦντες προεχώρησαν μὲν μέχρι τῆς πόλεως τῆς Ἐλεφαντίνης

3 7 3 τινὰ δὲ* 4 3 4 εἰπεῖν, ὡς ἔλεγεν* 4 1 κώδωνας Suetonius.

ὠνομασμένης, πάντα τὰ ἐν ποσὶ πορθοῦντες, ἡγουμένης σφίσι Καν-
δάκης· πυθόμενοι δὲ ἐνταῦθά που Γάιον Πετρώνιον τὸν τῆς Αἰ-
γύπτου ἄρχοντα προσιέναι, προαπῆλθον μὲν ὡς καὶ διαφευξόμενοι,
καταληφθέντες δὲ ἐν τῇ ὁδῷ ἡττήθησαν, κἀκ τούτου καὶ ἐς τὴν
5 οἰκείαν αὐτὸν ἐπεσπάσαντο. καὶ καλῶς καὶ ἐκεῖ ἀγωνισάμενος πό-
λεις ἄλλας τε καὶ τὴν Τανάπην τὸ βασίλειον αὐτῶν ἔλαβεν. καὶ
ἐκείνη μὲν κατεσκάφη, ἐν ἑτέρῳ δέ τινι χωρίῳ φρουρὰ κατελείφθη·
ὁ γὰρ Πετρώνιος μήτε περαιτέρω διά τε τὴν ἄμμον καὶ διὰ τὸ
καῦμα προελθεῖν μήτε κατὰ χώραν μετὰ παντὸς τοῦ στρατοῦ μεῖ-
6 ναι καλῶς δυνηθεὶς ἀνεχώρησε, τὸ πλεῖον αὐτοῦ ἐπαγόμενος. κἀν
τούτῳ τῶν Αἰθιόπων τοῖς φρουροῖς ἐπιθεμένων αὖθίς τε ἐπ᾽ αὐ-
τοὺς ἐστράτευσε, καὶ τοὺς σφετέρους ἐρρύσατο, καὶ τὴν Κανδάκην
συμβῆναί οἱ ἠνάγκασεν.

6 ἐν ᾧ δὲ ταῦτα ἐγίγνετο, ὁ Αὔγουστος ἐς Σικελίαν ἦλθεν, ὅπως
καὶ ἐκείνην καὶ τἆλλα τὰ μέχρι τῆς Συρίας καταστήσηται. καὶ
αὐτοῦ ἐνταῦθα ἔτι ὄντος ὁ δῆμος τῶν Ῥωμαίων τοὺς ὑπάτους
χειροτονῶν ἐστασίασεν, ὥστε καὶ ἐκ τούτου διαδειχθῆναι ὅτι ἀδύ-
2 νατον ἦν δημοκρατουμένους σφᾶς σωθῆναι. μικροῦ γοῦν τινὸς ἔν
τε ταῖς ἀρχαιρεσίαις καὶ ἐν ταῖς ἀρχαῖς αὐταῖς κυριεύοντες ἐθορύβη-
σαν. ἐτηρεῖτο μὲν γὰρ ἡ ἑτέρα χώρα τῷ Αὐγούστῳ, καὶ διὰ τοῦτο
Μάρκος Λόλλιος κατ᾽ ἀρχὰς τοῦ ἔτους μόνος ἦρξεν· ἐκείνου δὲ μὴ
a. u. 733 δεξαμένου αὐτὴν Κύιντός τε Λέπιδος καὶ Λούκιος Σιλανὸς ἐσπου-
δαρχίασαν, καὶ οὕτω γε πάντα συνετάραξαν ὥστε καὶ τὸν Αὔγου-
3 στον ὑπὸ τῶν ἐμφρόνων ἀνακληθῆναι. ἐπειδὴ δὲ οὐχ ὑπέστρεψε
μέν, ἐλθόντας δὲ αὐτοὺς πρὸς αὐτὸν ἀπέπεμψεν ἐπιτιμήσας σφίσι
καὶ κελεύσας ἀμφοτέρων αὐτῶν ἀπόντων τὴν ψῆφον δοθῆναι, οὐδὲν
μᾶλλον ἡσύχασαν, ἀλλὰ καὶ πάνυ αὖθις ἐστασίασαν καὶ διηνέχθη-
4 σαν, ὥστε τὸν Λέπιδον ὀψέ ποτε αἱρεθῆναι. ἀγανακτήσας οὖν
ἐπὶ τούτῳ ὁ Αὔγουστος, καὶ μήτε μόνῃ τῇ Ῥώμῃ σχολάζειν δυνά-
μενος μήτ᾽ αὖ ἄναρχον αὐτὴν καταλιπεῖν τολμῶν, ἐζήτει τινὰ αὐτῇ
ἐπιστῆσαι, καὶ ἔκρινε μὲν τὸν Ἀγρίππαν ἐπιτηδειότατον ἐς τοῦτο
5 εἶναι, βουληθεὶς δὲ δὴ καὶ ἀξίωμα αὐτῷ μεῖζον περιθεῖναι, ἵνα καὶ
ἐκ τούτου ῥᾷον αὐτῶν ἄρχῃ, μετεπέμψατο αὐτόν, καὶ καταναγκάσας
τὴν γυναῖκα, καίπερ ἀδελφιδῆν αὐτοῦ οὖσαν, ἀπαλλάξαντα τῇ Ἰου-
λίᾳ συνοικῆσαι, ἐς τὴν Ῥώμην παραχρῆμα καὶ ἐπὶ τῷ γάμῳ καὶ
ἐπὶ τῇ τῆς πόλεως διαχειρίσει ἔπεμψε, διά τε τἆλλα καὶ ὅτι ὁ
Μαικήνας συμβουλευομένῳ οἱ περὶ αὐτῶν τούτων εἰπεῖν λέγεται
ὅτι τηλικοῦτον αὐτὸν πεποίηκας ὥστε ἢ γαμβρόν σου γενέσθαι ἢ
6 φονευθῆναι. καὶ ὃς τὰ μὲν ἄλλα οἰδοῦντα ἔτι εὑρὼν κατεστήσατο,

5 5 2 τε om

τά τε ἱερὰ τὰ Αἰγύπτια ἐπεσιόντα αὖθις ἐς τὸ ἄστυ ἀνέστειλεν,
ἀπειπὼν μηδένα μηδ᾽ ἐν τῷ προαστείῳ αὐτὰ ἐντὸς ὀγδόου ἡμιστα-
δίου ποιεῖν· ταραχῆς δέ τινος περὶ τὴν τοῦ πολιάρχου τοῦ διὰ τὰς
ἀνοχὰς αἱρουμένου χειροτονίαν συμβάσης οὐκ ἐπεκράτησεν αὐτῆς,
ἀλλ᾽ ἄνευ τῆς ἀρχῆς ταύτης τὸν ἐνιαυτὸν ἐκεῖνον διεγένοντο.

καὶ ὁ μὲν ταῦτα ἔπραττεν, ὁ δὲ Αὔγουστος τά τε ἄλλα τὰ ἐν 7
τῇ Σικελίᾳ διοικήσας, καὶ τὰς Συρακούσας ἑτέρας τέ τινας πόλεις
ἀποίκους Ῥωμαίων ἀποδείξας ἐς τὴν Ἑλλάδα ἐπεραιώθη. καὶ Λα- 2
κεδαιμονίους μὲν τοῖς τε Κυθήροις καὶ τῇ συσσιτίᾳ ἐτίμησεν, ὅτι
ἡ Λιβία, ὅτε ἐκ τῆς Ἰταλίας σύν τε τῷ ἀνδρὶ καὶ σὺν τῷ υἱεῖ
ἔφυγεν, ἐκεῖ διέτριψεν· Ἀθηναίων δὲ τήν τε Αἴγιναν καὶ τὴν Ἐρέ-
τριαν (ἐκαρποῦντο γὰρ αὐτάς), ὥς τινές φασιν, ἀφείλετο, ὅτι τὸν
Ἀντώνιον ἐσπούδασαν, καὶ προσέτι καὶ ἀπηγόρευσέ σφισι μηδένα
πολίτην ἀργυρίου ποιεῖσθαι. καὶ αὐτοῖς ἐς ταῦτα ἔδοξε τὸ τῷ τῆς 3
Ἀθηνᾶς ἀγάλματι συμβὰν ἀποσκῆψαι· ἐν γὰρ τῇ ἀκροπόλει πρὸς
ἀνατολῶν ἱδρυμένον πρός τε τὰς δυσμὰς μετεστράφη καὶ αἷμα
ἀπέπτυσεν. ὁ δ᾽ οὖν Αὔγουστος τό τε Ἑλληνικὸν διήγαγε καὶ ἐς 4
Σάμον ἔπλευσεν, ἐνταῦθά τε ἐχείμασε, καὶ ἐς τὴν Ἀσίαν ἐν τῷ
ἦρι ἐν ᾧ Μάρκος τε Ἀπουλήιος καὶ Πούπλιος Σίλιος ὑπάτευσαν a. u. 734
κομισθεὶς πάντα τά τε ἐκεῖ καὶ τὰ ἐν τῇ Βιθυνίᾳ διέταξεν, οὐχ 5
ὅτι τοῦ δήμου καὶ ταῦτα τὰ ἔθνη καὶ τὰ πρότερα ἐδόκει εἶναι ἐν
ὀλιγωρίᾳ αὐτὰ ποιησάμενος, ἀλλὰ καὶ πάνυ πάντων σφῶν ὡς καὶ
ἑαυτοῦ ὄντων ἐπιμεληθείς· τά τε γὰρ ἄλλα ὅσα περ καὶ προσῆκον
ἦν ἐπηνώρθωσε, καὶ χρήματα τοῖς μὲν ἐπέδωκε τοῖς δὲ καὶ ὑπὲρ
τὸν φόρον ἐσενεγκεῖν προσέταξεν. τούς τε Κυζικηνούς, ὅτι Ῥωμαίους 6
τινὰς ἐν στάσει μαστιγώσαντες ἀπέκτειναν, ἐδουλώσατο. καὶ τοῦτο
καὶ τοὺς Τυρίους τούς τε Σιδωνίους διὰ τὰς στάσεις ἐποίησεν, ἐν
τῇ Συρίᾳ γενόμενος.

κἀν τούτῳ ὁ Φραάτης φοβηθεὶς μὴ καὶ ἐπιστρατεύσῃ οἱ, ὅτι 8
μηδέπω τῶν συγκειμένων ἐπεποιήκει τι, τά τε σημεῖα αὐτῷ καὶ
τοὺς αἰχμαλώτους, πλὴν ὀλίγων οἳ ὑπ᾽ αἰσχύνης σφᾶς ἔφθειραν
ἢ καὶ κατὰ χώραν λαθόντες ἔμειναν, ἀπέπεμψεν. καὶ αὐτοὺς ἐκεῖ- 2
νος ὡς καὶ πολέμῳ τινὶ τὸν Πάρθον νενικηκὼς ἔλαβεν· καὶ γὰρ
ἐφρόνει μέγα, λέγων ὅτι τὰ πρότερόν ποτε ἐν ταῖς μάχαις ἀπολό-
μενα ἀκονιτὶ ἐκεκόμιστο. ἀμέλει καὶ θυσίας ἐπ᾽ αὐτοῖς καὶ νεὼν 3
Ἄρεος τιμωροῦ ἐν τῷ Καπιτωλίῳ, κατὰ τὸ τοῦ Διὸς τοῦ φερετρίου
ζήλωμα, πρὸς τὴν τῶν σημείων ἀνάθεσιν καὶ ψηφισθῆναι ἐκέλευσε
καὶ ἐποίησεν, καὶ προσέτι καὶ ἐπὶ κέλητος ἐς τὴν πόλιν ἐσήλασε

7 2 5 ἀφείλετο ante ὥς?* 3 2 πρὸς] τῇ πρὸς 4 1 ὁ γοῦν*
8 3 2 τιμωροῦ κατὰ — φερετρίου τοῦ ἐν τῷ Καπιτωλίῳ ζήλωμα?

Digitized by Google

4 καὶ ἁψῖδι τροπαιοφόρῳ ἐτιμήθη. ταῦτα μὲν ἐπ' ἐκείνοις ὕστερον
ἐπράχθη· τότε δὲ αὐτός τε προστάτης τῶν περὶ τὴν Ῥώμην ὁδῶν
αἱρεθεὶς καὶ τὸ χρυσοῦν μίλιον κεκλημένον ἔστησε, καὶ ὁδοποιοὺς
αὐταῖς ἐκ τῶν ἐστρατηγηκότων, ῥαβδούχοις δύο χρωμένους, προσ-
5 έταξεν. καὶ ἡ Ἰουλία τὸν Γάιον ὀνομασθέντα ἔτεκε, βουθυσία τέ
τις τοῖς γενεθλίοις αὐτοῦ ἀίδιος ἐδόθη. καὶ τοῦτο μὲν ἐκ ψηφί-
σματος, ὥσπερ που καὶ τἆλλα, ἐγένετο· ἰδίᾳ δὲ δὴ οἱ ἀγορανόμοι
ἱπποδρομίαν τε ἐν τοῖς τοῦ Αὐγούστου γενεθλίοις καὶ θηρίων σφα-
γὰς ἐποίησαν.
9 ἐν μὲν οὖν τῇ πόλει ταῦτα ἐπράττετο, ὁ δὲ δὴ Αὔγουστος τὸ
μὲν ὑπήκοον κατὰ τὰ τῶν Ῥωμαίων ἔθη διῴκει, τὸ δὲ ἔνσπονδον
τῷ πατρίῳ σφίσι τρόπῳ εἴα ἄρχεσθαι· οὐδ' ἠξίωσεν οὔτε ἐκείνῳ
τι προσθέσθαι οὔτε ἕτερόν τι προσκτήσασθαι, ἀλλ' ἀκριβῶς ἀρ-
κεῖσθαι τοῖς ὑπάρχουσιν ἐδικαίου, καὶ τοῦτο καὶ τῇ βουλῇ ἐπέστει-
2 λεν. ὥστε πολέμου μὲν οὐδὲν τότε γ' ἐφήψατο, δυναστείας δὲ δὴ
Ἰαμβλίχῳ τε τῷ Ἰαμβλίχου τὴν τῶν Ἀραβίων τὴν πατρῴαν καὶ
Ταρκονδιμότῳ τῷ Ταρκονδιμότου τὴν τῆς Κιλικίας, ἣν ὁ πατὴρ
αὐτοῦ ἔσχε, πλὴν παραθαλασσιδίων τινῶν ἔδωκεν· ἐκεῖνα γὰρ τῷ
Ἀρχελάῳ μετὰ τῆς μικροτέρας Ἀρμενίας ἐχαρίσατο, ὅτι ὁ Μῆδος
3 ὁ πρὶν αὐτῆς βασιλεύων ἐτεθνήκει. τῷ τε Ἡρώδῃ Ζηνοδώρου τινὸς
τετραρχίαν, καὶ Μιθριδάτῃ τινὶ τὴν Κομμαγηνήν, ἐπειδὴ τὸν πα-
τέρα αὐτοῦ ὁ βασιλεὺς αὐτῆς ἀπεκτόνει, καίτοι παιδίσκῳ ἔτ' ὄντι
4 ἐπέτρεψεν. τῶν τε Ἀρμενίων τῶν ἑτέρων τοῦ τε Ἀρταβάζου κατη-
γορησάντων καὶ τὸν Τιγράνην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ Ῥώμῃ
ὄντα μεταπεμψαμένων, ἔστειλε τὸν Τιβέριον, ὅπως τὸν μὲν ἐκβάλῃ
5 τῆς βασιλείας, τὸν δὲ ἐς αὐτὴν ἀποκαταστήσῃ. καὶ ἐπράχθη μὲν
οὐδὲν τῆς παρασκευῆς αὐτοῦ ἄξιον· οἱ γὰρ Ἀρμένιοι τὸν Ἀρταβά-
ζην προαπέκτειναν· ὁ δ' οὖν Τιβέριος, ἄλλως τε καὶ ἐπειδὴ θυσίαι
ἐπὶ τούτῳ ἐψηφίσθησαν, ἐσεμνύνετο ὡς καὶ κατ' ἀρετήν τι ποιήσας.
6 καὶ ἤδη γε καὶ περὶ τῆς μοναρχίας ἐνενόει, ἐπειδὴ πρὸς τοὺς Φιλίπ-
πους αὐτῷ προσελαύνοντι θόρυβός τέ τις ἐκ τοῦ τῆς μάχης χωρίου
ὡς καὶ ἐκ στρατοπέδου ἠκούσθη, καὶ πῦρ ἐκ τῶν βωμῶν τῶν ὑπὸ
τοῦ Ἀντωνίου ἐν τῷ ταφρεύματι ἱδρυθέντων αὐτόματον ἀνέλαμψεν.
7 Τιβέριος μὲν δὴ ἐκ τούτων ἐγαυροῦτο, ὁ δὲ Αὔγουστος ἔς τε τὴν
Σάμον ἐπανῆλθε κἀνταῦθα αὖθις ἐχείμασε, καὶ ἐκείνοις τε ἐλευ-
θερίαν μισθὸν τῆς διατριβῆς ἀντέδωκε, καὶ ἄλλα οὐκ ὀλίγα προσ-
8 διῴκησεν. πάμπολλαι γὰρ δὴ πρεσβεῖαι πρὸς αὐτὸν ἀφίκοντο, καὶ
οἱ Ἰνδοὶ προκηρυκευσάμενοι πρότερον φιλίαν τότε ἐσπείσαντο, δῶρα

9 1 3 εἴα] ἀεὶ ἐκείνων* 4 3 μετέστειλε*

Digitized by Google

πέμψαντες ἄλλα τε καὶ τίγρεις, πρῶτον τότε τοῖς Ῥωμαίοις, νομίζω δ' ὅτι καὶ τοῖς Ἕλλησιν, ὀφθείσας. καί τι καὶ μειράκιόν οἱ ἄνευ ὤμων, οἵους τοὺς Ἑρμᾶς ὁρῶμεν, ἔδωκαν. καὶ μέντοι τοιοῦτον ὂν 9
ἐκεῖνο ἐς πάντα τοῖς ποσὶν ἅτε καὶ χερσὶν ἐχρῆτο, τόξον τε αὐτοῖς ἐνέτεινε καὶ βέλη ἠφίει καὶ ἐσάλπιζεν, οὐκ οἶδ' ὅπως· γράφω γὰρ τὰ λεγόμενα. εἷς δ' οὖν τῶν Ἰνδῶν Ζάρμαρος, εἴτε δὴ τοῦ τῶν 10
σοφιστῶν γένους ὤν, καὶ κατὰ τοῦτο ὑπὸ φιλοτιμίας, εἴτε καὶ ὑπὸ τοῦ γήρως κατὰ τὸν πάτριον νόμον, εἴτε καὶ ἐς ἐπίδειξιν τοῦ τε Αὐγούστου καὶ τῶν Ἀθηναίων (καὶ γὰρ ἐκεῖσε ἦλθεν) ἀποθανεῖν ἐθελήσας ἐμυήθη τε τὰ τοῖν θεοῖν, τῶν μυστηρίων καίπερ οὐκ ἐν τῷ καθήκοντι καιρῷ, ὥς φασί, διὰ τὸν Αὔγουστον καὶ αὐτὸν μεμυημένον γενομένων, καὶ πυρὶ ἑαυτὸν ζῶντα ἐξέδωκεν.

10 ὑπάτευε μὲν δὴ ἐν τῷ ἔτει ἐκείνῳ Γάιος Σέντιος· ἐπεὶ δὲ καὶ τὸν συνάρξοντα αὐτῷ προσαποδειχθῆναι ἔδει (ὁ γὰρ Αὔγουστος a. u. 735
οὐδὲ τότε τηρηθεῖσάν οἱ τὴν ἀρχὴν ἐδέξατο), στάσις τε αὖθις ἐν τῇ Ῥώμῃ συνηνέχθη καὶ σφαγαὶ συνέβησαν, ὥστε τοὺς βουλευτὰς φρουρὰν τῷ Σεντίῳ ψηφίσασθαι. ἐπειδὴ δὲ μήτε ἠθέλησεν αὐτῇ 2
χρήσασθαι, πρέσβεις πρὸς τὸν Αὔγουστον, μετὰ δύο ῥαβδούχων ἕκαστον, ἔπεμψαν. μαθὼν οὖν ταῦτα ἐκεῖνος, καὶ συνιδὼν ὅτι οὐδὲν πέρας τοῦ κακοῦ γενήσοιτο, οὐκέτ' αὐτοῖς ὁμοίως ὥσπερ καὶ πρὶν προσηνέχθη, ἀλλ' ἔκ τε τῶν πρεσβευτῶν αὐτῶν Κύιντον Λουκρήτιον, καίπερ ἐν τοῖς ἐπικηρυχθεῖσιν ἀναγραφέντα, ὕπατον ἀπέδειξε, καὶ αὐτὸς ἐς τὴν Ῥώμην ἠπείχθη. καὶ αὐτῷ ἐπί τε τούτοις 3
καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς ἐν τῇ ἀποδημίᾳ πραχθεῖσι πολλὰ καὶ παντοῖα ἐψηφίσθη· ὧν οὐδὲν προσήκατο, πλὴν τύχῃ τε ἐπαναγώγῳ (οὕτω γάρ πως αὐτὴν ἐκάλεσαν) βωμὸν ἱδρυθῆναι καὶ τὴν ἡμέραν ἣν ἀφίξοιτο ἔν τε ταῖς ἱερομηνίαις ἀριθμεῖσθαι καὶ αὐγουστάλια ὀνομάζεσθαι. ἐπεὶ δὲ καὶ ὣς αἵ τε ἀρχαὶ καὶ οἱ ἄλλοι προαπαν- 4
τῆσαί οἱ προπαρεσκευάσαντο, νύκτωρ ἐς τὴν πόλιν ἐσεκομίσθη, καὶ τῇ ὑστεραίᾳ τῷ τε Τιβερίῳ τὰς τῶν ἐστρατηγηκότων τιμὰς ἔδωκε, καὶ τῷ Δρούσῳ πέντε ἔτεσι θᾶσσον παρὰ τὰ νομιζόμενα τὰς ἀρχὰς αἰτῆσαι προσεπέτρεψεν. ἐπειδή τε μηδὲν ὡμολόγει ὅσα τε ἀπόντος 5
αὐτοῦ στασιάζοντες καὶ ὅσα παρόντος φοβούμενοι ἔπρασσον, ἐπιμελητής τε τῶν τρόπων ἐς πέντε ἔτη παρακληθεὶς δὴ ἐχειροτονήθη, καὶ τὴν ἐξουσίαν τὴν μὲν τῶν τιμητῶν ἐς τὸν αὐτὸν χρόνον τὴν δὲ τῶν ὑπάτων διὰ βίου ἔλαβεν, ὥστε καὶ ταῖς δώδεκα ῥάβδοις ἀεὶ καὶ πανταχοῦ χρῆσθαι, καὶ ἐν μέσῳ τῶν ἀεὶ ὑπατευόντων ἐπὶ τοῦ ἀρχικοῦ δίφρου καθίζεσθαι. ψηφισάμενοι δὲ ταῦτα διορθοῦν 6

9 2 τε] τε γάρ? 3 ἐπέτεινε* 10 5 αὐτὸν om 6 γενόμενον 10 1 1 ἐκείνῳ] ἐν ᾧ 2 1 μηδὲν?

Digitized by Google

τε πάντα αὐτὸν καὶ νομοθετεῖν ὅσα βούλοιτο ἠξίουν, καὶ τούς τε
νόμους τοὺς γραφησομένους ὑπ' αὐτοῦ Αὐγούστους ἐκεῖθεν ἤδη
προσηγόρευον, καὶ ἐμμένειν σφίσιν ὀμόσαι ἤθελον. ὁ δὲ τὰ μὲν
7 ἄλλα ὡς καὶ ἀναγκαῖα ἐδέξατο, τοὺς δ' ὅρκους ἀφῆκεν αὐτοῖς· καὶ
γὰρ εὖ ᾔδει ὅτι, εἰ μὲν ἀπὸ γνώμης τι ψηφίσαιντο, τηρήσουσιν
αὐτὸ κἂν μὴ ὀμόσωσιν, εἰ δὲ μή, οὐδὲν αὐτοῦ, κἂν μυρίας πίστεις
ἐπαγάγωσι, προτιμήσουσιν.

Αὔγουστος μὲν δὴ ταῦτα ἐποίει, καί τις τῶν ἀγορανόμων ἐθε-
11 λοντὴς ὑπὸ πενίας ἀπεῖπε τὴν ἀρχήν· Ἀγρίππας δὲ ὡς τότε ἐς τὴν
Ῥώμην ἐκ τῆς Σικελίας πεμφθεὶς διῴκησε τὰ κατεπείγοντα, ταῖς
Γαλατίαις προσετάχθη· ἔν τε γὰρ ἀλλήλοις ἐστασίαζον καὶ ὑπὸ
2 τῶν Κελτῶν ἐκακοῦντο. καταστήσας δὲ καὶ ἐκεῖνα ἐς Ἰβηρίαν με-
τέστη· οἱ γὰρ Κάνταβροι οἱ ζωγρηθέντες τε ἐν τῷ πολέμῳ καὶ
πραθέντες τούς τε δεσπότας σφῶν ὡς ἕκαστοι ἀπέκτειναν, καὶ πρὸς
τὴν οἰκείαν ἐπανελθόντες πολλοὺς συναπέστησαν, καὶ μετ' αὐτῶν
χωρία καταλαβόντες καὶ ἐντειχισάμενοι τοῖς τῶν Ῥωμαίων φρουροῖς
3 ἐπεβούλευον. ἐπ' οὖν τούτους ὁ Ἀγρίππας ἐπιστρατεύσας ἔσχε μέν
τι καὶ πρὸς τοὺς στρατιώτας ἔργον· πρεσβύτεροι γὰρ οὐκ ὀλίγοι
αὐτῶν ὄντες καὶ τῇ συνεχείᾳ τῶν πολέμων τετρυχωμένοι, τούς τε
Καντάβρους ὡς καὶ δυσπολεμήτους δεδιότες, οὐκ ἐπείθοντο αὐτῷ.
4 ἀλλ' ἐκείνους μέν, τὰ μὲν νουθετήσας τὰ δὲ παραμυθησάμενος τὰ
δὲ καὶ ἀπειλήσας, διὰ ταχέων πειθαρχῆσαι ἐποίησεν, πρὸς δὲ δὴ
τοὺς Καντάβρους πολλὰ προσέπταισεν· καὶ γὰρ ἐμπειρίᾳ πραγμάτων,
ἅτε τοῖς Ῥωμαίοις δεδουλευκότες, καὶ ἀπογνώσει τοῦ μὴ ἂν ἔτι
5 σωθῆναι ἁλόντες ἐχρῶντο. τέλος δέ ποτε συχνοὺς μὲν ἀποβαλὼν
τῶν στρατιωτῶν, συχνοὺς δὲ καὶ ἀτιμώσας ὅτι ἡττῶντο (τά τε
γὰρ ἄλλα καὶ στρατόπεδον ὅλον Αὔγουστον ἐπωνομασμένον ἐκώ-
λυσεν οὕτως ἔτι καλεῖσθαι), τούς τε ἐν τῇ ἡλικίᾳ πολεμίους πάντας
ὀλίγου διέφθειρε καὶ τοὺς λοιποὺς τά τε ὅπλα ἀφείλετο καὶ ἐς τὰ
6 πεδία ἐκ τῶν ἐρυμνῶν κατεβίβασεν. οὐ μὴν οὔτε ἐπέστειλέ τι τῇ
βουλῇ περὶ αὐτῶν, οὔτε τὰ ἐπινίκια καίτοι ἐκ τῆς τοῦ Αὐγούστου
προστάξεως ψηφισθέντα προσήκατο, ἀλλ' ἔν τε τούτοις ἐμετρίαζεν
ὥσπερ εἰώθει, καὶ γνώμην ποτὲ ὑπὸ τοῦ ὑπάτου ὑπὲρ τοῦ ἀδελφοῦ
7 αὐτοῦ ἐρωτηθεὶς οὐκ ἔδωκεν. τό τε ὕδωρ τὸ Παρθένιον καλούμενον
τοῖς ἰδίοις τέλεσιν ἐσαγαγὼν Αὔγουστον προσηγόρευσεν. καὶ οὕτω
γε ἐκεῖνος ἐπ' αὐτῷ ἔχαιρεν ὥστε σπάνεώς ποτε οἴνου γενομένης,
καὶ τῶν ἀνθρώπων δεινὰ διαβοώντων, ἱκανώτατα ἔφη τὸν Ἀγρίπ-
παν προνενοηκέναι ὥστε μὴ δίψῃ ποτὲ αὐτοὺς ἀπολέσθαι.

6 2 αὐτὰ 7 1 ὡς] ὡς ἅτε* 2 τηροῦσιν 3 ὁμολογήσωσιν
4 προξενήσουσιν 11 7 3 σπάνιός*

τοιοῦτος μὲν δὴ οὗτος ὁ ἀνὴρ ἦν· τῶν δὲ δὴ ἄλλων τινὲς οὐχ 12
ὅτι τὰ αὐτὰ αὐτῷ πράσσοντες, ἀλλ' οἱ μὲν λῃστὰς συλλαμβάνοντες
οἱ δὲ πόλεις στασιαζούσας καταλλάσσοντες, καὶ ἐπωρέγοντο τῶν
νικητηρίων καὶ ἔπεμπον αὐτά. ὁ γὰρ Αὔγουστος καὶ ταῦτα ἀφθό- 2
νως τισὶ τήν γε πρώτην ἐχαρίζετο, καὶ δημοσίαις ταφαῖς πλείστους
ὅσους ἐτίμα. τοιγαροῦν ἐκεῖνοι μὲν ἐν τούτοις ἐλαμπρύνοντο, ὁ δὲ
Ἀγρίππας ἐς τὴν αὐταρχίαν τρόπον τινὰ ὑπ' αὐτοῦ προήχθη. ὁ 3
γὰρ Αὔγουστος, ὡς τά τε κοινὰ θεραπείας ἀκριβοῦς ἐδεῖτο, καὶ
ἐδεδίει μή, οἷα ἐν τοῖς τοιούτοις φιλεῖ συμβαίνειν, ἐπιβουλευθῇ
(βραχὺ γάρ τι καὶ σμικρὸν τὸν θώρακα, ὃν ὑπὸ τῇ στολῇ πολλάκις
καὶ ἐς αὐτὸ τὸ συνέδριον ἐσιὼν εἶχεν, ἐπικουρήσειν οἱ ἐνόμιζε),
πρῶτον μὲν αὐτὸς πέντε τῆς προστασίας ἔτη, ἐπειδή περ ὁ δεκέτης 4
χρόνος ἐξήκων ἦν, προσέθετο (ταῦτα γὰρ Πουπλίου τε καὶ Γναίου a. u.
Λεντούλων ὑπατευόντων ἐγένετο), ἔπειτα δὲ καὶ τῷ Ἀγρίππᾳ ἄλλα 736
τε ἐξ ἴσου πῃ ἑαυτῷ καὶ τὴν ἐξουσίαν τὴν δημαρχικὴν ἐς τὸν
αὐτὸν χρόνον ἔδωκεν. τοσαῦτα γάρ σφισιν ἔτη τότε ἐπαρκέσειν 5
ἔφη· ὕστερον γὰρ οὐ πολλῷ καὶ τὰ πολλὰ τῆς αὐτοκράτορος ἡγε-
μονίας προσέλαβεν, ὥστε αὐτὰ δέκα αὖθις γενέσθαι.

πράξας δὲ ταῦτα τὸ βουλευτικὸν ἐξήτασεν· πολλοί τε γὰρ καὶ 13
ὣς ἐδόκουν αὐτῷ εἶναι, πλήθει δὲ οὐδὲν ὑγιὲς ἐνεώρα, καὶ διὰ μί-
σους οὐχ ὅτι τοὺς κακίᾳ τινὶ ἐπιρρήτους, ἀλλὰ καὶ τοὺς κολακείᾳ
ἐκφανεῖς ἐποιεῖτο. καὶ ἐπειδὴ μήτε τις ἑκὼν ὥσπερ πρότερον ἀπηλ- 2
λάττετο, μήτ' αὖ μόνος ἐν αἰτίᾳ τινὶ γενέσθαι ἐβούλετο, αὐτός τε
τριάκοντα ἄνδρας τοὺς ἀρίστους, ὅπερ που καὶ ὅρκῳ ἐπιστώσατο,
ἐξελέξατο, καὶ ἐκείνους ἐκέλευσε προομόσαντας τὸν αὐτὸν ὅρκον
κατὰ πέντε, πλὴν τῶν συγγενῶν, ἐς πινάκια γράψαντας ἑλέσθαι.
καὶ μετὰ τοῦτο τὰς πεντάδας ἐκλήρωσεν, ὥσθ' ἕνα καθ' ἑκάστην 3
τὸν λαχόντα αὐτόν τε βουλεῦσαι καὶ ἑτέρους πέντε ἐπὶ τοῖς αὐτοῖς
ἐγγράψαι. ἔδει που καὶ τοὺς τριάκοντα ἔν τε τοῖς αἱρουμένοις ὑφ'
ἑτέρων καὶ ἐν τοῖς κληρουμένοις γενέσθαι. ἐπειδή τέ τινες αὐτῶν
ἀπεδήμουν, ἄλλοι ἀντ' ἐκείνων λαχόντες τὰ ἐπιβάλλοντά σφισιν
ἔπραξαν. τὸ μὲν οὖν πρῶτον ταῦθ' οὕτως ἐπὶ πλείους ἡμέρας ἐγέ- 4
νετο· ἐπεὶ δὲ ἐκακουργήθη τινά, οὔτε ἐπὶ τοῖς ταμίαις τὰ γραμμα-
τεῖα ἔτ' ἐποιήσατο οὔτε ἔτι τῷ κλήρῳ τὰς πεντάδας ἐπέτρεψεν,
ἀλλ' αὐτός τε τὰ λοιπὰ ἀνελέξατο καὶ αὐτὸς τοὺς ἐνδέοντας προσ-
είλετο, ὥστε ἑξακοσίους τοὺς πάντας ἀποδειχθῆναι. ἐβουλεύσατο 14
μὲν γὰρ τριακοσίους αὐτοὺς κατὰ τὸ ἀρχαῖον ποιῆσαι, καὶ πάνυ
ἀγαπητὸν νομίζων εἶναι τοσούτους ἀξίους τοῦ συνεδρίου σφῶν εὑ-

12 4 3 λεντούλου* 5 2 πολλὰ] ἄλλα πέντε? 13 1 2 ἑώρα
2 3 πω* 3 1 et 4 3 πεμπάδας

Digitized by Google

ρεθῆναι· δυσχερανάντων δὲ πάντων ὁμοίως (τῷ γὰρ πολὺ πλείους
τῶν ἐμμενούντων ἐν αὐτῷ τοὺς διαγραφησομένους ἔσεσθαι, φοβεῖ-
σθαι μᾶλλον αὐτοὺς μὴ ἰδιωτεύσωσιν ἢ προσδοκᾶν ὅτι καὶ βου-
2 λεύσουσι συνέβαινεν) τοὺς ἑξακοσίους κατελέξατο. καὶ οὐδ᾽ ἐνταῦθα
ἔστη, ἀλλὰ καὶ μετὰ τοῦτο, ἐπειδή τινες οὐκ ἐπιτήδειοι καὶ τότε
ἐγγεγραμμένοι ἦσαν, καὶ Λικίνιός τέ τις Ῥήγουλος, ἀγανακτήσας
ὅτι τοῦ τε υἱέος καὶ ἄλλων πολλῶν, ὧν κρείσσων εἶναι ἠξίου, διει-
λεγμένων ἀπαλήλιπτο, τήν τε ἐσθῆτα ἐν αὐτῷ τῷ βουλευτηρίῳ
3 κατερρήξατο, καὶ τὸ σῶμα γυμνώσας τάς τε στρατείας κατηριθμή-
σατο καὶ τὰς οὐλὰς προσεπέδειξε σφίσι, καὶ Ἀρτικυλήιος Παῖτος
ἐν μὲν τοῖς βουλεύουσιν ὢν τῷ δὲ δὴ πατρὶ ἐκπεπτωκότι παρα-
χωρῆσαι τῆς βουλείας ἀξιῶν ἱκέτευεν, ἐξετασμὸν αὖθίς σφων ἐποιή-
4 σατο, καί τινας ἀπαλλάξας ἄλλους ἀντικατέλεξεν. ἐπειδή τε πολλοὶ
καὶ ὣς διεγεγράφατο, καί τινες αὐτὸν δι᾽ αἰτίας, οἷα ἐν τῷ τοιούτῳ
φιλεῖ συμβαίνειν, ὡς καὶ ἀδίκως ἀπεληλαμένοι εἶχον, τότε τε αὐτοῖς
καὶ συνθεάσασθαι καὶ συνεστιάσασθαι τοῖς βουλεύουσι, τῇ αὐτῇ
σκευῇ χρωμένοις, συνεχώρησε, καὶ ἐς τὸ ἔπειτα τὰς ἀρχὰς αἰτεῖν
5 ἐπέτρεψεν. καὶ αὐτῶν οἱ μὲν πλείους ἐπανῆλθον χρόνῳ ἐς τὸ συνέ-
δριον, ὀλίγοι δέ τινες ἐν τῷ μέσῳ, μήτε τῆς γερουσίας μήτε τοῦ
δήμου νομιζόμενοι, κατελείφθησαν.
15 τούτων οὖν οὕτω γενομένων συχνοὶ μὲν εὐθὺς συχνοὶ δὲ καὶ
μετὰ τοῦτο καὶ ἐκείνῳ καὶ τῷ Ἀγρίππᾳ ἐπιβουλεῦσαι, εἴτ᾽ οὖν ἀλη-
2 θῶς εἴτε καὶ ψευδῶς, αἰτίαν ἔσχον. οὐ γάρ ἐστιν ἀκριβῶς τὰ
τοιαῦτα τοῖς ἔξω αὐτῶν οὖσιν εἰδέναι· πολλὰ γὰρ ὧν ἂν ὁ κρατῶν
πρὸς τιμωρίαν, ὡς καὶ ἐπιβεβουλευμένος, ἤτοι δι᾽ ἑαυτοῦ ἢ καὶ
διὰ τῆς γερουσίας πράξῃ, ὑποπτεύεται κατ᾽ ἐπήρειαν, κἂν ὅτι μά-
3 λιστα δικαιότατα συμβῇ, γεγονέναι. καὶ διὰ τοῦτο καὶ ἐγὼ γνώμην
ἔχω περὶ πάντων τῶν τοιουτοτρόπων αὐτὰ τὰ λεγόμενα συγγράψαι,
μηδὲν ὑπὲρ τὰ δεδημοσιευμένα, πλὴν τῶν πάνυ φανερῶν, μήτε
πολυπραγμονῶν μήθ᾽ ὑπολέγων, μήτ᾽ εἰ δικαίως μήτ᾽ εἰ ἀδίκως τι
4 γέγονε, μήτ᾽ εἰ ψευδῶς μήτ᾽ εἰ ἀληθῶς εἴρηται. καὶ τοῦτο μέν
μοι καὶ κατὰ τῶν μετὰ ταῦτα γραφησομένων εἰρήσθω· ἐν δὲ δὴ
τῷ τότε παρόντι ὁ Αὔγουστος ἄλλους μέν τινας ἐδικαίωσε, τὸν δὲ
δὴ Λέπιδον ἐμίσει μὲν διά τε τἆλλα καὶ ὅτι ὁ υἱὸς αὐτοῦ καὶ
ἐπεφώρατο ἐπιβουλεύων αὐτῷ καὶ ἐκεκόλαστο, οὐ μέντοι καὶ ἀπο-
κτεῖναι ἠθέλησεν, ἀλλ᾽ ἐν τρόπῳ τινὶ ἄλλοτε ἄλλῳ προεπηλάκιζεν.
5 ἔς τε γὰρ τὴν πόλιν καὶ ἄκοντα αὐτὸν ἐκ τῶν ἀγρῶν κατιέναι

14 4 2 αὐτῶν αἰτίας* 3 γε* 15 4 3 ἄλλους] καὶ πολλοὺς ἠνάγκαζεν ἑαυτοὺς διαχρήσασθαι, ἐν οἷς καὶ Μουρήνας ὁ παρρησιασάμενός ποτε πρὸς αὐτόν. ἄλλους Xiph. p. 73.

Digitized by Google

ἐκέλευε, καὶ ἐς τὰς συνόδους ἀεὶ ἐσῆγεν, ὅπως ὅτι πλείστην καὶ
χλευασίαν καὶ ὕβριν πρός τε τὴν τῆς ἰσχύος καὶ πρὸς τὴν τῆς
ἀξιώσεως μεταβολὴν ὀφλισκάνῃ· καὶ οὔτε ἐς ἄλλο τι ὡς καὶ ἀξίῳ
οἱ λόγου ἐχρῆτο, τότε δὲ καὶ τὴν ψῆφον ὑστάτῳ τῶν ὑπατευκότων
ἐπῆγεν. τοὺς μὲν γὰρ ἄλλους ἐν τῇ καθηκούσῃ τάξει ἐπεψήφιζε, 6
τῶν δ' ὑπατευκότων πρῶτόν τέ τινα καὶ δεύτερον τρίτον τε ἕτερον
καὶ τέταρτον, τούς τε λοιποὺς ὁμοίως, ὥς που καὶ ἐβούλετο· καὶ
τοῦτο καὶ οἱ ὕπατοί ἐποίουν. οὕτω μὲν δὴ τὸν Λέπιδον μετεχει-
ρίζετο, καὶ ἐπειδή γε Ἀντίστιος Λαβεὼν ἐς τοὺς βουλεύσοντας 7
αὐτόν, ὅτε ἡ διαγνώμη ἐκείνη ἐγίγνετο, ἐσεγράψατο, πρῶτον μὲν
ἐπιωρκηκέναι τε αὐτὸν ἔφη καὶ τιμωρήσεσθαι ἠπείλησεν, ἔπειτα
δὲ εἰπόντος αὐτοῦ "καὶ τί δεινὸν πεποίηκα κατασχὼν ἐν τῷ συνε-
δρίῳ ἄνδρα ὃν σὺ ἀρχιέρεων ἔτι καὶ νῦν περιορᾷς ὄντα;" οὐκέτ'
οὐδεμίαν ὀργὴν ἐποιήσατο· πολλάκις γὰρ καὶ ἰδίᾳ καὶ κοινῇ τῆς 8
ἱερωσύνης ταύτης ἀξιούμενος οὐκ ἐδικαίωσε ζῶντος τοῦ Λεπίδου
λαβεῖν αὐτήν. Ἀντίστιος μὲν οὖν τοῦτό τε οὐκ ἀπὸ καιροῦ εἰπεῖν
ἔδοξε, καί ποτε λόγων ἐν τῇ βουλῇ γιγνομένων ὡς χρεὼν εἴη τὸν
Αὔγουστον ἐκ διαδοχῆς φρουρεῖν σφᾶς, ἔφη, μήτ' ἀντειπεῖν τολμῶν
μήτε συγκαταθέσθαι ὑπομένων, ὅτι ῥέγχω καὶ οὐ δύναμαι αὐτοῦ
προκοιτῆσαι.

ὁ δ' οὖν Αὔγουστος ἄλλα τε ἐνομοθέτησε, καὶ τοὺς δεκάσαντάς 16
τινας ἐπὶ ταῖς ἀρχαῖς ἐς πέντε ἔτη αὐτῶν εἶρξεν. τοῖς τε ἀγάμοις
καὶ ταῖς ἀνάνδροις βαρύτερα τὰ ἐπιτίμια ἐπέταξε, καὶ ἔμπαλιν τοῦ
τε γάμου καὶ τῆς παιδοποιίας ἆθλα ἔθηκεν. ἐπειδή τε πολὺ πλεῖον 2
τὸ ἄρρεν τοῦ θήλεος τοῦ εὐγενοῦς ἦν, ἐπέτρεψε καὶ ἐξελευθέρας
τοῖς ἐθέλουσι, πλὴν τῶν βουλευόντων, ἄγεσθαι, ἔννομον τὴν τεκνο-
ποιίαν αὐτῶν εἶναι κελεύσας. κἀν τούτῳ καταβοήσεως ἐν τῷ συ- 3
νεδρίῳ περί τε τῆς τῶν γυναικῶν καὶ περὶ τῆς τῶν νεανίσκων
ἀκοσμίας, πρὸς ἀπολογίαν δή τινα τοῦ μὴ ῥᾳδίως δι' αὐτὴν τὰς
τῶν γάμων συναλλαγὰς ποιεῖσθαι, γενομένης, καὶ ἐναγόντων αὐτὸν
καὶ ἐκείνην ἐπανορθῶσαι χλευασμῷ ὅτι πολλαῖς γυναιξὶν ἐχρῆτο,
τὸ μὲν πρῶτον ἀπεκρίνατο αὐτοῖς ὅτι τὰ μὲν ἀναγκαιότατα διώ- 4
ρισται, τὰ δὲ λοιπὰ ἀδύνατόν ἐστιν ὁμοίως παραδοθῆναι, ἔπειτα
δὲ ἐκβιασθεὶς εἶπεν ὅτι αὐτοὶ ὀφείλετε ταῖς γαμεταῖς καὶ παραινεῖν
καὶ κελεύειν ὅσα βούλεσθε· ὅπερ που καὶ ἐγὼ ποιῶ. ἀκούσαντες 5
οὖν ταῦτα ἐκεῖνοι πολλῷ μᾶλλον ἐνέκειντο αὐτῷ, βουλόμενοι τὰς
παραινέσεις ἃς τῇ Λιβίᾳ παραινεῖν ἔφη μαθεῖν. καὶ ὃς ἄκων μέν,
εἶπε δ' οὖν τινὰ καὶ περὶ τῆς ἐσθῆτος καὶ περὶ τοῦ λοιποῦ κόσμου

7 2 ὅτι ἰδίᾳ γνώμῃ vel ὅτε δὴ διαγνώμη* 16 4 2 ἐπανορθωθῆναι?*

Digitized by Google

τῶν τε ἐξόδων καὶ τῆς σωφροσύνης αὐτῶν, μηδ᾽ ὁτιοῦν φροντίσας
6 ὅτι μὴ καὶ τῷ ἔργῳ αὐτὰ ἐπιστοῦτο. καὶ ἕτερον δέ τι τοιόνδε
τιμητεύων ἐπεποιήκει· ἐπειδὴ γὰρ προσήγαγέ τις αὐτῷ νεανίσκον
γυναῖκα ἐκ μοιχείας γεγαμηκότα, καὶ πλεῖστα ὅσα κατηγόρησεν
αὐτοῦ, διηπορήθη μήτε παριδεῖν τὸ πρᾶγμα μήτε ἐπιτιμῆσαί τι
τολμήσας, καὶ μάλιστά ποτε ὀψὲ ἀνενεγκὼν "πολλά" ἔφη "καὶ
δεινὰ αἱ στάσεις ἤνεγκαν, ὥστε ἐκείνων μὲν ἀμνημονῶμεν, τοῦ δὲ
7 δὴ λοιποῦ προνοῶμεν ὅπως μηδὲν τοιοῦτο γίγνηται." ὡς δ᾽ οὖν
βρέφη τινὲς ἐγγυώμενοι τὰς μὲν τιμὰς τῶν γεγαμηκότων ἐκαρποῦντο,
τὸ δὲ ἔργον αὐτῶν οὐ παρείχοντο, προσέταξε μηδεμίαν ἐγγύην ἰσχύειν
μεθ᾽ ἣν οὐδὲ δυοῖν ἐτοῖν διελθόντων γαμήσει τις, τοῦτ᾽ ἔστι δεκέτιν
πάντως ἐγγυᾶσθαι τόν γέ τι ἀπ᾽ αὐτῆς ἀπολαύσοντα· δώδεκα γὰρ
ταῖς κόραις ἐς τὴν τοῦ γάμου ὥραν ἔτη πλήρη, καθάπερ εἶπον,
νομίζεται.

17 ταῦτά τε οὖν ὡς ἕκαστα διενομοθέτει, καὶ ἵνα ἐπὶ τῇ τοῦ
σίτου διαδόσει προβάλλωνται οἱ ἐν ταῖς ἀρχαῖς ἀεὶ ὄντες ἕνα ἕκα-
στος ἐκ τῶν πρὸ τριῶν ἐτῶν ἐστρατηγηκότων, καὶ ἐξ αὐτῶν τέσσα-
2 ρες οἱ λαχόντες σιτοδοτῶσιν ἐκ διαδοχῆς. τόν τε πολίαρχον τὸν
ἐς τὰς ἀνοχὰς καθιστάμενον ἕνα ἀεὶ αἱρεῖσθαι, καὶ τὰ ἔπη τὰ
Σιβύλλεια ἐξίτηλα ὑπὸ τοῦ χρόνου γεγονότα τοὺς ἱερέας αὐτοχειρίᾳ
3 ἐκγράψασθαι ἐκέλευσεν, ἵνα μηδεὶς ἕτερος αὐτὰ ἀναλέξηται. τάς
τε ἀρχὰς ἅπασι τοῖς δέκα μυριάδων οὐσίαν ἔχουσι καὶ ἄρχειν ἐκ
τῶν νόμων δυναμένοις ἐπαγγέλλειν ἐπέτρεψεν. τοσούτων γὰρ τὸ
βουλευτικὸν τίμημα τὴν πρώτην εἶναι ἔταξεν, ἔπειτα καὶ ἐς πέντε
καὶ εἴκοσι μυριάδας αὐτὸ προήγαγεν. καί τισι τῶν εὖ βιούντων
ἐλάττω, τότε μὲν τῶν δέκα αὖθις δὲ τῶν πέντε καὶ εἴκοσι, κεκτη-
4 μένοις ἐχαρίσατο ὅσον ἐνέδει. καὶ διὰ ταῦτα τοῖς βουλομένοις τῶν
στρατηγῶν τριπλάσιον τοῦ παρὰ τοῦ δημοσίου σφίσιν ἐς τὰς πα-
νηγύρεις διδομένου προσαναλίσκειν ἐφῆκεν. ὥστε εἰ καὶ πρὸς τὴν
ἀκρίβειαν τῶν ἄλλων αὐτοῦ νομοθετημάτων ἤχθοντό τινες, ἀλλ᾽
ὑπό τε τούτου, καὶ ὅτι Πυλάδην τινὰ ὀρχηστὴν διὰ στάσιν ἐξεληλ-
5 λαμένον κατήγαγεν, οὐκέτ᾽ ἐκείνων ἐμέμνηντο. ὅθεν περ πάνυ σο-
φῶς ὁ Πυλάδης, ἐπιτιμώμενος ὑπ᾽ αὐτοῦ ἐπεὶ Βαθύλλῳ ὁμοτέχνῳ
τέ οἱ ὄντι καὶ τῷ Μαικήνᾳ προσήκοντι διεστασίαζεν, εἰπεῖν λέγεται
ὅτι συμφέρει σοι, Καῖσαρ, περὶ ἡμᾶς τὸν δῆμον ἀποδιατρίβεσθαι.

18 ταῦτα μὲν ἐν ἐκείνῳ τῷ ἔτει ἐγένετο· ἐπὶ δὲ δὴ Γαΐου τε
a. u. 737 Φουρνίου καὶ Γαΐου Σιλανοῦ ὑπάτων υἱὸν αὖθις ὁ Ἀγρίππας ἀνεί-

6 4 τι] οἱ?* om Xiph. p. 74, qui mox τολμήσας. ὀψὲ δέ ποτε ἀν.
17 1 2 οἱ] καὶ οἱ* ἕκαστον 3 6 κεκτημένων* 18 1 1 δὴ
τοῦ Γ.*

λετο τὸν Λούκιον ὀνομασθέντα, καὶ αὐτὸν εὐθὺς ὁ Αὔγουστος
μετὰ τοῦ ἀδελφοῦ τοῦ Γαΐου ἐποιήσατο, μὴ ἀναμείνας σφᾶς ἀν-
δρωθῆναι, ἀλλ' αὐτόθεν διαδόχους τῆς ἀρχῆς ἀποδείξας, ἵν' ἧττον
ἐπιβουλεύηται. τήν τε τῆς τιμῆς καὶ τῆς ἀρετῆς πανήγυριν ἐς τὰς 2
νῦν ἡμέρας μετέστησεν. καὶ τοῖς τὰ ἐπινίκια πέμπουσιν ἔργον ἐκ
τῶν λαφύρων ἐς τὴν τῶν πράξεων μνήμην ποιεῖν προσέταξεν. τά
τε σαικουλάρια τὰ πέμπτα ἐπετέλεσεν. καὶ τοὺς ῥήτορας ἀμισθὶ
συναγορεύειν, ἢ τετραπλάσιον ὅσον ἂν λάβωσιν ἐκτίνειν, ἐκέλευσεν.
τοῖς δὲ δικάζειν ἀεὶ λαγχάνουσιν ἀπεῖπεν ἐς μηδενὸς οἴκαδε τὸν 3
ἐνιαυτὸν ἐκεῖνον ἐσιέναι. ἐπειδή τε ἀσπουδὶ οἱ βουλευταὶ ἐς τὸ
συνέδριον συνεφοίτων, ἐπηύξησε τὰς ζημίας τοῖς οὐκ ἐξ εὐλόγου
τινὸς αἰτίας ὑστερίζουσιν.

καὶ μετὰ ταῦτα ἐς τὴν Γαλατίαν, Λουκίου τε Δομιτίου καὶ 19
Πουπλίου Σκιπίωνος ὑπατευόντων, ὥρμησε, πρόφασιν τοὺς πολέ- a. u. 738
μους τοὺς κατ' ἐκεῖνο κινηθέντας λαβών. ἐπειδὴ γὰρ ἐπαχθὴς πολ- 2
λοῖς ἐκ τῆς ἐν τῇ πόλει χρονίου διατριβῆς ἐγεγόνει, καὶ συχνοὺς
μὲν ἔξω τι τῶν τεταγμένων πράττοντας δικαιῶν ἐλύπει, συχνῶν δὲ
καὶ φειδόμενος τὰ νενομοθετημένα ὑφ' ἑαυτοῦ παραβαίνειν ἠναγκά-
ζετο, ἐκδημῆσαι τρόπον τινὰ κατὰ τὸν Σόλωνα ἔγνω. καί τινες 3
καὶ διὰ τὴν Τερεντίαν τὴν τοῦ Μαικήνου γυναῖκα ἀποδημῆσαι
αὐτὸν ὑπετόπησαν, ἵν' ἐπειδὴ πολλὰ περὶ αὐτῶν ἐν τῇ Ῥώμῃ ἐλο-
γοποιεῖτο, ἄνευ θροῦ τινὸς ἐν τῇ ἀλλοδημίᾳ αὐτῇ συνῇ· οὕτω γὰρ
οὖν πάνυ αὐτῆς ἤρα ὥστε καὶ ἀγωνίσασθαί ποτε αὐτὴν περὶ τοῦ
κάλλους πρὸς τὴν Λιβίαν ποιῆσαι. πρὶν δὲ ἢ ἀφορμᾶσθαι, τὸν 4
τοῦ Κυρίνου ναὸν καθιέρωσεν ἐκ καινῆς οἰκοδομήσας. εἶπον δὲ
τοῦτο ὅτι ἓξ καὶ ἑβδομήκοντα κίοσιν αὐτὸν ἐκόσμησεν, ὅσα περ
τὰ πάντα ἔτη αὐτὸς διεβίω, κἀκ τούτου λόγον τισὶ παρέσχεν ὡς
καὶ ἐξεπίτηδες αὐτὸ ἀλλ' οὐ κατὰ τύχην ἄλλως πράξας. ἐκεῖνόν τε 5
οὖν τότε ἐθείωσε, καὶ μονομαχίας ἀγῶνας διά τε τοῦ Τιβερίου
καὶ διὰ τοῦ Δρούσου, συγχωρηθὲν δή σφισιν ὑπὸ τῆς βουλῆς,
ἔθηκεν. καὶ οὕτω τὸ μὲν ἄστυ τῷ Ταύρῳ μετὰ τῆς ἄλλης Ἰταλίας 6
διοικεῖν ἐπιτρέψας (τόν τε γὰρ Ἀγρίππαν ἐς τὴν Συρίαν αὖθις
ἐστάλκει, καὶ τῷ Μαικήνᾳ διὰ τὴν γυναῖκα οὐκέθ' ὁμοίως ἔχαιρεν),
τὸν δὲ δὴ Τιβέριον καίτοι στρατηγοῦντα παραλαβὼν ἐξώρμησεν.
ἐστρατήγησε γὰρ καίπερ τὰς στρατηγικὰς τιμὰς ἔχων· καὶ τήν γε
ἀρχὴν αὐτοῦ πᾶσαν ὁ Δροῦσος ἐκ δόγματος διήγαγεν. ἐξελθόντων 7
δ' οὖν αὐτῶν τὸ τῆς νεότητος μέγαρον ὑπὸ τὴν ἐπιοῦσαν νύκτα
κατεκαύθη, καὶ διά τε τοῦτο καὶ διὰ τἆλλα τὰ προγενόμενα (λύκος
τε γὰρ διὰ τῆς ἱερᾶς ὁδοῦ ἐς τὴν ἀγορὰν ἐσπεσὼν ἀνθρώπους

3 2 οἱ om

ἔφθειρε, καὶ μύρμηκες οὐ πόρρω τῆς ἀγορᾶς ἐκφανέστατα συνε-
στράφησαν, λαμπάς τέ τις ἀπὸ μεσημβρίας ἐπὶ τὴν ἄρκτον διὰ
πάσης τῆς νυκτὸς ἠνέχθη) εὐχὰς ὑπὲρ τῆς ἐπανόδου τοῦ Αὐγού-
8 στου ἐποιήσαντο. κἀν τούτῳ καὶ τὴν πενταετηρίδα τῆς ἀρχῆς
αὐτοῦ διεώρτασαν, τοῦ Ἀγρίππου (ἐν γὰρ τοῖς πεντεκαίδεκα ἀν-
δράσιν, οἷς ἐκ τῆς περιτροπῆς ἡ διοίκησις αὐτῆς ἐπέβαλλεν, ἱέρωτο)
διὰ τῶν συνιερέων ἀναλώσαντος.

20 πολλὰ μὲν οὖν καὶ ἄλλα κατὰ τοὺς χρόνους ἐκείνους ἐταράχθη.
καὶ γὰρ Καμμούνιοι καὶ Οὐένιοι, Ἀλπικὰ γένη, ὅπλα τε ἀντήραντο
2 καὶ νικηθέντες ὑπὸ Πουπλίου Σιλίου ἐχειρώθησαν· καὶ οἱ Παννό-
νιοι τήν τε Ἰστρίαν μετὰ Νωρίκων κατέδραμον, καὶ αὐτοί τε πρός
τε τοῦ Σιλίου καὶ πρὸς τῶν ὑποστρατήγων αὐτοῦ κακωθέντες αὖθις
ὡμολόγησαν, καὶ τοῖς Νωρίκοις αἴτιοι τῆς αὐτῆς δουλείας ἐγένοντο.
3 τά τε ἐν τῇ Δελματίᾳ καὶ τὰ ἐν τῇ Ἰβηρίᾳ νεοχμώσαντα δι' ὀλίγου
κατέστη, καὶ ἡ Μακεδονία ὑπό τε τῶν Δενθελητῶν καὶ ὑπὸ τῶν
Σκορδίσκων ἐπορθήθη. ἔν τε τῇ Θρᾴκῃ πρότερον μὲν Μάρκελλος
Λόλλιος Ῥυμητάλκῃ θείῳ τε τῶν τοῦ Κότυος παίδων καὶ ἐπιτρόπῳ
ὄντι βοηθῶν Βησσοὺς κατεστρέψατο, ἔπειτα δὲ Λούκιος Γάιος
Σαυρομάτας ἐκ τῆς αὐτῆς αἰτίας κρατήσας ὑπὲρ τὸν Ἴστρον ἀπεώ-
4 σατο. ὁ δὲ δὴ μέγιστος τῶν τότε συμβάντων τοῖς Ῥωμαίοις πο-
λέμων, ὅσπερ που καὶ τὸν Αὔγουστον ἐκ τῆς πόλεως ἐξήγαγε, πρὸς
τοὺς Κελτοὺς ἐγένετο. Σύγαμβροί τε γὰρ καὶ Οὐσιπέται καὶ Τέγ-
κτηροι τὸ μὲν πρῶτον ἐν τῇ σφετέρᾳ τινὰς αὐτῶν συλλαβόντες
5 ἀνεσταύρωσαν, ἔπειτα δὲ καὶ τὸν Ῥῆνον διαβάντες τήν τε Γερμανίαν
καὶ τὴν Γαλατίαν ἐλεηλάτησαν, τό τε ἱππικὸν τὸ τῶν Ῥωμαίων
ἐπελθόν σφισιν ἐνήδρευσαν, καὶ φεύγουσιν αὐτοῖς ἐπισπόμενοι τῷ
τε Λολλίῳ ἄρχοντι αὐτῆς ἐκέτυχον ἀνέλπιστοι καὶ ἐνίκησαν καὶ
6 ἐκεῖνον. μαθὼν οὖν ταῦτα ὁ Αὔγουστος ὥρμησε μὲν ἐπ' αὐτούς,
οὐ μέντοι καὶ ἔργον τι πολέμιον ἔσχεν· οἱ γὰρ βάρβαροι τόν τε
Λόλλιον παρασκευαζόμενον καὶ ἐκεῖνον στρατεύοντα πυθόμενοι ἔς
τε τὴν ἑαυτῶν ἀνεχώρησαν καὶ σπονδὰς ἐποιήσαντο, ὁμήρους δόντες.

21 τῶν μὲν οὖν ὅπλων οὐδὲν διὰ ταῦτα ὁ Αὔγουστος ἐδεήθη, τὰ
δὲ δὴ ἄλλα καθιστάμενος τοῦτόν τε τὸν ἐνιαυτὸν κατανάλωσε καὶ
a. u. 739 τὸν ὕστερον, ἐν ᾧ Μάρκος τε Λίβων καὶ Καλπούρνιος Πίσων
2 ὑπάτευσαν. πολλὰ μὲν γὰρ καὶ ὑπὸ τῶν Κελτῶν, πολλὰ δὲ καὶ
ὑπὸ Λικινίου τινὸς ἐκεκίνητο. καί μοι δοκεῖ τοῦθ' ὅτι μάλιστα τὸ
κῆτός σφισι προσημῆναι· πλάτος μὲν γὰρ ποδῶν εἴκοσι μῆκος δὲ

19 7 5 οὐ om  20 2 1 ὑπὸ τοῦ Π.*  2 3 πρὸς om*
3 4 Λόλλιος] Κλαύδιος?  5 Λούκιος] Ἰούνιος?  4 3 Οὐσιπέται
τε καὶ*  21 2 2 ἐπεποίηντο*

*τριπλάσιον ἔχον, καὶ γυναικὶ πλὴν τῆς κεφαλῆς ἐοικός, ἐς τὴν γῆν αὐτὸ ἐκ τοῦ ὠκεανοῦ ἐξώκειλεν. ὁ δὲ δὴ Λικίνιος τὸ μὲν ἀρχαῖον* 3
*Γαλάτης ἦν, ἁλοὺς δὲ ἐς τοὺς Ῥωμαίους καὶ δουλεύσας τῷ Καίσαρι ὑπὸ μὲν ἐκείνου ἠλευθερώθη, ὑπὸ δὲ τοῦ Αὐγούστου ἐπίτροπος τῆς Γαλατίας κατέστη. οὗτος οὖν πλεονεξίᾳ μὲν βαρβαρικῇ ἀξιώσει* 4
*δὲ Ῥωμαϊκῇ χρώμενος, πᾶν μὲν τὸ κρεῖττόν ποτε αὐτοῦ νομισθὲν καθῄρει, πᾶν δὲ τὸ ἐν τῷ παρόντι ἰσχυρὸν ἠφάνιζε, καὶ συχνὰ μὲν καὶ πρὸς τὰ ἀναγκαῖα τῆς προστεταγμένης οἱ διακονίας ἐξεπόριζε, συχνὰ δὲ καὶ ἑαυτῷ τοῖς τε οἰκείοις παρεξέλεγεν. καὶ ἐς τοσοῦτό* 5
*γε κακοτροπίας ἐχώρησεν ὥστε, ἐπειδή τινες ἐσφοραὶ κατὰ μῆνα παρ' αὐτοῖς ἐγίγνοντο, τεσσαρασκαίδεκα αὐτοὺς ποιῆσαι, λέγων τὸν μῆνα τὸν ὕστατον τὸν Δεκέμβριον καλούμενον δέκατον ὄντως εἶναι, καὶ δεῖν διὰ τοῦτο αὐτοὺς καὶ τοὺς δύο τοὺς λοιπούς, ὧν τὸν μὲν Ἐνδεκέμβριον τὸν δὲ Δωδεκέμβριον ὠνόμαζε, νομίζειν, καὶ τὰ χρήματα τὰ ἐπιβάλλοντα αὐτοῖς ἐσφέρειν. διὰ μὲν οὖν ταῦτα τὰ σο-* 6
*φίσματα ἐκινδύνευσεν· οἱ γὰρ Γαλάται τοῦ Αὐγούστου λαβόμενοι δεινὰ ἐποίησαν, ὥστε καὶ ἐκεῖνον τὰ μὲν συνάχθεσθαί σφισι τὰ δὲ καὶ παραιτεῖσθαι· ἀγνοεῖν τέ τινα ἔλεγε, καὶ προσεποιεῖτο ἕτερα μὴ πιστεύειν, καὶ ἔστιν ἃ καὶ συνέκρυπτεν, αἰσχυνόμενος ὅτι τοιούτῳ ἐπιτρόπῳ ἐκέχρητο. ἄλλο δὲ τοιόνδε τι τεχνασάμενος καὶ πάνυ* 7
*πάντων αὐτῶν κατεγέλασεν. ἐπειδὴ γὰρ χαλεπῶς οἱ τὸν Αὔγουστον ἔχοντα ᾔσθετο καὶ κολασθήσεσθαι ἔμελλεν, ἔς τε τὴν οἰκίαν αὐτὸν ἐσήγαγε, καὶ πολλοὺς μὲν καὶ ἀργυρίου καὶ χρυσίου θησαυροὺς πολλὰ δὲ καὶ τἆλλα σωρηδὸν συννενημένα αὐτῷ δείξας "ἐξεπίτη-* 8
*δες" ἔφη "ταῦτα, ὦ δέσποτα, καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ τῶν ἄλλων Ῥωμαίων ἤθροισα, ἵνα μὴ τοσούτων χρημάτων ἐγκρατεῖς οἱ ἐπιχώριοι ὄντες ἀποστῶσιν. ἀμέλει καὶ ἐτήρησά σοι πάντα αὐτὰ καὶ δίδωμι."*

*καὶ ὁ μὲν οὕτως, ὡς καὶ ὑπὲρ τοῦ Αὐγούστου τὴν τῶν βαρ-*
*βάρων ἰσχὺν ἐκνενευρικώς, ἐσώθη, Δροῦσος δὲ ἐν τούτῳ καὶ Τιβέ-* 22
*ριος τάδε ἔπραξαν. Ῥαιτοὶ οἰκοῦντες μεταξὺ τοῦ τε Νωρίκου καὶ τῆς Γαλατίας, πρὸς ταῖς Ἄλπεσι ταῖς πρὸς τῇ Ἰταλίᾳ ταῖς Τριδεντίναις, τῆς τε Γαλατίας τῆς προσόρου σφίσι πολλὰ κατέτρεχον καὶ ἐκ τῆς Ἰταλίας ἁρπαγὰς ἐποιοῦντο, τούς τε ὁδῷ τῶν Ῥωμαίων ἢ καὶ τῶν συμμάχων αὐτῶν διὰ τῆς σφετέρας γῆς χρωμένους ἐλυμαίνοντο. καὶ ταῦτα μὲν καὶ συνήθη πως τοῖς οὐκ ἐνσπόνδοις* 2
*ποιεῖν ἐδόκουν, πᾶν δὲ δὴ τὸ ἄρρεν τῶν ἁλισκομένων, οὐχ ὅτι τὸ φαινόμενον ἀλλὰ καὶ τὸ ἐν ταῖς γαστράσιν ἔτι τῶν γυναικῶν ὂν*

5 3 *τεσσαρεσκ.* *αὐτὰς* 4 *τὸν ὕστατον*] *τοῦτον** 5 *λοιπούς*] *Αὐγούστους* 6 *ἐνδέκατον** *δωδέκατον** 8 1 *συννενεμημένα* 22 1 5 *ἰταλίδος**



Digitized by Google

3 *μαντείαις τισὶν ἀνευρίσκοντες, ἔφθειρον. δι᾿ οὖν ταῦτα ὁ Αὔ-*
*γουστος πρῶτον μὲν τὸν Δροῦσον ἐπ᾿ αὐτοὺς ἔπεμψεν· καὶ ὃς*
*τοὺς προαπαντήσαντάς οἱ αὐτῶν περὶ τὰ Τριδεντῖνα ὄρη διὰ*
*ταχέων ἐτρέψατο, ὥστε καὶ τιμὰς στρατηγικὰς ἐπὶ τούτῳ λαβεῖν.*
*ἔπειτα δὲ ἐπειδὴ τῆς μὲν Ἰταλίας ἀπεκρούσθησαν, τῇ δὲ δὴ Γα-*
4 *λατίᾳ καὶ ὣς ἐνέκειντο, τὸν Τιβέριον προσαπέστειλεν. ἐσβαλόντες*
*οὖν ἐς τὴν χώραν πολλαχόθεν ἅμα ἀμφότεροι, αὐτοί τε καὶ διὰ*
*τῶν ὑποστρατήγων, καὶ ὅ γε Τιβέριος καὶ διὰ τῆς λίμνης πλοίοις*
*κομισθείς, ἀπό τε τούτου κατέπληξαν αὐτοὺς ὡς ἑκάστοις σφίσι*
*συμμιγνύντες, τούς τε ἀεὶ ἐς χεῖρας ἀφικνουμένους οὐ χαλεπῶς,*
*ἅτε διεσπασμέναις ταῖς δυνάμεσι χρωμένους, κατειργάσαντο, καὶ*
*τοὺς λοιποὺς ἀσθενεστέρους τε ἐκ τούτου καὶ ἀθυμοτέρους γενο-*
5 *μένους εἷλον. ἐπειδή τε ἐπολυάνδρουν καὶ ἐδόκουν τι νεωτεριεῖν,*
*τό τε κράτιστον καὶ τὸ πλεῖστον τῆς ἡλικίας αὐτῶν ἐξήγαγον, κα-*
*ταλιπόντες τοσούτους ὅσοι τὴν μὲν χώραν οἰκεῖν ἱκανοὶ νεοχμῶσαι*
*δέ τι ἀδύνατοι ἦσαν.*

23 *κὰν τῷ αὐτῷ τούτῳ ἔτει Οὐήδιος Πωλίων ἀπέθανεν, ἀνὴρ ἄλλως*
*μὲν οὐδὲν μνήμης ἄξιον παρασχόμενος (καὶ γὰρ ἐξ ἀπελευθέρων*
*ἐγεγόνει καὶ ἐν τοῖς ἱππεῦσιν ἐξητάζετο καὶ λαμπρὸν οὐδὲν εἰργά-*
*σατο), ἐπὶ δὲ δὴ τῷ πλούτῳ τῇ τε ὠμότητι ὀνομαστότατος γενό-*
2 *μενος, ὥστε καὶ ἐς ἱστορίας λόγον ἐσελθεῖν. οὗτος γὰρ τὰ μὲν*
*ἄλλα ὅσα ἔπραττε, δι᾿ ὄχλου ἂν λεγόμενα γένοιτο, μυραίνας δὲ*
*δεδιδαγμένας ἀνθρώπους ἐσθίειν ἐν δεξαμεναῖς τρέφων τοὺς δού-*
*λους αὐταῖς οὓς ἐθανάτου παρέβαλλεν. καί ποτε τὸν Αὔγουστον*
*ἑστιῶν, εἶτ᾿ ἐπειδὴ ὁ οἰνοχόος κύλικα κρυσταλλίνην κατέαξεν, ἐς*
*τὰς μυραίνας αὐτόν, μηδὲ τὸν δαιτυμόνα αἰδεσθείς, ἐμβληθῆναι*
3 *προσέταξεν. ὁ οὖν Αὔγουστος, προσπεσόντος οἱ τοῦ παιδὸς καὶ*
*ἱκετεύσαντος αὐτόν, τὰ μὲν πρῶτα πείθειν τὸν Πωλίωνα ἐπειρᾶτο*
*μηδὲν τοιοῦτο δρᾶσαι, ὡς δ᾿ οὐχ ὑπήκουσεν αὐτῷ, "φέρε" ἔφη*
*"πάντα τἆλλα ἐκπώματα, ὅσα ποτὲ τοιουτότροπα ἢ καὶ ἕτερά τινα*
4 *ἔντιμα κέκτησαι, ἵν᾿ αὐτοῖς χρήσωμαι." καὶ αὐτὰ κομισθέντα συν-*
*τριβῆναι ἐκέλευσεν. ἰδὼν δὲ τοῦτο ἐκεῖνος ἄλλως μὲν ἤσχαλλεν,*
*οὔτε δὲ τοῦ ἑνὸς ἔτι ποτηρίου πρὸς τὸ πλῆθος τῶν ἄλλων τῶν*
*ἀπολωλότων ὀργὴν ἔχων, οὔτ᾿ αὖ τὸν διάκονον ὧν γε καὶ ὁ Αὔ-*
*γουστος ἐπεποιήκει τιμωρήσασθαι δυνάμενος, ἡσυχίαν καὶ ἄκων*
5 *ἤγαγεν. τοιοῦτος οὖν δή τις ὁ Πωλίων ὢν ἐτελεύτησεν ἄλλοις τε*
*πολλοῖς πολλὰ καὶ τῷ Αὐγούστῳ τοῦ τε κλήρου συχνὸν μέρος καὶ*
*τὸν Παυσίλυπον, τὸ χωρίον τὸ μεταξὺ τῆς τε Νέας πόλεως καὶ*

23 4 1 *χαρήσομαι*?* cf. 52 12 *ἵνα ἀποφανοῦσιν*. 2 post *ἐκέλευσεν* Zon. p. 417: *εἰπὼν ἵνα μὴ διὰ ταῦτα οὕτω κολάζοιντο ἄνθρωποι.*

Digitized by Google

τῶν Πουτεόλων ὄν, καταλιπών, τῷ τε δήμῳ περικαλλές ἔργον οἰκο-
δομηθῆναι κελεύσας. ὁ οὖν Αὔγουστος τὴν οἰκίαν αὐτοῦ ἐς ἔδαφος 6
προφάσει τῆς ἐκείνου κατασκευῆς, ὅπως μηδὲν μνημόσυνον ἐν τῇ
πόλει ἔχῃ, καταβαλὼν περίστῳον ᾠκοδομήσατο, καὶ οὐ τὸ ὄνομα
τὸ τοῦ Πωλίωνος ἀλλὰ τὸ τῆς Λιϐίας ἐπέγραψεν.

τοῦτο μὲν οὖν ὕστερον ἐποίησε, τότε δὲ πόλεις ἔν τε τῇ Γαλα- 7
τίᾳ καὶ ἐν τῇ Ἰβηρίᾳ συχνὰς ἀπῴκισε, καὶ Κυζικηνοῖς τὴν ἐλευθε-
ρίαν ἀπέδωκε, Παφίοις τε σεισμῷ πονήσασι καὶ χρήματα ἐχαρίσατο
καὶ τὴν πόλιν Αὐγοῦσταν καλεῖν κατὰ δόγμα ἐπέτρεψεν. ταῦτα δὲ 8
ἔγραψα οὐχ ὅτι καὶ ἄλλαις πόλεσι πολλαῖς καὶ πρότερον καὶ μετὰ
τοῦτο καὶ αὐτὸς ὁ Αὔγουστος ἐφ᾽ ὁμοίαις συμφοραῖς καὶ οἱ βου-
λευταὶ ἐπεκούρησαν, ὧν εἴ τις ἁπάντων μνημονεύοι, ἀπέραντον ἂν
τὸ ἔργον τῆς συγγραφῆς γένοιτο· ἀλλ᾽ ὅτι καὶ τὰς ἐπωνυμίας ταῖς
πόλεσιν ἡ γερουσία ἐν μέρει τιμῆς ἔνεμε, καὶ οὐχ ὥσπερ νῦν αὐτοὶ
ἑαυτοῖς ἕκαστοι καταλόγους ὀνομάτων οὓς ἂν ἐθελήσωσιν ὡς πλή-
θει ποιοῦνται.

τῷ δ᾽ ἐπιγιγνομένῳ ἔτει Μάρκος μὲν Κράσσος καὶ Γναῖος Κορ- 24
νήλιος ὑπάτευσαν, οἱ δ᾽ ἀγορανόμοι οἱ κουρούλιοι, ἀπειπόντες τὴν a. u. 740
ἀρχὴν ὅτι ἐξαισίων σφίσι τῶν ὀρνίθων γενομένων ᾕρηντο, αὖθις
αὐτὴν ἔξω τῶν πατρίων ἐν ἑτέρᾳ ἐκκλησίᾳ ἀνέλαβον. ἥ τε στοὰ ἡ 2
Παύλειος ἐκαύθη, καὶ τὸ πῦρ ἀπ᾽ αὐτῆς πρὸς τὸ ἑστιαῖον ἀφίκετο,
ὥστε καὶ τὰ ἱερὰ ἔς τε τὸ παλάτιον ὑπὸ τῶν ἄλλων ἀειπαρθένων
(ἡ γὰρ πρεσβεύουσα αὐτῶν ἐτετύφλωτο) ἀνακομισθῆναι καὶ ἐς τὴν
τοῦ ἱερέως τοῦ Διὸς οἰκίαν τεθῆναι. ἡ μὲν οὖν στοὰ μετὰ τοῦτο 3
ὀνόματι μὲν ὑπ᾽ Αἰμιλίου, ἐς ὃν τὸ τοῦ ποιήσαντός ποτε αὐτὴν
γένος ἐληλύθει, τῷ δὲ ἔργῳ ὑπό τε τοῦ Αὐγούστου καὶ ὑπὸ τῶν
τοῦ Παύλου φίλων ἀνῳκοδομήθη· τότε δὲ οἵ τε Παννόνιοι νεωτε-
ρίσαντες αὖθις ἐχειρώθησαν, καὶ αἱ Ἄλπεις αἱ παραθαλασσίδιοι
ὑπὸ Λιγύων τῶν κομητῶν καλουμένων ἐλευθέρως ἔτι καὶ τότε νε-
μόμεναι ἐδουλώθησαν. τά τε ἐν τῷ Βοσπόρῳ τῷ Κιμμερίῳ νεο- 4
χμώσαντα κατέστη. Σκριβώνιος γάρ τις τοῦ τε Μιθριδάτου ἔγγονος
εἶναι καὶ παρὰ τοῦ Αὐγούστου τὴν βασιλείαν, ἐπειδή περ ὁ Ἄσαν-
δρος ἐτεθνήκει, λέγων εἰληφέναι, τὴν γυναῖκα αὐτοῦ Δύναμίν τε
καλουμένην καὶ τὴν ἀρχὴν ἔτι παρὰ τοῦ ἀνδρὸς ἐπιτετραμμένην,
ἣ τοῦ τε Φαρνάκου θυγάτηρ καὶ τοῦ Μιθριδάτου ἔγγονος ἀληθῶς
ἦν, ἠγάγετο, καὶ τὸν Βόσπορον διὰ χειρὸς ἐποιεῖτο. πυθόμενος 5
οὖν ταῦτα ὁ Ἀγρίππας τὸν Πολέμωνα ἐπ᾽ αὐτόν, τὸν τοῦ Πόντου
τοῦ πρὸς τῇ Καππαδοκίᾳ ὄντος βασιλεύοντα, ἔπεμψεν· καὶ ὃς Σκρι-

24 1 3 ᾕραντο

Digitized by Google

βώνιον μὲν οὐκέτι περιόντα κατέλαβε (μαθόντες γὰρ οἱ Βοσπόριοι
τὴν ἐπιβολὴν αὐτοῦ προαπέκτειναν αὐτόν), ἀντιστάντων δέ οἱ ἐκεί-
νων δέει τοῦ μὴ βασιλεύεσθαι αὐτῷ δοθῆναι, ἐς χεῖράς σφισιν
6 ἦλθεν. καὶ ἐνίκησε μέν, οὐ μὴν καὶ παρεστήσατό σφας πρὶν τὸν
Ἀγρίππαν ἐς Σινώπην ἐλθεῖν ὡς καὶ ἐπ' αὐτοὺς στρατεύσοντα.
οὕτω δὲ τά τε ὅπλα κατέθεντο καὶ τῷ Πολέμωνι παρεδόθησαν·
ἥ τε γυνὴ ἡ Δύναμις συνῴκησεν αὐτῷ, τοῦ Αὐγούστου δῆλον ὅτι
7 ταῦτα δικαιώσαντος. καὶ ἐπ' αὐτοῖς θυσίαι μὲν τῷ τοῦ Ἀγρίππου
ὀνόματι ἐγένοντο, οὐ μέντοι καὶ τὰ ἐπινίκια καίτοι ψηφισθέντα
αὐτῷ ἐπέμφθη· οὔτε γὰρ ἔγραψεν ἀρχὴν ἐς τὸ συνέδριον ὑπὲρ τῶν
πραχθέντων οὐδέν, ἀφ' οὗ δὴ καὶ οἱ μετὰ ταῦτα, νόμῳ τινὶ τῷ
ἐκείνου τρόπῳ χρώμενοι, οὐδ' αὐτοί τι τῷ κοινῷ ἔτ' ἐπέστελλον,
8 οὔτε τὴν πέμψιν τῶν νικητηρίων ἐδέξατο· καὶ διὰ τοῦτο οὐδ' ἄλλῳ
τινὶ ἔτι τῶν ὁμοίων αὐτῷ, ὥς γε καὶ ἐγὼ κρίνω, ποιῆσαι τοῦτο
ἐδόθη, ἀλλὰ μόναις ταῖς ἐπινικίοις τιμαῖς ἐγαυροῦντο.

25 ὁ δ' οὖν Αὔγουστος ἐπειδὴ πάντα τά τε ἐν ταῖς Γαλατίαις
καὶ τὰ ἐν ταῖς Γερμανίαις ταῖς τ' Ἰβηρίαις, πολλὰ μὲν ἀναλώσας
ὡς ἑκάστοις πολλὰ δὲ καὶ παρ' ἑτέρων λαβών, τήν τε ἐλευθερίαν
καὶ τὴν πολιτείαν τοῖς μὲν δοὺς τοὺς δ' ἀφελόμενος, διῴκήσατο,
τὸν μὲν Δροῦσον ἐν τῇ Γερμανίᾳ κατέλιπεν, αὐτὸς δὲ ἐς τὴν Ῥώ-
a. u. 741 μην ἐπί τε τοῦ Τιβερίου καὶ ἐπὶ Κυιντιλίου Οὐάρου ὑπάτων ἀνε-
2 κομίσθη. καὶ ἔτυχε γὰρ ἡ ἀγγελία τῆς ἀφίξεως αὐτοῦ ἐν ἐκείναις
ταῖς ἡμέραις ἐς τὸ ἄστυ ἐλθοῦσα ἐν αἷς Κορνήλιος Βάλβος τὸ
θέατρον τὸ καὶ νῦν ἀπ' αὐτοῦ καλούμενον καθιερώσας θέας ἐπε-
τέλει, ἐπί τε τούτῳ ὡς καὶ αὐτὸς τὸν Αὔγουστον ἐπανάξων ἐσεμνύ-
νετο, καίτοι ὑπὸ τοῦ πλήθους τοῦ ὕδατος, ὅπερ ὁ Τίβερις πλεονά-
σας ἐπεποιήκει, μηδ' ἐσελθεῖν ἐς τὸ θέατρον εἰ μὴ πλοίῳ δυνηθείς,
καὶ ὁ Τιβέριος πρῶτον αὐτὸν ἐπὶ τῇ τοῦ θεάτρου τιμῇ ἐπεψήφισεν.
3 ἥ τε γὰρ βουλὴ ἠθροίσθη, καὶ ἔδοξέ σφισιν ἄλλα τε καὶ βωμὸν
ἐν αὐτῷ τῷ βουλευτηρίῳ ὑπὲρ τῆς τοῦ Αὐγούστου ἐπανόδου ποιή-
σασθαι, τοῖς τε ἱκετεύσασιν αὐτὸν ἐντὸς τοῦ πωμηρίου ὄντα ἄδειαν
εἶναι. οὐ μέντοι καὶ ἐδέξατο οὐδέτερον, ἀλλὰ καὶ τὴν ἀπάντησιν
4 τοῦ δήμου καὶ τότε ἐξέστη· νυκτὸς γὰρ ἐς τὴν πόλιν ἐσεκομίσθη,
ὅπερ που καὶ ἀεὶ ὡς εἰπεῖν, εἴτε ἐς τὰ προάστεια εἴτε καὶ ἄλλοσέ
ποι ἐκδημοίη, καὶ ἀφορμώμενος καὶ ἐπανιὼν ὁμοίως ἐποίει, ἵνα
μηδενὶ αὐτῶν ὀχληρὸς εἴη. τῇ δ' ὑστεραίᾳ ἔν τε τῷ παλατίῳ τὸν
δῆμον ἠσπάσατο, καὶ ἐς τὸ Καπιτώλιον ἀνελθὼν τήν τε δάφνην
ἀπὸ τῶν ῥάβδων περιεῖλε καὶ ἐς τὰ τοῦ Διὸς γόνατα κατέθετο,

5 5 ἐπιβουλὴν    8 1 ἐδέξαντο*    25 1 1 γοῦν*

Digitized by Google

τῷ τε δήμῳ προῖκα τά τε λουτρὰ καὶ τοὺς κουρέας τὴν ἡμέραν
ἐκείνην παρέσχεν. συναγαγὼν δὲ ἐκ τούτου τὸ βουλευτήριον αὐτὸς 5
μὲν οὐδὲν εἶπεν ὑπὸ βράγχου, τὸ δὲ δὴ βιβλίον τῷ ταμίᾳ ἀναγνῶ-
ναι δοὺς τά τε πεπραγμένα οἱ κατηριθμήσατο, καὶ διέταξε τά τε
ἔτη ὅσα οἱ πολῖται στρατεύσοιντο, καὶ τὰ χρήματα ὅσα παυσάμενοι
τῆς στρατείας, ἀντὶ τῆς χώρας ἣν ἀεί ποτε ᾖτουν, λήψοιντο, ὅπως
ἐπὶ ῥητοῖς ἐκεῖθεν ἤδη καταλεγόμενοι μηδὲν τούτων γε ἕνεκα νεω-
τερίζωσιν. ἦν δὲ ὅ τε ἀριθμὸς τῶν ἐτῶν τοῖς μὲν δορυφόροις δώ- 6
δεκα τοῖς δ' ἄλλοις ἑκκαίδεκα, καὶ τὸ ἀργύριον τοῖς μὲν ἔλαττον
τοῖς δὲ πλεῖον. ταῦτα δὲ ἐκείνοις μὲν οὔθ' ἡδονὴν οὔτε ὀργὴν ἔν
γε τῷ τότε παρόντι ἐνεποίησε διὰ τὸ μήτε πάντων ὧν ἐπεθύμουν
τυχεῖν μήτε πάντων διαμαρτεῖν, τοῖς δὲ δὴ ἄλλοις ἀγαθὰς ἐλπίδας
τοῦ μηκέτι τῶν κτημάτων ἀφαιρεθήσεσθαι.

μετὰ δὲ δὴ ταῦτα τό τε θέατρον τὸ τοῦ Μαρκέλλου καλούμε- 26
νον καθιέρωσεν, κἀν τῇ πανηγύρει τῇ διὰ τοῦτο γενομένῃ τήν τε
Τροίαν οἱ παῖδες οἱ εὐπατρίδαι οἵ τε ἄλλοι καὶ ὁ ἔγγονος αὐτοῦ ὁ
Γάιος ἵππευσαν, καὶ θηρία Λιβυκὰ ἑξακόσια ἀπεσφάγη· τά τε γε- 2
νέθλια τοῦ Αὐγούστου ὁ Ἴουλος ὁ τοῦ Ἀντωνίου παῖς στρατηγῶν
καὶ ἱπποδρομίᾳ καὶ σφαγαῖς θηρίων ἑώρτασε, καὶ ἐν τῷ Καπιτω-
λίῳ καὶ ἐκεῖνον καὶ τὴν βουλὴν κατὰ δόγμα αὐτῆς εἱστίασεν.

ἐκ δὲ τούτου ἐξέτασις αὖθις τῶν βουλευτῶν ἐγένετο. ἐπειδὴ 3
γὰρ τὸ μὲν πρῶτον δέκα μυριάδων τὸ τίμημα αὐτοῖς ὥριστο διὰ
τὸ συχνοὺς τῶν πατρῴων ὑπὸ τῶν πολέμων ἐστερῆσθαι, προϊόντος
δὲ τοῦ χρόνου καὶ τῶν ἀνθρώπων περιουσίας κτωμένων ἐς πέντε
καὶ εἴκοσι προήχθη, οὐκέτ' οὐδεὶς ἐθελοντὶ βουλεύσων εὑρίσκετο,
ἀλλὰ καὶ παῖδες εἰσὶν οἳ καὶ ἔγγονοι βουλευτῶν, οἱ μὲν ὡς ἀληθῶς 4
πενόμενοι οἱ δὲ καὶ ἐκ συμφορῶν προγονικῶν τεταπεινωμένοι, οὐχ
ὅσον οὐκ ἀντεποιοῦντο τοῦ βουλευτικοῦ ἀξιώματος, ἀλλὰ καὶ προσ-
κατειλεγμένοι ἤδη ἐξώμνυντο. καὶ διὰ τοῦτο πρότερον μέν, ἀπο- 5
δημοῦντος ἔτι τοῦ Αὐγούστου, δόγμα ἐγένετο τοὺς εἴκοσι καλου-
μένους ἄνδρας ἐκ τῶν ἱππέων ἀποδείκνυσθαι· ὅθεν οὐκέτ' οὐδεὶς
αὐτῶν ἐς τὸ βουλευτήριον ἐσεγράφη, μὴ καὶ ἑτέραν τινὰ ἀρχὴν
τῶν ἐς αὐτὸ ἐσάγειν δυναμένων λαβών. οἱ δὲ δὴ εἴκοσιν οὗτοι 6
ἄνδρες ἐκ τῶν ἓξ καὶ εἴκοσιν εἰσίν, οἵ τε τρεῖς οἱ τὰς τοῦ θανάτου
δίκας προστεταγμένοι, καὶ οἱ ἕτεροι τρεῖς οἱ τὸ τοῦ νομίσματος
κόμμα μεταχειριζόμενοι, οἵ τε τέσσαρες οἱ τῶν ἐν τῷ ἄστει ὁδῶν
ἐπιμελούμενοι, καὶ οἱ δέκα οἱ ἐπὶ τῶν δικαστηρίων τῶν ἐς τοὺς
ἑκατὸν ἄνδρας κληρουμένων ἀποδεικνύμενοι· οἱ γὰρ δὴ δύο οἱ τὰς 7

4 7 δὲ* 6 2 τὸ] τὸ μὲν* 26 6 1 οἵ τε*

Digitized by Google

ἔξω τοῦ τείχους ὁδοὺς ἐγχειριζόμενοι, οἵ τε τέσσαρες οἱ ἐς τὴν Καμπανίαν πεμπόμενοι, κατελέλυντο. τοῦτό τε οὖν ἐν τῇ τοῦ Αὐγούστου ἐκδημίᾳ ἐψηφίσθη, καὶ ἵν᾽ ἐπειδὴ μηδεὶς ἔτι ῥᾳδίως τὴν δημαρχίαν ᾔτει, κλήρῳ τινὲς ἐκ τῶν τεταμιευκότων καὶ μήπω τεσ-
8 σαράκοντα ἔτη γεγονότων καθιστῶνται. τότε δὲ αὐτὸς πάντας αὐτοὺς ἐξήτασε, καὶ τὰ μὲν τῶν ὑπὲρ πέντε καὶ τριάκοντα ἔτη γεγονότων οὐκ ἐπολυπραγμόνησε, τοὺς δὲ ἐντός τε τῆς ἡλικίας ταύτης ὄντας καὶ τὸ τίμημα ἔχοντας βουλεῦσαι κατηνάγκασε, χωρὶς ἢ εἴ
9 τις ἀνάπηρος ἦν. καὶ τὰ μὲν σώματα καὶ αὐτός που αὐτῶν ἑώρα, περὶ δὲ δὴ τῶν οὐσιῶν ὅρκοις ἐπιστοῦτο αὐτῶν τε ἐκείνων καὶ ἑτέρων συνομνύντων σφίσι καὶ λογισμὸν τῆς τε ἀπορίας ἅμα καὶ τοῦ βίου διδόντων.

27 καὶ οὐκ ἐν μὲν τοῖς κοινοῖς τοιοῦτος ἦν, τῶν δ᾽ ἰδιωτῶν παρημέλει, ἀλλὰ καὶ τῷ Τιβερίῳ ἐπετίμησεν ὅτι τὸν Γάιον ἐν τῇ πανηγύρει τῇ εὐκταίᾳ, ἣν ἐπὶ τῇ ἐπανόδῳ αὐτοῦ διετίθει, παρεκαθίσατο, καὶ τῷ δήμῳ ὅτι καὶ κρότοις καὶ ἐπαίνοις αὐτὸν ἐτίμησαν.
2 ἐπειδή τε τοῦ Λεπίδου μεταλλάξαντος ἀρχιέρεως ἀπεδείχθη καὶ διὰ τοῦθ᾽ ἡ βουλὴ ψηφίσασθαι αὐτὸν ἠθέλησεν, οὔτε τι αὐτῶν προσήσεσθαι ἔφη, καὶ ἐγκειμένων οἱ ἐξανέστη τε καὶ ἐξῆλθεν ἐκ
3 τοῦ συνεδρίου. καὶ οὔτε ἐκεῖνα ἔτ᾽ ἐκυρώθη οὔτ᾽ οἰκίαν τινὰ δημοσίαν ἔλαβεν, ἀλλὰ μέρος τι τῆς ἑαυτοῦ, ὅτι τὸν ἀρχιέρεων ἐν κοινῷ πάντως οἰκεῖν ἐχρῆν, ἐδημοσίωσεν. τὴν μέντοι τοῦ βασιλέως τῶν ἱερῶν ταῖς ἀειπαρθένοις ἔδωκεν, ἐπειδὴ ὁμότοιχος ταῖς οἰκήσε-
4 σιν αὐτῶν ἦν. Κορνηλίου τε Σισεντίου αἰτίαν ἐπὶ τῷ τῆς γυναικὸς βίῳ σχόντος, καὶ ἐν τῷ συνεδρίῳ εἰπόντος ὅτι καὶ εἰδότος καὶ συμβουλεύσαντός οἱ αὐτοῦ ἠγάγετο αὐτήν, περιοργής τε ἐγένετο καὶ εἶπε μὲν οὐδὲν οὐδὲ ἔπραξε δεινόν, ἐκπηδήσας δὲ ἐκ τοῦ βουλευτηρίου ἔπειτα μετ᾽ ὀλίγον ἐπανῆλθεν, ἑλόμενος, ὥς γε καὶ τοῖς φίλοις μετὰ ταῦτα ἔφη, τοῦτο μᾶλλον καίπερ οὐκ ὀρθῶς ἔχον ποιῆσαι ἢ κατὰ χώραν μείνας ἀναγκασθῆναί τι κακὸν δρᾶσαι.

28 κἀν τούτῳ τὸν Ἀγρίππαν ἐκ τῆς Συρίας ἐλθόντα τῇ τε δημαρχικῇ ἐξουσίᾳ αὖθις ἐς ἄλλα ἔτη πέντε ἐμεγάλυνε καὶ ἐς τὴν Παννονίαν πολεμησείουσαν ἐξέπεμψε, μεῖζον αὐτῷ τῶν ἑκασταχόθι
2 ἔξω τῆς Ἰταλίας ἀρχόντων ἰσχῦσαι ἐπιτρέψας. καὶ ὃς τὴν μὲν
a. u. 742 στρατείαν καίτοι τοῦ χειμῶνος, ἐν ᾧ Μάρκος τε Οὐαλέριος καὶ Πούπλιος Σουλπίκιος ὑπάτευον, ἐνεστηκότος ἐποιήσατο, ἐκπλαγέντων δὲ τῶν Παννονίων πρὸς τὴν ἔφοδον αὐτοῦ καὶ μηδὲν ἔτι νεωτερι-
3 σάντων ἐπανῆλθε, καὶ ἐν Καμπανίᾳ γενόμενος ἐνόσησεν. πυθόμενος

7 5 τινάς   27 2 2 αὐτὸν] πολλά ἄττα?*   αὐτὸν   3 4 ἱερέων   4 1 Σισέννου?

δὲ τοῦτο ὁ Αὔγουστος (ἔτυχε δὲ ἐν τοῖς παναθηναίοις ὁπλομαχίας
ἀγῶνας τῷ τῶν παίδων ὀνόματι τιθείς) ἐξωρμήθη, καὶ καταλαβὼν
αὐτὸν τεθνηκότα ἔς τε τὸ ἄστυ τὸ σῶμα αὐτοῦ ἐσεκόμισε καὶ ἐν
τῇ ἀγορᾷ προέθηκε, τόν τε λόγον τὸν ἐπ᾽ αὐτοῦ εἶπε, παραπέτασμά
τι πρὸ τοῦ νεκροῦ παρατείνας. ὅπερ ἐγὼ μὲν οὐκ οἶδα διὰ τί 4
ἐποίησεν, εἴρηται δὲ ὅμως τοῖς μὲν ὅτι ἀρχιέρεως ἦν, τοῖς δὲ ὅτι
τὰ τῶν τιμητῶν ἔπραττεν, οὐκ ὀρθῶς φρονοῦσιν· οὔτε γὰρ τῷ
ἀρχιέρεῳ ἀπείρηται νεκρὸν ὁρᾶν οὔτε τῷ τιμητῇ, πλὴν ἂν τὸ τέλος
ταῖς ἀπογραφαῖς μέλλῃ ἐπάξειν· ἂν γάρ τινα πρὸ τοῦ καθαρσίου
ἴδῃ, ἀνάδαστα τὰ πραχθέντα αὐτῷ πάντα γίγνεται. τοῦτό τε οὖν 5
οὕτως ἔδρασε, καὶ τὴν ἐκφορὰν αὐτοῦ ἐν τῷ τρόπῳ ἐν ᾧ καὶ αὐτὸς
μετὰ ταῦτα ἐξηνέχθη ἐποιήσατο, καὶ αὐτὸν καὶ ἐν τῷ ἑαυτοῦ μνη-
μείῳ ἔθαψε, καίτοι ἴδιον ἐν τῷ ἀρείῳ πεδίῳ λαβόντα.

Ἀγρίππας μὲν οὖν οὕτω μετήλλαξε, τά τε ἄλλα ἄριστος τῶν 29
καθ᾽ ἑαυτὸν ἀνθρώπων διαφανῶς γενόμενος, καὶ τῇ τοῦ Αὐγού-
στου φιλίᾳ πρός τε τὸ αὐτῷ ἐκείνῳ καὶ πρὸς τὸ τῷ κοινῷ συμφο-
ρώτατον χρησάμενος. ὅσον τε γὰρ τοὺς ἄλλους ἀρετῇ κατεκράτει, 2
τοσοῦτον ἐκείνου ἐθελοντὴς ἡττᾶτο, καὶ πᾶσαν αὐτῷ τὴν ἑαυτοῦ
καὶ σοφίαν καὶ ἀνδρείαν ἐς τὰ λυσιτελέστατα παρέχων πᾶσαν τὴν
παρ᾽ ἐκείνου καὶ τιμὴν καὶ δύναμιν ἐς τὸ τοὺς ἄλλους εὐεργετεῖν
ἀνήλισκεν. ἀφ᾽ οὗ δὴ καὶ τὰ μάλιστα οὔτ᾽ αὐτῷ ποτὲ τῷ Αὐ- 3
γούστῳ ἐπαχθὴς οὔτε τοῖς ἄλλοις ἐπίφθονος ἐγένετο, ἀλλ᾽ ἐκείνῳ
τε τὴν μοναρχίαν ὡς καὶ δυναστείας ὄντως ἐπιθυμητὴς συνέστησε,
καὶ τὸν δῆμον εὐεργεσίαις ὡς καὶ δημοτικώτατος προσεποιήσατο.
καὶ τότε γοῦν κήπους τέ σφισι καὶ τὸ βαλανεῖον τὸ ἐπώνυμον αὐ- 4
τοῦ κατέλιπεν, ὥστε προῖκα αὐτοὺς λοῦσθαι, χωρία τινὰ ἐς τοῦτο
τῷ Αὐγούστῳ δούς. καὶ ὃς οὐ μόνον ταῦτ᾽ ἐδημοσίευσεν, ἀλλὰ
καὶ καθ᾽ ἑκατὸν δραχμὰς τῷ δήμῳ ὡς καὶ ἐκείνου κελεύσαντος
διένειμεν. τῶν τε γὰρ πλείστων αὐτοῦ ἐκληρονόμησεν, ἐν οἷς ἄλλα 5
τε καὶ ἡ Χερρόνησος ἡ πρὸς τῷ Ἑλλησπόντῳ, οὐκ οἶδ᾽ ὅπως ἐς
τὸν Ἀγρίππαν ἐλθοῦσα· καὶ πάνυ ἐπὶ πολὺ αὐτὸν ἐπόθησε, καὶ
διὰ τοῦτο καὶ ἔντιμον παρὰ τῷ δήμῳ ἐποίησε, τόν τε υἱὸν τὸν
τελευτήσαντί οἱ γεννηθέντα Ἀγρίππαν προσηγόρευσεν. οὐ μέντοι 6
οὔτε τοῖς ἄλλοις ἐκλιπεῖν τι τῶν πατρίων, καίπερ μηδενὸς τῶν πρώ-
των ἐς τὰς πανηγύρεις ἀπαντῆσαι ἐθέλοντος, ἐπέτρεψε, καὶ αὐτὸς
τὰς μονομαχίας διετέλεσεν· πολλάκις δὲ καὶ ἀπόντος αὐτοῦ ἐποιοῦντο.
οὕτω γοῦν οὐκ ἴδιον τοῦτο τὸ πάθος τῇ τοῦ Ἀγρίππου οἰκίᾳ ἀλλὰ 7
καὶ κοινὸν πᾶσι τοῖς Ῥωμαίοις ἐγένετο, ὥστε καὶ σημεῖα ὅσα πρὸ

29 3 3 ἐπιθυμητῇ    7 1 πένθος Zonaras

Digitized by Google

τῶν μεγίστων συμφορῶν συμβαίνειν σφίσιν εἴωθε, καὶ τότε συνε-
νεχθῆναι. βύαι τε γὰρ τῇ πόλει συνεφοίτησαν, καὶ κεραυνὸς ἐς
τὴν ἐν τῷ Ἀλβανῷ οἰκίαν, ἐς ἣν οἱ ὕπατοι ἐν ταῖς ἱερουργίαις κα-
8 ταλύουσιν, ἐνέσκηψεν. τό τε ἄστρον ὁ κομήτης ὠνομασμένος ἐπὶ
πολλὰς ἡμέρας ὑπὲρ αὐτοῦ τοῦ ἄστεος αἰωρηθεὶς ἐς λαμπάδας
διελύθη. καὶ πυρὶ ἄλλα τε τῆς πόλεως συχνὰ καὶ ἡ τοῦ Ῥωμύλου
σκηνὴ ἐκαύθη, κοράκων κρέα ἐς αὐτὴν ἐκ βωμοῦ τινὸς ἔμπυρα
ἐμβαλόντων.

30 οὕτω μὲν οὖν τὰ κατ' Ἀγρίππαν ἐγένετο· μετὰ δὲ τοῦτο ὁ
Αὔγουστος ἐπιμελητής τε καὶ ἐπανορθωτὴς τῶν τρόπων ἐς ἕτερα
πέντε ἔτη αἱρεθείς (καὶ γὰρ τοῦτο κατὰ προθεσμίας, ὥσπερ που
καὶ τὴν μοναρχίαν, ἐλάμβανε) θυμιᾶν τε τοὺς βουλευτὰς ἐν τῷ
συνεδρίῳ, ὁσάκις ἂν ἕδρα αὐτῶν ᾖ, καὶ τὴν ἄφιξιν πρὸς ἑαυτὸν
μὴ ποιεῖσθαι, τὸ μὲν ἵνα θεοσεβῶσι, τὸ δὲ ἵν' ἀπονητὶ συνίωσιν,
2 ἐκέλευσεν. τὴν δὲ δημαρχίαν ὀλίγων σφόδρα διὰ τὸ τὴν ἰσχὺν σφων
καταλελύσθαι αἰτούντων, ἐνομοθέτησεν ἐκ τῶν ἱππέων τῶν μὴ
ἔλαττον πέντε καὶ εἴκοσι μυριάδας κεκτημένων προβάλλεσθαι τοὺς
ἐν ταῖς ἀρχαῖς ἕνα ἕκαστον, κἀκ τούτων τὸ πλῆθος τοὺς ἐνδέοντας
αἱρεῖσθαί σφισιν, εἰ μὲν καὶ βουλεύειν μετὰ τοῦτ' ἐθέλοιεν, εἰ δὲ
3 μή, ἐς τὴν ἱππάδα αὖθις ἐπανιέναι ἐξεῖναι. ἐπειδή τε ἡ Ἀσία τὸ
ἔθνος ἐπικουρίας τινὸς διὰ σεισμοὺς μάλιστα ἐδέετο, τόν τε φόρον
αὐτῆς τὸν ἔτειον ἐκ τῶν ἑαυτοῦ χρημάτων τῷ κοινῷ ἐσήνεγκε, καὶ
ἄρχοντά οἱ ἐκ τοῦ κλήρου, ἀλλ' οὐχ αἱρετόν, ἐπὶ δύο ἔτη προσε-
4 ταξεν. κακῶς τέ ποτε τοῦ Ἀπουληίου καὶ τοῦ Μαικήνου ἐν δικα-
στηρίῳ τινὶ μοιχείας, οὐχ ὅτι τι καὶ αὐτοὶ ὑβρίκεσαν ἀλλ' ὅτι τῷ
κρινομένῳ σπουδῇ συνήροντο, ἀκουόντων ἦλθέ τε ἐς τὸ δικαστή-
ριον, καὶ ἐν τῇ τοῦ στρατηγοῦ ἕδρᾳ καθιζήσας δεινὸν μὲν οὐδὲν
ἔπραξεν, ἀπειπὼν δὲ τῷ κατηγόρῳ μήτε τοὺς συγγενεῖς μήτε τοὺς
5 φίλους αὐτοῦ προπηλακίζειν ἀνέστη. καὶ αὐτὸν διά τε ταῦτα καὶ
διὰ τἆλλα ἀνδριᾶσί τε ἐκ συντελείας ἐτίμησαν, καὶ τῷ τοῖς τε
ἀγύνοις καὶ ταῖς ἀνάνδροις καὶ συνθεᾶσθαι τοῖς ἄλλοις καὶ συν-
δειπνεῖν ἐν τοῖς γενεθλίοις αὐτοῦ δοῦναι· οὐ γὰρ ἐξῆν οὐδέτερον.

31 ὡς δ' οὖν ὁ Ἀγρίππας, ὅνπερ που δι' ἀρετὴν ἀλλ' οὐ δι' ἀνάγ-
κην τινὰ ἠγάπα, ἐτεθνήκει, καὶ συνεργοῦ πρὸς τὰ πράγματα πολὺ
τῶν ἄλλων καὶ τῇ τιμῇ καὶ τῇ δυνάμει προφέροντος, ὥστε καὶ ἐν
καιρῷ καὶ ἄνευ φθόνου καὶ ἐπιβουλῆς πάντα διάγεσθαι, ἐδεῖτο,
τὸν Τιβέριον καὶ ἄκων προσείλετο· οἱ γὰρ ἔγγονοι αὐτοῦ ἐν παισὶν
2 ἔτι καὶ τότε ἦσαν. καὶ προαποσπάσας καὶ ἐκείνου τὴν γυναῖκα,

30 1 6 μὴ om* 2 5 σφισιν] ἐφ' ᾧ τε?* A 31 1 1 γοῦν*

A 3. 4. οἱ οὐκ ἐκ τοῦ κλ. ἀλλ' αἱρετὸν γραφ. cf. Bergmann Philologus X p. 646 et progr. Lucau. 1851 p IX n. 22.

Digitized by Google

καίτοι τοῦ τε Ἀγρίππου θυγατέρα ἐξ ἄλλης τινὸς γαμετῆς οὖσαν,
καὶ τέκνον τὸ μὲν ἤδη τρέφουσαν τὸ δ' ἐν γαστρὶ ἔχουσαν, τήν τε
Ἰουλίαν οἱ ἠγγύησε καὶ ἐπὶ τοὺς Παννονίους αὐτὸν ἐξέπεμψεν· τέως
μὲν γὰρ τὸν Ἀγρίππαν φοβηθέντες ἡσύχασαν, τότε δὲ τελευτήσαν-
τος αὐτοῦ ἐπανέστησαν. καί σφας ὁ Τιβέριος, πολλὰ μὲν τῆς χώ- 3
ρας πορθήσας πολλὰ δὲ καὶ τοὺς ἀνθρώπους κακώσας, ἐχειρώσατο,
τοῖς Σκορδίσκοις, ὁμόροις τε αὐτῶν καὶ ὁμοσκεύοις οὖσι, συμμάχοις
ὅτι μάλιστα χρησάμενος. καὶ τά τε ὅπλα σφῶν ἀφείλετο, καὶ τῆς
ἡλικίας τὸ πλεῖον ἐπ' ἐξαγωγῇ ἀπέδοτο. καὶ αὐτῷ διὰ ταῦτα ἡ 4
μὲν βουλὴ τά γε ἐπινίκια ἐψηφίσατο, ὁ δ' Αὔγουστος ταῦτα μὲν
οὐκ ἐπέτρεψεν ἑορτάσαι, τὰς δὲ τιμὰς τὰς ἐπινικίους ἀντέδωκεν.

τὸ δ' αὐτὸ τοῦτο καὶ τῷ Δρούσῳ συνέβη. τῶν τε γὰρ Συ- 32
γάμβρων καὶ τῶν συμμάχων αὐτῶν διά τε τὴν τοῦ Αὐγούστου
ἀπουσίαν καὶ διὰ τὸ τοὺς Γαλάτας μὴ ἐθελοδουλεῖν πολεμωθέντων
σφίσι, τό τε ὑπήκοον προκατέλαβε, τοὺς πρώτους αὐτοῦ, προφάσει
τῆς ἑορτῆς ἣν καὶ νῦν περὶ τὸν τοῦ Αὐγούστου βωμὸν ἐν Λουγ-
δούνῳ τελοῦσι, μεταπεμψάμενος, καὶ τοὺς Κελτοὺς τηρήσας τὸν
Ῥῆνον διαβαίνοντας ἀνέκοψεν. καὶ μετὰ τοῦτο ἔς τε τὴν τῶν Οὐ- 2
σιπετῶν κατ' αὐτὴν τὴν τῶν Βατάβων νῆσον διέβη, καὶ ἐπὶ τὴν
Συγαμβρίδα ἐκεῖθεν ἐπιπαρελθὼν συχνὰ ἐπόρθησεν. ἔς τε τὸν
ὠκεανὸν διὰ τοῦ Ῥήνου καταπλεύσας τούς τε Φρεισίους ᾠκειώσατο,
καὶ ἐς τὴν Χαυκίδα διὰ τῆς λίμνης ἐμβαλὼν ἐκινδύνευσε, τῶν
πλοίων ὑπὸ τῆς τοῦ ὠκεανοῦ παλιρροίας ἐπὶ τοῦ ξηροῦ γενομένων.
καὶ τότε μὲν ὑπὸ τῶν Φρεισίων πεζῇ συνεστρατευκότων αὐτῷ σω- 3
θεὶς ἀνεχώρησε (χειμὼν γὰρ ἦν), καὶ ἐς τὴν Ῥώμην ἐλθὼν ἀγορα-
νόμος ἐπί τε Κυΐντου Αἰλίου καὶ ἐπὶ Παύλου Φαβίου ὑπάτων, a. u. 743
καίπερ τὰς στρατηγικὰς τιμὰς ἔχων, ἀπεδείχθη· ἅμα δὲ τῷ ἦρι 33
πρὸς τὸν πόλεμον αὖθις ὥρμησε, καὶ τόν τε Ῥῆνον ἐπεραιώθη καὶ
τοὺς Οὐσιπέτας κατεστρέψατο, τόν τε Λουπίαν ἔζευξε καὶ ἐς τὴν
τῶν Συγάμβρων ἐνέβαλε, καὶ δι' αὐτῆς καὶ ἐς τὴν Χερουσκίδα
προεχώρησε μέχρι τοῦ Οὐισούργου. ἠδυνήθη δὲ τοῦτο ποιῆσαι, ὅτι 2
οἱ Σύγαμβροι τοὺς Χάττους, μόνους τῶν προσοίκων μὴ ἐθελήσαν-
τάς σφισι συμμαχῆσαι, ἐν ὀργῇ σχόντες πανδημὶ ἐπ' αὐτοὺς ἐξε-
στράτευσαν, κἂν τῷ καιρῷ τούτῳ ἔλαθε τὴν χώραν αὐτῶν διεξελθών.
καὶ διέβη ἂν καὶ τὸν Οὐίσουργον, εἰ μὴ τῶν τε ἐπιτηδείων ἐσπάνισε
καὶ ὁ χειμὼν ἐνέστη καί τι καὶ σμῆνος ἐν τῷ στρατοπέδῳ αὐτοῦ
ὤφθη. οὔτ' οὖν περαιτέρω διὰ ταῦτα προεχώρησε, καὶ ἐς τὴν 3
φιλίαν ἀνακομιζόμενος δεινῶς ἐκινδύνευσεν· οἱ γὰρ πολέμιοι ἄλλως

32 3 2 ἀστυνόμος    33 2 4 καὶ

τε ἐνέδραις αὐτὸν ἐκάκωσαν, καί ποτε ἐς στενὸν καὶ κοῖλον χωρίον
κατακλείσαντες ὀλίγου διέφθειραν. καὶ πασσυδὶ ἂν ἀπώλεσαν, εἰ μὴ
καταφρονήσαντές σφων ὡς καὶ ἑαλωκότων καὶ μιᾶς ἐπικοπῆς ὄντων
4 ὁμόσε αὐτοῖς ἀσύντακτοι ἐχώρησαν. νικηθέντες γὰρ ἐκ τούτου οὐ-
κέθ᾽ ὁμοίως ἐθρασύνοντο, ἀλλὰ πόρρωθεν μέν σφας παρελύπουν,
ἐγγὺς δὲ οὐ προσήεσαν, ὥστε τὸν Δροῦσον ἀντικαταφρονήσαντα
αὐτῶν ἐκεῖ τε ᾗ ὅ τε Λουπίας καὶ ὁ Ἐλίσων συμμίγνυνται φρού-
ριόν τί σφισιν ἐπιτειχίσαι, καὶ ἕτερον ἐν Χάττοις παρ᾽ αὐτῷ τῷ
5 Ῥήνῳ. διὰ μὲν οὖν ταῦτα τάς τε ἐπινικίους τιμὰς καὶ τὸ ἐπὶ κέ-
λητος ἐς τὸ ἄστυ ἐσελάσαι, τῇ τε τοῦ ἀνθυπάτου ἐξουσίᾳ, ἐπειδὰν
διαστρατηγήσῃ, χρήσασθαι ἔλαβεν. τὸ γὰρ ὄνομα τὸ τοῦ αὐτοκρά-
τορος ἐπεφημίσθη μὲν ὑπὸ τῶν στρατιωτῶν καὶ ἐκείνῳ τότε καὶ
τῷ Τιβερίῳ πρότερον, οὐ μέντοι παρὰ τοῦ Αὐγούστου ἐδόθη, καί-
περ αὐτοῦ ἀπ᾽ ἀμφοτέρων τῶν ἔργων τὸν ἀριθμὸν τῆς ἐπικλήσεως
αὐξήσαντος.

34 ἐν ᾧ δ᾽ οὖν ὁ Δροῦσος ταῦτ᾽ ἔπραττεν, ἥ τε πανήγυρις ἡ τῇ
στρατηγίᾳ αὐτοῦ προσήκουσα πολυτελεστάτη ἐποιήθη, καὶ τὰ γε-
νέθλια τὰ τοῦ Αὐγούστου καὶ ἐν τῷ ἱπποδρόμῳ καὶ ἐν τῇ ἄλλῃ
2 πόλει πολλαχόθι θηρίων σφαγαῖς ἐτιμήθη. καὶ τοῦτο μέν, καίτοι
μὴ ψηφισθέν, ἐν πᾶσιν ὡς εἰπεῖν τοῖς ἔτεσι πρός τινος τῶν ἀεὶ
στρατηγούντων ἐγίγνετο· τὰ δὲ δὴ αὐγουστάλια, ἃ καὶ νῦν ἄγεται,
3 τότε πρῶτον ἐκ δόγματος ἐτελέσθη. ὅ τε Τιβέριος τοὺς Δελμάτας
νεοχμώσαντας καὶ τοὺς Παννονίους μετὰ τοῦτο πρός τε τὴν ἐκείνου
καὶ πρὸς τὴν τοῦ πλείονος στρατοῦ ἀπουσίαν νεωτερίσαντας ἐχει-
ρώσατο, πολεμῶν τε ἅμα ἀμφοτέροις, καὶ τοτὲ μὲν τῇ τοτὲ δὲ τῇ
μεθιστάμενος, ὥστε καὶ τῶν ἄθλων τῶν αὐτῶν τῷ Δρούσῳ τυχεῖν.
4 κἀκ τούτου καὶ ἡ Δελματία τῇ τοῦ Αὐγούστου φρουρᾷ, ὡς καὶ
ὅπλων τινῶν ἀεὶ καὶ δι᾽ ἑαυτὴν καὶ διὰ τὴν τῶν Παννονίων γειτο-
νίαν δεομένη, παρεδόθη.

5 οὗτοι μὲν δὴ ταῦτα ἔπρασσον· ἐν δὲ δὴ τοῖς αὐτοῖς τούτοις
χρόνοις Οὐολόγαισος Θρᾷξ Βησσός, ἱερεὺς τοῦ παρ᾽ αὐτοῖς Διονύ-
σου, προσεποιήσατό τινας πολλὰ θειάσας, καὶ μετ᾽ αὐτῶν ἀποστὰς
τόν τε Ῥασκύποριν τὸν τοῦ Κότυος υἱὸν νικήσας ἀπέκτεινε, καὶ
τὸν θεῖον αὐτοῦ τὸν Ῥυμητάλκην μετὰ ταῦτα ἀμαχὶ γυμνώσας τῶν
δυνάμεων τῇ παρὰ τοῦ θεοῦ δόξῃ φυγεῖν ἐποίησε, καὶ αὐτὸν ἐπι-
διώκων ἔς τε τὴν Χερρόνησον ἐνέβαλε καὶ δεινῶς αὐτὴν ἐλυμήνατο.
6 ὡς οὖν οὗτός τε ταῦτα ἐποίει καὶ οἱ Σιαλέται τὴν Μακεδονίαν
ἐκακούργουν, Λούκιος Πίσων ἐκ Παμφυλίας, ἧς ἦρχε, προσετάχθη

3 4 καὶ] κἂν*    34 3 5 ἄλλων*    5 6 θείου*    6 1 Coelaletae Tacito, Coeletae Plinio.

σφίσιν· καὶ προαναχωρησάντων οἴκαδε τῶν Βησσῶν ἐπειδὴ ἐπυν-
θάνοντο αὐτὸν προσιόντα, ἔς τε τὴν γῆν αὐτῶν ἀφίκετο, καὶ ἡττη-
θεὶς τὸ πρῶτον ἀντεπεκράτησε, καὶ ἐκείνην τε καὶ τὴν τῶν προσ-
χώρων τῶν συνεπαναστάντων σφίσιν ἐπόρθησεν. καὶ τότε τε τοὺς 7
μὲν ἐθελοντὰς προσθέμενος τοὺς δ' ἄκοντας ἐκπλήξας, τοῖς δὲ καὶ
ἐκ παρατάξεως συνενεχθείς, πάντας αὐτοὺς ὑπηγάγετο, καὶ μετὰ
τοῦτο νεοχμώσαντάς τινας αὐτῶν αὖθις κατεδουλώσατο. καὶ αὐτῷ
διὰ ταῦτα καὶ ἱερομηνία καὶ τιμαὶ ἐπινίκιοι ἐδόθησαν.

ἐν ᾧ δ' οὖν ἐκεῖνα ἐγίγνετο, ὁ Αὔγουστος ἀπογραφάς τε ἐποιή- 35
σατο, πάντα τὰ ὑπάρχοντά οἱ καθάπερ τις ἰδιώτης ἀπογραψά-
μενος, καὶ τὴν βουλὴν κατελέξατο. ὁρῶν δὲ ὅτι οὐκ ἀεὶ συχνοὶ
συνελέγοντο, ἐκέλευσε τὰ δόγματα αὐτῆς καὶ ἐν ἐλάττοσιν ἢ τετρα-
κοσίοις γίγνεσθαι· οὐ γὰρ ἐξῆν τινὰ ἐκ τοῦ πρὶν ἄλλως κυροῦσθαι.
ἐπειδή τε ἀργύριον αὖθις ἐς εἰκόνας αὐτοῦ καὶ ἐκείνη καὶ ὁ δῆμος 2
συνεσήνεγκαν, ἑαυτοῦ μὲν οὐδεμίαν, ὑγιείας δὲ δημοσίας καὶ προσέτι
καὶ ὁμονοίας εἰρήνης τε ἔστησεν. ἀεί τε γάρ ὡς εἰπεῖν καὶ ἐπὶ
πάσῃ προφάσει τοῦτ' ἐποίουν, καὶ τέλος καὶ ἐν αὐτῇ τῇ πρώτῃ
τοῦ ἔτους ἡμέρᾳ οὐκέτ' ἰδίᾳ που κατέβαλλον αὐτό, ἀλλ' αὐτῷ ἐκείνῳ
προσιόντες οἱ μὲν πλεῖον οἱ δ' ἔλαττον ἐδίδοσαν. καὶ ὃς προσθεὶς 3
ἂν ἕτερον τοσοῦτον ἢ καὶ πλέον ἀντεδίδου, οὐχ ὅπως τοῖς βουλευ-
ταῖς ἀλλὰ καὶ τοῖς ἄλλοις. ἤδη δὲ καὶ ἐκεῖνο ἤκουσα, ὅτι καὶ ἄλλο
τι ἀργύριον ἐκ λογίου τινὸς ἢ καὶ ὀνείρατος παρὰ τῶν προστυχόν-
των οἱ, ὡς καὶ προσαιτῶν, ἐν μιᾷ τοῦ ἔτους ἡμέρᾳ ἐλάμβανεν.

καὶ τοῦτο μέν, εἴ γέ τῳ πιστόν, οὕτω παραδέδοται· ἐν δὲ τῷ 4
ἔτει ἐκείνῳ τήν τε Ἰουλίαν τῷ Τιβερίῳ συνῴκισε, καὶ τὴν Ὀκταουίαν
τὴν ἀδελφὴν ἀποθανοῦσαν προέθετο ἐπὶ τοῦ Ἰουλίου ἡρῴου, παρα-
πετάσματι καὶ τότε ἐπὶ τοῦ νεκροῦ χρησάμενος. καὶ αὐτός τε ἐκεῖ 5
τὸν ἐπιτάφιον εἶπε, καὶ ὁ Δροῦσος ἐπὶ τοῦ βήματος· δημόσιον γὰρ
τὸ πένθος ἀλλαξαμένων τὴν ἐσθῆτα τῶν βουλευτῶν ἐγένετο. καὶ
τὸ μὲν σῶμα αὐτῆς οἱ γαμβροὶ ἐξήνεγκαν, τὰ δὲ δὴ ψηφισθέντα
αὐτῇ οὐ πάντα ὁ Αὔγουστος ἐδέξατο. κἂν τῷ αὐτῷ τούτῳ χρόνῳ 36
ὅ τε ἱερεὺς τοῦ Διὸς πρῶτον μετὰ τὸν Μερούλαν ἀπεδείχθη, καὶ
τοῖς ταμίαις τὰ δόγματα τὰ ἑκάστοτε γιγνόμενα διὰ φυλακῆς ποι-
εῖσθαι ἐκελεύσθη, ἐπειδὴ οἵ τε δήμαρχοι καὶ οἱ ἀγορανόμοι οἱ
πρότερον αὐτὰ ἐπιτετραμμένοι διὰ τῶν ὑπηρετῶν τοῦτο ἔπραττον,
καί τις ἐκ τούτου καὶ διαμαρτία καὶ ταραχὴ ἐγένετο.

ἐψηφίσθη μὲν οὖν τὸν Ἰανὸν τὸν γέμινον ὡς καὶ πεπαυμένων 2
τῶν πολέμων (ἀνέῳκτο γάρ) κλεισθῆναι, οὐ μέντοι καὶ ἐκλείσθη·

7 1 τε] μὲν* 2 προσθεμένους 35 2 1 ἑαυτοῦ 36 1 3 τὰ post δόγματα om

Digitized by Google

a. u. 744 οἵ τε γὰρ Δακοὶ τὸν Ἴστρον πεπηγότα διαβάντες λείαν ἐκ τῆς
Παννονίας ἀπετέμοντο, καὶ οἱ Δελμάται πρὸς τὰς ἐσπράξεις τῶν
3 χρημάτων ἐπανέστησαν. καὶ τούτους μὲν ὁ Τιβέριος ἐκ τῆς Γα-
λατίας, ἐς ἣν μετὰ τοῦ Αὐγούστου ἐσεληλύθει, μεταπεμφθεὶς κατε-
στήσατο, τὰ δὲ δὴ τῶν Κελτῶν τῶν τε ἄλλων καὶ τῶν Χάττων
(πρὸς γὰρ τοὺς Συγάμβρους μετέστησαν, καὶ τῆς χώρας αὐτῶν,
ἣν οἰκεῖν παρὰ τῶν Ῥωμαίων εἰλήφεσαν, ἐξανέστησαν) ὁ Δροῦσος
4 τὰ μὲν ἐκάκωσε τὰ δὲ ἐχειρώσατο. καὶ μετὰ τοῦτο ἔς τε τὴν Ῥώ-
μην σὺν τῷ Αὐγούστῳ ἀνεκομίσθησαν (ἐν γὰρ τῇ Λουγδουνίδι τὰ
πολλὰ οὗτος ἐγγύθεν τοῖς Κελτοῖς ἐφεδρεύων διέτριβε), καὶ ὅσα
ἐπὶ ταῖς νίκαις ἐψήφιστο ἢ καὶ ἄλλως καθήκοντα ἦν γενέσθαι,
ἐπετέλεσαν.

ταῦτα μὲν ἐπί τε τοῦ Ἰούλου καὶ ἐπὶ Φαβίου Μαξίμου ὑπά-
ΝΕ των ἐγένετο, τῷ δ' ἐχομένῳ ἔτει ὁ Δροῦσος μετὰ Τίτου Κρισπίνου
a. u. 745 ὑπάτευσε, καὶ αὐτῷ σημεῖα οὐκ ἀγαθὰ συνηνέχθη· πολλὰ μὲν γὰρ
καὶ ἄλλα καὶ χειμῶνι καὶ κεραυνοῖς, πολλοὶ δὲ καὶ ναοὶ ἐφθάρησαν,
ὥστε καὶ τὸν τοῦ Διὸς τοῦ Καπιτωλίου τῶν τε συνναῶν αὐτοῦ
2 κακωθῆναι. οὐ μέντοι καὶ ἐφρόντισέ τι αὐτῶν, ἀλλ' ἔς τε τὴν τῶν
Χάττων ἐσέβαλε καὶ προῆλθε μέχρι τῆς Σουηβίας, τήν τε ἐν ποσὶν
οὐκ ἀταλαιπώρως χειρούμενος καὶ τοὺς προσμιγνύντας οἱ οὐκ ἀναι-
μωτὶ κρατῶν. κἀντεῦθεν πρός τε τὴν Χερουσκίδα μετέστη, καὶ
τὸν Οὐίσουργον διαβὰς ἤλασε μέχρι τοῦ Ἀλβίου, πάντα πορθῶν.
3 ἐκεῖνον γάρ (ῥεῖ δὲ ἐκ τῶν Οὐανδαλικῶν ὀρῶν, καὶ ἐς τὸν ὠκεανὸν
τὸν προσάρκτιον πολλῷ μεγέθει ἐκδίδωσιν) ἐπεχείρησε μὲν περαιω-
θῆναι, οὐκ ἠδυνήθη δέ, ἀλλὰ τρόπαια στήσας ἀνεχώρησεν· γυνὴ
γάρ τις μείζων ἢ κατ' ἀνθρώπου φύσιν ἀπαντήσασα αὐτῷ ἔφη
"ποῖ δῆτα ἐπείγῃ, Δροῦσε ἀκόρεστε; οὐ πάντα σοι ταῦτα ἰδεῖν
πέπρωται. ἀλλ' ἄπιθι· καὶ γάρ σοι καὶ τῶν ἔργων καὶ τοῦ βίου
4 τελευτὴ πάρεστιν ἤδη." θαυμαστὸν μὲν οὖν τό τινα φωνὴν παρὰ
τοῦ δαιμονίου τοιαύτην τῳ γενέσθαι, οὐ μέντοι καὶ ἀπιστεῖν ἔχω·
παραχρῆμα γὰρ ἀπέβη, σπουδῇ τε ὑποστρέψαντος αὐτοῦ καὶ ἐν τῇ
5 ὁδῷ νόσῳ τινί, πρὶν ἐπὶ τὸν Ῥῆνον ἐλθεῖν, τελευτήσαντος. καί μοι
τεκμηριοῖ τὸ λεχθὲν ὅτι καὶ λύκοι περὶ τὸ στρατόπεδον ὑπὸ τὸν
θάνατον αὐτοῦ περινοστοῦντες ὠρύοντο, καὶ νεανίσκοι δύο διὰ μέ-
σου τοῦ ταφρεύματος διιππεύοντες ὤφθησαν, θρῆνός τέ τις γυναι-
κεῖος ἠκούσθη, καὶ ἀστέρων διαδρομαὶ ἐγένοντο. ταῦτα μὲν οὕτως
2 ἔσχεν, προπυθόμενος δ' ὁ Αὔγουστος ὅτι νοσεῖ (οὐ γὰρ ἦν πόρρω),

3 2 καταπεμφθεὶς* ἀνεστήσατο 4 καὶ τῆς τε χώρας αὐτῶν 4 3 οὕτως 1 2 4 Χερουσκίαν:* cf. 54 33, et 32 Συγαμβρίδα Χαυκίδα, et 22 Ἰταλίδος.

Digitized by Google

τὸν Τιβέριον κατὰ τάχος ἔπεμψεν· καὶ ὃς ἔμπνουν τε αὐτὸν κατέ-
λαβε καὶ ἀποθανόντα ἐς τὴν Ῥώμην ἐκόμισε, τὰ μὲν πρῶτα μέχρι
τοῦ χειμαδίου τοῦ στρατοῦ διά τε τῶν ἑκατοντάρχων καὶ διὰ τῶν
χιλιάρχων, ἐκεῖθεν δὲ διὰ τῶν καθ' ἑκάστην πόλιν πρώτων βαστά-
σας. καὶ αὐτοῦ ἐν τῇ ἀγορᾷ προτεθέντος διπλοῦς ὁ ἐπιτάφιος 2
ἐλέχθη· ὅ τε γὰρ Τιβέριος ἐνταῦθα αὐτὸν ἐπῄνεσε, καὶ ὁ Αὔγου-
στος ἐν τῷ Φλαμινίῳ ἱπποδρόμῳ· ἐξεστράτευτο γάρ, καὶ οὐκ ἦν
οἱ ὅσιον μὴ οὐ τὰ καθήκοντα ἐπὶ τοῖς κατειργασμένοις, παρ' αὐτὴν
τὴν εἴσω τοῦ πωμηρίου ἔσοδον, ἐπιτελέσαι. καὶ ὁ μὲν ἔς τε τὸ 3
ἄρειον πεδίον ὑπὸ τῶν ἱππέων, τῶν τε ἐς τὴν ἱππάδα ἀκριβῶς
τελούντων καὶ τῶν ἐκ τοῦ βουλευτικοῦ γένους ὄντων, ἠνέχθη, κάν-
ταῦθα πυρὶ δοθεὶς ἐς τὸ τοῦ Αὐγούστου μνημεῖον κατετέθη, Γερ-
μανικός τε μετὰ τῶν παίδων ἐπονομασθείς, καὶ τιμὰς καὶ εἰκόνων
καὶ ἁψῖδος κενοταφίου τε πρὸς αὐτῷ τῷ Ῥήνῳ λαβών· ὁ δὲ δὴ 4
Τιβέριος τῶν τε Δελματῶν καὶ τῶν Παννονίων ὑποκινησάντων τι
αὖθις ζῶντος ἔτ' αὐτοῦ κρατήσας, τά τε ἐπὶ τοῦ κέλητος ἐπινίκια
ἔπεμψε, καὶ τοῦ δήμου τοὺς μὲν ἐν τῷ Καπιτωλίῳ τοὺς δ' ἄλλοθι
πολλαχόθι ἐδείπνισεν. κἀν τούτῳ καὶ ἡ Λιουία μετὰ τῆς Ἰουλίας
τὰς γυναῖκας εἱστίασεν. τὰ δ' αὐτὰ ταῦτα καὶ τῷ Δρούσῳ ἡτοι- 5
μάζετο· καί γε αἱ ἀνοχαὶ δεύτερον τὴν χάριν αὐτοῦ, πρὸς τὸ τὰ
νικητήρια ἐν ἐκείναις αὐτὸν ἑορτάσαι, γενήσεσθαι ἔμελλον. ἀλλ' ὁ
μὲν προαπώλετο, ἡ δὲ δὴ Λιουία εἰκόνων τε ἐπὶ παραμυθίᾳ ἔτυχε,
καὶ ἐς τὰς μητέρας τὰς τρὶς τεκούσας ἐσεγράφη. οἷς γὰρ ἂν τὸ 6
δαιμόνιον, εἴτ' οὖν ἀνδρῶν εἴτε γυναικῶν, μὴ δῷ τοσαυτάκις τε-
κνῶσαι, τούτων τισὶν ὁ νόμος, πρότερον μὲν διὰ τῆς βουλῆς νῦν
δὲ διὰ τοῦ αὐτοκράτορος, τὰ τῶν τρὶς γεγεννηκότων δικαιώματα
χαρίζεται, ὥστε σφᾶς μήτε τοῖς τῆς ἀπαιδίας ἐπιτιμίοις ἐνέχεσθαι
καὶ τὰ τῆς πολυπαιδίας ἆθλα πλὴν ὀλίγων τινῶν καρποῦσθαι.
καὶ αὐτὰ οὐκ ἄνθρωποι μόνον ἀλλὰ καὶ θεοὶ εὑρίσκονται, ἵν' ἄν 7
τίς τι αὐτοῖς τελευτῶν καταλίπῃ λαμβάνωσιν.

τοῦτο μὲν δὴ τοιοῦτον ἐστίν, ὁ δ' Αὔγουστος τάς τε τῆς γε- 3
ρουσίας ἕδρας ἐν ῥηταῖς ἡμέραις γίγνεσθαι ἐκέλευσεν (ἐπειδὴ γὰρ
οὐδὲν πρότερον ἀκριβῶς περὶ αὐτῶν ἐτέτακτο καί τινες διὰ τοῦτο
πολλάκις ὑστέριζον, δύο βουλὰς κατὰ μῆνα κυρίας ἀπέδειξεν, ὥστε
ἐς αὐτὰς ἐπάναγκες, οὕς γε καὶ ὁ νόμος ἐκάλει, συμφοιτᾶν· καὶ 2
ὅπως γε μηδ' ἄλλη μηδεμία σκῆψις τῆς ἀπουσίας αὐτοῖς ὑπάρχῃ,
προσέταξε μήτε δικαστήριον μήτ' ἄλλο μηδὲν τῶν προσηκόντων
σφίσιν ἐν ἐκείνῳ τῷ καιρῷ γίγνεσθαι), τόν τε ἀριθμὸν τὸν ἐς τὴν
κύρωσιν τῶν δογμάτων ἀναγκαῖον καθ' ἕκαστον εἶδος αὐτῶν, ὡς

2 6 4 τρὶς om   3 1 4 δύο om

Digitized by Google

*γε ἐν κεφαλαίοις εἰπεῖν, διενομοθέτησε, καὶ τὰ ζημιώματα τοῖς μὴ*
*δι' εὔλογόν τινα αἰτίαν τῆς συνεδρείας ἀπολειπομένοις ἐπηύξησεν.*
3 *ἐπειδή τε πολλὰ τῶν τοιούτων ὑπὸ τοῦ πλήθους τῶν ὑπευθύνων*
*ἀτιμώρητα εἴωθε γίγνεσθαι, κληροῦσθαί τε αὐτοὺς εἰ συχνοὶ τοῦτο*
*ποιήσειαν, καὶ τὸν ἀεὶ πέμπτον λαχόντα ὀφλισκάνειν αὐτὰ ἐκέλευσεν.*
*τά τε ὀνόματα συμπάντων τῶν βουλευόντων ἐς λεύκωμα ἀναγράψας*
4 *ἐξέθηκεν· καὶ ἐξ ἐκείνου καὶ νῦν κατ' ἔτος οὕτω ποιεῖται. ταῦτα*
*μὲν ἐπὶ τῇ τῆς συμφοιτήσεως αὐτῶν ἀνάγκῃ ἔπραξεν· εἰ δ' οὖν*
*ποτὲ ἐκ συντυχίας τινὸς μὴ συλλεχθεῖεν ὅσους ἡ χρεία ἑκάστοτε*
*ἐκάλει (πλὴν γὰρ ὅτι ὁσάκις ἂν αὐτὸς ὁ αὐτοκράτωρ παρῇ, ἔν γε*
*ταῖς ἄλλαις ἡμέραις ἐς πάντα ὀλίγου τὸ τῶν ἀθροιζομένων πλῆθος*
*καὶ τότε καὶ μετὰ ταῦτα ἀκριβῶς ἐξητάζετο), ἐβουλεύοντο μὲν καὶ*
*ἥ γε γνώμη συνεγράφετο, οὐ μέντοι καὶ τέλος τι ὡς κεκυρωμένη*
*ἐλάμβανεν, ἀλλ' αὐκτώριτας ἐγίγνετο, ὅπως φανερὸν τὸ βούλημα*
5 *αὐτῶν ᾖ. τοιοῦτο γάρ τι ἡ δύναμις τοῦ ὀνόματος τούτου δηλοῖ·*
*ἑλληνίσαι γὰρ αὐτὸ καθάπαξ ἀδύνατόν ἐστιν. τὸ δ' αὐτὸ τοῦτο*
*καὶ εἴ ποτε ἐν τόπῳ τινὶ μὴ νενομισμένῳ ἢ ἡμέρᾳ μὴ καθηκούσῃ,*
*ἢ καὶ ἔξω νομίμου παραγγέλματος, ὑπὸ σπουδῆς ἠθροίσθησαν, ἢ*
*καὶ ἐναντιωθέντων τινῶν δημάρχων τὸ μὲν δόγμα οὐκ ἠδυνήθη*
*γενέσθαι, τὴν δὲ δὴ γνώμην σφῶν οὐχ ὑπέμενον ἀποκρυφθῆναι,*
*ἐνομίζετο· καὶ αὐτῇ μετὰ ταῦτα καὶ ἡ κύρωσις κατὰ τὰ πάτρια*
6 *ἐπήγετο καὶ ἡ ἐπίκλησις ἡ τοῦ δόγματος ἐπεφέρετο. τοῦτό τε οὖν*
*ἰσχυρῶς ἐπὶ πλεῖστον τοῖς πάλαι τηρηθὲν ἐξίτηλον τρόπον τινὰ*
*ἤδη γέγονε, καὶ τὸ τῶν στρατηγῶν· καὶ γὰρ ἐκεῖνοι ἀγανακτήσαντες*
*ὅτι μηδεμίαν γνώμην, καίτοι τῶν δημάρχων προτετιμημένοι, ἐς τὴν*
*βουλὴν ἐσέφερον, παρὰ μὲν τοῦ Αὐγούστου ἔλαβον αὐτὸ ποιεῖν,*
*ὑπὸ δὲ δὴ τοῦ χρόνου ἀφῃρέθησαν.*

4 *ταῦτά τε οὖν καὶ τἆλλα ἃ τότε ἐνομοθέτησεν, ἔς τε τὸ συνέ-*
*δριον ἐν λευκώμασι γεγραμμένα προέθηκε πρὶν χρηματίσαι τι περὶ*
*αὐτῶν, καὶ τοῖς βουλευταῖς μεθ' ἑνὸς ἑτέρου ἐσελθοῦσιν ἀναγνῶναι*
*ἐπέτρεψεν, ὅπως ἄν τι μὴ ἀρέσῃ αὐτοῖς ἢ καὶ ἕτερόν τι βέλτιον*
2 *συμβουλεῦσαι δυνηθῶσιν εἴπωσιν. οὕτω γάρ που δημοκρατικὸς*
*ἠξίου εἶναι ὥστε τινὸς τῶν συστρατευσαμένων ποτὲ αὐτῷ συνηγο-*
*ρήματος παρ' αὐτοῦ δεηθέντος τὸ μὲν πρῶτον τῶν φίλων τινά,*
*ὡς καὶ ἐν ἀσχολίᾳ ὤν, συνειπεῖν αὐτῷ κελεῦσαι, ἔπειτ' ἐπειδὴ ἐκεῖ-*
*νος ὀργισθεὶς ἔφη "ἐγὼ μέντοι, ὁσάκις ἐπικουρίας χρείαν ἔσχες,*
*οὐκ ἄλλον τινὰ ἀντ' ἐμαυτοῦ σοι ἔπεμψα, ἀλλ' αὐτὸς πανταχοῦ*
*προεκινδύνευσά σου," ἔς τε τὸ δικαστήριον ἐσελθεῖν καὶ συνηγορῆσαί*

4 4 τε    5 *πάνυ ὀλίγα?*    4 1 1 ἃ om    3 *μεθ'*] ἑνὶ *μεθ'?*

οἱ. φίλῳ τέ τινι δίκην φεύγοντι συνεξητάσθη, προεπικοινώσας αὐτὸ 3
τοῦτο τῇ γερουσίᾳ· καὶ ἐκεῖνόν τε ἔσωσε, καὶ τὸν κατήγορον αὐτοῦ
οὐχ ὅπως δι' ὀργῆς ἔσχε καίπερ πάνυ πολλῇ παρρησίᾳ χρησάμενον,
ἀλλὰ καὶ εὐθυνόμενον ἐπὶ τοῖς τρόποις ἀφῆκεν, εἰπὼν ὅτι ἀναγκαία
σφίσιν ἡ παρρησία αὐτοῦ διὰ τὴν ἄντικρυς τῶν πολλῶν πονηρίαν
εἴη. ἄλλους γε μὴν ἐπιβουλεύειν οἱ μηνυθέντας ἐκόλασεν. καὶ τα- 4
μίας ἔν τε τῇ παραλίᾳ τῇ πρὸς τῇ πόλει καὶ ἐν ἑτέροις τισὶ τῆς
Ἰταλίας χωρίοις ἄρχειν ἐποίησεν· καὶ τοῦτο καὶ ἐπὶ πλείω ἔτη ἐγένετο.

ὅμως δ' οὖν τότε μὲν οὐκ ἠθέλησεν ἐς τὴν πόλιν διὰ τὸν τοῦ
Δρούσου θάνατον, ὥσπερ εἶπον, ἐσελθεῖν, τῷ δὲ ἑξῆς ἔτει, ἐν ᾧ 5
Ἀσίνιός τε Γάλλος καὶ Γάιος Μάρκιος ὑπάτευσαν, τήν τε ἄφιξιν a. u. 746
ἐποιήσατο καὶ τὴν δάφνην ἐς τοῦ Διὸς τοῦ φερετρίου παρὰ τὸ
νομιζόμενον ἐσήνεγκεν. καὶ αὐτὸς μὲν οὐδεμίαν ἐπὶ τούτοις ἑορτὴν 2
ἤγαγε, πολὺ πλεῖον ἐν τῷ τοῦ Δρούσου ὀλέθρῳ ἐζημιῶσθαι ἢ ἐν
ταῖς νίκαις ὠφελῆσθαι νομίζων· οἱ δὲ δὴ ὕπατοι τά τε ἄλλα ὅσα
ἐπὶ τοῖς τοιούτοις γίγνεται ἐποίησαν, καὶ ἐκ τῶν αἰχμαλώτων τινὰς
ἀλλήλοις συνέβαλον. καὶ μετὰ τοῦτο ὁ Αὔγουστος, αἰτιαθέντων 3
καὶ ἐκείνων καὶ τῶν ἄλλων ἀρχόντων ὡς ἐκ δεκασμοῦ τινὸς ἀπο-
δεδειγμένων, τοῦτο μὲν οὔτ' ἐξήλεγξεν οὔτ' ἀρχὴν προσεποιήσατο
εἰδέναι· οὔτε γὰρ κολάσαι τινὰς οὔτε αὖ συγγνῶναι ἐλεγχθεῖσιν
ἠθέλησεν· τοὺς δὲ δὴ σπουδαρχιῶντας χρήματα πρὸ τῶν ἀρχαιρε-
σιῶν ὥσπερ τι ἐνέχυρον προῄτησεν, ἐπὶ τῷ μηδὲν τοιοῦτον αὐτοὺς
ποιῆσαι ἢ στερηθῆναι τῶν δεδομένων. καὶ τοῦτο μὲν πάντες ἐπή- 4
νεσαν· ὅτι δ' οὐκ ἐξὸν ὂν δοῦλον κατὰ δεσπότου βασανισθῆναι
ἐκέλευσεν, ὁσάκις ἂν χρεία τοιούτου τινὸς γένηται, τῷ δημοσίῳ
αὐτὸν ἢ καὶ ἑαυτῷ πιπράσκεσθαι, ὅπως ἀλλότριος τοῦ κρινομένου
ὢν ἐξετάζηται, οἱ μὲν ᾐτιῶντο, ὅτι ὁ νόμος τῇ τοῦ δεσπότου μεταλ-
λαγῇ καταλύεσθαι ἔμελλεν, οἱ δ' ἀναγκαῖον αὐτὸ ἔφασκον εἶναι, ὅτι
πολλοὶ διὰ τοῦτο καὶ ἐπ' αὐτῷ ἐκείνῳ καὶ ἐπὶ ταῖς ἀρχαῖς συνίσταντο.

μετὰ δὲ δὴ ταῦτα τήν τε ἡγεμονίαν, καίπερ ἀφιείς, ὡς ἔλεγεν, 6
ἐπειδὴ τὰ δέκα ἔτη τὰ δεύτερα ἐξεληλύθει, ἄκων δῆθεν αὖθις
ὑπέστη, καὶ ἐπὶ τοὺς Κελτοὺς ἐστράτευσεν. καὶ αὐτὸς μὲν ἐν τῇ
οἰκείᾳ ὑπέμεινεν, ὁ δὲ δὴ Τιβέριος τὸν Ῥῆνον διέβη. φοβηθέντες 2
οὖν αὐτοὺς οἱ βάρβαροι πλὴν τῶν Συγάμβρων ἐπεκηρυκεύσαντο, καὶ
οὔτε τότε ἔτυχόν τινος (ὁ γὰρ Αὔγουστος οὐκ ἔφη σφίσιν ἄνευ ἐκεί-
νων σπείσεσθαι) οὔθ' ὕστερον. ἔπεμψαν μὲν γὰρ καὶ οἱ Σύγαμβροι
πρέσβεις, τοσούτου δὲ ἐδέησαν διαπράξασθαί τι ὥστε καὶ ἐκείνους 3
πάντας, καὶ πολλοὺς καὶ ἐλλογίμους ὄντας, προσαπολέσθαι· ὅ τε
γὰρ Αὔγουστος συλλαβὼν αὐτοὺς ἐς πόλεις τινὰς κατέθετο, καὶ
ἐκεῖνοι δυσανασχετήσαντες ἑαυτοὺς κατεχρήσαντο. κἀκ τούτου χρό-



Digitized by Google

νον μέν τινα ἡσύχασαν, ἔπειτα ἐπὶ πολλῷ τὸ πάθημά σφων τοῖς
4 Ῥωμαίοις ἀνταπέδοσαν. ὁ δ᾽ οὖν Αὔγουστος τοῦτό τε οὕτως ἐποίησε,
καὶ τοῖς στρατιώταις ἀργύριον, οὐχ ὡς καὶ κεκρατηκόσι, καίτοι τὸ
τοῦ αὐτοκράτορος ὄνομα καὶ αὐτὸς λαβὼν καὶ τῷ Τιβερίῳ δούς,
ἀλλ᾽ ὅτι τὸν Γάιον ἐν ταῖς γυμνασίαις τότε πρῶτον συνεξεταζόμενόν
5 σφισιν ἔσχον, ἐχαρίσατο. τὸν δ᾽ οὖν Τιβέριον ἐς τὴν τοῦ αὐτο-
κράτορος ἀρχὴν ἀντὶ τοῦ Δρούσου προαγαγὼν τῇ τε ἐπικλήσει
ἐκείνῃ ἐγαύρωσε καὶ ὕπατον αὖθις ἀπέδειξε, γράμματά τε κατὰ
τὸ ἀρχαῖον ἔθος, καὶ πρὶν ἐς τὴν ἀρχὴν ἐσελθεῖν, ἐκθεῖναι πρὸς
6 τὸ κοινὸν ἐποίησε, καὶ προσέτι καὶ τοῖς ἐπινικίοις ἐσέμνυνεν· αὐτὸς
γὰρ ἐκεῖνα μὲν οὐκ ἠθέλησε πέμψαι, ἐς δὲ δὴ τὰ γενέθλια ἱππο-
δρομίαν ἀίδιον ἔλαβεν. τά τε τοῦ πωμηρίου ὅρια ἐπηύξησε, καὶ
τὸν μῆνα τὸν Σεξτίλιον ἐπικαλούμενον Αὔγουστον ἀντωνόμασεν·
7 τῶν γὰρ ἄλλων τὸν Σεπτέμβριον οὕτως, ἐπειδή περ ἐν αὐτῷ ἐγε-
γέννητο, προσαγορεῦσαι ἐθελησάντων ἐκεῖνον αὐτὸς προετίμησεν, ὅτι
καὶ ὕπατος ἐν αὐτῷ τὸ πρῶτον ἀπεδέδεικτο καὶ μάχας πολλὰς καὶ
μεγάλας ἐνενικήκει.

7 ἐπὶ μὲν οὖν τούτοις ἐγαυροῦτο, τοῦ δὲ δὴ Μαικήνου τελευτή-
σαντος ἤλγησεν. πολλὰ μὲν γὰρ καὶ ἄλλα ἀπ᾽ αὐτοῦ ἀπώνητο,
ὅθεν καίπερ ἱππεῖ αὐτῷ ὄντι καὶ τὸ ἄστυ ἐπὶ πολὺν χρόνον ἐπέ-
τρεψε, μάλιστα δὲ ὁσάκις ἀκρατοτέρῳ τῷ θυμῷ ἐχρῆτο· τῆς τε
2 γὰρ ὀργῆς αὐτὸν ἀεὶ παρέλυε καὶ ἐς τὸ ἠπιώτερον μεθίστη. τεκμή-
ριον δέ, δικάζοντί ποτε αὐτῷ προσστάς, καὶ ἰδὼν ὅτι πολλοὺς θα-
νατώσειν μέλλοι, ἐπεχείρησε μὲν διώσασθαι τοὺς περιεστηκότας καὶ
ἐγγύς οἱ προσελθεῖν, μὴ δυνηθεὶς δὲ ἔγραψεν ἐς γραμματεῖον "ἀνά-
στηθι ἤδη ποτέ, δήμιε," καὶ αὐτὸ ὡς καὶ ἕτερόν τι ἔχον ἐς τὸν
κόλπον αὐτοῦ ἔρριψεν, ὥστ᾽ ἐκεῖνον μήτ᾽ ἀποκτεῖναί τινα καὶ εὐθὺς
3 ἐξαναστῆναι. οὐ γὰρ ὅπως ἠγανάκτει τοῖς τοιούτοις, ἀλλὰ καὶ
ἔχαιρεν ὅτι ὅσα αὐτὸς ὑπό τε τῆς ἑαυτοῦ φύσεως καὶ ὑπὸ τῆς τῶν
πραγμάτων ἀνάγκης καὶ παρὰ τὸ προσῆκον ἐθυμοῦτο, ταῦτα τῇ
4 τῶν φίλων παρρησίᾳ διωρθοῦτο. μέγιστον δ᾽ οὖν καὶ ἐκεῖνο τῆς
τοῦ Μαικήνου ἀρετῆς δεῖγμα ἦν, ὅτι τῷ τε Αὐγούστῳ, καίτοι
πρὸς τὰς ὁρμὰς αὐτοῦ ἀνθιστάμενος, ᾠκείωτο καὶ τοῖς ἄλλοις πᾶ-
σιν ἠρέσκετο, πλεῖστόν τε παρ᾽ αὐτῷ δυνηθείς, ὥστε πολλοῖς καὶ
τιμὰς καὶ ἀρχὰς δοῦναι, οὐκ ἐξεφρόνησεν ἀλλ᾽ ἐν τῷ τῶν ἱππέων
5 τέλει κατεβίω. τούτων τε οὖν ἕνεκα ἰσχυρῶς αὐτὸν ὁ Αὔγουστος
ἐπόθησε, καὶ ὅτι καὶ κληρονόμον αὐτόν, καίπερ ἐπὶ τῇ γυναικὶ
δυσκολαίνων, κατέλιπε, καὶ ἐπ᾽ αὐτῷ πλὴν ἐλαχίστων ἐποιήσατο

7 4 5 ἐν om

Digitized by Google

ἄν τέ τινι τῶν φίλων αὐτοῦ δοῦναί τι ἐθελήσῃ ἄντε καὶ μή. τοιοῦτος
μὲν ὁ Μαικήνας ἐγένετο, καὶ οὕτω τῷ Αὐγούστῳ ἐχρῆτο· πρῶτός 6
τε κολυμβήθραν θερμοῦ ὕδατος ἐν τῇ πόλει κατεσκεύασε, καὶ πρῶ-
τος σημεῖά τινα γραμμάτων πρὸς τάχος ἐξεῦρε, καὶ αὐτὰ δι' Ἀκύ-
λου ἀπελευθέρου συχνοὺς ἐξεδίδαξεν.

Τιβέριος δὲ ἐν τῇ νουμηνίᾳ ἐν ᾗ ὑπατεύειν μετὰ Γναίου Πί- 8
σωνος ἤρξατο, ἔς τε τὸ Ὀκτάβειον τὴν βουλὴν ἤθροισε διὰ τὸ ἔξω a. u. 747
τοῦ πωμηρίου αὐτὸ εἶναι, καὶ τὸ ὁμονόειον αὐτὸς ἑαυτῷ ἐπισκευά- 2
σαι προστάξας, ὅπως τό τε ἴδιον καὶ τὸ τοῦ Δρούσου ὄνομα αὐτῷ
ἐπιγράψῃ, τά τε νικητήρια ἤγαγε καὶ τὸ τεμένισμα τὸ Λίβιον ὠνο-
μασμένον καθιέρωσε μετὰ τῆς μητρός· καὶ αὐτὸς μὲν τὴν γερουσίαν
ἐν τῷ Καπιτωλίῳ, ἐκείνη δὲ τὰς γυναῖκας ἰδίᾳ που εἱστίασεν. καὶ 3
οὐ πολλῷ ὕστερον κινηθέντων τινῶν ἐν τῇ Γερμανίᾳ ἐξωρμήθη·
τὴν δὲ δὴ πανήγυριν τὴν ὑπὲρ τῆς ἐπανόδου τοῦ Αὐγούστου γε-
νομένην ὁ Γάιος ἀντ' αὐτοῦ σὺν τῷ Πίσωνι διέθηκεν. τό τε πεδίον
τὸ Ἀγρίππειον, πλὴν τῆς στοᾶς, καὶ τὸ διριβιτώριον αὐτὸς ὁ Αὔ-
γουστος ἐδημοσίευσεν. τοῦτο μὲν γάρ (ἦν δὲ οἶκος μέγιστος τῶν 4
πώποτε μίαν ὀροφὴν σχόντων· νῦν γὰρ δὴ πάσης τῆς στέγης αὐτοῦ
καθαιρεθείσης, ὅτι οὐκ ἠδυνήθη αὖθις συστῆναι, ἀχανής ἐστιν) ὅ
τε Ἀγρίππας οἰκοδομούμενον κατέλιπε, καὶ τότε συνετελέσθη· ἡ δὲ
ἐν τῷ πεδίῳ στοά, ἣν ἡ Πῶλα ἡ ἀδελφὴ αὐτοῦ ἡ καὶ τοὺς δρό-
μους διακοσμήσασα ἐποίει, οὐδέπω ἐξείργαστο. κἀν τούτῳ καὶ 5
ἐπιτάφιοι ἐπὶ τῷ Ἀγρίππᾳ ὁπλομαχίαι, φαιὰν ἐσθῆτα τῶν τε ἄλλων
πλὴν τοῦ Αὐγούστου καὶ αὐτῶν τῶν υἱέων αὐτοῦ λαβόντων, καὶ
ἑνὸς πρὸς ἕνα καὶ πλειόνων πρὸς ἴσους, ἐν τοῖς σέπτοις διά τε τὴν
πρὸς τὸν Ἀγρίππαν τιμὴν καὶ διὰ τὸ πολλὰ τῶν περὶ τὴν ἀγορὰν
οἰκοδομημάτων κεκαῦσθαι, ἐγένοντο. καὶ τὸ μὲν τοῦ πυρὸς αἴτιον 6
ἐς τοὺς χρεωφειλέτας ἀνεφέρετο, ὡς καὶ ἐπίτηδες αὐτὸ παρασκευά-
σαντας ἵν' ἀποκόψωσί τι τῶν χρεῶν, συχνὰ δόξαντες ἐζημιῶσθαι·
ἔτυχον δὲ ἐκεῖνοι μὲν οὐδενός, οἱ δὲ δὴ στενωποὶ ἐπιμελητῶν τινῶν
ἐκ τοῦ δήμου, οὓς καὶ στενωπάρχους καλοῦμεν· καί σφισι καὶ τῇ 7
ἐσθῆτι τῇ ἀρχικῇ καὶ ῥαβδούχοις δύο, ἐν αὐτοῖς τοῖς χωρίοις ὧν
ἂν ἄρχωσιν, ἡμέραις τισὶ χρῆσθαι ἐδόθη, ἥ τε δουλεία ἡ τοῖς
ἀγορανόμοις τῶν ἐμπιπραμένων ἕνεκα συνοῦσα ἐπετράπη, καίτοι
καὶ ἐκείνων καὶ τῶν δημάρχων τῶν τε στρατηγῶν πᾶσαν τὴν πό-
λιν, δεκατέσσαρα μέρη νεμηθεῖσαν, κλήρῳ προσταχθέντων· ὃ καὶ
νῦν γίγνεται.

τοσαῦτα μὲν ἐν τῷ ἔτει τούτῳ ἐπράχθη· ἐν γὰρ δὴ τῇ Γερ- 9
μανίᾳ οὐδὲν ἄξιον μνήμης συνέβη· τῷ δὲ ὑστέρῳ, ἐν ᾧ Γάιός τε a. u. 748
Ἀντίστιος καὶ Λαίλιος Βάλβος ὑπάτευσαν, ἰδὼν ὁ Αὔγουστος τόν



Digitized by Google

τε Γάιον καὶ τὸν Λούκιον αὐτούς τε μὴ πάνυ, οἷα ἐν ἡγεμονίᾳ
τρεφομένους, τὰ ἑαυτοῦ ἤθη ζηλοῦντας (οὐ γὰρ ὅτι ἁβρότερον
διῆγον, ἀλλὰ καὶ ἐθρασύνοντο· ἐς γοῦν τὸ θέατρόν ποτε καθ᾽ ἑαυ-
2 τὸν ὁ Λούκιος ἐσῆλθεν) καὶ πρὸς πάντων τῶν ἐν τῇ πόλει, τὰ μὲν
γνώμῃ τὰ δὲ θεραπείᾳ, κολακευομένους κἀκ τούτου ἔτι καὶ μᾶλλον
θρυπτομένους (τά τε γὰρ ἄλλα καὶ ὕπατον τὸν Γάιον μηδ᾽ ἐς ἐφή-
βους πω τελοῦντα προεχειρίσαντο) ἠγανάκτησε, καὶ προσεπηύξατο
μηδεμίαν τοιαύτην καιρῶν ἀνάγκην ὁποία ποτὲ αὐτὸν κατέλαβε γε-
3 νέσθαι, ὥστε τινὰ νεώτερον εἰκοσιετοῦς ὑπατεῦσαι. ἐπειδή τε καὶ
ὣς ἐνέκειντό οἱ, τότε ἔφη χρῆναί τινα τὴν ἀρχὴν ταύτην λαμβάνειν,
ὅταν μήτε τι αὐτὸς ἁμαρτάνειν καὶ ταῖς τοῦ δήμου σπουδαῖς ἀν-
4 θίστασθαι δύνηται. καὶ μετὰ τοῦθ᾽ ἱερωσύνην μέν τινα αὐτῷ καὶ
τὴν ἐς τὸ συνέδριον συμφοίτησιν τό τε συνθεᾶσθαι καὶ τὸ συνε-
στιᾶσθαι τῇ βουλῇ ἔδωκεν· βουληθεὶς δὲ δὴ τρόπον τινὰ μᾶλλον
αὐτοὺς σωφρονίσαι, τῷ Τιβερίῳ τήν τε ἐξουσίαν τὴν δημαρχικὴν
ἐς πέντε ἔτη ἔνειμε καὶ τὴν Ἀρμενίαν ἀλλοτριουμένην προσῆξεν.
5 συνέβη δ᾽ αὐτῷ καὶ ἐκείνοις καὶ τῷ Τιβερίῳ προσκροῦσαι μάτην,
τοῖς μὲν ὅτι παρεωρᾶσθαι ἔδοξαν, τῷ δὲ ὅτι τὴν ὀργὴν αὐτῶν
ἐφοβήθη. ἀμέλει καὶ ἐς Ῥόδον ὡς καὶ παιδεύσεώς τινος δεόμενος
ἐστάλη, μήτ᾽ ἄλλους τινὰς μήτε τὴν θεραπείαν πᾶσαν ἐπαγόμενος,
6 ἵν᾽ ἐκποδὼν σφισι καὶ τῇ ὄψει καὶ τοῖς ἔργοις γένηται. καὶ τήν
τε ὁδὸν ἰδιωτικῶς ἐποιήσατο, πλὴν καθ᾽ ὅσον τοὺς Παρίους τὸ
τῆς Ἑστίας ἄγαλμα πωλῆσαί οἱ ἠνάγκασεν, ὅπως ἐν τῷ ὁμονοείῳ
ἱδρυθῇ· καὶ ἐς τὴν νῆσον ἐλθὼν οὐδὲν ὀγκηρὸν οὔτε ἔπραττεν οὔτε
7 ἔλεγεν. ἡ μὲν οὖν ἀληθεστάτη αἰτία τῆς ἐκδημίας αὐτοῦ τοιάδε
ἐστίν, λόγον δέ τινα ἔχει καὶ διὰ τὴν γυναῖκα τὴν Ἰουλίαν, ὅτι μη-
κέτ᾽ αὐτὴν φέρειν ἐδύνατο, τοῦτο ποιῆσαι· κατέλιπε γοῦν αὐτὴν ἐν
τῇ Ῥώμῃ. οἱ δὲ ἔφασαν χαλεπῆναι αὐτὸν ὅτι μὴ καὶ Καῖσαρ
ἀπεδείχθη, οἱ δὲ ὑπ᾽ αὐτοῦ τοῦ Αὐγούστου ὡς καὶ τοῖς παισὶν
8 αὐτοῦ ἐπιβουλεύοντα ἐκβληθῆναι. ὅτι μὲν γὰρ οὔτε παιδείας ἕνεκα
οὔτ᾽ ἀβουλήσας τὰ δεδογμένα ἀπεδήμησε, δῆλον ἔκ τε τῶν ἄλλων

9 1 4 Λ. τοὺς ἐγγόνους αὐτοῦ, οὓς καὶ υἱοθετήσατο, Zon. p. 421. 2 2 κολακευόμενος* 3 θρυπτομένος* 4 προεχειρίσατο 4 5 ἀλλοτρ. μετὰ τὸν τοῦ Τιγράνου θάνατον Zon. προσέταξεν? προσεκλήρωσεν Zon. 6 1 post γένηται Zon. τῷ δ᾽ ἐφεξῆς ἔτει δωδέκατον ὑπατεύων ὁ Αὔγουστος εἰς τοὺς ἐφήβους τὸν Γάιον ἔταξε καὶ ἐς τὸ βουλευτήριον ἅμα εἰσήγαγε καὶ πρόκριτον ἀπέφηνε τῆς νεότητος ἴλαρχόν τε φυλῆς γενέσθαι ἐπέτρεψε. καὶ μετ᾽ ἐνιαυτὸν καὶ ὁ Λούκιος τὰς τιμὰς ὅσαι τῷ Γαΐῳ τῷ ἀδελφῷ αὐτοῦ ἐδέδοντο ἔλαβεν. ἀθροισθέντος δὲ τοῦ δήμου καὶ ἐπανορθωθῆναί τινα ἀξιοῦντος καὶ τοὺς δημάρχους διὰ τοῦτο πρὸς τὸν Αὔγουστον πέμψαντος, ἦλθεν ἐκεῖνος καὶ περὶ ὧν ἐδέοντο σφίσι συνδιεσκέψατο· καὶ ἐπὶ τούτῳ ἥσθησαν ἅπαντες. καὶ — 7 2 ἐστίν] haec V habet p. 662. 7 4 οἱ δὲ — 8 5 ἐνεδέχετο V ib.

Digitized by Google

ῶν μετὰ ταῦτα ἔπραξε, καὶ ἐκ τοῦ τὰς διαθήκας αὐτὸν εὐθὺς τότε
καὶ λῦσαι καὶ τῇ μητρὶ τῷ τε Αὐγούστῳ ἀναγνῶναι, ἐγένετο· κα-
τεικάζετο δὲ πάνθ᾽ ὅσα ἐνεδέχετο.

...ὁ δὲ Αὔγουστος τὸ τοῦ δήμου τοῦ σιτοδοτουμένου πλῆθος 10
ἀόριστον ὂν ἐς εἴκοσι μυριάδας κατέκλεισε, καὶ ὥς γέ τινες λέγουσι, a. u. 752
καθ᾽ ἕνα ἑξήκοντα δραχμὰς ἔδωκεν.
...ρει, ἑαυτὸν δὲ καὶ τοὺς ἐγγόνους, ὁσάκις ἂν ἐθελήσωσι, τούς τε 2
ἐκ τῶν παίδων ἐξιόντας καὶ ἐς τοὺς ἐφήβους ἐγγραφομένους ἐκεῖσε
πάντως ἀφικνεῖσθαι, καὶ τοὺς ἐπὶ τὰς ἀρχὰς τὰς ἐκδήμους στελλο-
μένους ἐκεῖθεν ἀφορμᾶσθαι, τάς τε γνώμας τὰς περὶ τῶν νικητη- 3
ρίων ἐκεῖ τὴν βουλὴν ποιεῖσθαι, καὶ τοὺς πέμψαντας αὐτὰ τῷ
Ἄρει τούτῳ καὶ τὸ σκῆπτρον καὶ τὸν στέφανον ἀνατιθέναι, καὶ
ἐκείνους τε καὶ τοὺς ἄλλους τοὺς τὰς ἐπινικίους τιμὰς λαμβάνοντας
ἐν τῇ ἀγορᾷ χαλκοῦς ἵστασθαι, ἄν τέ ποτε σημεῖα στρατιωτικὰ ἐς 4
πολεμίους ἁλόντα ἀνακομισθῇ, ἐς τὸν ναὸν αὐτὰ τίθεσθαι, καὶ
πανήγυρίν τινα πρὸς τοῖς ἀναβασμοῖς αὐτοῦ ὑπὸ τῶν ἀεὶ ἰλαρχούν-
των ποιεῖσθαι, ἧλόν τε αὐτῷ ὑπὸ τῶν τιμητευσάντων προσπήγνυ-
σθαι, καὶ τήν τε παράσχεσιν τῶν ἵππων τῶν ἐς τὴν ἱπποδρομίαν 5
ἀγωνιουμένων καὶ τὴν τοῦ ναοῦ φυλακὴν καὶ βουλευταῖς ἐργολαβεῖν
ἐξεῖναι, καθάπερ ἐπί τε τοῦ Ἀπόλλωνος καὶ ἐπὶ τοῦ Διὸς τοῦ
Καπιτωλίου ἐνενομοθέτητο. ἐπὶ μὲν τούτοις τὸ μέγαρον ἐκεῖνο ὁ 6
Αὔγουστος ἐθείωσε, καίτοι τῷ Γαΐῳ καὶ τῷ Λουκίῳ πάντα καθά-
παξ τὰ τοιαῦτα ἱεροῦν ἐπιτρέψας ὑπατικῇ τινὶ ἀρχῇ κατὰ τὸ πα-
λαιὸν χρωμένοις. καὶ τήν γε ἱπποδρομίαν αὐτοὶ τότε διέθεσαν,
τήν τε Τροίαν καλουμένην οἱ παῖδες οἱ πρῶτοι μετὰ τοῦ Ἀγρίππου
τοῦ ἀδελφοῦ αὐτῶν ἵππευσαν. καὶ λέοντες ἑξήκοντα καὶ διακόσιοι 7
ἐν τῷ ἱπποδρόμῳ ἐσφάγησαν. ὁπλομαχία τε ἐν τοῖς σέπτοις καὶ
ναυμαχία ἐν τῷ χωρίῳ ἐν ᾧ καὶ νῦν ἔτι σημεῖά τινα αὐτῆς δεί-
κνυται Περσῶν καὶ Ἀθηναίων ἐποιήθη· ταῦτα γὰρ τὰ ὀνόματα
τοῖς ναυμαχοῦσιν ἐτέθη, καὶ ἐνίκων καὶ τότε οἱ Ἀθηναῖοι. καὶ 8
μετὰ τοῦτο ἔς τε τὸν Φλαμίνιον ἱππόδρομον ὕδωρ ἐσήχθη, καὶ
ἐν αὐτῷ κροκόδειλοι ἓξ καὶ τριάκοντα κατεκόπησαν. οὐ μέντοι καὶ
διὰ πασῶν τῶν ἡμερῶν τούτων ὁ Αὔγουστος ὑπάτευσεν, ἀλλ᾽ ἐπ᾽
ὀλίγον ἄρξας ἄλλῳ τὸ ὄνομα τῆς ὑπατείας ἔδωκεν.

7 7 δὲ om V, cui γοῦν legendum videtur. an δ᾽ οὖν? 10 2 1 ρει — 12 2 Ἰουλίαν] haec solus dedit codex Venetus 395: ceteri enim θέας τε ποιῶν ἐς τὸν Φλαμίνιον ἱππόδρομον ὕδωρ ἐσήγαγε, καὶ ἐν αὐτῷ ἓξ καὶ τριάκοντα κροκόδειλοι κατεκόπησαν. τότε δὲ πρῶτον καὶ ἐπάρχους τῶν δορυφόρων δύο ἀπέδειξεν· οὕτω γάρ τοι αὐτοὺς καὶ ἐγὼ μόνους τῶν ἐπαρχόντων τινός, ἐπειδήπερ ἐκνενίκηκεν, ὀνομάζω. τὴν μέντοι Ἰουλίαν ρει] Ἄρει? 7 1 αὐτοῦ 8 5 ὀλίγων

Digitized by Google

9 τῷ μὲν οὖν Ἄρει ταῦτ' ἐγένετο, αὐτῷ δὲ δὴ Αὐγούστῳ ἀγών
τε ἱερὸς ἐν Νέᾳ πόλει τῇ Καμπανίδι, λόγῳ μὲν ὅτι κακωθεῖσαν
αὐτὴν καὶ ὑπὸ σεισμοῦ καὶ ὑπὸ πυρὸς ἀνέλαβεν, τὸ δ' ἀληθὲς
ἐπειδὴ τὰ τῶν Ἑλλήνων μόνοι τῶν προσχώρων τρόπον τινὰ ἐζήλουν,
10 ἐψηφίσθη. καὶ ἡ ἐπωνυμία ἡ τοῦ πατρὸς ἀκριβῶς ἐδόθη· πρό-
τερον γὰρ ἄλλως ἄνευ ψηφίσματος ἐπεφημίζετο.* καὶ μέντοι καὶ
ἐπάρχους τῶν δορυφόρων τότε πρῶτον Κύιντόν τε Ὀστώριον Σκα-
πούλαν καὶ Πούπλιον Σάλουιον Ἄπρον ἀπέδειξεν· οὕτω γάρ τοι αὐ-
τοὺς καὶ ἐγὼ μόνους τῶν ἐπαρχόντων τινός, ἐπειδή περ ἐκνενίκηκεν,
11 ὀνομάζω. ἐποίησε μὲν οὖν καὶ ὁ Πυλάδης ὁ ὀρχηστὴς πανήγυρίν
τινα, οὐκ αὐτὸς χειρουργήσας ἅτε ὑπεργήρως ὤν, ἀλλὰ τῇ τε σκευῇ
τῇ ἀρχικῇ καὶ τοῖς ἀναλώμασιν, ἐποίησε δὲ καὶ Κύιντος Κρισπῖνος
στρατηγός. λέγω δὲ οὐ τοῦτο ἀλλ' ὅτι ἄνδρες τε ἱππεῖς καὶ γυ-
12 ναῖκες οὐκ ἀφανεῖς ἐς τὴν ὀρχήστραν ἐπ' αὐτοῦ ἐσήχθησαν. ἀλλὰ
ταῦτα μὲν ἐν οὐδενὶ λόγῳ ὁ Αὔγουστος ἐτίθετο, τὴν δὲ δὴ Ἰουλίαν
τὴν θυγατέρα ἀσελγαίνουσαν οὕτως ὥστε καὶ ἐν τῇ ἀγορᾷ καὶ ἐπ'
αὐτοῦ γε τοῦ βήματος καὶ κωμάζειν νύκτωρ καὶ συμπίνειν ὀψὲ δή
13 ποτε φωράσας ὑπερωργίσθη. κατείκαζε μὲν γὰρ καὶ πρότερον οὐκ
ὀρθῶς βιοῦν αὐτήν, οὐ μέντοι καὶ ἐπίστευεν· οἱ γάρ τοι τὰς ἡγε-
μονίας ἔχοντες πάντα μᾶλλον ἢ τὰ σφέτερα γινώσκουσι, καὶ οὔτ'
αὐτοὶ τοὺς συνόντας ὧν ποιοῦσι λανθάνουσιν οὔτε τὰ ἐκείνων ἀκρι-
14 βοῦσιν. τότε δ' οὖν μαθὼν τὰ πραττόμενα τοσούτῳ θυμῷ ἐχρή-
σατο ὥστε μηδ' οἴκοι αὐτὰ κατασχεῖν ἀλλὰ καὶ τῇ γερουσίᾳ κοι-
νῶσαι. κἀκ τούτου ἐκείνη μὲν ἐς Πανδατερίαν τὴν πρὸς Καμπανίᾳ
νῆσον ὑπερωρίσθη, καὶ αὐτῇ καὶ ἡ Σκριβωνία ἡ μήτηρ ἑκοῦσα
15 συνεξέπλευσεν· τῶν δὲ δὴ χρησαμένων αὐτῇ ὁ μὲν Ἴουλος ὁ Ἀν-
τώνιος, ὡς καὶ ἐπὶ τῇ μοναρχίᾳ τοῦτο πράξας, ἀπέθανε μετ' ἄλλων
τινῶν ἐπιφανῶν ἀνδρῶν, οἱ δὲ λοιποὶ ἐς νήσους ὑπερωρίσθησαν.
καὶ ἐπειδὴ καὶ δήμαρχός τις ἐν αὐτοῖς ἦν, οὐ πρότερον πρὶν διάρξαι
ἐκρίθη. πολλῶν δὲ καὶ ἄλλων γυναικῶν ἐφ' ὁμοίοις τισὶν αἰτίαν
16 λαβουσῶν οὐ πάσας τὰς δίκας ἐδέξατο, ἀλλὰ καὶ χρόνον τινὰ ἀφώ-
ρισεν ὥστε τὰ πρὸ ἐκείνου πραχθέντα μὴ πολυπραγμονεῖσθαι. ἐπὶ
γὰρ τῆς θυγατρὸς μηδὲν μετριάσας, ἀλλὰ καὶ φήσας ὅτι Φοίβης
πατὴρ μᾶλλον ἢ ἐκείνης γεγονέναι ἤθελε, τῶν ἄλλων ἐφείδετο. ἡ
δὲ δὴ Φοίβη ἐξελευθέρα τε τῆς Ἰουλίας καὶ συνεργὸς οὖσα προα-
πέθανεν ἑκουσία, διόπερ καὶ ὁ Αὔγουστος αὐτὴν ἐπῄνεσε.

10a ...ἑτέρους ἐκ τῆς Αἰγύπτου ἐπιστρατεύσαντάς σφισιν ἀπεώ-

13 4 ὧν] cf. 57 1 2 κατάδηλον ὧν φρονεῖ. 14 2 αὐτὸν 15 1 ὁ ante Ἀ. om* 4 πλὴν διαρπάσαι c. 10a et ipsum Venetus ille dedit. ceteri: ὁ δὲ δὴ Φραάτης ὕστερον κατηλλάγη ἐπὶ τῷ τῆς Ἀρμενίας

Digitized by Google

σαντο, οὐ πρότερόν τε ἐνέδοσαν πρὶν χιλίαρχόν τινα ἐκ τοῦ δορυφορικοῦ ἐπ᾽ αὐτοὺς πεμφθῆναι. καὶ ἐκεῖνος δὲ ἐν χρόνῳ τὰς καταδρομὰς αὐτῶν ἐπέσχεν, ὥστε ἐπὶ πολὺ μηδένα βουλευτὴν τῶν ταύτῃ πόλεων ἄρξαι.

ταῦτά τε οὖν ἅμα καὶ τὰ τῶν Κελτῶν ἐκαινώθη. ὁ γὰρ Δο- 2
μίτιος πρότερον μέν, ἕως ἔτι τῶν πρὸς τῷ Ἴστρῳ χωρίων ἦρχε, τούς τε Ἑρμουνδούρους ἐκ τῆς οἰκείας οὐκ οἶδ᾽ ὅπως ἐξαναστάντας καὶ κατὰ ζήτησιν ἑτέρας γῆς πλανωμένους ὑπολαβὼν ἐν μέρει τῆς Μαρκομαννίδος κατῴκισε, καὶ τὸν Ἀλβίαν μηδενός οἱ ἐναντιουμένου διαβὰς φιλίαν τε τοῖς ἐκείνῃ βαρβάροις συνέθετο καὶ βωμὸν ἐπ᾽ αὐτοῦ τῷ Αὐγούστῳ ἱδρύσατο. τότε δὲ πρός τε τὸν Ῥῆνον μετελ- 3
θών, καὶ ἐκπεσόντας τινὰς Χερούσκων καταγαγεῖν δι᾽ ἑτέρων ἐθελήσας, ἐδυστύχησε καὶ καταφρονῆσαί σφων καὶ τοὺς ἄλλους βαρβάρους ἐποίησεν. οὐ μέντοι καὶ πλέον τι τῷ ἔτει ἐκείνῳ ὑπ᾽ αὐτοῦ

ἀποστῆναι, ἐπειδὴ τόν τε Γάιον ἐν τῇ Συρίᾳ παρόντα ἔμαθε καὶ τὰ οἰκεῖα ταραττόμενα μίσει αὐτοῦ ὑπετόπασεν. συνέβη δὲ εὐθὺς μετὰ ταῦτα καὶ τὸν Τιβέριον ἐκ Ῥόδου ἐς τὴν Ῥώμην ἀφικέσθαι, Λουκίου καὶ Γαΐου τελευτησάντων. 3 4 οὐ μέντοι] ὅτι Γάιος τὰ στρατόπεδα τὰ πρὸς τῷ Ἴστρῳ εἰρηνικῶς ἐπῄει· πόλεμον γὰρ οὐδένα ἐπολέμησεν, οὐχ ὅτι οὐκ ἐγένετο, ἀλλ᾽ ὅτι ἐκεῖνος μὲν ἔν τε ἡσυχίᾳ καὶ ἀσφαλείᾳ ἄρχειν ἐμάνθανεν, οἱ δὲ δὴ κίνδυνοι ἄλλοις προσετάσσοντο. V p. 665. τῶν Ἀρμενίων δὲ νεωτερισάντων καὶ τῶν Πάρθων αὐτοῖς συνεργούντων ἀλγῶν ἐπὶ τούτοις ὁ Αὔγουστος ἠπόρει τί ἂν πράξῃ· οὔτε γὰρ αὐτὸς στρατεῦσαι οἷός τε ἦν διὰ γῆρας, ὅ τε Τιβέριος, ὡς εἴρηται, μετέστη ἤδη, ἄλλον δέ τινα πέμψαι τῶν δυνατῶν οὐκ ἐτόλμα, ὁ Γάιος δὲ καὶ ὁ Λούκιος νέοι καὶ πραγμάτων ἐτύγχανον ἄπειροι. ἀνάγκης δ᾽ ἐπικειμένης τὸν Γάιον εἵλετο, καὶ τήν τε ἐξουσίαν αὐτῷ τὴν ἀνθύπατον καὶ γυναῖκα ἔδωκεν, ἵνα κἀκ τούτου τι προσλάβῃ ἀξίωμα, καί οἱ καὶ συμβούλους προσέταξε. καὶ ὁ μὲν ἀφωρμήθη ἐντίμως παρὰ πάντων ὑποδεχόμενος οἷα τοῦ αὐτοκράτορος ἔγγονος ἢ καὶ παῖς νομιζόμενος, καὶ ὁ Τιβέριος δ᾽ ἐς Χίον ἐλθὼν αὐτὸν ἐθεράπευσε, τὰς ὑποψίας ἀποτριβόμενος, ὑποπίπτων τε διὰ τοῦτο καὶ ταπεινούμενος· ἀπελθὼν δὲ εἰς τὴν Συρίαν καὶ μηδὲν μέγα κατωρθωκὼς ἐτρώθη. Ἄδδων γάρ (6 2) Zon. p. 422. τοῦ δὲ Γαΐου σταλέντος ἐς τὸν πρὸς Ἀρμενίους πόλεμον, ὁ Τιβέριος ἐς Χίον ἐλθὼν αὐτὸν ἐθεράπευσεν· ἐταπείνου τε γὰρ ἑαυτὸν καὶ ὑπέπιπτεν οὐχ ὅτι τῷ Γαΐῳ, ἀλλὰ καὶ τοῖς μετ᾽ αὐτοῦ οὖσιν. Xiph. p. 80. ὅτι ὡς ἐπύθοντο οἱ βάρβαροι τὴν ἐπιστρατείαν τοῦ Γαΐου, Φραάτης ἔπεμψε πρὸς τὸν Αὔγουστον, ὑπὲρ τῶν γεγονότων ἀπολογούμενος καὶ τοὺς ἀδελφοὺς ἐπὶ εἰρήνῃ ἀπαιτῶν· καὶ αὐτῷ ἐκεῖνος Φραάτῃ, ἄνευ τῆς τοῦ βασιλέως ἐπικλήσεως, ἀντεπιστείλας, τό τε ὄνομα τὸ βασιλικὸν καταθέσθαι καὶ τῆς Ἀρμενίας ἀποστῆναι προσέταξεν. ἐφ᾽ ᾧ δὴ ὁ Πάρθος οὐχ ὅσον οὐ κατέπτηξεν, ἀλλὰ καὶ ἀντέγραψέν οἱ τά τε ἄλλα ὑπερφρόνως, καὶ αὐτὸν μὲν βασιλέα βασιλέων ἐκεῖνον δὲ Καίσαρα μόνον ὀνομάσας. ὁ δὲ δὴ Τιγράνης εὐθὺς μὲν οὐκ ἐπρεσβεύσατο, τοῦ δὲ Ἀρταβάζου νόσῳ ὕστερον τελευτήσαντος δῶρά τε τῷ Αὐγούστῳ, ὡς καὶ τοῦ ἀντιπάλου ὑπεξῃρημένου οἱ, ἔπεμψε, τὸ τοῦ βασιλέως ὄνομα ἐς τὴν ἐπιστολὴν μὴ ἐγγράψας, καὶ τὴν βασιλείαν δῆθεν παρ᾽ αὐτοῦ ᾔτησεν. τούτοις οὖν ὑπαχθεὶς καὶ τὸν πόλεμον ἅμα τῶν Πάρθων φοβηθεὶς τά τε δῶρα ἐδέξατο, καὶ μετ᾽ ἐλπίδων αὐτὸν χρηστῶν ἐς τὴν Συρίαν πρὸς τὸν Γάιον ἐλθεῖν ἐκέλευσεν. U p. 390.

Digitized by Google

ἐπράχθη· διὰ γὰρ τὸν Παρθικὸν πόλεμον ὑπόγυιον ὄντα οὐδεμία
αὐτῶν ἐπιστροφὴ τότε ἐγένετο.
4 οὐ μὴν οὐδὲ τοῖς Πάρθοις ἐπολεμήθη. ὁ γὰρ Φρατάκης τὸν
Γάιον ἔν τε τῇ Συρίᾳ ὄντα ὑπατεύοντα ἀκούσας, καὶ προσέτι καὶ
τὰ οἰκεῖα μηδὲ πρότερον εὐνοϊκῶς οἱ ἔχοντα ὑποτοπήσας, προκα-
τηλλάγη ἐπὶ τῷ αὐτός τε τῆς Ἀρμενίας ἀποστῆναι καὶ τοὺς ἀδελ-
5 φοὺς αὐτοῦ πέραν θαλάσσης εἶναι. οἵ γε μὴν Ἀρμένιοι, καίπερ
τοῦ τε Τιγράνου ἐκ πολέμου τινὸς βαρβαρικοῦ φθαρέντος καὶ τῆς
Ἐρατοῦς τὴν ἀρχὴν ἀφείσης, ὅμως ἐπειδὴ Ἀριοβαρζάνῃ τινὶ Μήδῳ,
ὅς ποτε μετὰ τοῦ Τηριδάτου πρὸς τοὺς Ῥωμαίους ἀφῖκτο, παρε-
a.C. 2 δίδοντο, ἐπολέμησάν σφισι τῷ ἑτέρῳ ἔτει, ἐν ᾧ Πούπλιός τε Οὐινί-
6 κιος καὶ Πούπλιος Οὗαρος ὑπάτευσαν. καὶ ἄλλο μὲν οὐδὲν ἔδρασαν,
a.C. 3 Ἄδδων δέ τις τὰ Ἀρτάγειρα κατέχων ὑπηγάγετο τὸν Γάιον ὑπὸ τὸ
τεῖχος ὡς καὶ τῶν τοῦ Πάρθου τι ἀπορρήτων αὐτῷ φράσων, καὶ
ἔτρωσεν αὐτόν, κἀκ τούτου πολιορκηθεὶς ἐπὶ πλεῖστον ἀντέσχεν.
7 ἁλόντος δ' οὖν ποτὲ αὐτοῦ τό τε ὄνομα τὸ τοῦ αὐτοκράτορος οὐχ
ὁ Αὔγουστος μόνον ἀλλὰ καὶ ὁ Γάιος ἐπέθετο, καὶ τὴν Ἀρμενίαν
τότε μὲν ὁ Ἀριοβαρζάνης, ἀποθανόντος δὲ αὐτοῦ οὐ πολλῷ ὕστερον
Ἀρταβάζης ὁ υἱὸς παρά τε τοῦ Αὐγούστου καὶ παρὰ τῆς βουλῆς
8 ἔλαβεν. ὁ δ' οὖν Γάιος ἐκ τοῦ τραύματος ἠρρώστησε, καὶ ἐπειδὴ
μηδ' ἄλλως ὑγιεινὸς ἦν, ὑφ' οὗπερ καὶ τὴν διάνοιαν ἐξελέλυτο,
πολλῷ μᾶλλον ἀπημβλύνθη. καὶ τέλος ἰδιωτεύειν τε ἠξίου καὶ ἐν
τῇ Συρίᾳ που καταμεῖναι ἤθελεν, ὥστε τὸν Αὔγουστον περιαλγή-
σαντα τῇ τε γερουσίᾳ τὸ βούλημα αὐτοῦ κοινῶσαι καὶ ἐκεῖνον ἐς
γοῦν τὴν Ἰταλίαν ἐλθόντα πράττειν ὅ τι βούλοιτο προτρέψασθαι.
9 πάντ' οὖν εὐθὺς τὰ τῆς ἀρχῆς ἀφεὶς ἐς Λυκίαν ἐν ὁλκάδι παρέ-
a.C. 4 πλευσε, κἀνταῦθα ἐν Λιμύροις μετήλλαξεν. πρὶν δὲ ἢ τελευτῆσαι
a.C. 2 αὐτὸν ὁ Λούκιος ἐν Μασσαλίᾳ προαπέσβη· πολλαχῇ γάρ τοι καὶ
ἐκεῖνος ἄλλοτε ἄλλῃ πεμπόμενος ἠσκεῖτο, καὶ τάς γε τοῦ Γαΐου
10 ἐπιστολὰς αὐτὸς ἐν τῇ βουλῇ, ὁσάκις ἂν παρείη, ἀνεγίνωσκεν. ἀπέ-
θανε δὲ ἐξαίφνης νοσήσας, ὥστε ἐπ' ἀμφοτέροις σφίσι τὴν Λιουίαν,
ἄλλως τε καὶ ὅτι ἐν τῷ χρόνῳ τούτῳ ὁ Τιβέριος ἐς τὴν Ῥώμην ἐκ
11 τῆς Ῥόδου ἀφίκετο, ὑποπτευθῆναι. αὐτός τε γὰρ ἐμπειρότατος
τῆς διὰ τῶν ἄστρων μαντικῆς ὤν, καὶ Θράσυλλον ἄνδρα πάσης
ἀστρολογίας διαπεφυκότα ἔχων, πάντα καὶ τὰ ἑαυτῷ καὶ τὰ ἐκεί-
12 νοις πεπρωμένα ἀκριβῶς ἠπίστατο· καὶ λόγος ἔχει ὅτι μελλήσας
ποτὲ ἐν τῇ Ῥόδῳ τὸν Θράσυλλον ἀπὸ τοῦ τείχους, ἐπειδὴ μόνος
αὐτῷ πάνθ' ὅσα ἐνενόει συνῄδει, ὤσειν, ὡς εἶδεν αὐτὸν σκυθρωπά-
σαντα, ἤρετο διὰ τί συννένοφεν, εἰπόντος δὲ κίνδυνόν τινα ὑπο-

4 1 φρατάκης     5 5 ὑστέρῳ?*

Digitized by Google

*πτεύειν, θαυμάσας οὐκέτ' αὐτὸ ἐποίησεν. οὕτω γάρ που πάντα* 3
*ἐκεῖνος σαφῶς ᾔδει ὥστε καὶ τὸ πλοῖον τὸ τὴν ἀγγελίαν τῷ Τιβερίῳ*
*τῆς ἐς τὴν Ῥώμην ἀνακομιδῆς παρά τε τῆς μητρὸς καὶ παρὰ τοῦ*
*Αὐγούστου φέρον πόρρωθεν κατιδὼν προσπλέον, προειπεῖν αὐτῷ*
*ἃ ἀγγέλλειν ἔμελλεν.*

*τοῦ δὲ Λουκίου τοῦ τε Γαΐου τὰ σώματα διά τε τῶν χιλιάρχων* 12
*καὶ διὰ τῶν ἐφ' ἑκάστης πόλεως πρώτων ἐς τὴν Ῥώμην ἐκομίσθη,*
*καὶ αἱ πέλται τά τε δόρατα, ἃ παρὰ τῶν ἱππέων ἐς τοὺς ἐφήβους*
*ἐσιόντες χρυσᾶ εἰλήφεσαν, ἐς τὸ βουλευτήριον ἀνετέθη. δεσπότης* 2
*δὲ τότε ὁ Αὔγουστος ὑπὸ τοῦ δήμου ὀνομασθεὶς οὐχ ὅπως ἀπεῖπε*
*μηδένα τούτῳ πρὸς ἑαυτὸν τῷ προσρήματι χρήσασθαι, ἀλλὰ καὶ*
*πάνυ διὰ φυλακῆς αὐτὸ ἐποιήσατο. πληρωθείσης δέ οἱ καὶ τῆς* 3
*τρίτης δεκαετίας τὴν ἡγεμονίαν καὶ τὸ τέταρτον, ἐκβιασθεὶς δῆθεν,* a.C. 3
*ὑπεδέξατο, πραότερός τε καὶ ὀκνηρότερος ὑπὸ τοῦ γήρως πρὸς τὸ*
*τῶν βουλευτῶν τισὶν ἀπεχθάνεσθαι γεγονὼς οὐδενὶ ἔτ' αὐτῶν προσ-*
*κρούειν ἤθελεν. ἐμπρησμοῦ δέ ποτε τὸ παλάτιον διαφθείραντος,* 4
*καὶ πολλῶν αὐτῷ πολλὰ διδόντων, οὐδὲν ἔλαβεν ἢ μόνον παρὰ μὲν*
*τῶν δήμων χρυσοῦν παρὰ δὲ τῶν ἰδιωτῶν δραχμήν. χρυσοῦν γὰρ*
*δὴ καὶ ἐγὼ τὸ νόμισμα τὸ τὰς πέντε καὶ εἴκοσι δραχμὰς δυνάμενον*
*κατὰ τὸ ἐπιχώριον ὀνομάζω· καὶ τῶν Ἑλλήνων δέ τινες, ὧν τὰ* 5
*βιβλία ἐπὶ τῷ ἀττικίζειν ἀναγινώσκομεν, οὕτως αὐτὸ ἐκάλεσαν. ὁ*
*δὲ Αὔγουστος τὴν οἰκίαν ἀνοικοδομήσας ἐδημοσίωσε πᾶσαν, εἴτε*
*δὴ διὰ τὴν συντέλειαν τὴν παρὰ τοῦ δήμου οἱ γενομένην, εἴτε καὶ*
*ὅτι ἀρχιέρεως ἦν, ἵν' ἐν τοῖς ἰδίοις ἅμα καὶ ἐν τοῖς κοινοῖς οἰκοίη.*

*τοῦ δὲ δήμου σφόδρα ἐγκειμένου τῷ Αὐγούστῳ ἵνα καταγάγῃ* 13
*τὴν θυγατέρα αὐτοῦ, θᾶσσον ἔφη πῦρ ὕδατι μιχθήσεσθαι ἢ ἐκείνην*
*καταχθήσεσθαι. καὶ ὁ δῆμος πυρὰ ἐς τὸν Τίβεριν πολλὰ ἐνέβαλεν·*
*καὶ τότε μὲν οὐδὲν ἤνυσεν, ὕστερον δὲ ἐξεβιάσατο ὥστε ἐς γοῦν*
*τὴν ἤπειρον αὐτὴν ἐκ τῆς νήσου κομισθῆναι. τὸν δέ γε Τιβέριον* 2
*καὶ ἐποιήσατο καὶ ἐπὶ τοὺς Κελτοὺς ..., τὴν ἐξουσίαν αὐτῷ τὴν* a.C. 4
*δημαρχικὴν ἐς δέκα ἔτη δούς. καὶ μέντοι καὶ αὐτὸν ἐκεῖνον ὑπο-*
*πτεύσας πῃ ἐκφρονήσειν, καὶ φοβηθεὶς μὴ καὶ νεοχμώσῃ τι, τὸν*
*Γερμανικόν οἱ τὸν ἀδελφιδοῦν καίτοι καὶ αὐτῷ υἱὸν ἔχοντι ἐσεποί-*
*ησεν. κἀκ τούτων ἐπιθαρσήσας ὡς καὶ διαδόχους καὶ βοηθοὺς* 3
*ἔχων, διαλέξαι τὴν γερουσίαν αὖθις ἠθέλησε, καὶ δέκα βουλευτὰς*

12 5 3 *οἰκοδομήσας* 13 2 1 *τὸν δέ —] μετὰ δὲ ταῦτα Κελτικοῦ πολέμου κεκινημένου αὐτὸς ὑπό τε γήρους καὶ νόσου κεκμηκὸς ἔχων τὸ σῶμα καὶ ἐκστρατεῦσαι μὴ οἷός τε ὢν τὸν Τιβέριον, πῇ μὲν ὑπὸ τῶν πραγμάτων καταναγκασθεὶς πῇ δ' ὑπὸ τῆς Ἰουλίας ἀναπεισθεὶς (ἤδη γὰρ αὕτη ἐκ τῆς ὑπερορίας κατήχθη), υἱοθετήσατο καὶ τὴν ἐπὶ τοὺς Κελτοὺς ἐκστρατείαν ἐπέτρειψεν.* Zon. p. 423. 2 ...] *ἐξέπεμψε?*

Digitized by Google

*οὓς μάλιστα ἐτίμα προβαλόμενος τρεῖς ἀπ' αὐτῶν ἐξεταστὰς ἀπέ-*
*δειξεν, οὓς ὁ κλῆρος εἵλετο. οὐ μέντοι καὶ πολλοὶ οὔτε προκατέ-*
*γνωσάν σφων ἐξουσίας αὐτοῖς δοθείσης, ὥσπερ καὶ πρότερον, οὔτε*
4 *ἄκοντες ἀπηλίφησαν. τοῦτο μὲν δὴ δι' ἑτέρων ἔπραξεν, αὐτὸς δὲ*
*ἀπογραφὰς τῶν ἔν τε τῇ Ἰταλίᾳ κατοικούντων καὶ μὴ ἐλάττω πέντε*
*μυριάδων οὐσίαν κεκτημένων ἐποιήσατο· τοὺς γὰρ ἀσθενεστέρους*
*τούς τε ἔξω τῆς Ἰταλίας οἰκοῦντας οὐκ ἠνάγκασεν ἀπογράψασθαι,*
5 *δείσας μὴ νεωτερίσωσί τι ταραχθέντες. καὶ ὅπως γε μὴ δόξειεν*
*ὡς τιμητὴς αὐτὸ ποιεῖν, δι' ὅπερ εἶπον πρότερον, ἀνθύπατον ἐξου-*
*σίαν πρός τε τὸ τέλος τῶν ἀπογραφῶν καὶ πρὸς τὴν τοῦ καθαρσίου*
6 *ποίησιν προσέθετο. ἐπειδή τε συχνοὶ τῶν νεανίσκων ἔκ τε τοῦ*
*βουλευτικοῦ γένους κἀκ τῶν ἄλλων ἱππέων ἐπένοντο μηδὲν ἐπαίτιον*
*ἔχοντες, τοῖς μὲν πλείοσι τὸ τεταγμένον τίμημα ἀνεπλήρωσεν, ὀγ-*
7 *δοήκοντα δέ τισι καὶ ἐς τριάκοντα αὐτὸ μυριάδας ἐπηύξησεν. πολ-*
*λῶν τε πολλοὺς ἀκρίτως ἐλευθερούντων, διέταξε τήν τε ἡλικίαν ἣν*
*τόν τε ἐλευθερώσοντά τινα καὶ τὸν ἀφεθησόμενον ὑπ' αὐτοῦ ἔχειν*
*δεήσοι, καὶ τὰ δικαιώματα οἷς οἵ τε ἄλλοι πρὸς τοὺς ἐλευθερου-*
*μένους καὶ αὐτοὶ οἱ δεσπόται σφῶν γενόμενοι χρήσοιντο.*

14 *πράσσοντι δὲ αὐτῷ ταῦτα ἐπεβούλευσαν ἄλλοι τε καὶ Γναῖος*
*Κορνήλιος θυγατριδοῦς τοῦ μεγάλου Πομπηίου ὤν, ὥστε ἐν μεγάλῃ*
*αὐτὸν ἀμηχανίᾳ χρόνον τινὰ γενέσθαι, μήτε ἀποκτεῖναί σφας, ὅτι*
*οὐδὲν πλέον πρὸς ἀσφάλειαν ἐκ τῶν ἀπολλυμένων ἑώρα οἱ γιγνό-*
*μενον, μήτ' ἀπολῦσαι, μὴ καὶ ἑτέρους ἐκ τούτου ἐφ' ἑαυτὸν ἐπι-*
2 *σπάσηται, ἐθέλοντα. ἀποροῦντί τε οὖν αὐτῷ ὅ τι πράξοι, καὶ οὔτε*
*μεθ' ἡμέραν ἀφροντιστεῖν οὔτ' αὖ νύκτωρ ἀτρεμεῖν δυναμένῳ ἔφη*
*ποτὲ ἡ Λιουία "τί ἐστι τοῦτο, ὦ ἄνερ; διὰ τί οὐ καθεύδεις;" καὶ*
*ὁ Αὔγουστος "καὶ τίς ἂν" εἶπεν, "ὦ γύναι, κἂν ἐλάχιστον ἀπομερ-*
*μηρίσειε τοσούτους τε ἀεὶ ἐχθροὺς ἔχων καὶ συνεχῶς οὕτως ἄλλοτε*
3 *ὑπ' ἄλλων ἐπιβουλευόμενος; ἢ οὐχ ὁρᾷς ὅσοι καὶ ἐμοὶ καὶ τῇ ἀρχῇ*
*ἡμῶν ἐπιτίθενται; καὶ αὐτοὺς οὐδὲ αἱ τιμωρίαι τῶν δικαιουμένων*
*ἀναστέλλουσιν, ἀλλὰ καὶ πᾶν τοὐναντίον, ὥσπερ ἐπ' ἀγαθόν τι*
*ἐπειγόμενοι, σπεύδουσι καὶ οἱ λοιποὶ προσαπόλλυσθαι." ἀκούσασα*
4 *οὖν τούτων ἡ Λιουία "τὸ μὲν ἐπιβουλεύεσθαί σε" ἔφη "οὔτε θαυ-*
*μαστὸν οὔτε ἔξω τοῦ ἀνθρωπείου τρόπου ἐστίν· καὶ γὰρ πράσσεις*
*πολλὰ ἅτε καὶ τηλικαύτην ἀρχὴν ἔχων, καὶ λυπεῖς, ὥσπερ εἰκός,*
*συχνούς. οὐ γάρ που καὶ πᾶσιν οἷόν τε τὸν ἄρχοντα τινῶν ἀρέ-*
*σκειν, ἀλλὰ καὶ ἀπεχθάνεσθαι πολλοῖς καὶ τὸν πάνυ ὀρθῶς βασι-*
5 *λεύοντα ἀνάγκη. πολλῷ τε γὰρ πλείους τῶν δίκαιόν τι πραττόντων*

7 2 ἀκριβῶς

οἱ ἀδικεῖν ἐθέλοντες εἰσίν, ὧν ἀδύνατόν ἐστι τὰς ἐπιθυμίας ἀπο-
πιμπλάναι· καὶ αὐτῶν τῶν ἀρετήν τινα ἐχόντων οἱ μὲν καὶ πολλῶν
καὶ μεγάλων, ὧν οὐ δύνανται τυχεῖν, ἐπορέγονται, οἱ δὲ καὶ ἑτέρων
ἐλαττωθέντες ἄχθονται, καὶ οὕτως ἀμφότεροι τὸν κρατοῦντα αἰ-
τιῶνται. ὥστε ἔκ τε τούτων μὴ εἶναι κακοῦ ἁμαρτάνειν, καὶ προ- 6
σέτι καὶ ἐκ τῶν ἐπιτιθεμένων οὗτοι γε σοὶ ἀλλὰ τῇ ἡγεμονίᾳ. σὲ
μὲν γὰρ ἰδιωτεύοντα οὐδ᾽ ἂν εἷς ἐθελοντὴς κακόν τι, μηδέν γε
προπαθών, ἐποίησεν· τῆς δὲ δὴ ἀρχῆς καὶ τῶν ἀγαθῶν τῶν ἐν αὐτῇ
πάντες, καὶ οἵ γε ἐν δυνάμει τινὶ ὄντες πολὺ μᾶλλον τῶν ὑποδεε-
στέρων, ὀριγνῶνται. τοῦτο γάρ ἐστι μὲν ἀδίκων ἀνθρώπων καὶ 7
ἥκιστα νοῦν ἐχόντων ποιεῖν, οὐ μὴν ἀλλ᾽ ἔν τε τῇ φύσει αὐτῶν
καθάπερ τι καὶ ἄλλο ἔνεστι, καὶ οὐχ οἷόν τ᾽ ἐστὶ τὰ τοιαῦτα οὔτε
πείθοντα οὔτ᾽ ἀναγκάζοντα ἐξελέσθαι τινῶν· οὐδεὶς γὰρ οὔτε νόμος
οὔτε φόβος κρείττων τῶν φύσει πεφυκότων γίγνεται. ταῦτ᾽ οὖν 8
λογιζόμενος τὰς μὲν τῶν ἄλλων ἁμαρτίας μὴ δυσχέραινε, φυλακὴν
δὲ ἀκριβῆ καὶ σεαυτοῦ καὶ τῆς μοναρχίας ποιοῦ, ἵν᾽ αὐτὴν μὴ ἐκ
τοῦ σφόδρα κολάζειν τινὰς ἀλλ᾽ ἐκ τοῦ σφόδρα φυλάσσειν ἀσφαλῶς
ἔχωμεν." πρὸς οὖν ταῦτα ὁ Αὔγουστος "ἀλλ᾽ οἶδα μὲν καὶ ἐγώ, 15
ὦ γύναι, ὅτι οὔτ᾽ ἄλλο τι τῶν μεγάλων ἔξω φθόνου καὶ ἐπιβουλῆς
καθέστηκεν, ἥκιστα δὲ αὐταρχία· καὶ γὰρ ἂν καὶ ἰσόθεοι ἦμεν, εἰ 2
μὴ καὶ πράγματα καὶ φροντίδας καὶ φόβους ὑπὲρ πάντας τοὺς
ἰδιωτεύοντας εἴχομεν. ἐμὲ δὲ δὴ καὶ αὐτὸ τοῦτο λυπεῖ, ὅτι καὶ
ἀναγκαῖόν ἐστι ταῦθ᾽ οὕτω γίγνεσθαι, καὶ ἀδύνατον θεραπείαν τινὰ
αὐτῶν εὑρεθῆναι." "ἀλλ᾽ ἐπειδή γέ τινες τοιοῦτοί εἰσιν οἷοι πάν- 3
τως ἀδικεῖν ἐθέλειν" εἶπεν ἡ Λιβία, "ἡμεῖς γε αὐτοὺς φυλαττώμεθα.
ἔχομεν δὲ καὶ στρατιώτας πολλούς, ὧν οἱ μὲν πρὸς τοὺς πολεμίους
ἀντιτεταγμένοι οἱ δὲ καὶ περὶ σὲ ὄντες φρουροῦσιν ἡμᾶς, καὶ θε-
ραπείαν πολλήν, ὥστε καὶ οἴκοι καὶ ἔξω ἀσφαλῶς δι᾽ αὐτοὺς ζῆν."
ὑπολαβὼν οὖν ὁ Αὔγουστος "ὅτι μὲν πολλοὶ πολλάκις καὶ ὑπ᾽ αὐ- 4
τῶν τῶν συνόντων ἐφθάρησαν, οὐδέν" ἔφη "δέομαι λέγειν. πρὸς
γὰρ τοῖς ἄλλοις καὶ τοῦτ᾽ ἐν ταῖς μοναρχίαις χαλεπώτατόν ἐστιν,
ὅτι μὴ μόνον τοὺς πολεμίους, ὥσπερ οἱ ἄλλοι, ἀλλὰ καὶ τοὺς φίλους
φοβούμεθα. καὶ πολύ γε πλείους ὑπὸ τῶν τοιούτων, ἅτε καὶ ἀεί, 5
καὶ μεθ᾽ ἡμέραν καὶ νύκτωρ, καὶ γυμνουμένοις σφίσι καὶ καθεύ-
δουσι σιτία τε καὶ ποτὰ ὑπ᾽ αὐτῶν παρεσκευασμένα λαμβάνουσι
συγγιγνομένων, ἐπεβουλεύθησαν ἢ ὑπὸ τῶν μηδὲν προσηκόντων· τά
τε γὰρ ἄλλα, καὶ πρὸς μὲν ἐκείνους ἔστι τούτους ἀντιτάξαι, πρὸς
δὲ τούτους αὐτοὺς οὐκ ἔστιν ἄλλῳ τινὶ συμμάχῳ χρήσασθαι. ὥσθ᾽ 6
ἡμῖν διὰ πάντων δεινὸν μὲν τὴν ἐρημίαν δεινὸν δὲ καὶ τὸ πλῆθος,
καὶ φοβερὸν μὲν τὴν ἀφυλαξίαν φοβερωτάτους δὲ αὐτοὺς τοὺς

Digitized by Google

φύλακας, καὶ χαλεποὺς μὲν τοὺς ἐχθροὺς χαλεπωτέρους δὲ τοὺς
φίλους εἶναι· φίλους γὰρ ἀνάγκη πάντας σφᾶς, κἂν μὴ ὦσι, κα-
7 λεῖσθαι. εἰ δ' οὖν τις καὶ χρηστῶν αὐτῶν τύχοι, ἀλλ' οὔτοι γε
οὕτω πιστεύσειεν ἄν σφισιν ὥστε καὶ καθαρᾷ καὶ ἀφροντίστῳ καὶ
ἀνυπόπτῳ τῇ ψυχῇ προσομιλεῖν. τοῦτό τε οὖν καὶ τὸ τοὺς ἄλλους
τοὺς ἐπιβουλεύοντας ἀναγκαῖον εἶναι ἀμύνεσθαι πάνδεινον ἐστίν· τὸ
γάρ τοι τιμωρεῖσθαί τε καὶ κολάζειν ἀεί τινας ἀναγκάζεσθαι μεγά-
16 λην ἀχθηδόνα τοῖς γε ἀγαθοῖς ἀνδράσι φέρει." "ἀλλ' ὀρθῶς τε
λέγεις" ἀπεκρίνατο ἡ Λιβία, "καί σοι γνώμην δοῦναι ἔχω, ἄν γε
καὶ προσδέξασθαι αὐτὴν ἐθελήσῃς, καὶ μὴ διαμέμψῃ ὅτι γυνὴ οὖσα
τολμῶ σοι συμβουλεῦσαί τι οἷον οὐδ' ἂν εἷς ἄλλος οὐδὲ τῶν πάνυ
φίλων παραινέσειεν, οὐχ ὅτι οὐκ ἴσασιν αὐτό, ἀλλ' ὅτι οὐ θαρσοῦσιν
2 εἰπεῖν." "λέγ'" ἦ δ' ὃς ὁ Αὔγουστος "ὅ τι δή ποτε τοῦτο ἐστίν."
ἡ οὖν Λιβία "φράσω" ἔφη "μηδὲν κατοκνήσασα, ἅτε καὶ τἀγαθὰ
καὶ τὰ κακὰ ἐκ τοῦ ἴσου σοι ἔχουσα, καὶ σωζομένου μέν σου καὶ
αὐτὴ τὸ μέρος ἄρχουσα, δεινὸν δέ τι παθόντος, ὃ μὴ γένοιτο, συν-
3 απολουμένη. εἰ γάρ τοι ἥ τε φύσις ἡ ἀνθρωπίνη πάντως τι ἁμαρ-
τάνειν τινὰς ἀναπείθει, καὶ ἀμήχανόν ἐστιν αὐτὴν πρᾶξαί τι ὡρ-
μημένην ἐπισχεῖν, καὶ ἤδη γε καὶ αὐτὰ τὰ δοκοῦντά τισιν ἀγαθὰ
εἶναι, ἵνα μὴ τὰς τῶν πολλῶν κακίας εἴπω, καὶ πάνυ συχνοὺς ἀδικεῖν
ἐπαίρει (καὶ γὰρ γένους αὔχημα καὶ πλούτου φρόνημα τιμῆς τε
μέγεθος καὶ ἐπ' ἀνδρείᾳ θράσος ἐξουσίας τε ὄγκος πολλοὺς ἐξοκέλ-
4 λειν ποιεῖ), καὶ μήτε τὸ γενναῖον δυσγενὲς μήτε τὸ ἀνδρεῖον δειλὸν
μήτε τὸ ἔμφρον ἄνουν ἔστι ποιῆσαι (ἀδύνατον γάρ), μηδ' αὖ τὰς
περιουσίας τινῶν περικόπτειν ἢ τὰς φιλοτιμίας ταπεινοῦν μηδέν γε
πλημμελούντων χρή (ἄδικον γάρ), τό τε ἀμυνόμενον ἢ καὶ προ-
καταλαμβάνοντά τινας καὶ ἀνιᾶσθαι καὶ κακοδοξεῖν ἀναγκαῖον ἐστί,
5 φέρε μεταβαλώμεθα καί τινος αὐτῶν φεισώμεθα. καὶ γάρ μοι
δοκεῖ πολλῷ πλείω φιλανθρωπίᾳ ἤ τινι ὠμότητι κατορθοῦσθαι.
τοὺς μὲν γὰρ συγγνώμονας οὐ μόνον οἱ ἐλεηθέντες ὑπ' αὐτῶν φι-
λοῦσιν, ὥστε καὶ ἀμείβεσθαί σφας σπουδάζειν, ἀλλὰ καὶ οἱ ἄλλοι
πάντες καὶ αἰδοῦνται καὶ σέβουσιν, ὥστε μὴ εὐτολμεῖν αὐτοὺς ἀδι-
6 κεῖν· τοὺς δ' ἀπαραιτήτοις ὀργαῖς χρωμένους οὐχ ἐκεῖνοι μόνοι οἵ
τι φοβούμενοι μισοῦσιν, ἀλλὰ καὶ οἱ λοιποὶ πάντες δυσχεραίνουσι,
καὶ ἐκ τούτου καὶ ἐπιβουλεύουσιν αὐτοῖς, ἵνα μὴ προαπόλωνται.
17 ἢ οὐχ ὁρᾷς ὅτι καὶ οἱ ἰατροὶ τὰς μὲν τομὰς καὶ τὰς καύσεις σπα-
νιώτατά τισι προσφέρουσιν, ἵνα μὴ ἐξαγριαίνωσιν αὐτῶν τὰ νοσή-
ματα, τοῖς δὲ αἰονήμασι καὶ τοῖς ἠπίοις φαρμάκοις τὰ πλείω μαλ-

16 1 1 γε*   3 6 ἀνδρείας   4 2 μήτ'*   5 1 καί μοι γὰρ*

Digitized by Google

θάσσοντες θεραπεύουσιν; μὴ γάρ, ὅτι ἐκεῖνα μὲν τῶν σωμάτων ταῦτα
δὲ τῶν ψυχῶν παθήματα ἐστί, διαφέρειν τι νομίσῃς αὐτὰ ἀλλήλων.
πάμπολλα γὰρ ὅμοια τρόπον τινὰ καὶ ταῖς γνώμαις τῶν ἀνθρώπων, 2
κἂν τὰ μάλιστα ἀσώματοι ὦσιν, καὶ τοῖς σώμασι συμβαίνει· συ-
στέλλονταί τε γὰρ ὑπὸ φόβου καὶ ἐξοιδοῦσιν ὑπὸ θυμοῦ, λύπη τέ
τινας κολούει καὶ θάρσος ὀγκοῖ, ὥστ᾽ ὀλίγον σφόδρα τὸ παραλλάτ-
τον αὐτῶν εἶναι, καὶ διὰ τοῦτο καὶ παραπλησίων ἰαμάτων αὐτὰ
δεῖσθαι. λόγος τε γὰρ ἤπιός τῳ λεχθεὶς πᾶν τὸ ἀγριαῖνον αὐτοῦ 3
χαλᾷ, καθάπερ τραχὺς ἕτερος καὶ τὸ ἀνειμένον ὀργίζει· καὶ συγ-
γνώμη δοθεῖσα καὶ τὸν πάνυ θρασὺν διαχεῖ, καθάπερ ἡ τιμωρία
καὶ τὸν πάνυ πρᾶον χαλεπαίνει. αἱ μὲν γὰρ βίαιοι πράξεις ἀεὶ
πάντας, κἂν δικαιόταται ὦσι, παροξύνουσιν, αἱ δὲ ἐπιεικεῖς ἡμεροῦσιν.
καὶ διὰ τοῦτο πεισθεὶς ἄν τις ῥᾷον καὶ τὰ δεινότατα ἑκὼν ἢ βια- 4
σθεὶς ὑπομείνειεν. καὶ οὕτω γε φύσει τινὶ ἀναγκαίᾳ ἑκάτερον αὐτῶν
χρῆται, ὥστε καὶ τῶν ἀλόγων ζώων τῶν μηδένα νοῦν ἐχόντων πολλὰ
μὲν καὶ τῶν ἰσχυροτάτων καὶ ἀγριωτάτων θωπείαις τέ τισι τιθασεύε-
ται καὶ δελεάσμασι χειροῦται, πολλὰ δὲ καὶ τῶν δειλοτάτων καὶ ἀσθε-
νεστάτων λυπήμασί τε καὶ φόβοις καὶ ἐκταράττεται καὶ παροξύνεται.
καὶ οὐ λέγω τοῦτο ὅτι δεῖ πάντων ἁπλῶς τῶν ἀδικούντων φείδεσθαι, 18
ἀλλ᾽ ὅτι τὸν μὲν ἴτην καὶ πολυπράγμονα καὶ κακοήθη καὶ κακόβουλον
καὶ ἀνηκέστῳ τινὶ καὶ διαρκεῖ πονηρίᾳ συνόντα ἐκκόπτειν ὥσπερ που
καὶ τὰ πάνυ ἀνίατα μέρη τῶν σωμάτων, τῶν δὲ δὴ ἄλλων ὅσοι ἢ 2
νεότητι ἢ ἀμαθίᾳ ἢ ἀγνοίᾳ ἢ καὶ ἑτέρᾳ τινὶ συντυχίᾳ οἱ μὲν ἑκόντες
οἱ δὲ καὶ ἄκοντες ἁμαρτάνουσι, τοὺς μὲν λόγοις νουθετεῖν, τοὺς δὲ
ἀπειλαῖς σωφρονίζειν, τοὺς δὲ καὶ ἕτερόν τινα τρόπον μετρίως πως
μεταχειρίζεσθαι, καθάπερ καὶ ἐπὶ τῶν τἆλλα ... τοὺς μὲν μείζοσι
τοὺς δὲ ἐλάττοσι πάντες κολάζουσιν. ὥστε καὶ τὰ κατὰ τούτους 3
ἀκινδύνως μετριάζειν ἔξεστί σοι, τοὺς μὲν φυγῇ τοὺς δὲ ἀτιμίᾳ
τοὺς δὲ χρήμασι ζημιοῦντι, ἑτέρους ἐς χωρία ἑτέρους ἐς πόλεις
τινὰς κατατιθεμένῳ. καὶ ἤδη γέ τινες καὶ ὑπὸ τοῦ μὴ τυχεῖν ὧν
ἤλπιζον καὶ ὑπὸ τοῦ διαμαρτεῖν ὧν ἐφίεντο ἐσωφρονίσθησαν. ἕδραι 4
τε ἄτιμοι καὶ στάσεις ἐπονείδιστοι τό τε προλυπηθῆναι καὶ τὸ προ-
φοβηθῆναι συχνοὺς βελτίους ἐποίησεν· καίτοι καὶ ἀποθανεῖν ἕλοιτο
ἄν τις εὖ τε γεγονὼς καὶ ἀνδρεῖος ὢν ἢ τοιοῦτό τι παθεῖν. ἐξ οὖν
τούτων ἐκείνοις μὲν οὐδὲν ῥᾴων ἡ τιμωρία, ἀλλὰ καὶ χαλεπωτέρα
γίγνοιτο ἄν, ἡμῖν δὲ δὴ τὸ μήτε τινὰ ἐπηγορίαν ἔχειν καὶ ἀσφαλῶς
ζῆν ὑπάρξειεν. ὡς νῦν γε πολλοὺς μὲν φθόνῳ πολλοὺς δὲ ἐπιθυμίᾳ 5
χρημάτων, ἄλλους ἀνδρείας φόβῳ καὶ μάλα ἄλλους δ᾽ εὐγενείας δόξῃ

17 2 2 καὶ] α καὶ* 18 2 1 ἢ] τῇ 5 ...] ἀδικούντων ἐπιτιμίοις οὐ τοῖς αὐτοῖς χρώμενοι?* 5 2 δι᾽ εὐγενείας δόξαν?*

Digitized by Google

κτείνειν δοκοῦμεν. οὐδεὶς γὰρ ῥᾳδίως πιστεύει ὅτι τις ἔν τε ἐξου-
σίᾳ καὶ ἐν δυνάμει τοσαύτῃ ὢν ὑπ' ἰδιώτου τινὸς ἀόπλου ἐπιβου-
λευθῆναι δύναται, ἀλλ' οἱ μὲν ταῦτα λογοποιοῦσιν, οἱ δὲ ὅτι ψευδῆ
πολλὰ ἀκούομεν καὶ πολλοῖς μάτην ὡς καὶ ἀληθέσι προσέχομεν.
6 τοὺς γάρ τοι διοπτεύοντάς τε καὶ ὠτακουστοῦντας τὰ τοιαῦτα,
τοὺς μὲν ἔχθρᾳ τοὺς δὲ ὀργῇ, ἄλλους ἀργύριον παρὰ τῶν ἐχθρῶν
αὐτῶν λαβόντας, ἄλλους παρ' αὐτῶν ἐκείνων μὴ λαβόντας, πολλὰ
καὶ ψευδῆ σκευωρεῖσθαι φασίν, οὐ μόνον ὅτι τι δεινὸν ἔπραξάν
τινες ἢ καὶ ποιήσειν μέλλουσι λέγοντας, ἀλλὰ καὶ ὅτι ὁ μὲν ἐφθέγ-
ξατο τοιόνδε τι, ὁ δὲ ἀκούσας ἐσιώπησεν, ἄλλος ἐγέλασεν, ἄλλος
19 ἐδάκρυσεν. μυρία ἂν τοιουτότροπα εἰπεῖν ἔχοιμι, ἃ εἰ καὶ τὰ μά-
λιστα ἀληθῆ εἴη, ἀλλ' οὔτοι γε καὶ προσήκοντά ἐστιν οὔτε πολυ-
πραγμονεῖσθαι παρ' ἐλευθέροις ἀνθρώποις οὔτε σοὶ διαγγέλλεσθαι.
λαθόντα μὲν γὰρ τὰ τοιαῦτα οὐδὲν ἄν σε βλάψειεν, ἀκουσθέντα
2 δὲ παροξύνειε καὶ ἄκοντα. ὅπερ ἥκιστα χρὴ ἄλλως τε καὶ ἄρχοντι
τινῶν συμβαίνειν. συχνοὺς γοῦν ἐκ τούτου, τοὺς μὲν ἀκρίτους τοὺς
δὲ καὶ ἐσκευωρημένῃ τινὶ καταγνώσει δικαστηρίου, ἀδίκως ἀπόλ-
λυσθαι πολλοὶ νομίζουσιν· οὔτε γὰρ τὰς μαρτυρίας οὔτε τὰς βα-
σάνους οὔτ' ἄλλο τι τῶν τοιούτων ὡς καὶ ἀληθὲς ὂν κατ' αὐτῶν
3 προσίενται. ταῦτα γὰρ οὕτως, εἰ καὶ μὴ δικαίως ἔστιν ἃ αὐτῶν,
ἀλλ' ἐπὶ πάντων γε ὡς εἰπεῖν τῶν οὕτω θανατουμένων θρυλεῖται.
καὶ δεῖ σε ὦ Αὔγουστε μὴ μόνον μηδὲν ἀδικεῖν, ἀλλὰ μηδὲ δοκεῖν.
ἰδιώτῃ μὲν γὰρ ἀρκεῖ μηδὲν πλημμελεῖν, ἄρχοντι δὲ δὴ προσήκει
4 μηδὲ δόκησίν τινα αὐτοῦ λαμβάνειν. ἀνθρώπων γάρ, ἀλλ' οὐ θη-
ρίων ἡγεμονεύεις· καὶ μόνως ἂν οὕτως εὐνοεῖν σοι αὐτοὺς ἀληθῶς
ποιήσειας, ἂν πανταχόθεν σφᾶς καὶ διὰ πάντων ὁμοίως πείσῃς ὅτι
μήτε ἑκών τινα μήτε ἄκων ἀδικήσεις. φοβεῖσθαι μὲν γάρ τινα
5 ἀναγκασθῆναί τις δύναται, φιλεῖν δὲ πεισθῆναι ὀφείλει. πείθεται
δὲ ἐξ ὧν ἂν αὐτός τε εὖ πάθῃ καὶ ἑτέρους εὐεργετουμένους ἴδῃ.
ὁ δ' ὑποτοπήσας μὴ δικαίως τινὰ ἀπολωλέναι καὶ φοβεῖται μή
ποτέ τι ὅμοιον πάθῃ, καὶ μισεῖν τὸν δράσαντα αὐτὸ ἀναγκάζεται.
τὸ δὲ δὴ μισεῖσθαι ὑπὸ τῶν ἀρχομένων, πρὸς τῷ μηδ' ἄλλως κα-
6 λῶς ἔχειν, ἀλυσιτελέστατον ἐστίν. καὶ γὰρ καὶ νομίζουσιν οἱ πολλοὶ
τοῖς μὲν ἄλλοις ἀναγκαῖον εἶναι πάντας τοὺς καὶ ὁτιοῦν ἀδικήσαντάς
σφας ἀμύνεσθαι, ἵνα μήτε καταφρονῶνται μήτε ἐκ τούτου πλεο-
νεκτῶνται, τοὺς δ' ἄρχοντας τοῖς μὲν τὸ κοινὸν ἀδικοῦσιν ἐπεξιέναι
χρῆναι, τοὺς δ' ἰδίᾳ τί ἐς αὐτοὺς πλημμελεῖν δοκοῦντας φέρειν·
μήτε γὰρ ἐκ καταφρονήσεως μήτ' ἐξ ἐπιδρομῆς ἀδικηθῆναί σφας

5 5 μὲν ὅτι ταῦτα πλαττόμεθα λ.?

Digitized by Google

δύνασθαι διὰ τὸ πολλὰ τὰ προφυλάσσοντα αὐτοὺς εἶναι. ὥστ' 20
ἔγωγε ταῦτά τε ἀκούσασα καὶ πρὸς ταῦτα ἀποβλέψασα κινδυνεύω
καὶ παντελῶς ἀπειπεῖν σοι μηδένα διὰ τοιοῦτό τι ἀποκτιννύναι.
αἵ τε γὰρ προστασίαι ἐπί τε τῇ τῶν ἀρχομένων σωτηρίᾳ καθί- 2
στανται, ὅπως μηδὲν μήθ' ὑπ' ἀλλήλων μήθ' ὑπὸ τῶν ἀλλοφύλων
βλάπτωνται, οὐ μὰ Δί' οὐχ ὅπως ὑπ' αὐτῶν ἐκείνων τι λυπῶνται·
καὶ εὐκλεέστατόν ἐστιν οὐ τὸ πολλοὺς τῶν πολιτῶν ἀπολλύναι, ἀλλὰ
τὸ πάντας, ἂν οἷόν τε ᾖ, σώζειν δύνασθαι. παιδεύειν μὲν γὰρ αὐ- 3
τοὺς καὶ νόμοις καὶ εὐεργεσίαις καὶ νουθεσίαις δεῖ, ὅπως σωφρονῶσι,
καὶ προσέτι καὶ τηρεῖν καὶ φυλάττειν, ἵνα κἂν ἀδικεῖν ἐθελήσωσι
μὴ δυνηθῶσιν· ἂν δὲ δὴ νοσήσῃ τι, θεραπεύειν τε τρόπον τινὰ
αὐτὸ καὶ ἐπανορθοῦν, ἵνα μὴ παντελῶς φθαρῇ. τό τε γὰρ φέρειν 4
τὰ τῶν πολλῶν ἁμαρτήματα καὶ πάνυ μεγάλης καὶ φρονήσεως καὶ
δυνάμεως ἔργον ἐστίν· ἄν τέ τις πάντα ἁπλῶς τὰ τοιαῦτα κατὰ
τὴν ἀξίαν κολάζῃ, λήσει τοὺς πλείους τῶν ἀνθρώπων ἀπολέσας.
ὅθεν καὶ διὰ ταῦτά σοι γνώμην δίδωμι θανάτῳ μὲν μηδένα τῶν 5
τοιούτων τιμωρεῖσθαι, ἑτέρως δέ πως αὐτούς, ὥστε μηδὲν ἔτι δεινὸν
δρᾶσαι, σωφρονίζειν. τί γὰρ ἂν ἀδικήσειέ τις ἐς νῆσον κατακλει-
σθείς, ἢ καὶ ἐν ἀγρῷ πόλει τέ τινι, οὐχ ὅπως ἄνευ πλήθους οἰκετῶν
ἢ χρημάτων, ἀλλὰ καὶ μετὰ φρουρᾶς ὤν, ἄν γε καὶ τούτου δεήσῃ;
εἰ μὲν γὰρ ἐγγύς που ἐνταῦθα οἱ πολέμιοι ἦσαν, ἢ καὶ τῆς θα- 6
λάσσης ταύτης ἀλλότριόν τι ἦν, ὥστε τινὰ αὐτῶν διαδράντα πρὸς
ἐκείνους κακόν τι ἡμᾶς ἐργάσασθαι, πόλεις τέ τινες ἐν τῇ Ἰταλίᾳ
ἐχυραὶ καὶ τείχη καὶ ὅπλα ἔχουσαι ὑπῆρχον, ὥστε τινὰ καταλαβόντα
αὐτὰς φοβερὸν ἡμῖν γενέσθαι, ἕτερος ἂν ἦν λόγος· ἀόπλων δὲ δὴ 7
πάντων τῶν ταύτῃ καὶ ἀτειχίστων ὡς πρὸς πόλεμον ὄντων, καὶ
τῶν πολεμίων παμπληθὲς ἀπ' αὐτῶν ἀφεστηκότων (πολλὴ μὲν γὰρ
θάλασσα πολλὴ δὲ καὶ γῆ, καὶ ὄρη καὶ ποταμοὺς δυσδιαβάτους
ἔχουσα, διὰ μέσου ἐστίν), τί ἄν τις φοβηθείη τὸν δεῖνα ἢ τὸν δεῖνα, 8
γυμνούς, ἰδιωτεύοντας, ἐνταῦθά που ἐν μέσῃ τῇ σῇ ἀρχῇ ὄντας
καὶ ἐντὸς τῶν σῶν ὅπλων κατακεκλεισμένους; ἐγὼ μὲν γὰρ οὔτ'
ἂν ἐννοῆσαί τινα τοιοῦτον οὐδέν, οὔτ' ἄν, εἰ καὶ τὰ μάλιστα μανείη
τις, δύνασθαί γέ τι πρᾶξαι νομίζω. πεῖραν οὖν ἀπ' αὐτῶν τούτων 21
ἀρξάμενοι ποιησώμεθα. τάχα γὰρ ἂν καὶ αὐτοὶ μεταβάλοιντο καὶ
τοὺς ἄλλους ἀμείνους ποιήσειαν· καὶ γὰρ ὁρᾷς ὅτι καὶ ὁ Κορνήλιος
καὶ εὐγενὴς καὶ ὀνομαστός ἐστιν. δεῖ δέ που καὶ ταῦτα ἀνθρωπίνως
ἐκλογίζεσθαι. οὐ πάντα τοι τὸ ξίφος διαπράττεται (μέγα γὰρ ἂν 2
ἦν ἀγαθόν, εἰ σωφρονίζειν τέ τινας καὶ πείθειν ἢ καὶ καταναγκάζειν
φιλεῖν τινὰ ἀληθῶς ἐδύνατο), ἀλλὰ τὸ μὲν σῶμά τινος φθείρειεν

20 8 4 εἰ om*

Digitized by Google

ἄν, τὰς δὲ δὴ τῶν ἄλλων ψυχὰς ἀλλοτριώσειεν· οὐ γὰρ ἐξ ὧν ἂν ἕτεροι τιμωρηθῶσι, προσφιλέστεροί τινι, ἀλλ' ἐξ ὧν ἂν αὐτοὶ φο-
3 βηθῶσιν, ἐχθίους γίγνονται. καὶ ταῦτα μὲν οὕτως ἔχει, οἱ δὲ δὴ συγγνώμης τινὸς τυχόντες καὶ μετανοοῦσιν, αἰσχυνόμενοι αὖθίς τι τοὺς εὐεργέτας ἀδικῆσαι, καὶ πολλὰ αὐτοῖς ἀνθυπουργοῦσιν, ἐλπίζοντες πλείω ἀντευπείσεσθαι· ὑφ' οὗ γὰρ ἄν τις ἀδικηθέντος τι σωθῇ, τοῦτον εὖ παθόντα οὐδὲν ὅ τι οὐκ εὐεργετήσειν ἑαυτὸν ἡγεῖ-
4 ται. πείσθητι οὖν μοι, φίλτατε, καὶ μεταβαλοῦ. οὕτω μὲν γὰρ καὶ τἆλλα τὰ δυσχερῆ πάντα ἀνάγκῃ πεποιηκέναι δόξεις· οὐ γὰρ ἔστι πόλιν τηλικαύτην ἐκ δημοκρατίας πρὸς μοναρχίαν ἄγοντα ἀναιμωτὶ μεταστῆσαι· ἂν δ' ἐπὶ τοῖς αὐτοῖς ἐπιμένῃς, καὶ ἐκεῖνα γνώμῃ δεδρακέναι νομισθήσῃ."

22 ταῦτα τῆς Λιβίας εἰπούσης ὁ Αὔγουστος ἐπείσθη τε αὐτῇ, καὶ ἀφῆκε μὲν πάντας τοὺς ὑπαιτίους λόγοις τισὶ νουθετήσας, τὸν
2 δὲ δὴ Κορνήλιον καὶ ὕπατον ἀπέδειξεν. κἀκ τούτου καὶ ἐκεῖνον καὶ τοὺς λοιποὺς ἀνθρώπους οὕτως ᾠκειώσατο ὥστε μηδένα ἔτ' αὐτῷ τῶν ἄλλων μήτ' ὄντως ἐπιβουλεῦσαι μήτε δόξαι· ἡ γὰρ δὴ Λιβία αἰτιωτάτη τῆς σωτηρίας τῷ Κορνηλίῳ γενομένη ἔμελλεν αὐτὴ τὴν
3 αἰτίαν τοῦ θανάτου τοῦ Αὐγούστου λήψεσθαι. τότε δ' οὖν ἐπί
a.C. 5 τε τοῦ Κορνηλίου καὶ ἐπὶ Οὐαλερίου Μεσσάλου ὑπάτων σεισμοί τε ἐξαίσιοι συνέβησαν, καὶ ὁ Τίβερις τήν τε γέφυραν κατέσυρε καὶ πλωτὴν τὴν πόλιν ἐπὶ ἑπτὰ ἡμέρας ἐποίησε, τοῦ τε ἡλίου τι ἐκλιπὲς
4 ἐγένετο, καὶ λιμὸς συνηνέχθη. κἀν τῷ αὐτῷ τούτῳ ἔτει ὅ τε Ἀγρίππας ἐς ἐφήβους, μηδενὸς τῶν αὐτῶν τοῖς ἀδελφοῖς τυχών, ἐσεγράφη· καὶ τὰς ἱπποδρομίας χωρὶς μὲν οἱ βουλευταὶ χωρὶς δὲ οἱ ἱππεῖς
5 ἀπὸ τοῦ λοιποῦ πλήθους εἶδον, ὃ καὶ νῦν γίγνεται. ἐπειδή τε οὐ ῥᾳδίως οἱ πάνυ εὐγενεῖς τὰς θυγατέρας ἐς τὴν τῆς Ἑστίας ἱερατείαν ἐπεδίδοσαν, ἐνομοθετήθη καὶ ἐξ ἀπελευθέρων γεγεννημένας ἱερᾶσθαι. καὶ ὁ μὲν κλῆρος αὐτῶν, ἐπεὶ πλείους ἠμφισβήτησαν, ἐν τῷ συνεδρίῳ παρόντων τῶν πατέρων σφῶν, ὅσοι γε ἵππευον, ἐγένετο, οὐ μέντοι καὶ τοιαύτη τις ἀπεδείχθη.

23 χαλεπῶς δὲ δὴ τῶν στρατιωτῶν πρὸς τὴν τῶν ἄθλων σμικρότητα διὰ τοὺς πολέμους τοὺς τότε ἐνεστηκότας οὐχ ἥκιστα ἐχόντων, καὶ μηδενὸς ἔξω τοῦ τεταγμένου τῆς στρατείας σφίσι χρόνου ὅπλα λαβεῖν ἐθέλοντος, ἐψηφίσθη τοῖς μὲν ἐκ τοῦ δορυφορικοῦ πεντακισχιλίας δραχμάς, ἐπειδὰν ἑκκαίδεκα ἔτη, τοῖς δὲ ἑτέροις τρισχιλίας,
2 ἐπειδὰν εἴκοσι στρατεύσωνται, δίδοσθαι. τρία δὲ δὴ τότε καὶ εἴκοσι

21 3 4 ἀνθυποίσεσθαι  22 4 1 ὁ λοιπὸς τοῦ Αὐγούστου θυγατριδοῦς ὁ ἐκ τῆς Ἰουλίας τῷ Ἀγρίππᾳ τεχθείς, ὃν καὶ Ἀγρίππαν ἐκάλεσεν Zon. p. 425.

Digitized by Google

στρατόπεδα, ἢ ὥς γε ἕτεροι λέγουσι πέντε καὶ εἴκοσι, πολιτικὰ ἐτρέ-
φετο. νῦν μὲν γὰρ ἐννεακαίδεκα ἐξ αὐτῶν μόνα διαμένει, τό τε
δεύτερον τὸ Αὐγούστειον τὸ ἐν Βρεττανίᾳ τῇ ἄνω χειμάζον, καὶ
τὰ τρία τὰ τρίτα, τό τε ἐν Φοινίκῃ τὸ Γαλατικόν, καὶ τὸ ἐν Ἀρα-
βίᾳ τὸ Κυρηναϊκόν, τό τε ἐν Νουμιδίᾳ τὸ Αὐγούστειον. τέταρτον 3
Σκυθικὸν ἐν Συρίᾳ, πέμπτον Μακεδονικὸν ἐν Δακίᾳ, ἕκτα δύο,
ὧν τὸ μὲν ἐν Βρεττανίᾳ τῇ κάτω, τὸ τῶν νικητόρων, τὸ δὲ ἐν
Ἰουδαίᾳ, τὸ σιδηροῦν, τέτακται. καὶ οἱ ἕβδομοι οἱ ἐν τῇ Μυσίᾳ
τῇ ἄνω, οἳ καὶ τὰ μάλιστα Κλαυδίειοι ὠνομάδαται. οἱ δὲ ὄγδοοι
Αὐγούστειοι, ἐν τῇ Γερμανίᾳ τῇ ἄνω ὄντες. καὶ οἱ δέκατοι ἑκά- 4
τεροι, οἵ τε ἐν τῇ Παννονίᾳ τῇ ἄνω οἱ δίδυμοι, καὶ οἱ ἐν Ἰουδαίᾳ.
τό τε ἑνδέκατον τὸ ἐν Μυσίᾳ τῇ κάτω, τὸ Κλαυδίειον· οὕτω γὰρ
τὰ δύο στρατόπεδα ἀπὸ τοῦ Κλαυδίου ἐπεκλήθη, ὅτι αὐτῷ ἐν τῇ
τοῦ Καμίλλου ἐπαναστάσει μὴ ἀντεπολέμησεν. καὶ τὸ δωδέκατον 5
τὸ ἐν Καππαδοκίᾳ τὸ κεραυνοφόρον, τό τε τρίτον καὶ δέκατον τὸ
ἐν Δακίᾳ τὸ δίδυμον, καὶ τὸ τέταρτον καὶ δέκατον τὸ ἐν Παννονίᾳ
τῇ ἄνω τὸ δίδυμον, τό τε πεντεκαιδέκατον τὸ Ἀπολλώνειον τὸ ἐν
Καππαδοκίᾳ. καὶ οἱ εἰκοστοὶ οἱ καὶ Οὐαλέρειοι καὶ νικήτορες ὠνο- 6
μασμένοι καὶ ἐν Βρεττανίᾳ τῇ ἄνω ὄντες· οὓς τινας ὁ Αὔγουστος,
ἐμοὶ δοκεῖν, μετὰ τῶν τήν τε τοῦ εἰκοστοῦ ἐπωνυμίαν ἐχόντων καὶ
ἐν τῇ Γερμανίᾳ τῇ ἄνω χειμαζόντων, εἰ καὶ τὰ μάλιστα μήθ᾽ ὑφ᾽
ἁπάντων Οὐαλέρειοι ἐπεκλήθησαν μήτε νῦν ἔτι τῇ προσηγορίᾳ ταύτῃ
χρῶνται, παραλαβὼν ἐτήρησεν. ταῦτ᾽ ἐκ τῶν Αὐγουστείων στρα- 7
τοπέδων σώζεται· τὰ γὰρ δὴ λοιπὰ τὰ μὲν παντελῶς διελύθη, τὰ
δὲ καὶ ἑτέροις τισὶν ὑπό τε αὐτοῦ ἐκείνου καὶ ὑπ᾽ ἄλλων αὐτοκρα-
τόρων ἀνεμίχθη, ἀφ᾽ οὗπερ καὶ δίδυμα ὠνομασμένα νενόμισται.
ἐπειδὴ δὲ ἅπαξ ἐς τὸν περὶ τῶν στρατοπέδων λόγον προήχθην, 24
καὶ τἆλλα τὰ νῦν ὄντα, ὥς που πρὸς τῶν μετὰ ταῦτα αὐταρχη-
σάντων κατελέχθη, φράσω, ἵν᾽ ἑνὶ χωρίῳ πάντα γεγραμμένα ῥᾳδίως
τὸν βουλόμενόν τι περὶ αὐτῶν μαθεῖν διδάσκῃ. ὅ τε γὰρ Νέρων 2
τὸ πρῶτόν τε καὶ Ἰταλικὸν ὀνομαζόμενον καὶ ἐν τῇ κάτω Μυσίᾳ
χειμάζον, καὶ ὁ Γάλβας τό τε πρῶτον τὸ ἐπικουρικὸν τὸ ἐν τῇ
Παννονίᾳ τῇ κάτω καὶ τὸ ἕβδομον τὸ ἐν Ἰβηρίᾳ συνέταξαν, Οὐεσπα- 3
σιανὸς τό τε δεύτερον τὸ ἐπικουρικὸν τὸ ἐν Παννονίᾳ τῇ κάτω καὶ
τὸ τέταρτον τὸ Φλαουίειον τὸ ἐν Μυσίᾳ τῇ ἄνω, τό τε ἑκκαιδέκατον
τὸ Φλαουίειον τὸ ἐν Συρίᾳ, Δομιτιανὸς τὸ πρῶτον τὸ Ἀθηναῖον τὸ
ἐν Γερμανίᾳ τῇ κάτω, Τραϊανὸς τὸ δεύτερον τὸ Αἰγύπτιον καὶ τὸ
τριακοστὸν τὸ Γερμανικόν, ἃ καὶ ἀφ᾽ ἑαυτοῦ ἐπωνόμασεν, Ἀντω- 4

23 4 1 δέκατοι ἑκάτεροι] δεκάτεροι* 6 2 ὁ Αὔγουστος] αὐτὸς*

νῖνος ὁ Μάρκος τό τε δεύτερον τὸ ἐν Νωρίκῳ καὶ τὸ τρίτον τὸ ἐν
Ῥαιτίᾳ, ἃ καὶ Ἰταλικὰ κέκληται, Σεβῆρος τὰ Παρθικά, τό τε πρῶ-
τον καὶ τὸ τρίτον τὰ ἐν Μεσοποταμίᾳ, καὶ τὸ διὰ μέσου τὸ δεύ-
τερον τὸ ἐν τῇ Ἰταλίᾳ.
5 νῦν μὲν δὴ τοσαῦτα τείχη τῶν ἐκ τοῦ καταλόγου στρατευομέ-
νων ἔξω τοῦ τε ἀστικοῦ καὶ τοῦ δορυφορικοῦ ἔστιν, τότε δὲ ἐπὶ
τοῦ Αὐγούστου ταῦτά τε, εἴτ' οὖν τρία εἴτε πέντε καὶ εἴκοσιν ὄντα,
ἐτρέφετο, καὶ συμμαχικὰ καὶ πεζῶν καὶ ἱππέων καὶ ναυτῶν ὅσα-
6 δήποτε ἦν· οὐ γὰρ ἔχω τὸ ἀκριβὲς εἰπεῖν. οἵ τε σωματοφύλακες
μύριοι ὄντες καὶ δεκαχῇ τεταγμένοι, καὶ οἱ τῆς πόλεως φρουροὶ
ἑξακισχίλιοί τε ὄντες καὶ τετραχῇ νενεμημένοι. ξένοι τε ἱππεῖς ἐπί-
λεκτοι, οἷς τὸ τῶν Βατάβων ἀπὸ τῆς Βατάβας τῆς ἐν τῷ Ῥήνῳ
8 νήσου ὄνομα, ὅτι δὴ κράτιστοι ἱππεύειν εἰσί, κεῖται· οὐ μέντοι
ἀριθμὸν αὐτῶν ἀκριβῆ, ὥσπερ οὐδὲ τῶν ἀνακλήτων, εἰπεῖν δύναμαι.
καὶ γὰρ τούτοις ἤρξατο μὲν νομίζειν ἀφ' οὗ τοὺς συστρατευσαμέ-
νους τῷ πατρὶ πρὸς τὰ ὅπλα αὖθις ἐπὶ τὸν Ἀντώνιον ἀνεκάλεσεν,
ἐτήρησε δέ· καὶ εἰσὶ καὶ νῦν σύστημα ἴδιον, ῥάβδους φέροντες
ὥσπερ οἱ ἑκατόνταρχοι.
9 δι' οὖν ταῦτα ἀπορῶν χρημάτων, γνώμην ἐς τὴν βουλὴν ἐσή-
νεγκε πόρον τινὰ διαρκῆ καὶ ἀέναον ἀποδειχθῆναι, ὅπως μηδενὸς
ἔξωθεν μηδὲν λυπουμένου ἀφθόνως ἐκ τῶν τεταγμένων καὶ τὴν
τροφὴν καὶ τὰ γέρα λαμβάνωσιν. καὶ ὁ μὲν ἐζητεῖτο, ἐπειδή τε
μηδεὶς ἀγορανομῆσαι ἑκὼν ἤθελεν, ἠναγκάσθησαν ἔκ τε τῶν τετα-
μιευκότων καὶ ἐκ τῶν δεδημαρχηκότων κλήρῳ τινὲς αὐτὸ ποιῆσαι,
25 καὶ τοῦτο καὶ ἄλλοτε πολλάκις ἐγένετο· μετὰ δὲ ταῦτα ἐπί τε Αἰ-
a.C. 6 μιλίου Λεπίδου καὶ ἐπὶ Λουκίου Ἀρρουντίου ὑπάτων, ἐπεὶ μηδεὶς
πόρος ἀρέσκων τισὶν εὑρίσκετο, ἀλλὰ καὶ πάνυ πάντες ὅτι καὶ ἐζη-
2 τεῖτο ἐβαρύνοντο, ἐσήνεγκεν ὁ Αὔγουστος χρήματα καὶ ὑπὲρ ἑαυτοῦ
καὶ ὑπὲρ τοῦ Τιβερίου ἐς τὸ ταμιεῖον, ὃ καὶ στρατιωτικὸν ἐπωνό-
μασε, καὶ τρισὶ τῶν ἐστρατηγηκότων τοῖς λαχοῦσιν ἐπὶ τρία ἔτη
διοικεῖν προσέταξε, ῥαβδούχοις τε ἀνὰ δύο καὶ τῇ ἄλλῃ ὑπηρεσίᾳ
3 τῇ προσηκούσῃ χρωμένοις. καὶ τοῦτο καὶ ἐπὶ πλείω ἔτη κατὰ δια-
δοχὴν ἐγένετο· νῦν γὰρ καὶ αἱροῦνται πρὸς τοῦ ἀεὶ αὐτοκράτορος
καὶ χωρὶς ῥαβδούχων περιίασιν. αὐτός τε οὖν συνεσήνεγκέ τινα,
καὶ τοῦτο κατ' ἔτος πράξειν ὑπέσχετο, καὶ παρὰ βασιλέων δήμων
τε τινῶν ἐπαγγελίας ἐδέξατο· παρὰ γὰρ τῶν ἰδιωτῶν, καίπερ συχνῶν
4 ἐθελοντί, ὥς γε ἔλεγον, ἐπιδιδόντων τι, οὐδὲν ἔλαβεν. ὡς δ' οὖν
ταῦτά τε ἐλάχιστα πρὸς τὸ πλῆθος τῶν ἀναλισκομένων ἦν καὶ

24 4 4 τὰ] τὸ*

Digitized by Google

ἀθανάτου τινὸς εὐπορίας ἐδεῖτο, προσέταξε τοῖς βουλευταῖς ζητῆσαι
πόρους ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἕκαστον, καὶ τούτους ἐς βιβλία γρά-
ψαντας δοῦναί οἱ διασκέψασθαι, οὐχ ὅτι οὐκ ἐπενόει τινά, ἀλλ'
ὅπως ὅτι μάλιστα αὐτοὺς πείσῃ ὃν ἐβούλετο ἑλέσθαι. ἀμέλει ἄλλων 5
ἄλλα ἐσηγησαμένων ἐκείνων μὲν οὐδένα ἐδοκίμασε, τὴν δ' εἰκοστὴν
τῶν τε κλήρων καὶ τῶν δωρεῶν, ἃς ἂν οἱ τελευτῶντές τισι πλὴν
τῶν πάνυ συγγενῶν ἢ καὶ πενήτων καταλείπωσι, κατεστήσατο, ὡς
καὶ ἐν τοῖς τοῦ Καίσαρος ὑπομνήμασι τὸ τέλος τοῦτο γεγραμμένον
εὑρών· ἐσῆκτο μὲν γὰρ καὶ πρότερόν ποτε, καταλυθὲν δὲ μετὰ ταῦτα 6
αὖθις τότε ἐπανήχθη. τὰς μὲν οὖν προσόδους οὕτως ἐπηύξησε, τὰ
δ' ἀναλώματα διὰ τριῶν ἀνδρῶν ὑπατευκότων, οὓς ὁ κλῆρος ἀπέ-
φηνε, τὰ μὲν συνέστειλε τὰ δὲ καὶ παντάπασι διέγραψεν.

ταῦτά τε οὖν τοὺς Ῥωμαίους ἐλύπει, καὶ προσέτι καὶ λιμὸς 26
ἰσχυρός, ὥσθ' ὑπ' αὐτοῦ τούς τε μονομαχοῦντας καὶ τὰ ἀνδράποδα
τὰ ὤνια ὑπὲρ πεντήκοντα καὶ ἑπτακοσίους σταδίους ἐξωσθῆναι, ἔκ
τε τῆς θεραπείας καὶ τὸν Αὔγουστον καὶ τοὺς ἄλλους τὸ πλεῖον
ἀποπέμψασθαι, καὶ δικῶν ἀνοχὰς γενέσθαι, ἐκδημεῖν τε τοῖς βου-
λευταῖς ἔνθ' ἂν ἐθελήσωσιν ἐπιτραπῆναι. καὶ ὅπως γ' ἂν μηδὲν 2
ἐκ τούτου τὰ δόγματα ἐμποδίζηται, κύρια πάντα τὰ γιγνωσκόμενα
ὑπὸ τῶν ἀεὶ παρόντων εἶναι ἐκελεύσθη. καὶ προσέτι καὶ ἄνδρες
ὑπατευκότες ἐπί τε τοῦ σίτου καὶ ἐπὶ τοῦ ἄρτου κατέστησαν, ὥστε
τακτὸν ἑκάστῳ πιπράσκεσθαι. ἐπέδωκε μὲν γὰρ καὶ προῖκα ὁ Αὔ- 3
γουστος τοῖς σιτοδοτουμένοις τοσοῦτον ἕτερον ὅσον ἀεὶ ἐλάμβανον·
ὡς δ' οὐδ' ἐκεῖνό σφισιν ἐξήρκεσεν, οὐδ' ἐς τὰ ἑαυτοῦ γενέθλια
ἑστιαθῆναι δημοσίᾳ αὐτοὺς εἴασεν.

ἐπειδή τε ἐν τῷ χρόνῳ τούτῳ πολλὰ τῆς πόλεως πυρὶ διεφθάρη, 4
ἄνδρας τε ἐξελευθέρους ἑπταχῇ πρὸς τὰς ἐπικουρίας αὐτῆς κατε-
λέξατο, καὶ ἄρχοντα ἱππέα αὐτοῖς προσέταξεν, ὡς καὶ δι' ὀλίγου
σφᾶς διαλύσων. οὐ μέντοι καὶ ἐποίησε·τοῦτο· καταμαθὼν γὰρ ἐκ 5
τῆς πείρας καὶ χρησιμωτάτην καὶ ἀναγκαιοτάτην τὴν παρ' αὐτῶν
βοήθειαν οὖσαν ἐτήρησεν αὐτούς. καὶ εἰσὶ καὶ νῦν οἱ νυκτοφύλακες
οὗτοι ἴδιόν τινα τρόπον οὐκ ἐκ τῶν ἀπελευθέρων ἔτι μόνον ἀλλὰ
καὶ ἐκ τῶν ἄλλων στρατευόμενοι, καὶ τείχη τε ἐν τῇ πόλει ἔχουσι
καὶ μισθὸν ἐκ τοῦ δημοσίου φέρουσιν.

ὁ δ' οὖν ὅμιλος, οἷα ὑπό τε τοῦ λιμοῦ καὶ ὑπὸ τοῦ τέλους 27
τοῖς θ' ὑπὸ τοῦ πυρὸς ἀπολωλόσι κεκακωμένος, ἤσχαλλε, καὶ πολλὰ
μὲν καὶ φανερῶς νεωτεροποιίᾳ διελάλουν, πλείω δὲ δὴ βιβλία νύ-
κτωρ ἐξετίθεσαν. καὶ ταῦτ' ἐλέγετο μὲν ἐκ παρασκευῆς Πουπλίου 2

25 5 2 οὐδὲν? 27 1 3 νεωτεροποιιά?



UNIVERSITY OF VIRGINIA GENERAL LIBRARY 1819

Digitized by Google

τινὸς Ῥούφου γίγνεσθαι, ὑπωπτεύετο δὲ ἐς ἄλλους· ὁ μὲν γὰρ Ῥοῦ-
φος οὔτ' ἐνθυμηθῆναί τι αὐτῶν οὔτε πρᾶξαι ἐδύνατο, ἕτεροι δὲ
3 τῷ ἐκείνου ὀνόματι καταχρώμενοι καινοτομεῖν ἐπιστεύοντο. καὶ διὰ
τοῦτο ζήτησίς τε αὐτῶν ἐψηφίσθη καὶ μήνυτρα προετέθη· μηνύσεις
τε ἐγίγνοντο, καὶ ἡ πόλις καὶ ἐκ τούτων ἐταράττετο, μέχρις οὗ ἥ
τε σιτοδεία ἐπαύσατο, καὶ μονομαχίας ἀγῶνες ἐπὶ τῷ Δρούσῳ πρός
τε τοῦ Γερμανικοῦ τοῦ Καίσαρος καὶ πρὸς Τιβερίου Κλαυδίου
4 Νέρωνος, τῶν υἱέων αὐτοῦ, ἐγένοντο. τοῦτό τε γὰρ αὐτοὺς ἐπὶ
τῇ τοῦ Δρούσου μνήμῃ παρεμυθήσατο, καὶ ὅτι τὸ διοσκούρειον ὁ
Τιβέριος καθιερώσας οὐ τὸ ἑαυτοῦ μόνον ὄνομα αὐτῷ, Κλαυδιανὸν
ἑαυτὸν ἀντὶ τοῦ Κλαυδίου διὰ τὴν ἐς τὸ τοῦ Αὐγούστου γένος
5 ἐκποίησιν ὀνομάσας, ἀλλὰ καὶ τὸ ἐκείνου ἐπέγραψεν. τά τε γὰρ
τῶν πολέμων ἅμα διῴκει, καὶ ἐς τὴν πόλιν, ὁπότε παράσχοι, συ-
νεχῶς ἐπεφοίτα, τὸ μέν τι πραγμάτων τινῶν ἕνεκα, τὸ δὲ δὴ πλεῖ-
στον φοβούμενος μὴ ὁ Αὔγουστος ἄλλον τινὰ παρὰ τὴν ἀπουσίαν
αὐτοῦ προτιμήσῃ.
6 ταῦτά τε ἐν τῷ ἔτει τούτῳ ἐγένετο, καὶ ἐπειδὴ ὁ τῆς Ἀχαΐας
ἄρχων μεσούσης που τῆς ἡγεμονίας ἀπέθανε, τῷ τε ταμίᾳ καὶ τῷ
παρέδρῳ αὐτοῦ, ὃν πρεσβευτήν, ὥσπερ εἶπον, καλοῦμεν, τῷ μὲν
τὰ ἐντὸς τοῦ ἰσθμοῦ τῷ δὲ τὰ λοιπὰ διοικῆσαι προσετάχθη. ὅ τε
Ἡρώδης ὁ Παλαιστῖνος, αἰτίαν τινὰ ἀπὸ τῶν ἀδελφῶν λαβών, ὑπὲρ
τὰς Ἄλπεις ὑπερωρίσθη, καὶ τὸ μέρος τῆς ἀρχῆς αὐτοῦ ἐδημοσιώθη.
28 κἀν τοῖς αὐτοῖς τούτοις χρόνοις καὶ πόλεμοι πολλοὶ ἐγένοντο.
καὶ γὰρ λῃσταὶ συχνὰ κατέτρεχον, ὥστε τὴν Σαρδὼ μηδ' ἄρχοντα
βουλευτὴν ἔτεσι τρισὶ σχεῖν, ἀλλὰ στρατιώταις τε καὶ στρατιάρχαις
2 ἱππεῦσιν ἐπιτραπῆναι· καὶ πόλεις οὐκ ὀλίγαι ἐνεωτέριζον, ὥστε καὶ
ἐπὶ δύο ἔτη τοὺς αὐτοὺς ἐν τοῖς τοῦ δήμου ἔθνεσι, καὶ αἱρετούς
γε ἀντὶ τῶν κληρωτῶν, ἄρξαι· τὰ γὰρ τοῦ Καίσαρος καὶ ἄλλως
ἐπὶ πλείω χρόνον τοῖς αὐτοῖς προσετάττετο. οὐ μέντοι καὶ περὶ
πάντων αὐτῶν ἀκριβῶς ἐπεξήξω· πολλά τε γὰρ ὡς ἑκάστοις καὶ
οὐκ ἀξιόλογα συνηνέχθη, καὶ οὐδὲν ἂν λεπτολογηθέντα ὠφελήσειεν.

3 4 μονομ. — 4 1 ἐγένοντο] ἱπποδρομίας ἐποίησε, καὶ ἐν αὐταῖς ἐλέφας τε ῥινοκέρωτα κατεμαχέσατο καὶ ἀνὴρ ἱππεὺς πλούτῳ προενεγκὼν ἐμονομάχησε. Xiph. p. 89 ima. 6 5 ὑπὸ? post 6 ἐδ. inserunt quae Xiphilinus p. 90 habet: καὶ ἐπειδὴ καὶ τῷ γήραι καὶ τῇ τοῦ σώματος ἀσθενείᾳ ἔκαμνεν, ὥστε μὴ δύνασθαι πᾶσι τοῖς δεομένοις τι αὐτοῦ χρηματίζειν, τὰ μὲν ἄλλα αὐτὸς μετὰ τῶν συνέδρων καὶ διεσκέψατο καὶ ἐδίκαζεν, ἐν τῷ παλατίῳ ἐπὶ βήματος προκαθήμενος, τὰς δὲ πρεσβείας τάς τε παρὰ τῶν δήμων καὶ τὰς παρὰ τῶν βασιλέων ἀφικνουμένας τρισὶ τῶν ὑπατευκότων ἐπέτρεψεν, ὥστ' αὐτοὺς χωρὶς ἕκαστον καὶ διακούειν τινῶν καὶ ἀπόκρισιν αὐτοῖς διδόναι, πλὴν τῶν ὅσα ἀναγκαῖον ἦν τήν τε βουλὴν καὶ ἐκεῖνον ἐπιδιακρίνειν. 28 1 2 μήτ'* 3 τισὶ 2 4 τοῖς] ἐν τοῖς 5 ἐπεξάξω? cf. l. 46 8 2 6 οὐδένα λεπτ.*

τά γε μὴν μνήμης τινὸς ἄξια κεφαλαιώσας, πλὴν τῶν μεγίστων, 3
ἐρῶ. Ἴσαυροί τε γὰρ ἐκ λῃστείας ἀρξάμενοι καὶ ἐς πολέμου δει-
νότητα προήχθησαν, μέχρις οὗ κατεδαμάσθησαν· καὶ Γαιτοῦλοι
τῷ τε Ἰόβᾳ τῷ βασιλεῖ ἀχθόμενοι, καὶ ἅμα ἀπαξιοῦντες μὴ οὐ καὶ
αὐτοὶ ὑπὸ τῶν Ῥωμαίων ἄρχεσθαι, ἐπανέστησαν αὐτῷ, καὶ τήν τε 4
πρόσχωρον ἐπόρθησαν καὶ συχνοὺς καὶ τῶν Ῥωμαίων ἐπιστρατεύ-
σαντάς σφισιν ἀπέκτειναν, τό τε σύμπαν ἐπὶ τοσοῦτον ἐπηυξήθησαν
ὥστε Κορνήλιον Κόσσον τὸν κατεργασάμενόν σφας τιμάς τε ἐπι-
νικίους καὶ ἐπωνυμίαν ἀπ' αὐτῶν λαβεῖν. ταῦτά τε ἅμα ἐγίγνετο, 5
καὶ ἐπὶ τοὺς Κελτοὺς ἐστράτευσαν μὲν καὶ ἄλλοι τινές, ἐστράτευσε
δὲ καὶ ὁ Τιβέριος. καὶ μέχρι γε τοῦ ποταμοῦ, πρότερον μὲν τοῦ
Οὐισούργου, μετὰ δὲ τοῦτο καὶ τοῦ Ἀλβίου, προεχώρησεν, οὐ μέντοι
καὶ ἀξιομνημόνευτόν τι τότε γ' ἐπράχθη, καίτοι καὶ αὐτοκράτορος 6
μὴ ὅτι τοῦ Αὐγούστου ἀλλὰ καὶ τοῦ Τιβερίου ἐπ' αὐτοῖς κληθέντος,
καὶ τιμὰς ἐπινικίους Γαΐου Σεντίου τοῦ τῆς Γερμανίας ἄρχοντος
λαβόντος, ἐπειδὴ μὴ μόνον ἅπαξ ἀλλὰ καὶ δεύτερον, φοβηθέντες
αὐτούς, ἐσπείσαντο. αἴτια δὲ τοῦ καίπερ παρασπονδήσασί σφισι 7
δι' ὀλίγου αὖθις τὴν εἰρήνην δοθῆναι τά τε τῶν Δελματῶν καὶ τὰ
τῶν Παννονίων, μειζόνως τε ταραχθέντα καὶ ὀξείας ἐπιστροφῆς
δεηθέντα, ἐγένετο. ταῖς γὰρ ἐσφοραῖς τῶν χρημάτων οἱ Δελμάται 29
βαρυνόμενοι τὸν μὲν ἔμπροσθεν χρόνον καὶ ἄκοντες ἡσύχαζον· ὡς
δ' ὅ τε Τιβέριος ἐπὶ τοὺς Κελτοὺς τὸ δεύτερον ἐστράτευσε, καὶ
Οὐαλέριος Μεσσαλῖνος ὁ τότε καὶ τῆς Δελματίας καὶ τῆς Παννονίας
ἄρχων αὐτός τε σὺν ἐκείνῳ ἐστάλη καὶ τὸ πολὺ τοῦ στρατοῦ συν-
εξήγαγε, καί τινα καὶ σφεῖς δύναμιν πέμψαι κελευσθέντες συνῆλθόν 2
τε ἐπὶ τούτῳ καὶ τὴν ἡλικίαν σφῶν ἀνθοῦσαν εἶδον, οὐκέτι διεμέλ-
λησαν, ἀλλ' ἐνάγοντος αὐτοὺς ὅτι μάλιστα Βάτωνός τινος Δυσιδιά-
του τὸ μὲν πρῶτον ὀλίγοι τινὲς ἐνεωτέρισαν καὶ τοὺς Ῥωμαίους
ἐπελθόντας σφίσιν ἔσφηλαν, ἔπειτα δὲ ἐκ τούτου καὶ οἱ ἄλλοι προσ-
απέστησαν. καὶ μετὰ τοῦτο καὶ Βρεῦκοι Παννονικὸν ἔθνος, Βάτωνα 3
καὶ αὐτοὶ ἕτερον προστησάμενοι, ἐπί τε τὸ Σίρμιον καὶ ἐπὶ τοὺς ἐν
αὐτῷ Ῥωμαίους ὥρμησαν. καὶ ἐκεῖνο μὲν οὐκ ἐξεῖλον (αἰσθόμενος
γὰρ τῆς ἐπαναστάσεως αὐτῶν Καικίνας Σεουῆρος ὁ τῆς πλησιοχώρου
Μυσίας ἄρχων ἐπῆλθέ τε αὐτοῖς διὰ ταχέων περὶ τὸν Δράουον
ποταμὸν οὖσι καὶ συμβαλὼν ἐνίκησεν), ἀναμαχέσασθαι δέ πῃ διὰ
βραχέος, ἐπειδὴ καὶ τῶν Ῥωμαίων συχνοὶ ἐπεπτώκεσαν, ἐλπίσαντες
πρὸς παράκλησιν συμμάχων ἐτράποντο. καὶ οἱ μὲν συνίστων ὅσους 4
ἐδύναντο, ἐν δὲ τούτῳ ὁ Βάτων ὁ Δελμάτης ἐπὶ Σάλωνα στρατεύσας

5 4 ἐρύγρου

αὐτὸς μὲν λίθῳ χαλεπῶς πληγεὶς οὐδὲν ἔπραξεν, ἑτέρους δέ τινας
πέμψας πάντα τὰ παραθαλάσσια μέχρι τῆς Ἀπολλωνίας ἐλυμήνατο,
καί τινα ἐνταῦθα μάχην δι᾽ αὐτῶν τοὺς προσμίξαντάς σφισι Ῥω-
30 μαίους, καίπερ ἡττηθείς, ἀντεπεκράτησεν. πυθόμενος οὖν ταῦτα ὁ
Τιβέριος, καὶ φοβηθεὶς μὴ καὶ ἐς τὴν Ἰταλίαν ἐσβάλωσιν, ἔκ τε
τῆς Κελτικῆς ἀνέστρεψε, καὶ τὸν Μεσσαλῖνον προπέμψας αὐτὸς
2 τῷ πλείονι τοῦ στρατοῦ ἐφείπετο. αἰσθόμενος δὲ τῆς προσόδου αὐ-
τῶν ὁ Βάτων ἀπήντησε τῷ Μεσσαλίνῳ, καίπερ μηδέπω καλῶς ἔχων,
καὶ ἐπικρατέστερος αὐτοῦ ἐν παρατάξει γενόμενος ἔπειτα ἐξ ἐνέδρας
ἐνικήθη. κἀκ τούτου πρός τε τὸν Βάτωνα τὸν Βρεῦκον ἦλθε, καὶ
3 κοινωσάμενος αὐτῷ τὸν πόλεμον ὄρος τι Ἀλμὰν κατέλαβεν· κἀν-
ταῦθα πρὸς μὲν τοῦ Ῥυμητάλκου τοῦ Θρᾳκός, προπεμφθέντος ἐπ᾽
αὐτοὺς ὑπὸ τοῦ Σεβήρου, βραχείᾳ τινὶ μάχῃ ἡττήθησαν, πρὸς δ᾽
4 αὐτὸν ἐκεῖνον ἰσχυρῶς ἀντέσχον. καὶ μετὰ ταῦτα τοῦ τε Σεβήρου
ἐς τὴν Μυσίαν διά τε τοὺς Δακοὺς καὶ διὰ τοὺς Σαυρομάτας πορ-
θοῦντας αὐτὴν ἀπάραντος, καὶ τοῦ Τιβερίου τοῦ τε Μεσσαλίνου
ἐν Σισκίᾳ ἐγχρονισάντων, τήν τε συμμαχίδα σφῶν ἐπέδραμον καὶ
5 συχνοὺς προσαπέστησαν. καὶ ἐς μὲν χεῖρας, καίπερ τοῦ Τιβερίου
πλησιάσαντός σφισιν, οὐκ ἦλθον αὐτῷ, ἄλλοσε δὲ καὶ ἄλλοσε με-
θιστάμενοι πολλὰ ἐπόρθησαν· τῆς τε γὰρ χώρας ἐμπείρως ἔχοντες
καὶ κούφως ἐσκευασμένοι, ῥᾳδίως ὅπῃ ποτὲ ἐβούλοντο ἐχώρουν.
καὶ ἐπειδή γε ὁ χειμὼν ἐνέστη, πολὺ πλείω ἐκακούργησαν· καὶ γὰρ
6 καὶ ἐς τὴν Μακεδονίαν αὖθις ἐνέβαλον. καὶ τούτους μὲν ὅ τε Ῥυ-
μητάλκης καὶ ὁ ἀδελφὸς αὐτοῦ Ῥασκύπορις μάχῃ κατέλαβον· οἱ
δὲ δὴ ἄλλοι τῇ μὲν χώρᾳ σφῶν πορθουμένῃ μετὰ τοῦτο ἐπί τε
a.C. 7 Καικιλίου Μετέλλου καὶ ἐπὶ Λικινίου Σιλανοῦ ὑπάτων οὐκ ἐπή-
μυναν, ἐς δὲ τὰ ἐρυμνὰ ἀναφυγόντες ἐκεῖθεν ὅπῃ παρείκοι κατα-
δρομὰς ἐποιοῦντο.

31 μαθὼν οὖν τοῦτο ὁ Αὔγουστος, καὶ ὑποπτεύσας ἐς τὸν Τιβέ-
ριον ὡς δυνηθέντα μὲν ἂν διὰ ταχέων αὐτοὺς κρατῆσαι, τρίβοντα
δὲ ἐξεπίτηδες ἵν᾽ ὡς ἐπὶ πλεῖστον ἐν τοῖς ὅπλοις ἐπὶ τῇ τοῦ πολέμου
προφάσει ᾖ, πέμπει τὸν Γερμανικὸν καίτοι ταμιεύοντα, στρατιώτας
οἱ οὐκ εὐγενεῖς μόνον ἀλλὰ καὶ ἐξελευθέρους δούς, ἄλλους τε καὶ
ὅσους παρά τε τῶν ἀνδρῶν καὶ παρὰ τῶν γυναικῶν δούλους, πρὸς
2 τὰ τιμήματα αὐτῶν, σὺν τροφῇ ἐκμήνῳ λαβὼν ἠλευθέρωσεν. οὐ
μόνον δὲ τοῦτο πρὸς τὴν τοῦ πολέμου χρείαν ἔπραξεν, ἀλλὰ καὶ
τὴν ἐξέτασιν τῶν ἱππέων τὴν ἐν τῇ ἀγορᾷ γιγνομένην ἀνεβάλετο.
κατά τε τῆς πανηγύρεως τῆς μεγάλης ηὔξατο, ὅτι γυνή τις ἐς τὸν
3 βραχίονα γράμματα ἄττα ἐντεμοῦσα ἐθείασέ τινά. ᾔσθετο μὲν γὰρ

31 2 3 ἀνελάβετο?

ὅτι οὐκ ἐκ θεοῦ κατέσχητο ἀλλ' ἐκ παρασκευῆς αὐτὸ ἐπεποιήκει·
ἐπειδὴ δὲ τὸ πλῆθος ἄλλως τε καὶ διὰ τοὺς πολέμους τόν τε λιμόν,
ὃς καὶ τότε αὖθις συνέβη, δεινῶς ἐταράττετο, πιστεύειν τε καὶ αὐ-
τὸς τοῖς λεχθεῖσιν ἐπλάττετο, καὶ πάνθ' ὅσα παραμυθήσεσθαι τὸν
ὅμιλον ἔμελλεν ὡς καὶ ἀναγκαῖα ἔπραττεν. καὶ ἐπί γε τῇ σιτοδείᾳ 4
δύο αὖθις ἐκ τῶν ὑπατευκότων ἐπιμελητὰς τοῦ σίτου σὺν ῥαβδού-
χοις ἀπέδειξεν. προσδεόμενος δὲ δὴ χρημάτων ἔς τε τοὺς πολέμους
καὶ ἐς τὴν τῶν νυκτοφυλάκων τροφήν, τό τε τέλος τὸ τῆς πεντη-
κοστῆς ἐπὶ τῇ τῶν ἀνδραπόδων πράσει ἐσήγαγε, καὶ τὸ ἀργύριον
τὸ τοῖς στρατηγοῖς τοῖς τὰς ὁπλομαχίας ποιοῦσιν ἐκ τοῦ δημοσίου
διδόμενον ἐκέλευσε μηκέτ' ἀναλίσκεσθαι.

τὸν δὲ δὴ Γερμανικόν, ἀλλ' οὐ τὸν Ἀγρίππαν ἐπὶ τὸν πόλεμον 32
ἐξέπεμψεν, ὅτι δουλοπρεπής τε ἐκεῖνος ἦν καὶ τὰ πλεῖστα ἡλιεύετο,
ὅθεν περ καὶ Ποσειδῶνα ἑαυτὸν ἐπωνόμαζε, τῇ τε ὀργῇ προπετεῖ
ἐχρῆτο, καὶ τὴν Ἰουλίαν ὡς μητρυιὰν διέβαλλεν, αὐτῷ τε τῷ Αὐ- 2
γούστῳ πολλάκις ὑπὲρ τῶν πατρῴων ἐπεκάλει. καὶ οὐ γὰρ ἐσωφρο-
νίζετο, ἀπεκηρύχθη, καὶ ἥ τε οὐσία αὐτοῦ τῷ στρατιωτικῷ ταμιείῳ
ἐδόθη, καὶ αὐτὸς ἐς Πλανασίαν τὴν πρὸς Κύρνῳ νῆσον ἐνεβλήθη.

ταῦτα μὲν ἐν τῇ πόλει ἐγένετο· τοῦ δὲ δὴ Γερμανικοῦ ἐς τὴν 3
Παννονίαν ἐλθόντος καὶ στρατευμάτων πολλαχόθεν ἐκεῖσε συνιόν-
των, τηρήσαντες οἱ Βάτωνες τὸν Σεουῆρον ἐκ τῆς Μυσίας προσιόντα
ἐπέπεσον αὐτῷ ἀπροσδόκητοι, στρατοπεδευομένῳ πρὸς τοῖς Οὐολκαίοις
ἕλεσι, καὶ τοὺς μὲν ἔξω τοῦ ταφρεύματος ἐφόβησαν καὶ κατήραξαν
ἐς αὐτό, δεξαμένων δέ σφας τῶν ἔνδον ἡττήθησαν. καὶ μετὰ τοῦθ' 4
οἱ Ῥωμαῖοι νεμηθέντες, ὅπως πολλαχῇ ἅμα τῆς χώρας κατατρέχω-
σιν, οἱ μὲν ἄλλοι οὐδὲν ἄξιον λόγου τότε γε ἔδρασαν, ὁ δὲ δὴ Γερ-
μανικὸς Μαζαίους Δελματικὸν ἔθνος μάχῃ νικήσας ἐκάκωσεν.

ἐν μὲν δὴ τῷ ἔτει ἐκείνῳ ταῦτα ἐπράχθη, Μάρκου δὲ δὴ Φου- 33
ρίου μετὰ Σέξτου Νωνίου ὑπατεύσαντος ἐπεθύμησαν μὲν καὶ οἱ a. C. 8
Δελμάται καὶ οἱ Παννόνιοι συμβῆναι διὰ τὸ τὸ μὲν πρῶτον λιμῷ,
εἶτα καὶ νόσῳ ἀπ' αὐτοῦ, πόαις τέ τισιν ἀλλοκότοις καὶ ῥίζαις
χρώμενοι, πονηθῆναι, οὐκ ἐπεκηρυκεύσαντο δὲ κωλυσάντων τῶν
μηδεμίαν παρὰ τῶν Ῥωμαίων ἐλπίδα σωτηρίας ἐχόντων, ἀλλὰ καὶ
ὣς ἀντεῖχον. καὶ Σκενόβαρδός τέ τις προσποιησάμενος μεταστή- 2
σεσθαι, καὶ πέμψας κατ' αὐτὸ τοῦτο πρὸς Μάνιον Ἔννιον φρού-
ραρχον Σισκίας ὡς ἕτοιμος μὲν ὢν αὐτομολῆσαι, δεδιὼς δὲ μὴ
προπάθῃ ... τοῦ δὲ δὴ Βάτωνος, ὃς πολλὰ τοὺς Ῥωμαίους, ἀπο- 3
στήσας τοὺς Δελμάτας, ἐκάκωσε, καθ' ὁμολογίαν ποτὲ τῷ Τιβερίῳ
προσκεχωρηκότος, καὶ τῇ ὑστεραίᾳ ἐπὶ βήματος αὐτῷ καθημένῳ
προσενεχθέντος, ὁ μὲν Τιβέριος ἠρώτησεν αὐτόν "τί ὑμῖν ἔδοξε καὶ

Digitized by Google

4 *ἀποστῆναι καὶ τοσοῦτον ἡμῖν χρόνον ἀντιπολεμῆσαι;" ὁ δ' ἔφη ὅτι ὑμεῖς τούτων αἴτιοι ἐστέ· ἐπὶ γὰρ τὰς ἀγέλας ὑμῶν φύλακας οὐ κύνας οὐδὲ νομέας ἀλλὰ λύκους πέμπετε. ἡ μὲν οὖν Δελματία, τοῦτο μὲν πολέμῳ τοῦτο δὲ καὶ ὁμολογίᾳ, πάλιν προσεχώρησε τοῖς Ῥωμαίοις.*

34 *... μέντοι καὶ ἐν τοῖς πρώτοις ἀλλ' ἐν τοῖς ὑστάτοις ἀπεφαίνετο, ὅπως ἰδιοβουλεῖν ἅπασιν ἐξείη καὶ μηδεὶς αὐτῶν τῆς ἑαυτοῦ γνώμης, ὡς καὶ ἀνάγκην τινὰ συμφρονῆσαί οἱ ἔχων, ἐξίσταιτο, καὶ τοῖς ἄρχουσι πολλάκις συνεδίκαζεν· καὶ ὁσάκις γε οἱ παρεδρεύοντές σφισιν ἐδιχογνωμόνουν, καὶ ἡ ἐκείνου ψῆφος ἀπὸ τῆς ἴσης ταῖς τῶν*
2 *ἄλλων ἠριθμεῖτο. τότε δὲ τῇ μὲν γερουσίᾳ καὶ ἄνευ ἑαυτοῦ τὰ πολλὰ δικάζειν ἐπέτρεπεν, ἐς δὲ τὸν δῆμον οὐκέτι παρῄει, ἀλλὰ τῷ μὲν προτέρῳ ἔτει πάντας τοὺς ἄρξοντας αὐτός, ἐπειδή περ ἐστασιάζετο, ἀπέδειξε, τούτῳ δὲ καὶ τοῖς ἔπειτα γράμματά τινα ἐκτιθεὶς*
3 *συνίστη τῷ τε πλήθει καὶ τῷ δήμῳ ὅσους ἐσπούδαζεν. πρὸς μέντοι τὰς τῶν πολέμων διαχειρίσεις οὕτως ἔρρωτο ὥσθ', ἵν' ἐγγύθεν καὶ ἐπὶ τοῖς Δελμάταις καὶ ἐπὶ τοῖς Παννονίοις πᾶν ὅ τι χρὴ συμβουλεύειν ἔχῃ, πρὸς Ἀρίμινον ἐξώρμησεν. καὶ ἐπί τε τῇ ἐξόδῳ αὐτοῦ εὐχαὶ ἐγένοντο, καὶ ἐπὶ τῇ ἐπανόδῳ αἱ θυσίαι ὥσπερ ἐκ πολεμίας τινὸς ἀνακομισθέντος ἐτελέσθησαν.*

4 *ταῦτα μὲν ἐν τῇ Ῥώμῃ ἐπράχθη, ἐν δὲ τούτῳ ὁ Βάτων ὁ Βρεῦκος, ὁ τόν τε Πίννην προδοὺς καὶ μισθὸν τούτου τὴν ἀρχὴν τῶν Βρεύκων λαβών, ἑάλω τε ὑπὸ τοῦ ἑτέρου Βάτωνος καὶ διεφθάρη·*
5 *ἐπειδὴ γὰρ ὑποπτεύσας τι ἐς τὸ ὑπήκοον ὁμήρους καθ' ἕκαστον τῶν φρουρίων περιιὼν ᾔτει, μαθὼν τοῦτ' ἐκεῖνος ἐνήδρευσέ που αὐτόν, καὶ μάχῃ κρατήσας κατέκλεισεν ἐς τεῖχος, καὶ μετὰ τοῦτ' ἐκδοθέντα ὑπὸ τῶν ἔνδον λαβὼν παρήγαγέ τε ἐς τὸ στράτευμα, καὶ καταψη-*
6 *φισθέντα ἀποθανεῖν ἐν χερσὶν ἐποίησεν. γενομένου δὲ τούτου συχνοὶ τῶν Παννονίων ἐπανέστησαν, καὶ αὐτοῖς ὁ Σιλουανὸς ἐπιστρατεύσας τούς τε Βρεύκους ἐνίκησε καὶ τῶν ἄλλων τινὰς ἀμαχὶ προσεποιήσατο. ἰδὼν οὖν ταῦτα ὁ Βάτων τῆς μὲν Παννονίας οὐδεμίαν ἔτ' ἐλπίδα ἔσχε, τὰς δὲ ἐς τὴν Δελματίαν ἐξ αὐτῆς ἐσόδους φρουραῖς*
7 *διαλαβὼν ἐκείνην ἐπόρθει. καὶ οὕτω καὶ οἱ λοιποὶ τῶν Παννονίων, ἄλλως τε καὶ τῆς χώρας σφῶν ὑπὸ τοῦ Σιλουανοῦ κακουμένης, ὡμολόγησαν, πλὴν καθ' ὅσον λῃστικά τινα οἷα ἐκ ταραχῆς τοσαύτης ἐπὶ πλεῖον κακουργοῦντα διεγένετο, ὅπερ που καὶ ἀεὶ ὡς εἰπεῖν παρά τε τοῖς ἄλλοις καὶ παρ' ἐκείνοις μάλιστα συμβαίνει.*

34 1 1 ...] ... *πρότερον μὲν ὁ Αὔγουστος ἔς τε τὸ συνέδριον συνεχῶς ἐφοίτα, οὐ?** ceterum inter hoc *μέντοι* et illud c. 33 3 1 *προπάθῃ* codici Ven. desunt chartae 4. 3 *ἐξίσταιτο, καὶ*] *ἐξίσταται** 7 3 *λῃστρικά*

Digitized by Google

καὶ ταῦτα μὲν ἄλλοι καθῄρουν, ὁ δὲ δὴ Τιβέριος ἐς τὴν Ῥώμην, ΝϚ
μετὰ τὸν χειμῶνα ἐν ᾧ Κύιντος Σουλπίκιος καὶ Γάιος Σαβῖνος a.C. 9
ὑπάτευσαν, ἀνεκομίσθη· καὶ αὐτῷ καὶ ὁ Αὔγουστος ἐς τὸ προάστειον ἀπαντήσας ἦλθέ τε μετ' αὐτοῦ ἐς τὰ σέπτα, κἀνταῦθα ἀπὸ βήματος τὸν δῆμον ἠσπάσατο, καὶ μετὰ τοῦτο τά τε ἄλλα τὰ προσήκοντα ἐπὶ τοῖς τοιούτοις ἐποίησε καὶ θέας ἐπινικίους διὰ τῶν
ὑπάτων. ἐπειδή τε οἱ ἱππεῖς πολλῇ ἐν αὐταῖς σπουδῇ τὸν νόμον 2
τὸν περὶ τῶν μὴ γαμούντων μηδὲ τεκνούντων καταλυθῆναι ἠξίουν, ἤθροισεν ἐς τὴν ἀγορὰν χωρὶς μὲν τοὺς ἀγυναίους σφῶν χωρὶς δὲ τοὺς γεγαμηκότας ἢ καὶ τέκνα ἔχοντας, καὶ ἰδὼν πολὺ τούτους ἐκείνων ἐλάττους ἤλγησέ τε καὶ διελέξατο αὐτοῖς τοιάδε.

"εἰ καὶ ὀλίγοι παντάπασιν, ὥς γε πρὸς τοσοῦτον ὄγκον πόλεως 2
εἰπεῖν, καὶ πολλῷ καταδεέστεροι τῶν ἑτέρων τῶν μηδὲν τῶν δεόντων πράττειν ἐθελόντων ἐστέ, ἀλλ' ἔγωγε καὶ κατ' αὐτὸ τοῦτο μᾶλλον ὑμᾶς ἐπαινῶ καὶ πολλὴν χάριν ὑμῖν ἔχω, ὅτι καὶ ἐπείσθητε καὶ
τὴν πατρίδα συμπληθύνετε. ἐκ γὰρ τῶν οὕτω βιούντων παμπλη- 2
θεῖς οἱ μετὰ ταῦτα Ῥωμαῖοι γενήσονται· καὶ γὰρ τὸ κατ' ἀρχὰς καὶ πάνυ βραχεῖς ὄντες, ἔπειτα γάμων ἐπιμεληθέντες καὶ τέκνα ποιησάμενοι πάντας ἀνθρώπους οὐκ εὐανδρίᾳ μόνον ἀλλὰ καὶ πο-
λυανθρωπίᾳ ὑπερέφυμεν. ὧν χρὴ μεμνημένους τὸ θνητὸν τῆς φύ- 3
σεως ἡμῶν ἀιδίῳ διαδοχῇ γενῶν ὥσπερ τινῶν λαμπαδίων παραμυθεῖσθαι, ἵν' ἐν ᾧ μόνῳ τῆς θείας εὐδαιμονίας ἡττώμεθα, τοῦτ'
ἐξ ἀλλήλων ἀθάνατον καθιστώμεθα. διὰ γὰρ τοῦτο καὶ τὰ μάλιστα 4
ὁ πρῶτος καὶ μέγιστος ἐκεῖνος θεός, ὁ τεκτηνάμενος ἡμᾶς, διχῇ τε διεῖλε τὸ θνητὸν γένος, καὶ τὸ μὲν ἄρρεν αὐτοῦ τὸ δὲ θῆλυ ἀποδείξας ἔρωτα καὶ ἀνάγκην σφίσι τῆς πρὸς ἀλλήλους συνουσίας ἐνέβαλε, καὶ γόνιμον τὴν ὁμιλίαν αὐτῶν ἐποίησεν, ὅπως ἐκ τῶν ἀεὶ
γεννωμένων αἴδιον τρόπον τινὰ καὶ τὸ θνητὸν ἀπεργάσηται. καίτοι 5
καὶ αὐτῶν τῶν θεῶν οἱ μὲν ἄρρενες αἱ δὲ θήλειαι νομίζονται, καὶ οἱ μὲν γεγεννηκέναι τινὰς οἱ δ' ἐκ τινῶν γεγεννῆσθαι παραδέδονται· οὕτω καὶ παρ' ἐκείνοις τοῖς μηδὲν τούτων δεομένοις καλὸν εἶναι
δέδοκται καὶ γάμος καὶ τέκνωσις. ὥστε ὀρθῶς μὲν ἐποιήσατε τοὺς 3
θεοὺς μιμησάμενοι, ὀρθῶς δὲ καὶ τοὺς πατέρας ζηλώσαντες, ἵν' ὥσπερ ὑμᾶς ἐκεῖνοι ἐγέννησαν, οὕτω καὶ ὑμεῖς ἄλλους τεκνώσητε, καὶ καθάπερ ἐκείνους ὑμεῖς προγόνους καὶ ἡγεῖσθε καὶ ὀνομάζετε,
οὕτω καὶ ὑμᾶς ἕτεροι καὶ νομίσωσι καὶ προσείπωσιν, τά τε ἔργα 2
ὅσα ἐκεῖνοι καλῶς πράξαντες ὑμῖν μετ' εὐκλείας παρέδοσαν, καὶ ὑμεῖς ἄλλοις παραδῶτε, καὶ τὰ κτήματα ὅσα αὐτοὶ κτησάμενοι κατέλιπον ὑμῖν, καὶ ὑμεῖς ἑτέροις ἐξ ὑμῶν αὐτῶν γεγονόσι καταλίπητε.

1 2 2 μήτε* 2 2 1 συμπληθύνετε

3 πῶς μὲν γὰρ οὐκ ἄριστον γυνὴ σώφρων οἰκουρὸς οἰκονόμος παιδο-
τρόφος ὑγιαίνοντά τε εὐφρᾶναι καὶ ἀσθενοῦντα θεραπεῦσαι, εὐτυ-
χοῦντί τε συγγενέσθαι καὶ δυστυχοῦντα παραμυθήσασθαι, τοῦ τε
νέου τὴν ἐμμανῆ φύσιν καθεῖρξαι καὶ τοῦ πρεσβυτέρου τὴν ἔξωρον
4 αὐστηρότητα κεράσαι; πῶς δ' οὐχ ἡδὺ ἀνελέσθαι τέκνον ἐξ ἀμφοῖν
συμπεφυκὸς καὶ θρέψαι καὶ παιδεῦσαι, εἰκόνα μὲν τοῦ σώματος
εἰκόνα δὲ καὶ τῆς ψυχῆς, ὥστε ἐν ἐκείνῳ αὐξηθέντι ἕτερον αὐτὸν
5 γενέσθαι; πῶς δ' οὐ μακαριστόν, ἀπαλλαττόμενον ἐκ τοῦ βίου,
διάδοχον καὶ κληρονόμον οἰκεῖον ἐξ ἑαυτοῦ γεγονότα καὶ τοῦ γένους
καὶ τῆς οὐσίας καταλιπεῖν, καὶ τῇ μὲν φύσει τῇ ἀνθρωπίνῃ δια-
λυθῆναι τῇ δὲ ἐκείνου διαδοχῇ ζῆσαι, καὶ μήτε ἐπ' ἀλλοτρίοις ὥσπερ
6 ἐν πολέμῳ γενέσθαι μήτε ἄρδην ὥσπερ ἐν σεισμῷ ἀπολέσθαι; καὶ
ταῦτα μὲν τὰ κέρδη ἴδιά που τοῖς γαμοῦσι καὶ τεκνοποιοῦσιν ὑπάρ-
χει· τῷ δὲ δὴ κοινῷ, οὗπερ ἕνεκα καὶ παρὰ γνώμην πολλὰ ποιεῖν
ὀφείλομεν, πῶς μὲν οὐ καλὸν πῶς δ' οὐκ ἀναγκαῖον, εἴπερ αἵ τε πόλεις
7 καὶ οἱ δῆμοι ἔσονται, καὶ ὑμεῖς τε ἑτέρων ἄρξετε καὶ οἱ ἄλλοι ὑμῖν
ὑπακούσονσι, πολυπληθίᾳ ἔν τε εἰρήνῃ γῆν ἐργάσασθαι καὶ ναυτι-
λίας ναυτίλασθαι τέχνας τε ἀσκῆσαι καὶ δημιουργίας ἐπιτηδεῦσαι,
καὶ ἐν πολέμῳ τά τε ὄντα προθυμότερον διὰ τὰ γένη σῶσαι καὶ
8 ἀντὶ τῶν ἀπολλυμένων ἑτέρους ἀντικαταστῆσαι; ὑμᾶς μὲν οὖν ὦ
ἄνδρες (μόνοι γὰρ ἄνδρες δικαίως ὀνομάζεσθε) καὶ ὦ πατέρες (καὶ
γὰρ ταύτην ἄξιοι τὴν ἐπωνυμίαν ὁμοίως ἐμοὶ ἔχειν ἐστέ) καὶ φιλῶ
διὰ ταῦτα καὶ ἐπαινῶ, καὶ τούτοις τε οἷς τέθεικα ἄθλοις ἀγάλλω,
καὶ προσέτι καὶ ἄλλαις καὶ τιμαῖς καὶ ἀρχαῖς ἐπιγαυρώσω, ὥστ'
αὐτούς τε μεγάλα καρπώσασθαι καὶ τοῖς παισὶ μὴ ἐλάττω κατα-
9 λιπεῖν. μεταβήσομαι δὲ δὴ καὶ ἐπὶ τοὺς ἄλλους τοὺς οὔτε τι τῶν
ὁμοίων ὑμῖν πεποιηκότας καὶ πάντων διὰ τοῦτο τῶν ἐναντίων τευ-
ξομένους, ἵνα μὴ μόνον ἐκ τῶν λόγων ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἔτι
καὶ μᾶλλον καταμάθητε ὅσον αὐτῶν διαφέρετε."

4 ταῦτα εἰπών, καὶ τὰ μὲν παραχρῆμα δοὺς τισιν αὐτῶν τὰ δ'
ὑποσχόμενος, μετῆλθέ τε πρὸς τοὺς ἑτέρους καὶ ἔλεξε καὶ ἐκείνοις τάδε.

2 "θαυμαστὸν μέν τι πέπονθα, ὦ τί ἂν ὀνομάσαιμι ὑμᾶς; ἄν-
δρας; ἀλλ' οὐδὲν ἀνδρῶν ἔργον παρέχεσθε. πολίτας; ἀλλ' ὅσον
ἐφ' ὑμῖν, ἡ πόλις ἀπόλλυται. Ῥωμαίους; ἀλλ' ἐπιχειρεῖτε τὸ ὄνομα
τοῦτο καταλῦσαι. οὐ μὴν ἀλλ' ἔγωγε, οἵτινές ποτε ἐστὲ καὶ ὁτι-
δήποτε χαίρετε ὀνομαζόμενοι, παράδοξον μέν τι πάθος πέπονθα.
3 ὑπὲρ γὰρ τῆς πολυανθρωπίας ἡμῶν ἀεί τε πάντα ποιῶν καὶ νῦν
ἐπιτιμήσειν ὑμῖν μέλλων, ἀηδῶς ὑμᾶς ὁρῶ πολλοὺς ὄντας, καὶ

3 6 1 ὥστε σεισμῷ] πολέμῳ* 7 1 πολυπληθίᾳ* ναυτιλίᾳ 4 3 1 ὑμῶν*

Digitized by Google

μᾶλλον ἂν ἐβουλόμην τοσούτους μὲν τοὺς ἑτέρους ἐκείνους, οἷς προ-
διείλεγμαι, εἶναι, ὅσοι ὑμεῖς ὁρᾶσθε, ὑμᾶς δὲ δὴ μάλιστα μὲν σὺν
ἐκείνοις τετάχθαι, εἰ δὲ μή, μὴ εἶναι· οἵτινες οὔτε τῆς τῶν θεῶν 4
προνοίας οὔτε τῆς τῶν προπατόρων ἐπιμελείας ἐνθυμηθέντες ἐπι-
θυμεῖτε πᾶν μὲν τὸ γένος ἡμῶν ἀφανίσαι καὶ θνητὸν ὄντως ποιῆ-
σαι, πᾶν δὲ τὸ Ῥωμαίων ἔθνος φθεῖραι καὶ παῦσαι. τί μὲν γὰρ
ἂν ὑπολειφθείη σπέρμα ἀνθρώπινον, ἂν τὰ αὐτὰ ὑμῖν καὶ οἱ ἄλλοι
πάντες πράξωσιν; ὧν ἀρχηγοὶ γεγονότες εὐλόγως ἂν τὴν αἰτίαν τῆς
πανωλεθρίας ἔχοιτε. πῶς δ' οὐκ, ἂν μηδένες ἄλλοι ζηλώσωσιν 5
ὑμᾶς, εἰκότως ἂν καὶ δι' αὐτὸ τοῦτο μισοῖσθε, ὅτι παροράτέ τε ἃ
μηδεὶς ἂν ἄλλος παρίδοι καὶ ἀμελεῖτε ὧν οὐδεὶς ἂν ἄλλος ἀμελή-
σειεν, καὶ νόμους καὶ ἐπιτηδεύματα τοιαῦτα ἐσφέρετε ἃ ζηλώσαντες
μὲν πάντες ἂν ἀπόλοιντο, μισήσαντες δ' ὑμᾶς ἂν δικαιώσειαν. οὐδὲ 6
γὰρ οὐδὲ τῶν φονέων φειδόμεθα ὅτι μὴ πάντες φονεύουσιν, οὐδὲ
τοὺς ἱεροσύλους ἀφίεμεν ὅτι μὴ πάντες ἱεροσυλοῦσιν, ἀλλ' ὅστις
ἂν τῶν ἀπειρημένων τι πράττων ἁλῷ, καὶ ὑπὲρ αὐτοῦ τούτου κο-
λάζεται, ὅτι μόνος ἢ καὶ μετ' ὀλίγων ποιεῖ τι τοιοῦτον ὃ μηδεὶς
ἕτερος. καίτοι κἂν τὰ μέγιστά τις ἀδικήματα ὀνομάσῃ, οὐδέν ἐστι 5
τἆλλα πρὸς τοῦτο τὸ νῦν ὑφ' ὑμῶν γιγνόμενον, οὐχ ὅτι ἓν πρὸς ἓν
ἐξεταζόμενα, ἀλλ' οὐδ' ὁμοῦ πάντα πρὸς τοῦτο τὸ ἓν παραβαλλόμενα.
καὶ γὰρ μιαιφονεῖτε, μηδὲ τεκνοῦντες ἀρχὴν τοὺς ἐξ ὑμῶν γεννηθῆ-
ναι ὀφείλοντας, καὶ ἀνοσιουργεῖτε, τά τε ὀνόματα καὶ τὰς τιμὰς 2
τῶν προγόνων παύοντες, καὶ ἀσεβεῖτε, τά τε γένη ὑμῶν τὰ κατα-
δειχθέντα ὑπὸ τῶν θεῶν ἀφανίζοντες, καὶ τὸ μέγιστον τῶν ἀνα-
θημάτων αὐτῶν, τὴν ἀνθρωπίνην φύσιν, ἀπολλύντες, τά τε ἱερὰ
διὰ τούτου καὶ τοὺς ναοὺς αὐτῶν ἀνατρέποντες. καὶ μέντοι καὶ 3
τὴν πολιτείαν καταλύετε, μὴ πειθόμενοι τοῖς νόμοις, καὶ τὴν πα-
τρίδα προδίδοτε, στερίφην τε καὶ ἄγονον ἀπεργαζόμενοι, μᾶλλον δὲ
ἄρδην κατασκάπτετε, ἔρημον τῶν οἰκησόντων ποιοῦντες· ἄνθρωποι
γάρ που πόλις ἐστίν, ἀλλ' οὐκ οἰκίαι οὐδὲ στοαὶ οὐδ' ἀγοραὶ ἀν-
δρῶν κεναί. ἐνθυμήθητε οὖν, τίνα μὲν οὐκ ἂν ὀργὴν ὁ Ῥωμύλος 4
ἐκεῖνος ὁ ἀρχηγέτης ἡμῶν δικαίως λάβοι, λογισάμενος τά τε καθ'
ἑαυτόν, ὅθεν ἐγεννήθη, καὶ τὰ ὑμέτερα, ὅτι οὐδ' ἐκ νομίμων γάμων
παιδοποιεῖσθαι ἐθέλετε· τίνα δ' οὐκ ἂν οἱ μετ' αὐτοῦ Ῥωμαῖοι, 5
ἐννοήσαντες ὅτι αὐτοὶ μὲν καὶ τὰς ἀλλοτρίας κόρας ἥρπασαν, ὑμεῖς
δὲ οὐδὲ τὰς οἰκείας ἀγαπᾶτε, καὶ οἱ μὲν καὶ ἐκ τῶν πολεμίων ἐπαι-
δοποιήσαντο, ὑμεῖς δὲ οὐδ' ἐκ τῶν πολιτίδων τεκνοῦτε· τίνα ὁ
Κούρτιος ὁ καὶ ἀποθανεῖν ὑπομείνας, ἵνα μὴ στερηθῶσι τῶν γυ-

3 4 εἶναι ἢ ὅσοι    4 3 ὑμῶν*    6 3 ἀλλ'] ἵν' ἄλλος

Digitized by Google

ναικῶν οἱ γεγαμηκότες· τίνα ἡ Ἑρσιλία ἡ καὶ τῇ θυγατρὶ ἀκολου-
6 θήσασα καὶ τὰ γαμικὰ πάνθ' ἡμῖν καταδείξασα. ἀλλ' οἱ μὲν πα-
τέρες ἡμῶν καὶ ἐπολέμησαν πρὸς Σαβίνους ὑπὲρ τῶν γάμων, καὶ
κατελύσαντο τῶν τε γυναικῶν αὐτῶν καὶ τῶν τέκνων συναλλαξάντων
σφᾶς, ὅρκους τε ἐπὶ τούτοις ἐπήγαγον καὶ συνθήκας τινὰς ἐποιή-
7 σαντο· ὑμεῖς δὲ καὶ ἐκεῖνα πάντα συγχεῖτε. διὰ τί; ἢ ἵνα καὶ αὐ-
τοὶ ἀεὶ ἄγυνοι ἦτε, ὥσπερ αἱ ἱέρειαι αἱ ἀειπαρθένοι ἄνανδροι εἰσίν;
οὐκοῦν καὶ κολάζεσθε, ἂν ἀσελγαίνητέ τι, ὥσπερ καὶ ἐκεῖναι.

6 πικρῶς εὖ οἶδ' ὅτι καὶ τραχέως δοκῶ ὑμῖν διαλέγεσθαι. ἀλλὰ
πρῶτον μὲν λογίσασθε ὅτι καὶ οἱ ἰατροὶ συχνοὺς καὶ καίοντες καὶ
τέμνοντες, ὅταν μὴ δύνωνται ἄλλως πως ὑγιεῖς γενέσθαι, θεραπεύ-
2 ουσιν, ἔπειθ' ὅτι οὔτε ἑκὼν οὔθ' ἡδέως αὐτὰ λέγω, ὥστ' ἐγὼ μὲν
καὶ αὐτὸ τοῦθ' ὑμῖν ἐγκαλῶ ὅτι με ἐς τούτους τοὺς λόγους προη-
γάγετε, ὑμεῖς δ' εἴπερ ἄχθεσθε τοῖς εἰρημένοις, μὴ ποιεῖτε ταῦτα
ἐφ' οἷς ἀναγκαίως κακῶς ἀκούετε. εἰ γὰρ δὴ δάκνει τινὰς ὑμῶν
τὰ ὑπ' ἐμοῦ λεγόμενα, πῶς οὐ πολὺ μᾶλλον καὶ ἐμὲ καὶ τοὺς ἄλλους
3 Ῥωμαίους πάντας τὰ ὑφ' ὑμῶν ποιούμενα; οὐκοῦν εἴπερ ὡς ἀληθῶς
ἀσχάλλετε, μεταβάλεσθε, ἵνα καὶ ἐπαινέσω ὑμᾶς καὶ διαμείψωμαι.
ὅτι γὰρ οὔτε τῇ φύσει χαλεπός εἰμι, πάντα τε ὅσα προσῆκον ἦν τὸν
ἀγαθὸν νομοθέτην πρᾶξαι ἀνθρωπίνως προκατεστησάμην, οὐδ' αὐτοὶ
4 ἀγνοεῖτε. ἦν μὲν γὰρ οὐδὲ πρόσθεν ἐξὸν ἀμελεῖν τισὶ παιδοποιίας
καὶ γάμων· καὶ γὰρ ἀπ' ἀρχῆς εὐθὺς ἅμα τῇ πρώτῃ τῆς πολιτείας
καταστάσει ἀκριβῶς περὶ αὐτῶν ἐνομοθετήθη, καὶ μετὰ τοῦτο πολλὰ
καὶ τῇ βουλῇ καὶ τῷ δήμῳ ἔδοξεν, ἃ περιττὸν ἂν εἴη καταλέγειν·
5 ἐγὼ δὲ ἐπηύξησα μὲν τὰ ἐπιτίμια τοῖς ἀπειθοῦσιν, ἵνα φόβῳ τοῦ
περιπεσεῖν αὐτοῖς σωφρονίζοισθε, ἔθηκα δὲ καὶ ἆθλα τοῖς πειθαρ-
χοῦσι τοιαῦτα καὶ τηλικαῦτα ἡλίκα καὶ οἷα ἐπ' οὐδεμιᾷ ἄλλῃ ἀν-
δραγαθίᾳ δίδοται, ἵν' εἰ καὶ διὰ μηδὲν ἄλλο, διά γε ταῦτα καὶ
6 γαμεῖν καὶ παιδοποιεῖν ἀναπείθοισθε. ἀλλ' ὑμεῖς οὔτε ἐκείνων τινὸς
ὀριγνηθέντες οὔτε τῶν ἐπιτιμίων τι φοβηθέντες πάντα τε αὐτὰ
κατεφρονήσατε καὶ πάντα αὐτὰ ὡς οὐδὲ ἐν πόλει τινὶ οἰκοῦντες
κατεπατήσατε. καὶ φατὲ μὲν εὔζωνον δὴ τοῦτον καὶ ἐλεύθερον
βίον τὸν ἄγυνον καὶ ἄτεκνον ἐπανῃρῆσθαι, ληστῶν δὲ δὴ καὶ θη-
7 ρίων τῶν ἀγριωτάτων οὐδὲν διαφέρετε. οὐ γὰρ δήπου μοναυλίᾳ
χαίρετε, ἵν' ἄνευ γυναικῶν διάγητε, οὐδ' ἔστιν ὅστις ὑμῶν ἢ σιτεῖται
μόνος ἢ καθεύδει μόνος, ἀλλ' ἐξουσίαν καὶ ὑβρίζειν καὶ ἀσελγαίνειν
2 ἔχειν ἐθέλετε. καίτοι καὶ μνηστεύειν ὑμῖν ἁπαλὰς ἔτι κόρας καὶ

6 2 1 ἔπειτα δὲ ὅτι. sed cf. fr. 61, vitio illud creatum. 3 1 πρατ-
τόμενα illo loco 3 2 μεταβάλλεσθε* 5 3 τοσαῦτα* 6 4 φατὲ
τὸν εὔζωνον μὲν δὴ*

Digitized by Google

μηδέπω γάμων ὡραίας ἐπέτρεψα, ἵνα τὸ ὄνομα τῶν μελλονυμφίων ἔχοντες οἰκωφελῶς βιῴητε, καὶ ἐξελευθέρας τοῖς γε ἔξω τοῦ βουλευτικοῦ οὖσιν ἄγεσθαι συνεχώρησα, ἵν᾽ εἰ καί τις ἐξ ἔρωτος ἢ καὶ συνηθείας τινὸς ἐς τοῦθ᾽ ὑπαχθείη, ἐννόμως αὐτὸ ποιοίη. καὶ οὐδ᾽ 3
ἐς ταῦτα μέντοι κατήπειξα ὑμᾶς, ἀλλὰ τὸ μὲν πρῶτον τρία ἔτη ὅλα πρὸς παρασκευὴν ὑμῖν ἔδωκα, τὸ δὲ δεύτερον δύο. ἀλλ᾽ οὐδὲν οὐδ᾽ οὕτως οὔτ᾽ ἀπειλῶν οὔτε προτρέπων οὔτ᾽ ἀναβαλλόμενος οὔτε δεόμενός τι πεποίηκα. ὁρᾶτε γὰρ καὶ αὐτοὶ ὅσῳ πλείους τῶν γε- 4
γαμηκότων ἐστέ· οὓς ἐχρῆν ἤδη τοσούτους ἑτέρους, μᾶλλον δὲ πολλαπλασίους παῖδας ἡμῖν παρεσχηκέναι. πῶς μὲν γὰρ ἂν ἄλλως τὰ γένη διαμείνειεν, πῶς δ᾽ ἂν τὸ κοινὸν διασωθείη μήτε γαμούντων ὑμῶν μήτε παιδοποιουμένων; οὐ γάρ που καὶ ἐκ τῆς γῆς προσδο- 5
κᾶτέ τινας ἀναφύεσθαι τοὺς διαδεξομένους τά τε ὑμέτερα καὶ τὰ δημόσια, ὥσπερ οἱ μῦθοι λέγουσιν. οὐ μὴν οὐδ᾽ ὅσιον ἢ καὶ καλῶς ἔχον ἐστὶ τὸ μὲν ἡμέτερον γένος παύσασθαι καὶ τὸ ὄνομα τὸ Ῥωμαίων ἐν ἡμῖν ἀποσβῆναι, ἄλλοις δέ τισιν ἀνθρώποις Ἕλλησιν ἢ καὶ βαρβάροις τὴν πόλιν ἐκδοθῆναι. ἢ τοὺς μὲν δούλους δι᾽ 6
αὐτὸ τοῦτο μάλιστα ἐλευθεροῦμεν, ὅπως ὡς πλείστους ἐξ αὐτῶν πολίτας ποιώμεθα, τοῖς τε συμμάχοις τῆς πολιτείας μεταδίδομεν ὅπως πληθύωμεν· αὐτοὶ δ᾽ ὑμεῖς οἱ ἀπ᾽ ἀρχῆς Ῥωμαῖοι, οἱ τοὺς προγόνους ἐκείνους τοὺς Μαρκίους τοὺς Φαβίους τοὺς Κυιντίους τοὺς Οὐαλερίους τοὺς Ἰουλίους καταλέγοντες, ἐπιθυμεῖτε μεθ᾽ ὑμῶν αὐτῶν καὶ τὰ γένη ἅμα καὶ τὰ ὀνόματα ἀπολέσαι; ἀλλ᾽ ἔγωγε 8
αἰσχύνομαι καὶ ὅτι τοιοῦτον εἰπεῖν προήχθην καὶ ὅτι ὑμεῖς τοιαῦτα ποιεῖτε. παύσασθε οὖν μαινόμενοι, καὶ λογίσασθε ἤδη ποτὲ ὅτι ἀδύνατόν ἐστι, πολλῶν μὲν ἐν ταῖς νόσοις πολλῶν δὲ καὶ ἐν τοῖς πολέμοις ἑκάστοτε τελευτώντων, σωθῆναι τὴν πόλιν, ἂν μὴ τὸ πλῆθος αὐτῆς ἐκ τῶν ἀεὶ ἐπιγιγνομένων ἀναπληρῶται. καὶ μηδεὶς 2
ὑμῶν οἰέσθω με ἀγνοεῖν ὅτι ἔστι τινὰ καὶ ἐν τῷ γάμῳ καὶ ἐν τῇ τεκνοποιίᾳ καὶ δυσχερῆ καὶ λυπηρά· ἀλλ᾽ ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι οὐδ᾽ ἄλλο τι ἀγαθὸν ἔχομεν ᾧ μὴ καὶ ἀνιαρόν τι παραμέμικται, καὶ τοῖς γε πλείστοις καὶ μεγίστοις αὐτῶν πλεῖστα καὶ μέγιστα συμπέφυκεν. ὥστ᾽ εἰ ταῦτα ἐκκλίνετε, μηδ᾽ ἐκείνων ἐπορέγεσθε. 3
πᾶσι γὰρ ὡς εἰπεῖν τοῖς ἀρετὴν καὶ ἡδονήν τινα εἰλικρινῆ ἔχουσι καὶ προπονεῖν καὶ συμπονεῖν καὶ ἐπιπονεῖν χρή· τί γὰρ δεῖ καθ᾽ ἕκαστον αὐτῶν ἐπεξιόντα μακρηγορεῖν; οὐκοῦν εἰ καὶ ἐν τῷ γῆμαι καὶ ἐν τῷ τεκνῶσαι ἀνιαρά τινα ἔνεστιν, ἀντιλογίζεσθε καὶ τὰ ἀμείνονα, καὶ πλείω τε καὶ ἀναγκαιότερα αὐτὰ εὑρήσετε. πρὸς γὰρ δὴ 4

7 3 5 τι abundat   5 2 ἀναφύσεσθαι?*   6 4 οἱ ante τοὺς om*

τοῖς ἄλλοις ἀγαθοῖς τοῖς φύσει προσοῦσιν αὐτοῖς καὶ τὰ παρὰ τῶν
νόμων ἆθλα, ὧν πολλοστὸν μέρος καὶ ἀποθνήσκειν συχνοὺς ἀνα-
πείθει, πάντα ἄν τινα πειθαρχῆσαί μοι ὑπαγάγοιτο. καίτοι πῶς
οὐκ αἰσχρόν, ὑπὲρ ὧν ἕτεροι καὶ ἑαυτοὺς προΐενται, ὑπὲρ τούτων
ὑμᾶς μήτε γυναῖκας ἄγεσθαι μήτε τέκνα τρέφειν βούλεσθαι;
9 ἐγὼ μὲν οὖν, ὦ ἄνδρες πολῖται (νομίζω γὰρ ὑμᾶς νῦν γε πε-
πεικέναι καὶ ἐν τῷ τῶν πολιτῶν ὀνόματι ἐμμεῖναι καὶ τὴν τῶν ἀν-
δρῶν τῶν τε πατέρων προσηγορίαν προσλαβεῖν), ταῦθ᾽ ὑμῖν ἐπετί-
μησα ἀηδῶς μὲν ἀναγκαίως δέ, οὐχ ὡς ἐχθρὸς οὐδ᾽ ὡς μισῶν ὑμᾶς,
ἀλλὰ φιλῶν, καὶ ἐπιθυμῶν καὶ ἑτέρους ὁμοίους ὑμῖν πολλοὺς κτή-
2 σασθαι, ἵν᾽ ἑστίας ἐννόμους οἰκοῦντες καὶ οἰκίας πλήρεις γενῶν
ἔχοντες τοῖς τε θεοῖς μετά τε τῶν γυναικῶν καὶ μετὰ τῶν παίδων
προσερχώμεθα, καὶ ἀλλήλοις ὁμιλῶμεν πάντα τε ἐκ τοῦ ἴσου παρα-
βαλλόμενοι καὶ τὰς ἐπ᾽ αὐτοῖς ἐλπίδας ἐκ τοῦ ὁμοίου καρπούμενοι.
ἢ πῶς μὲν ἂν καλῶς ἄρχοιμι ὑμῶν, ἂν ἐλάττους ὑμᾶς ἀεὶ γιγνομέ-
3 νους ὁρῶν ἀνέχωμαι; πῶς δ᾽ ἂν ἔτι πατὴρ ὑμῶν ὀρθῶς ὀνομαζοίμην,
ἂν μὴ καὶ παῖδας τρέφητε; ὥστ᾽ εἴπερ ὄντως τά τε ἄλλα ἀγαπᾶτέ
με, καὶ ταύτην μοι τὴν προσηγορίαν οὐχ ὡς κολακεύοντες ἀλλ᾽ ὡς
τιμῶντες ἐδώκατε, ἐπιθυμήσατε καὶ ἄνδρες καὶ πατέρες γενέσθαι,
ἵνα καὶ αὐτοὶ τῆς ἐπωνυμίας ταύτης μεταλάβητε καὶ ἐμὲ φερώνυμον
αὐτῆς ποιήσητε."
10 καὶ τότε μὲν τοιαῦτα ἀμφοτέροις αὐτοῖς διελέχθη, μετὰ δὲ δὴ
τοῦτο τοῖς μὲν τὰ τέκνα ἔχουσι τὰ γέρα προσεπηύξησε, τοὺς δὲ
γεγαμηκότας ἀπὸ τῶν ἀγύνων τῷ τῶν ἐπιτιμίων διαφόρῳ διεχώρισε,
καὶ ἐνιαυτὸν ἑκατέροις ἐς τὸ τοὺς πειθαρχήσαντάς οἱ ἐν τῷ χρόνῳ
2 τούτῳ ἀναιτίους γενέσθαι προσεπέδωκεν. τῶν τε γυναικῶν τισὶ καὶ
παρὰ τὸν Ὀοκώνειον νόμον, καθ᾽ ὃν οὐδεμιᾷ αὐτῶν οὐδενὸς ὑπὲρ
δύο ἥμισυ μυριάδας οὐσίας κληρονομεῖν ἐξῆν, συνεχώρησε τοῦτο
ποιεῖν· καὶ ταῖς ἀειπαρθένοις πάνθ᾽ ὅσα περ αἱ τρὶς τεκοῦσαι εἶχον
3 ἐχαρίσατο. κἀκ τούτου ὅ τε Πάπιος καὶ ὁ Ποππαῖος νόμος ὑπό
τε Μάρκου Παπίου Μουτίλου καὶ ὑπὸ Κυίντου Ποππαίου Σεκούν-
δου, τῶν τότε ἐν μέρει τοῦ ἔτους ὑπατευόντων, ἐτέθησαν. καὶ
συνέβη γὰρ ἀμφοτέρους σφᾶς μὴ ὅτι παῖδας, ἀλλὰ μηδὲ γυναῖκας
ἔχειν· καὶ ἀπ᾽ αὐτοῦ τούτου ἡ ἀνάγκη τοῦ νόμου κατεφωράθη.
11 ἐν μὲν οὖν τῇ Ῥώμῃ ταῦτα ἐπράχθη, Γερμανικὸς δὲ ἐν τούτῳ
ἄλλα τε χωρία Δελματικὰ εἷλε καὶ Σπλαῦνον, καίπερ τῇ τε φύσει
ἰσχυρὸν ὂν καὶ τοῖς τείχεσιν εὖ πεφραγμένον τούς τε ἀμυνομένους
παμπληθεῖς ἔχον. οὔκουν οὔτε μηχαναῖς οὔτε προσβολαῖς ἠδυνήθη
2 τι ἐξεργάσασθαι, ἀλλ᾽ ἐκ τοιᾶσδε αὐτὸ συντυχίας ἔλαβεν. Πουσίων

10 2 4 τρὶς om

ἱππεὺς Κελτὸς λίθον ἐς τὸ τεῖχος ἀφεὶς οὕτω τὴν ἔπαλξιν διέσεισεν ὥστε αὐτήν τε αὐτίκα πεσεῖν καὶ τὸν ἄνδρα τὸν ἐπικεκλιμένον οἱ συγκατασπάσαι. γενομένου δὲ τούτου ἐκπλαγέντες οἱ ἄλλοι καὶ φοβηθέντες τό τε τεῖχος ἐκεῖνο ἐξέλιπον καὶ ἐς τὴν ἀκρόπολιν ἀνέδραμον, καὶ μετὰ τοῦτο καὶ ταύτην καὶ ἑαυτοὺς παρέδοσαν.

ἐντεῦθεν δὲ ἐπὶ Ῥαίτινον ἐλθόντες οὐχ ὁμοίως ἀπήλλαξαν. 3
οἱ γὰρ ἐναντίοι βιαζόμενοι τῷ πλήθει σφῶν, καὶ μὴ δυνάμενοι ἀντέχειν, πῦρ ἐθελούσιοι ἔς τε τὸν κύκλον πέριξ καὶ ἐς τὰ οἰκοδομήματα πλησίον αὐτοῦ ἐνέβαλον, μηχανησάμενοι ὅπως ὅτι μάλιστα μὴ παραχρῆμα ἐκλάμψῃ ἀλλ' ἐπὶ χρόνον τινὰ διαλάθῃ. καὶ οἱ 4
μὲν τοῦτο ποιήσαντες ἐς τὴν ἄκραν ἀνεχώρησαν· ἀγνοοῦντες δὲ οἱ Ῥωμαῖοι τὸ πεπραγμένον ἐπεσέπεσον ὡς καὶ αὐτοβοεὶ πάντα διαρπάσοντες, καὶ εἴσω τε τῆς τοῦ πυρὸς περιβολῆς ἐγένοντο, καὶ οὐ πρότερον εἶδον αὐτό, πρὸς τοὺς πολεμίους τὸν νοῦν ἔχοντες, πρὶν πανταχόθεν ὑπ' αὐτοῦ περιληφθῆναι. τότε δὲ ἐν παντὶ κινδύνου 5
ἐγένοντο, ἄνωθεν μὲν ὑπὸ τῶν ἀνθρώπων βαλλόμενοι, ἔξωθεν δὲ ὑπὸ τῆς φλογὸς κακούμενοι, καὶ μήτε κατὰ χώραν ἀσφαλῶς μεῖναι μήτε πῃ διαπεσεῖν ἀκινδύνως δυνάμενοι. εἴτε γὰρ ἔξω βέλους ἀφίσταντο, πρὸς τοῦ πυρὸς ἀναλοῦντο, εἴτ' ἀπὸ τῆς φλογὸς ἀπεπήδων, πρὸς τῶν βαλλόντων ἐφθείροντο· καί τινες ἐν στενοχωρίᾳ ἀπ' ἀμ- 6
φοτέρων ἅμα ἀπώλοντο, τῇ μὲν τιτρωσκόμενοι τῇ δὲ καιόμενοι. οἱ μὲν οὖν πλείους τῶν ἐσελθόντων οὕτως ἀπήλλαξαν· ὀλίγοι δέ τινες νεκροὺς ἐς αὐτὴν τὴν φλόγα ἐμβαλόντες, καὶ δίοδόν σφισι δι' αὐτῶν καθάπερ ἐπὶ γεφύρας ποιήσαντες, διέφυγον. οὕτω γάρ που τὸ πῦρ 7
ἐπεκράτησεν ὥστε μηδὲ τοὺς ἐν τῇ ἀκροπόλει ὄντας κατὰ χώραν μεῖναι, ἀλλὰ τῆς νυκτὸς αὐτὴν ἐκλιπεῖν καὶ ἐς οἰκήματα κατώρυχα καταkρυφθῆναι.

ἐκεῖ μὲν δὴ ταῦτα ἐγένετο, Σερέτιον δέ, ὅπερ ποτὲ ὁ Τιβέριος 12
πολιορκήσας οὐχ ᾑρήκει, ἐχειρώθη, καὶ μετὰ τοῦτο καὶ ἄλλα τινὰ ῥᾷον προσεκτήθη. τῶν δ' οὖν λοιπῶν καὶ ὣς ἀνταιρόντων, καὶ τοῦ τε πολέμου μηκυνομένου καὶ λιμοῦ δι' αὐτὸν οὐχ ἥκιστα ἐν τῇ Ἰταλίᾳ γενομένου, τὸν Τιβέριον ὁ Αὔγουστος ἐς τὴν Δελματίαν αὖθις ἔπεμψεν. καὶ ὃς ἰδὼν τοὺς στρατιώτας μηκέτι τὴν τριβὴν 2
φέροντας ἀλλὰ καὶ μετὰ κινδύνου διαπολεμῆσαί πως ἐπιθυμοῦντας, a.C. 10
καὶ φοβηθεὶς μὴ καὶ καθ' ἓν ὄντες στασιάσωσι, τριχῇ διεῖλεν αὐτούς, καὶ τοὺς μὲν τῷ Σιλβανῷ τοὺς δὲ Μάρκῳ Λεπίδῳ προστάξας ἐπὶ τὸν Βάτωνα μετὰ τῶν λοιπῶν σὺν τῷ Γερμανικῷ ὥρμησεν. καὶ ἐκεῖνοι μὲν οὐ χαλεπῶς τοὺς ἀντιταχθέντας σφίσι μάχαις κατε- 3
στρέψαντο, αὐτὸς δὲ διὰ πάσης τε ὡς εἰπεῖν τῆς χώρας ἀπεπλανήθη, τοῦ Βάτωνος ἄλλῃ καὶ ἄλλῃ περιφοιτῶντος, καὶ τέλος καταφυγόντι

Digitized by Google

*αὐτῷ ἐς Ἀνδήριον τεῖχος ἐπ' αὐτῇ τῇ Σαλώνῃ ἐπῳκισμένον προσε-*
4 *δρεύσας δεινῶς ἐπόνησεν. τό τε γὰρ φρούριον ἐπ' εὐερκοῦς πάνυ*
*καὶ δυσπροσβάτου πέτρας ἐτετείχιστο, φάραγξι βαθείαις ποταμοὺς*
*χειμάρρους ἐχούσαις ἐγκεκυκλωμένον, καὶ οἱ ἄνθρωποι πάντα ἐς*
*αὐτὸ τὰ ἐπιτήδεια τὰ μὲν προεσενηνόχεσαν τὰ δὲ καὶ ἐκ τῶν ὀρῶν*
5 *ὧν ἐκράτουν ἐπήγοντο, καὶ προσέτι καὶ τὴν σιτοπομπίαν τῶν Ῥω-*
*μαίων ἐνεδρεύοντες ἐκώλυον, ὥστε τὸν Τιβέριον, πολιορκεῖν σφᾶς*
13 *δοκοῦντα, αὐτὸν τὰ τῶν πολιορκουμένων πάσχειν. ἀποροῦντος οὖν*
*αὐτοῦ καὶ μὴ εὑρίσκοντος ὅ τι πράξῃ (ἥ τε γὰρ προσεδρεία καὶ*
*ματαία καὶ ἐπικίνδυνος ἐγίγνετο καὶ ἡ ἀποχώρησις ἐπαισχὴς ἐφαί-*
*νετο) ἐθορύβησαν οἱ στρατιῶται, καὶ τοσαύτῃ γε καὶ τηλικαύτῃ*
*βοῇ ἐχρήσαντο ὥστε τοὺς πολεμίους τοὺς ὑπὸ τῷ τείχει αὐλιζομένους*
2 *ἐκπλαγῆναί τε καὶ ἀναχωρῆσαι. ἐξ οὖν τούτων τοῦ μὲν ὀργισθεὶς*
*τοῦ δὲ ἡσθεὶς συνεκάλεσέ τε αὐτούς, καὶ τὰ μὲν ἐπιτιμήσας σφίσι*
*τὰ δὲ καὶ παραινέσας οὔτε ἐθρασύνατο οὔτ' ἀπανέστη, ἀλλὰ κατὰ*
*χώραν ἡσυχάζων ἔμεινε, μέχρις οὗ ὁ Βάτων ἀπογνοὺς τὴν ἐπικρά-*
*τησιν (τά τε γὰρ ἄλλα πλὴν ὀλίγων ἐκεχείρωτο, καὶ ἡ δύναμις ἣν*
*εἶχε τῆς τότε ἀντικαθεστηκυίας οἱ ἠλαττοῦτο) διεκηρυκεύσατο πρὸς*
3 *αὐτόν, καὶ ἐπειδὴ μὴ ἔπεισε καὶ τοὺς ἄλλους σπείσασθαι, ἐγκατέ-*
*λιπεν αὐτούς. καὶ ὁ μὲν οὐκέτ' οὐδ' ἄλλῳ τινί, καίπερ πολλῶν*
*αὐτὸν ἐπικαλουμένων, ἐβοήθησεν· ὁ δὲ δὴ Τιβέριος καταφρονήσας*
*ἐκ τούτου τῶν λοιπῶν τῶν ἐν τῷ τείχει ὄντων, καὶ νομίσας ἀναι-*
*μωτί σφων κρατήσειν, οὐδὲν ἔτι τοῦ χωρίου προείδετο, ἀλλὰ καὶ*
4 *πρὸς αὐτὸ τὸ ἐρυμνὸν ἐχώρησεν. ἐπεὶ δὲ μήτε ὁμαλόν τι ἦν μήτε*
*ἐπικατέβαινον οἱ πολέμιοι, αὐτὸς μὲν ἐπὶ βήματος ἐν περιφανεῖ*
*ἱδρύθη, ὅπως τά τε γιγνόμενα καθορῴη πρὸς τὸ προθυμότερον*
*τοὺς στρατιώτας ἀγωνίσασθαι, καὶ ἐν καιρῷ σφίσιν, ἄν που δεήσῃ,*
*προσαμύναι (καὶ γὰρ μέρος ἐπ' αὐτὸ τοῦτο τοῦ στρατοῦ, πολὺ γὰρ*
5 *τῷ πλήθει περιῆν, κατέσχεν), οἱ δ' ἄλλοι τὸ μὲν πρῶτον ἐν πλαισίῳ*
*πυκνῷ συντεταγμένοι βάδην ἀνεπορεύοντο, ἔπειτα δ' ὑπό τε τοῦ*
*ὀρθίου καὶ ὑπὸ τῆς ἀνωμαλίας τοῦ ὄρους (χαραδρῶδές τε γὰρ ἦν*
*καὶ ἐς φάραγγας πολλαχῇ κατετέτμητο) διεσπάσθησαν, καὶ οἱ μὲν*
14 *θᾶσσον οἱ δὲ βραδύτερον προσανῄεσαν. ἰδόντες δὲ τοῦτο οἱ Δελ-*
*μάται ἔξω τε τοῦ τείχους ὑπὲρ αὐτοῦ τοῦ κρημνώδους παρετάξαντο,*
*καὶ λίθους πολλοὺς τοὺς μὲν σφενδόναις ἐπ' αὐτοὺς ἔβαλλον τοὺς*
*δὲ καὶ κατεκυλίνδουν. ἄλλοι τροχούς, ἄλλοι ἁμάξας ὅλας πλήρεις*
*πετρῶν, ἄλλοι κιβωτοὺς περιφερεῖς, ἐπιχωρίως πως πεποιημένας*
2 *καὶ λίθων γεμούσας, ἠφίεσαν. καὶ ταῦτά τε πάντα ἅμα πολλῇ*

13 4 2 *αὐτὸς*] *καὶ αὐτὸς* 14 2 1 *γε**

ῥύμῃ καταφερόμενα διεσφενδονᾶτο, καὶ τοὺς Ῥωμαίους διέσπα τε
ἔτι μᾶλλον ἀπ' ἀλλήλων καὶ συνήλου· καὶ ἕτεροι, οἱ μὲν βέλη οἱ
δὲ δοράτια ἀφιέντες, συχνοὺς αὐτῶν κατέβαλλον. κἀν τούτῳ πολλὴ 3
μὲν τῶν μαχομένων φιλοτιμία ἐγίγνετο, τῶν μὲν ἀναβῆναί τε καὶ
ἐπικρατῆσαι τῶν ἄκρων, τῶν δὲ ἀποκρούσασθαί τε αὐτοὺς καὶ
ἀπορράξαι πειρωμένων, πολλὴ δὲ καὶ τῶν ἄλλων τῶν τε ἀπὸ τοῦ
τείχους ὁρώντων τὰ γιγνόμενα καὶ τῶν περὶ τὸν Τιβέριον ὄντων.
τοῖς τε γὰρ σφετέροις ἑκάτεροι παρεκελεύοντο, τοὺς μὲν προθυμου- 4
μένους σφῶν ἐπιρρωννύντες, τοῖς δ' ὑπείκουσί πῃ ἐπιτιμῶντες, καὶ
ἀθρόοι καὶ καθ' ἑκάστους· καὶ ὅσοι ὑπὲρ τοὺς ἄλλους ἐγεγώνισκον,
καὶ τοὺς θεοὺς ἅμα ἀνεκάλουν, ὑπέρ τε τῆς αὐτίκα τῶν μαχομένων
ἀμφότεροι σωτηρίας καὶ ὑπὲρ τῆς ἑαυτῶν ἐς τὸ ἔπειτα οἱ μὲν
ἐλευθερίας οἱ δὲ εἰρήνης ἐπιβοώμενοι. κἀν τούτῳ παντελῶς ἂν οἱ 5
Ῥωμαῖοι μάτην ἐκινδύνευσαν, ἅτε πρὸς δύο ἅμα, τήν τε τῶν τόπων
φύσιν καὶ τὴν τῶν ἀντιπάλων ἀντίταξιν, τὸν ἀγῶνα ποιούμενοι, εἰ
μὴ ὁ Τιβέριος ἐκείνους τε ἀκραιφνέσι βοηθείαις φυγεῖν ἐκώλυσε,
καὶ τοὺς πολεμίους ἑτέρωθεν ἄλλοις στρατιώταις, ἐς τὸ ἄναντες
τοῦ χωρίου ἐκ πλείονος περιελθοῦσιν, ἐτάραξεν. κἀκ τούτου οἱ μὲν 6
τραπέντες οὐδ' ἐς τὸ τεῖχος ἐσελθεῖν ἠδυνήθησαν, ἀλλ' ἀνὰ τὰ ὄρη,
προαπορρίψαντες τὰ ὅπλα ὥστε κουφίζειν, ἐσκεδάσθησαν· οἱ δὲ
ἐπιδιώκοντές σφας (πάνυ τε γὰρ διαπολεμῆσαι ἐγλίχοντο, καὶ οὐκ
ἐβούλοντο συστραφέντας αὖθις αὐτοὺς χαλεπούς σφισι γενέσθαι)
ἐπίπαν ἐπεξῆλθον, καὶ ἐκείνων τε τοὺς πλείους ἐν ταῖς ὕλαις κρυ- 7
πτομένους ἀνευρόντες ὥσπερ θηρία ἀπέκτειναν, καὶ μετὰ τοῦτο καὶ
τοὺς ἐν τῷ φρουρίῳ προσχωρήσαντας ἔλαβον.

καὶ τούτοις μὲν ὁ Τιβέριος τά τε ἄλλα καὶ δὴ καὶ τὰ ὁμολο-
γηθέντα σφίσι καθίστατο, Γερμανικὸς δὲ ἐπὶ τοὺς ἀνθεστηκότας 15
ἐτράπετο· αὐτόμολοι γὰρ παρ' αὐτοῖς συχνοὶ ὄντες οὐκ εἴων σφᾶς
συμβῆναι. καὶ ἐδουλώσατο μὲν χωρίον τι Ἄρδουβαν, οὐ μέντοι
καὶ τῇ οἰκείᾳ δυνάμει, καίτοι πολλῷ πλείονι τῶν ἐναντίων οὔσῃ,
ἠδυνήθη τοῦτο ποιῆσαι· αὐτό τε γὰρ ἰσχυρῶς ὠχύρωτο, καὶ πο-
ταμὸς ῥοώδης τοὺς πρόποδας αὐτοῦ κύκλῳ πλὴν βραχέος περιρρεῖ·
ἀλλ' οἱ αὐτόμολοι στασιάσαντες πρὸς τοὺς ἐπιχωρίους ἐπειδὴ τῶν 2
σπονδῶν ὠρέγοντο, ἐς χεῖρας αὐτοῖς ἦλθον, καὶ συλλαβομένων σφίσι
τῶν γυναικῶν τῶν ἐν τῷ τείχει οὐσῶν (τῆς τε γὰρ ἐλευθερίας καὶ
παρὰ τὴν τῶν ἀνδρῶν γνώμην ἐφίεντο, καὶ πᾶν ὁτιοῦν πρὸ τοῦ
δουλεῦσαι παθεῖν ᾕροῦντο) μάχη τε ἰσχυρὰ ἐγένετο, καὶ κρατηθέντες
αὐτοὶ μὲν ἐνέδοσαν, καί τινες αὐτῶν καὶ διέφυγον, αἱ δὲ δὴ γυναῖκες 3

2 4 συνηλοία? an ἀνήλου? 5 1 ἂν om 15 1 4 πολλῇ

τὰ παιδία ἁρπάσασαι αἱ μὲν ἐς πῦρ ἑαυτὰς ἐνέβαλον, αἱ δὲ ἐς
ποταμὸν κατεκρήμνισαν. καὶ οὕτω καὶ ἐκείνου τοῦ φρουρίου ἁλόν-
τος, καὶ τὰ ἄλλα τὰ πλησία αὐτῷ ἐθελοντὶ τῷ Γερμανικῷ ὡμο-
λόγησεν. καὶ ὁ μὲν ταῦτα πράξας πρὸς τὸν Τιβέριον ἀνεχώρησεν,
16 ὁ δὲ δὴ Ποστούμιος τὰ λοιπὰ προσκατειργάσατο. κἀν τούτῳ καὶ
ὁ Βάτων, Σκευᾶν τὸν υἱὸν πρὸς Τιβέριον πέμψας, παραδώσειν οἱ
καὶ ἑαυτὸν καὶ τοὺς σὺν αὐτῷ πάντας ὑπέσχετο, ἂν τῆς ἀδείας
2 τύχῃ. καὶ μετὰ τοῦτο πίστιν λαβὼν νυκτός τε ἐς τὸ στρατόπεδον
αὐτοῦ ἐσῆλθε, καὶ τῇ ὑστεραίᾳ ἐπὶ βήματος αὐτῷ καθημένῳ προσ-
αχθεὶς ὑπὲρ μὲν ἑαυτοῦ οὐδὲν ἐδεήθη, ἀλλὰ καὶ τὴν κεφαλὴν προ-
έτεινεν ὥστ᾽ ἀποκοπῆναι, ὑπὲρ δὲ τῶν ἄλλων πολλὰ ἀπελογήσατο.
3 πάλιν δ᾽ ἐρωτηθεὶς ὑπὸ τοῦ Τιβερίου "τί ὑμῖν ἔδοξε καὶ ἀποστῆναι
καὶ ἐπὶ τοσοῦτον ἡμῖν χρόνον ἀντιπολεμῆσαι;" τοῦτ᾽ ἔφη ὅπερ καὶ
πρότερον, ὅτι ὑμεῖς τούτων αἴτιοι ἐστέ· ἐπὶ γὰρ τὰς ἀγέλας ὑμῶν
φύλακας οὐ κύνας οὐδὲ νομέας ἀλλὰ λύκους πέμπετε.

4 ὁ μὲν οὖν πόλεμος τοῦτο τὸ τέλος ἔσχε, πολλῶν μὲν καὶ ἀν-
δρῶν, πλείστων δὲ δὴ καὶ χρημάτων ἀπολομένων· πάμπολλά τε
17 γὰρ ἐς αὐτὸν στρατόπεδα ἐτράφη καὶ λεία ἐλαχίστη ἑάλω. ἀνήγ-
γειλε δὲ καὶ τότε τὴν νίκην ὁ Γερμανικός, καὶ ἐπ᾽ αὐτῇ τῷ μὲν
Αὐγούστῳ καὶ τῷ Τιβερίῳ τό τε τὸ τοῦ αὐτοκράτορος ὄνομα προσ-
θέσθαι καὶ τὸ τὰ ἐπινίκια πέμψαι, ἄλλαι τέ τινες τιμαὶ καὶ ἁψῖ-
2 δες ἐν τῇ Παννονίᾳ τροπαιοφόροι δύο ἐδόθησαν (ταῦτα γὰρ ἀπὸ
πολλῶν τῶν ψηφισθέντων σφίσιν ὁ Αὔγουστος ἐδέξατο), τῷ δὲ δὴ
Γερμανικῷ αἵ τε νικητήριοι τιμαί, ὅπερ που καὶ τοῖς ἄλλοις στρα-
τιάρχαις ὑπῆρξε, καὶ αἱ στρατηγικαί, τό τε τὴν γνώμην πρώτῳ
μετὰ τοὺς ὑπατευκότας ἀποφαίνεσθαι, καὶ τὸ τὴν ὑπατείαν θᾶσσον
3 παρὰ τὸ νενομισμένον λαβεῖν. καὶ τῷ Δρούσῳ δὲ τῷ τοῦ Τιβε-
ρίου υἱεῖ, καίτοι μὴ μετασχόντι τοῦ πολέμου, καὶ ἐς τὸ συνέδριον
συμφοιτᾶν πρὶν βουλεῦσαι, καὶ ἐπειδὰν ταμιεύσῃ γνώμην πρὸ τῶν
ἐστρατηγηκότων ποιεῖσθαι, ἐψηφίσθη.

18 ἄρτι τε ταῦτα ἐδέδοκτο, καὶ ἀγγελία δεινὴ ἐκ τῆς Γερμανίας
ἐλθοῦσα ἐκώλυσέ σφας διεορτάσαι. ἐν γὰρ τῷ αὐτῷ ἐκείνῳ χρόνῳ
καὶ ἐν τῇ Κελτικῇ τάδε συνηνέχθη. εἶχόν τινα οἱ Ῥωμαῖοι αὐτῆς,
οὐκ ἀθρόα ἀλλ᾽ ὥς που καὶ ἔτυχε χειρωθέντα, διὸ οὐδ᾽ ἐς ἱστορίας
2 μνήμην ἀφίκετο· καὶ στρατιῶταί τε αὐτῶν ἐκεῖ ἐχείμαζον καὶ πό-
λεις συνῳκίζοντο, ἔς τε τὸν κόσμον σφῶν οἱ βάρβαροι μετερρυθμί-
ζοντο καὶ ἀγορὰς ἐνόμιζον συνόδους τε εἰρηνικὰς ἐποιοῦντο. οὐ
μέντοι καὶ τῶν πατρίων ἐθῶν τῶν τε συμφύτων τρόπων καὶ τῆς

17 1 3 τὸ om*  18 2 3 ἀγοραῖς?*

Digitized by Google

αὐτονόμου διαίτης τῆς τε ἐκ τῶν ὅπλων ἐξουσίας ἐκλελησμένοι
ἦσαν. καὶ διὰ τοῦτο, τέως μὲν κατὰ βραχὺ καὶ ὁδῷ τινὶ μετὰ 3
φυλακῆς μετεμάνθανον αὐτά, οὔτε ἐβαρύνοντο τῇ τοῦ βίου μετα-
βολῇ καὶ ἐλάνθανόν σφας ἀλλοιούμενοι· ἐπεὶ δὲ ὁ Οὗαρος ὁ Κυιν-
τίλιος μετὰ τὴν τῶν Σύρων ἀρχὴν τήν τε ἡγεμονίαν τῆς Γερμανίας
λαβὼν καὶ τὰ παρ' ἐκείνοις ἐκ τῆς ἀρχῆς διοικῶν ἔσπευσεν αὐτοὺς
ἀθροώτερον μεταστῆσαι, καὶ τά τε ἄλλα ὡς καὶ δουλεύουσί σφισιν
ἐπέταττε καὶ χρήματα ὡς καὶ παρ' ὑπηκόων ἐσέπρασσεν, οὐκ ἠνέ- 4
σχοντο, ἀλλ' οἵ τε πρῶτοι τῆς πρόσθεν δυναστείας ἐφιέμενοι, καὶ
τὰ πλήθη τὴν συνήθη κατάστασιν πρὸ τῆς ἀλλοφύλου δεσποτείας
προτιμῶντες, ἐκ μὲν τοῦ φανεροῦ οὐκ ἀπέστησαν, πολλοὺς μὲν πρὸς
τῷ Ῥήνῳ πολλοὺς δὲ καὶ ἐν τῇ σφετέρᾳ τῶν Ῥωμαίων ὁρῶντες
ὄντας, δεξάμενοι δὲ τὸν Οὗαρον ὡς καὶ πάντα τὰ προστασσόμενά 5
σφισι ποιήσοντες προήγαγον αὐτὸν πόρρω που ἀπὸ τοῦ Ῥήνου ἔς
τε τὴν Χερουσκίδα καὶ πρὸς τὸν Οὐίσουργον, κἀνταῦθ' εἰρηνικώτατα
καὶ φιλικώτατα διαγαγόντες πίστιν αὐτῷ παρέσχον ὡς καὶ ἄνευ
στρατιωτῶν δουλεύειν δυνάμενοι. οὔτ' οὖν τὰ στρατεύματα, ὥσπερ 19
εἰκὸς ἦν ἐν πολεμίᾳ, συνεῖχε, καὶ ἀπ' αὐτῶν συχνοὺς αἰτοῦσι τοῖς
ἀδυνάτοις ὡς καὶ ἐπὶ φυλακῇ χωρίων τινῶν ἢ καὶ λῃστῶν συλλήψεσι
παραπομπαῖς τέ τισι τῶν ἐπιτηδείων διέδωκεν. ἦσαν δὲ οἱ μάλιστα 2
συνομόσαντες καὶ ἀρχηγοὶ τῆς τε ἐπιβουλῆς καὶ τοῦ πολέμου γενό-
μενοι ἄλλοι τε καὶ Ἀρμίνιος καὶ Σηγίμερος, συνόντες τε αὐτῷ ἀεὶ
καὶ συνεστιώμενοι πολλάκις. θαρσοῦντος οὖν αὐτοῦ, καὶ μήτε τι 3
δεινὸν προσδεχομένου, καὶ πᾶσι τοῖς τό τε γιγνόμενον ὑποτοποῦσι
καὶ φυλάττεσθαί οἱ παραινοῦσιν οὐχ ὅπως ἀπιστοῦντος ἀλλὰ καὶ
ἐπιτιμῶντος ὡς μάτην αὐτοῖς τε ταραττομένοις καὶ ἐκείνους δια-
βάλλουσιν, ἐπανίστανταί τινες πρῶτοι τῶν ἄπωθεν αὐτοῦ οἰκούντων
ἐκ παρασκευῆς, ὅπως ἐπ' αὐτοὺς ὁ Οὗαρος ὁρμήσας εὐαλωτότερός 4
σφισιν ἐν τῇ πορείᾳ, ὡς καὶ διὰ φιλίας διιών, γένηται, μηδὲ
ἐξαίφνης πάντων ἅμα πολεμωθέντων αὐτῷ φυλακήν τινα ποιήσηται.
καὶ ἔσχεν οὕτως· προέπεμψάν τε γὰρ αὐτὸν ἐξορμῶντα, καὶ οὐ
παρέμενον ὡς καὶ τὰ συμμαχικὰ παρασκευάσοντες καὶ διὰ ταχέων
οἱ προσβοηθήσοντες. τάς τε δυνάμεις ἐν ἑτοίμῳ που οὔσας παρέ- 5
λαβον, καὶ ἀποκτείναντες τοὺς παρὰ σφίσιν ἕκαστοι στρατιώτας,
οὓς πρότερον ᾐτήκεσαν, ἐπῆλθον αὐτῷ ἐν ὕλαις ἤδη δυσεκβάτοις
ὄντι. κἀνταῦθα ἅμα τε ἀνεφάνησαν πολέμιοι ἀνθ' ὑπηκόων ὄντες,
καὶ πολλὰ καὶ δεινὰ εἰργάσαντο. τά τε γὰρ ὄρη καὶ φαραγγώδη 20
καὶ ἀνώμαλα καὶ τὰ δένδρα καὶ πυκνὰ καὶ ὑπερμήκη ἦν, ὥστε

19 4 4 οὐ om*

τοὺς Ῥωμαίους, καὶ πρὶν τοὺς πολεμίους σφίσι προσπεσεῖν, ἐκεῖνά
τε τέμνοντας καὶ ὁδοποιοῦντας γεφυροῦντάς τε τὰ τούτου δεόμενα
2 πονηθῆναι. ἦγον δὲ καὶ ἁμάξας πολλὰς καὶ νωτοφόρα πολλὰ ὡς
καὶ ἐν εἰρήνῃ· παῖδές τε οὐκ ὀλίγοι καὶ γυναῖκες ἥ τε ἄλλη θερα-
πεία συχνὴ αὐτοῖς συνείπετο, ὥστε καὶ κατὰ τοῦτο ἐσκεδασμένῃ
3 τῇ ὁδοιπορίᾳ χρῆσθαι. κἂν τούτῳ καὶ ὑετὸς καὶ ἄνεμος πολὺς
ἐπιγενόμενοι ἔτι καὶ μᾶλλόν σφας διέσπειραν· τό τε ἔδαφος ὀλισθη-
ρὸν περί τε ταῖς ῥίζαις καὶ περὶ τοῖς στελέχεσι γενόμενον σφαλε-
ρώτατα αὐτοὺς βαδίζειν ἐποίει, καὶ τὰ ἄκρα τῶν δένδρων κατα-
4 θραυόμενα καὶ καταπίπτοντα διετάρασσεν. ἐν τοιαύτῃ οὖν δή τινι
ἀμηχανίᾳ τότε τῶν Ῥωμαίων ὄντων, οἱ βάρβαροι πανταχόθεν ἅμα
αὐτοὺς ἐξαπιναίως δι' αὐτῶν τῶν λοχμωδεστάτων, ἅτε καὶ ἔμπειροι
τῶν τριμμιῶν ὄντες, περιεστοιχίσαντο, καὶ τὸ μὲν πρῶτον πόρρωθεν
ἔβαλον, ἔπειτα δέ, ὡς ἠμύνετο μὲν οὐδεὶς ἐτιτρώσκοντο δὲ πολλοί,
5 ὁμόσε αὐτοῖς ἐχώρησαν· οἷα γὰρ οὔτε ἐν τάξει τινὶ ἀλλ' ἀναμὶξ
ταῖς τε ἁμάξαις καὶ τοῖς ἀόπλοις πορευόμενοι, οὔτε συστραφῆναί
πῃ ῥᾳδίως δυνάμενοι, ἐλάττους τε καθ' ἑκάστους τῶν ἀεὶ προσμι-
γνύντων σφίσιν ὄντες, ἔπασχον μὲν πολλά, ἀντέδρων δὲ οὐδέν.
21 αὐτοῦ τε οὖν ἐστρατοπεδεύσαντο, χωρίου τινὸς ἐπιτηδείου, ὥς γε
ἐν ὄρει ὑλώδει ἐνεδέχετο, λαβόμενοι, καὶ μετὰ τοῦτο τάς τε πλείους
ἁμάξας καὶ τἆλλα τὰ μὴ πάνυ σφίσιν ἀναγκαῖα τὰ μὲν κατακαύ-
σαντες τὰ δὲ καὶ καταλιπόντες, συντεταγμένοι μέν πῃ μᾶλλον τῇ
ὑστεραίᾳ ἐπορεύθησαν, ὥστε καὶ ἐς ψιλόν τι χωρίον προχωρῆσαι,
2 οὐ μέντοι καὶ ἀναιμωτὶ ἀπήλλαξαν. ἐντεῦθεν δὲ ἄραντες ἔς τε
ὕλας αὖθις ἐσέπεσον, καὶ ἠμύνοντο μὲν πρὸς τοὺς προσπίπτοντας
σφίσιν, οὐκ ἐλάχιστα δὲ δὴ καὶ κατ' αὐτὸ τοῦτο ἔπταιον· συστρε-
φόμενοι γὰρ ἐν στενοχωρίᾳ, ὅπως ἀθρόοι ἱππεῖς τε ὁμοῦ καὶ ὁπλῖται
ἐπιτρέχωσιν αὐτοῖς, πολλὰ μὲν περὶ ἀλλήλοις πολλὰ δὲ καὶ περὶ
3 τοῖς δένδροις ἐσφάλλοντο. τρίτη γὰρ ἡμέρα πορευομένοις σφίσιν
ἐγένετο, καὶ αὐτοῖς ὑετός τε αὖθις λάβρος καὶ ἄνεμος μέγας προσ-
πεσὼν οὔτε ποι προϊέναι οὔθ' ἵστασθαι παγίως ἐπέτρεπεν, ἀλλὰ
καὶ τὴν χρῆσίν σφας τῶν ὅπλων ἀφείλετο· οὔτε γὰρ τοῖς τοξεύμασιν
οὔτε τοῖς ἀκοντίοις, ἢ ταῖς γε ἀσπίσιν ἅτε καὶ διαβρόχοις οὔσαις,
4 καλῶς χρῆσθαι ἐδύναντο. τοῖς γὰρ πολεμίοις, ψιλοῖς τε τὸ πλεῖ-
στον οὖσι καὶ τὴν ἐξουσίαν καὶ τῆς ἐφόδου καὶ τῆς ἀναχωρήσεως
ἀδεᾶ ἔχουσιν, ἧττόν που ταῦτα συνέβαινεν. πρὸς δ' ἔτι αὐτοί τε
πολὺ πλείους γεγονότες (καὶ γὰρ τῶν ἄλλων τῶν πρότερον περι-
σκοπούντων συχνοὶ ἄλλως τε καὶ ἐπὶ τῇ λείᾳ συνῆλθον) καὶ ἐκείνους

21 3 1 τρίτη] τότε   γάρ] τ' ἄρ'?*

Digitized by Google

ἐλάττους ἤδη ὄντας (πολλοὶ γὰρ ἐν ταῖς πρὶν μάχαις ἀπολώλεσαν)
καὶ ἐκυκλοῦντο ῥᾷον καὶ κατεφόνευον, ὥστε καὶ τὸν Οὐᾶρον καὶ 5
τοὺς ἄλλους τοὺς λογιμωτάτους, φοβηθέντας μὴ ἤτοι ζωγρηθῶσιν
ἢ καὶ πρὸς τῶν ἐχθίστων ἀποθάνωσι (καὶ γὰρ τετρωμένοι ἦσαν),
ἔργον δεινὸν μὲν ἀναγκαῖον δὲ τολμῆσαι· αὐτοὶ γὰρ ἑαυτοὺς ἀπέ-
κτειναν. ὡς δὲ τοῦτο διηγγέλθη, οὐδὲ τῶν ἄλλων οὐδεὶς ἔτι, εἰ καὶ 22
ἔρρωτό τις, ἠμύνατο, ἀλλ' οἱ μὲν τὸν ἄρχοντά σφων ἐμιμήσαντο,
οἱ δὲ καὶ τὰ ὅπλα παρέντες ἐπέτρεπόν σφας τῷ βουλομένῳ φονεύειν·
φυγεῖν γὰρ οὐδ' εἰ τὰ μάλιστά τις ἤθελεν ἐδύνατο. ἐκόπτετό τε 2
οὖν ἀδεῶς πᾶς καὶ ἀνὴρ καὶ ἵππος, ... τὸ μὲν πρῶτον τό τε δεύ-
τερόν σφων φυλακτήριον παρῆλθον, ἐπεὶ δὲ πρὸς τῷ τρίτῳ ἐγένοντο,
ἐφωράθησαν, τῶν τε γυναικῶν καὶ τῶν παίδων συνεχῶς τοὺς ἐν
τῇ ἡλικίᾳ διά τε τὸν κάματον καὶ διὰ τὸν φόβον τό τε σκότος καὶ
τὸ ψῦχος ἀνακαλούντων. κἂν πάντες ἀπώλοντο ἢ καὶ ἑάλωσαν, εἰ 3
μὴ οἱ βάρβαροι περὶ τὴν τῆς λείας ἁρπαγὴν ἄσχολοι ἐγένοντο.
οὕτω γὰρ οἵ τε ἐρρωμενέστατοι πολὺ ἀπέσπασαν, καὶ οἱ σαλπιγκταὶ
οἱ σὺν αὐτοῖς ὄντες τροχαῖόν τι συμβοήσαντες δόξαν τοῖς ἐναντίοις
(νὺξ γὰρ ἐπεγένετο καὶ οὐχ ἑωρῶντο) ὡς καὶ παρὰ τοῦ Ἀσπρήνου
πεπεμμένοι παρέσχον. κἀκ τούτου ἐκεῖνοί τε ἐπέσχον τῆς διώξεως, 4
καὶ ὁ Ἀσπρήνας μαθὼν τὸ γιγνόμενον ὄντως σφίσιν ἐπεκούρησεν.
καί τινες μετὰ τοῦτο καὶ τῶν ἑαλωκότων ἀνεκομίσθησαν, λυτρω-
θέντες ὑπὸ τῶν οἰκείων· ἐπετράπη γάρ σφισι τοῦτο ποιῆσαι ἐφ' ᾧ
τε ἔξω τῆς Ἰταλίας αὐτοὺς εἶναι.

τοῦτο μὲν ὕστερον ἐγένετο· τότε δὲ μαθὼν ὁ Αὔγουστος τὰ 23
τῷ Οὐάρῳ συμβεβηκότα τήν τε ἐσθῆτα, ὥς τινές φασι, περιερρήξατο,
καὶ πένθος μέγα ἐπί τε τοῖς ἀπολωλόσι καὶ ἐπὶ τῷ περί τε τῶν
Γερμανιῶν καὶ περὶ τῶν Γαλατιῶν δέει ἐποιήσατο, τό τε μέγιστον
ὅτι καὶ ἐπὶ τὴν Ἰταλίαν τήν τε Ῥώμην αὐτὴν ὁρμήσειν σφᾶς προσ-
εδόκησε, καὶ οὔτε πολιτική οἱ ἡλικία ἀξιόλογος ὑπελέλειπτο, καὶ τὰ

5 1 ἐκύκλουν τε* 22 2 1 ἐκόπτετό — 4 ἐφωράθησαν] ἐκόπτοντο οὖν ἀδεῶς, καὶ τὰ ἐρύματα πάντα κατέσχον οἱ βάρβαροι ἄτερ ἑνός, περὶ ὃ ἀσχοληθέντες οὔτε τὸν Ῥῆνον διέβησαν οὔτ' ἐς τὴν Γαλατίαν ἐσέβαλον. ἀλλ' οὐδ' ἐκεῖνο χειρώσασθαι ἠδυνήθησαν, ἐπεὶ μήτε πολιορκεῖν ἠπίσταντο καὶ τοξόταις οἱ Ῥωμαῖοι συχνοῖς ἐχρῶντο, ἐξ ὧν καὶ ἀνεκόπτοντο καὶ πλεῖστοι ἀπώλλυντο. μετὰ δὲ τοῦτο πυθόμενοι φυλακὴν τοῦ Ῥήνου τοὺς Ῥωμαίους ποιήσασθαι καὶ τὸν Τιβέριον σὺν βαρεῖ προσελαύνειν στρατεύματι, οἱ μὲν πολλοὶ ἀπανέστησαν τοῦ ἐρύματος, οἱ δ' ὑπολειφθέντες ἀποστάντες αὐτοῦ, ὥστε μὴ αἰφνιδίοις ἐπεξελεύσεσι τῶν ἐντὸς κακοῦσθαι, τὰς ὁδοὺς ἐτήρουν, σπάνει σιτίων αἱρήσειν ἠλπικότες αὐτούς. οἱ δ' ἐντὸς ὄντες Ῥωμαῖοι ἕως μὲν εὐπόρουν τροφῆς, κατὰ χώραν ἔμενον βοήθειαν προσδεχόμενοι· ὡς δ' οὔτε τις ἐπεκούρει αὐτοῖς καὶ λιμῷ συνείχοντο, ἐξῆλθον νύκτα τηρήσαντες χειμέριον (ἦσαν δὲ στρατιῶται μὲν ὀλίγοι, ἄοπλοι δὲ πολλοί), καὶ τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον φυλακτήριον τῶν βαρβάρων παρῆλθον, πρὸς δὲ τῷ τρίτῳ γενόμενοι ἐφωράθησαν. Zon. p. 427.

Digitized by Google

2 συμμαχικά, ὧν τι καὶ ὄφελος ἦν, ἐκεκάκωτο. ὅμως δ' οὖν τά τε ἄλλα ὡς ἐκ τῶν παρόντων παρεσκευάσατο, καὶ ἐπειδὴ μηδεὶς τῶν τὴν στρατεύσιμον ἡλικίαν ἐχόντων καταλεχθῆναι ἠθέλησεν, ἐκλήρωσεν αὐτούς, καὶ τῶν μὲν μηδέπω πέντε καὶ τριάκοντα ἔτη γεγονότων τὸν πέμπτον, τῶν δὲ πρεσβυτέρων τὸν δέκατον ἀεὶ λαχόντα
3 τήν τε οὐσίαν ἀφείλετο καὶ ἠτίμωσεν. καὶ τέλος, ὡς καὶ πάνυ πολλοὶ οὐδ' οὕτω τι αὐτοῦ προετίμων, ἀπέκτεινέ τινάς. ἀποκληρώσας δὲ ἔκ τε τῶν ἐστρατευμένων ἤδη καὶ ἐκ τῶν ἐξελευθέρων ὅσους ἠδυνήθη, κατέλεξε, καὶ εὐθὺς σπουδῇ μετὰ τοῦ Τιβερίου ἐς τὴν
4 Γερμανίαν ἔπεμψεν. ἐπειδή τε συχνοὶ ἐν τῇ Ῥώμῃ καὶ Γαλάται καὶ Κελτοί, οἱ μὲν ἄλλως ἐπιδημοῦντες οἱ δὲ καὶ ἐν τῷ δορυφορικῷ στρατευόμενοι, ἦσαν, ἐφοβήθη μή τι νεοχμώσωσι, καὶ τούτους μὲν ἐς νήσους τινὰς ἀπέστειλε, τοῖς δ' ἀόπλοις ἐκχωρῆσαι τῆς πόλεως προσέταξεν.

24 a.C. 11 τότε μὲν ταῦτα ἔπραξε, καὶ οὔτ' ἄλλο τι τῶν νομιζομένων ἐγένετο οὔθ' αἱ πανηγύρεις ἑωρτάσθησαν· μετὰ δὲ τοῦτο ἀκούσας ὅτι τῶν τε στρατιωτῶν τινὲς ἐσώθησαν καὶ αἱ Γερμανίαι ἐφρουρήθησαν, τό τε πολέμιον οὐδ' ἐπὶ τὸν Ῥῆνον ἐλθεῖν ἐτόλμησε, τῆς τε
2 ταραχῆς ἀπηλλάγη καὶ διαγνώμην ἐποιήσατο. τό τε γὰρ πάθος οὐκ ἄνευ δαιμονίου τινὸς ὀργῆς καὶ μέγα οὕτω καὶ ἀθρόον ἐδόκει οἱ γεγονέναι· καὶ προσέτι καὶ ὑπὸ τῶν τεράτων τῶν πρό τε τῆς ἥττης καὶ μετὰ ταῦτα συμβάντων δεινὴν ὑποψίαν ἐς τὸ θεῖον ἔσχεν.
3 ὅ τε γὰρ τοῦ Ἄρεος ναὸς ὁ ἐν τῷ πεδίῳ αὐτοῦ ὢν ἐκεραυνώθη, καὶ ἀττέλεβοι πολλοὶ ἐς αὐτὸ τὸ ἄστυ πετόμενοι ὑπὸ χελιδόνων ἀνηλώθησαν, αἵ τε κορυφαὶ τῶν Ἄλπεων συμπεπτωκέναι τε ἐς ἀλλήλας καὶ κίονας τρεῖς πυροειδεῖς ἀνεικέναι ἔδοξαν, καὶ ὁ οὐρανὸς
4 φλεγομένῳ πολλαχῇ ἐῴκει, ἀστέρες τε κομῆται συχνοὶ ἅμα κατεφαίνοντο, καὶ δόρατα ἀπ' ἄρκτου φερόμενα πρὸς τὰ τῶν Ῥωμαίων στρατόπεδα προσπίπτειν ἐδόκει, μέλισσαί τε περὶ τοὺς βωμοὺς αὐτῶν κηρία ἀνέπλασσον, καὶ νίκης τι ἄγαλμα ἔν τε τῇ Γερμανίᾳ ὂν
5 καὶ πρὸς τὴν πολεμίαν βλέπον πρὸς τὴν Ἰταλίαν μετεστράφη· καί ποτε καὶ περὶ τοὺς ἀετοὺς τοὺς ἐν τοῖς στρατοπέδοις, ὡς καὶ τῶν βαρβάρων ἐπ' αὐτοὺς ἐσπεπτωκότων, μάχη καὶ ἀγωνισμὸς τῶν στρατιωτῶν διὰ κενῆς ἐγένετο.

καὶ ταῦτα μὲν οὕτω τότε συνέβη. τούτων τε οὖν ἕνεκα καὶ ἔτι καὶ ... μετὰ τὴν στρατηγίαν ἔχων. τῷ δὲ δευτέρῳ τά τε ἄλλα
25 τὰ προειρημένα ἐγένετο, καὶ τὸ ὁμονόειον ὑπὸ τοῦ Τιβερίου καθιερώθη, καὶ αὐτῷ τό τε ἐκείνου ὄνομα καὶ τὸ τοῦ Δρούσου τοῦ

24 5 5 τούτων — 25 1 1 ὁμονόειον codex Ven. 395, folio, ubi puncta sunt, exciso: ceteri τῷ δὲ ἑξῆς ἔτει τό τε ὁμονόειον

Digitized by Google

ἀδελφοῦ αὐτοῦ καὶ τεθνηκότος ἐπεγράφη. Μάρκου δὲ Αἰμιλίου 2
μετὰ Στατιλίου Ταύρου ὑπατεύσαντος, Τιβέριος μὲν καὶ Γερμανικὸς
ἀντὶ ὑπάτου ἄρχων ἔς τε τὴν Κελτικὴν ἐσέβαλον καὶ κατέδραμόν
τινα αὐτῆς, οὐ μέντοι οὔτε μάχῃ τινὶ ἐνίκησαν (ἐς γὰρ χεῖρας οὐ-
δεὶς αὐτοῖς ᾔει) οὔτε ἔθνος τι ὑπηγάγοντο· δεδιότες γὰρ μὴ καὶ 3
συμφορᾷ αὖθις περιπέσωσιν, οὐ πάνυ πόρρω τοῦ Ῥήνου προῆλθον,
ἀλλ' αὐτοῦ που μέχρι τοῦ μετοπώρου μείναντες καὶ τὰ τοῦ Αὐ-
γούστου γενέθλια ἑορτάσαντες καί τινα ἱπποδρομίαν ἐν αὐτοῖς διὰ
τῶν ἑκατοντάρχων ποιήσαντες ἐπανῆλθον. ἐν δὲ δὴ τῇ Ῥώμῃ 4
Δροῦσός τε Καῖσαρ ὁ τοῦ Τιβερίου παῖς ἐταμίευσε, καὶ στρατηγοὶ
ἑκκαίδεκα ἦρξαν, ἐπειδὴ τοσοῦτοί τε τῆς ἀρχῆς ἀντεποιήσαντο καὶ
οὐδένα αὐτῶν λυπῆσαι ὁ Αὔγουστος, οἷα ἐν τοιούτοις ὤν, ἠθέλησεν·
οὐ μὴν καὶ τοῖς ἄλλοις τοῖς ἐφεξῆς ἔτεσι ταὐτὸ ἐγένετο, ἀλλ' οἱ
δώδεκα ἐπὶ πολὺ κατέστησαν. τότε δ' οὖν ταῦτά τε οὕτως ἐπράχθη, 5
καὶ τοῖς μάντεσιν ἀπηγορεύθη μήτε κατὰ μόνας τινὶ μήτε περὶ
θανάτου, μηδ' ἂν ἄλλοι συμπαρῶσίν οἱ, χρᾶν· καίτοι οὕτως οὐδὲν
τῷ Αὐγούστῳ τῶν καθ' ἑαυτὸν ἔμελεν ὥστε καὶ ἐκ προγραφῆς
πᾶσι τὴν τῶν ἀστέρων διάταξιν, ὑφ' ἣν ἐγεγέννητο, φανερῶσαι. οὐ 6
μὴν ἀλλ' ἐκεῖνό τε ἀπεῖπε, καὶ τῷ ὑπηκόῳ προσπαρήγγειλε μηδενὶ
τῶν προστασσομένων αὐτοῖς ἀρχόντων μήτε ἐν τῷ τῆς ἀρχῆς χρόνῳ
μήτε ἐντὸς ἑξήκοντα ἡμερῶν μετὰ τὸ ἀπαλλαγῆναί σφας τιμήν
τινα διδόναι, ὅτι τινὲς μαρτυρίας παρ' αὐτῶν καὶ ἐπαίνους προ-
παρασκευαζόμενοι πολλὰ διὰ τούτου ἐκακούργουν. ταῖς τε πρεσ- 7
βείαις τρεῖς καὶ τότε βουλευταὶ ἐχρημάτισαν, καὶ τοῖς ἱππεῦσιν, ὃ
καὶ θαυμάσειεν ἄν τις, μονομαχεῖν ἐπετράπη. αἴτιον δὲ ὅτι ἐν
ὀλιγωρίᾳ τινὲς τὴν ἀτιμίαν τὴν ἐπ' αὐτῷ ἐπικειμένην ἐποιοῦντο.
ἐπεὶ γὰρ μήτ' ὄφελός τι τῆς ἀπορρήσεως ἐγίγνετο καὶ τιμωρίας
μείζονος ἄξιοι εἶναι ἐδόκουν, ἢ καὶ ἀποτραπήσεσθαι ἐνομίσθησαν,
συνεχωρήθη τοῦτό σφισι ποιεῖν. καὶ οὕτως ἀντὶ τῆς ἀτιμίας θά- 8
νατον ὠφλίσκανον· οὐδὲν γὰρ ἧττον ἐμονομάχουν, καὶ μάλισθ' ὅτι
δεινῶς οἱ ἀγῶνες αὐτῶν ἐσπουδάζοντο, ὥστε καὶ τὸν Αὔγουστον
τοῖς στρατηγοῖς τοῖς ἀγωνοθετοῦσί σφας συνθεᾶσθαι.

Γερμανικὸς δὲ μετὰ τοῦτο τὴν ὕπατον ἀρχὴν μηδὲ στρατηγή- 26
σας ἐδέξατο, καὶ δι' ὅλου αὐτὴν τοῦ ἔτους, οὐ πρὸς τὴν ἀξίωσιν a. C. 12
ἀλλ' ὥς που καὶ ἄλλοι τινὲς ἔτι καὶ τότε ἦρχον, ἔσχεν. καὶ αὐτὸς
μὲν οὐδὲν ἄξιον μνήμης ἔπραξε, πλὴν ὅτι καὶ τότε ὑπερεδίκησεν,

25 2 1 Μανίου? 6 1 ὢν 8 4 συνθέσθαι* 26 1 4 καὶ τότε ὑπερεδ.] ὅτι ὁ Γερμανικὸς ἐκ πολλῶν ᾠκειοῦτο τῷ πλήθει, καὶ ὅτι ὑπερεδίκει τινῶν, οὐχ ὅπως ἐπὶ τῶν ἄλλων δικαστῶν ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ Αὐγούστου. διὸ καὶ ταμίᾳ τινὶ φόνου αἰτίαν ἔχοντι [ἐδίκασε] τοῦ Γερμανικοῦ συναγορεύειν [οἱ] μέλλοντος, ἔδεισεν ὁ κατήγορος αὐτοῦ μὴ

Digitized by Google

ἐπεί γε ὁ συνάρχων αὐτοῦ Γάιος Καπίτων καὶ πάνυ τὴν ἄλλως
2 ἠριθμεῖτο· ὁ δὲ δὴ Αὔγουστος ἐκεῖνόν τε ὡς καὶ ἐπὶ γήρως ὢν τῇ
βουλῇ καὶ ταύτην τῷ Τιβερίῳ παρακατέθετο. ἀνέγνω δὲ τὸ βιβλίον
οὐκ αὐτός (οὐ γὰρ οἷός τε ἦν γεγωνίσκειν) ἀλλ' ὁ Γερμανικός, ὥσπερ
εἰώθει. καὶ μετὰ τοῦτο ᾐτήσατο παρ' αὐτῶν, ἐπὶ τῇ τοῦ Κελτικοῦ
πολέμου προφάσει, μήτε οἴκοι αὐτὸν ἀσπάζεσθαι μήτ' ἀγανακτεῖν
3 εἰ μηκέτι συσσιτοίη σφίσιν· τὸ μὲν γὰρ πλεῖστον, ἄλλως τε καὶ
ὁσάκις ἕδρα αὐτῶν ἐγίγνετο, ἔν τε τῇ ἀγορᾷ καὶ ἐν αὐτῷ γε ἔστιν
ὅτε τῷ συνεδρίῳ καὶ ἐσιόντα αὐτὸν καὶ ἀπιόντα αὖθις ἠσπάζοντο,
ἤδη δὲ καὶ ἐν τῷ παλατίῳ, καὶ καθήμενόν γε, ἔστι δ' ὅτε καὶ κα-
τακείμενον, οὐχ ὅτι ἡ γερουσία ἀλλὰ καὶ οἱ ἱππεῖς τοῦ τε δήμου
27 πολλοί. οὐ μέντοι καὶ τἆλλα ἧττόν τι παρὰ τοῦτο διῴκει, ἀλλὰ
καὶ τοῖς ἱππεῦσι δημαρχίαν αἰτῆσαι ἐπέτρεψε, καὶ μαθὼν ὅτι βι-
βλία ἄττα ἐφ' ὕβρει τινῶν συγγράφοιτο, ζήτησιν αὐτῶν ἐποιήσατο,
καὶ ἐκεῖνά τε, τὰ μὲν ἐν τῇ πόλει εὑρεθέντα πρὸς τῶν ἀγορανόμων
τὰ δὲ ἔξω πρὸς τῶν ἑκασταχόθι ἀρχόντων, κατέφλεξε, καὶ τῶν
2 συνθέντων αὐτὰ ἐκόλασε τινάς. ἐπειδή τε συχνοὶ φυγάδες οἱ μὲν
ἔξω τῶν τόπων ἐς οὓς ἐξωρίσθησαν τὰς διατριβὰς ἐποιοῦντο, οἱ
δὲ καὶ ἐν αὐτοῖς ἐκείνοις ἁβρότερον διῆγον, ἀπηγόρευσε μηδένα
πυρὸς καὶ ὕδατος εἰρχθέντα μήτε ἐν ἠπείρῳ διατρίβειν μήτε ἐν
νήσῳ τῶν ὅσαι ἔλαττον τετρακοσίων ἀπὸ τῆς ἠπείρου σταδίων
ἀπέχουσι, πλὴν Κῶ τε καὶ Ῥόδου Σαρδοῦς τε καὶ Λέσβου· ταύτας
3 γὰρ οὐκ οἶδ' ὅπως μόνας ὑπεξείλετο. ἐκεῖνά τε οὖν αὐτοῖς προσ-
έταξε, καὶ τὸ μήτε περαιοῦσθαί ποι ἄλλοσε, μήτε πλοῖα πλείω
φορτηγοῦ τε ἑνὸς χιλιοφόρου καὶ κωπήρων δύο κεκτῆσθαι, μήτε
δούλοις ἢ καὶ ἀπελευθέροις ὑπὲρ εἴκοσι χρῆσθαι, μήτ' οὐσίαν ὑπὲρ
δώδεκα καὶ ἡμίσειαν μυριάδα ἔχειν, τιμωρηθήσεσθαι καὶ αὐτοὺς
ἐκείνους καὶ τοὺς ἄλλους τούς τι παρὰ ταῦτα συμπράξαντάς σφι-
σιν ἐπαπειλήσας.

4 ταῦτά τε οὕτως, ὅσα γε καὶ ἐς ἱστορίαν ἀναγκαῖα ἐστί, διενο-
μοθετήθη, καὶ πανήγυρις ἔξω τῶν νενομισμένων ὑπό τε τῶν ὀρχη-
στῶν καὶ ὑπὸ τῶν ἱπποτρόφων ἐποιήθη. τά τε ἄρεια τότε μέν,
ἐπειδὴ ὁ Τίβερις τὸν ἱππόδρομον προκατέσχεν, ἐν τῇ τοῦ Αὐγούστου
ἀγορᾷ καὶ ἵππων δρόμῳ τρόπον τινὰ καὶ θηρίων σφαγῇ ἐτιμήθη,
5 αὖθις δὲ ὥσπερ εἴθιστο ἐγένετο, καὶ λέοντάς γε ἐς αὐτὰ ἐν τῷ
ἱπποδρόμῳ διακοσίους ὁ Γερμανικὸς ἀπέκτεινεν. ἥ τε στοὰ ἡ Λιβία

ἐλαττωθῇ διὰ τοῦτο παρὰ τοῖς [τοῖς ρ'?*] δικασταῖς ἐφ' οἷσπερ εἰώθει τὰ τοιαῦτα κρίνεσθαι, καὶ παρὰ τῷ Αὐγούστῳ δικασθῆναι μάτην ἠθέλησεν· οὐ γὰρ ἐκράτησεν. V p. 665. 27 1 2 πη 3 φορτικοῦ* 5 2 ὁ] ὅ τε

Digitized by Google

καλουμένη ᾠκοδομήθη τε ἐς τιμὴν τοῦ τε Γαΐου καὶ τοῦ Λουκίου τῶν Καισάρων, καὶ τότε καθιερώθη.

Λουκίου δὲ δὴ Μουνατίου καὶ Γαΐου Σιλίου ἐς τοὺς ὑπατεύ- 28
οντας ἐσγραφέντων, τήν τε προστασίαν τῶν κοινῶν τὴν δεκέτιν τὸ a.C. 13
πέμπτον ἄκων δὴ ὁ Αὔγουστος ἔλαβε, καὶ τῷ Τιβερίῳ τὴν ἐξουσίαν τὴν δημαρχικὴν αὖθις ἔδωκε, τῷ τε Δρούσῳ τῷ υἱεῖ αὐτοῦ ὑπατείαν ἐς ἔτος τρίτον, καὶ πρὶν στρατηγῆσαι, αἰτῆσαι ἐπέτρεψεν.
καὶ συμβούλους ὑπὸ τοῦ γήρως, ὑφ' οὗπερ οὐδ' ἐς τὸ βουλευτήριον 2
ἔτι πλὴν σπανιώτατα συνεφοίτα, εἴκοσιν ἐτησίους ᾐτήσατο· πρότερον γὰρ καθ' ἕκμηνον πεντεκαίδεκα προσετίθετο. καὶ προσεψηφίσθη, πάνθ' ὅσα ἂν αὐτῷ μετά τε τοῦ Τιβερίου καὶ μετ' ἐκείνων
τῶν τε ἀεὶ ὑπατευόντων καὶ τῶν ἐς τοῦτο ἀποδεδειγμένων, τῶν τε 3
ἐγγόνων αὐτοῦ τῶν ποιητῶν δῆλον ὅτι, τῶν τε ἄλλων ὅσους ἂν ἑκάστοτε προσπαραλάβῃ, βουλευομένῳ δόξῃ, κύρια ὡς καὶ πάσῃ τῇ γερουσίᾳ ἀρέσαντα εἶναι. τοῦτ' οὖν ἐκ τοῦ δόγματος, ὅπερ που καὶ ἄλλως τῷ γε ἔργῳ εἶχε, προσθέμενος, οὕτω τὰ πλείω καὶ κατα-
κείμενος ἔστιν ὅτε ἐχρημάτιζεν. ἐπεί τ' ἐπὶ τῇ εἰκοστῇ πάντες ὡς 4
εἰπεῖν ἐβαρύνοντο καὶ ἐδόκει τι νεώτερον ἔσεσθαι, ἔπεμψε βιβλίον ἐς τὴν βουλήν, κελεύων ἄλλους τινὰς αὐτὴν πόρους ἐπιζητῆσαι. τοῦτο δὲ οὐχ ὡς καὶ ἐκεῖνο τὸ τέλος καταλύσων ἐποίησεν, ἀλλ' ἵνα μηδενὸς ἄλλου αἱρετωτέρου σφίσι φανέντος καὶ ἄκοντες αὐτὸ ἄνευ
τῆς ἑαυτοῦ διαβολῆς βεβαιώσωσιν. καὶ ὅπως γε μὴ τοῦ Γερμανικοῦ 5
τοῦ τε Δρούσου γνώμην τινὰ εἰπόντων ὑποτοπήσωσί τε ἐκ τῆς αὐτοῦ ἐντολῆς τοῦτο γεγονέναι καὶ ἀνεξέταστον αὐτὴν ἕλωνται, προσέταξε μηδέτερον αὐτῶν μηδὲν εἰπεῖν. καὶ ἐλέχθη μὲν πολλά,
καί τινα καὶ διὰ βιβλίων τῷ Αὐγούστῳ ἐδηλώθη· καταμαθὼν δὲ 6
ἐξ αὐτῶν πάντα μᾶλλον ἢ ἐκεῖνο ἑτοίμους σφᾶς ὑπομεῖναι ὄντας, ἐπί τε τοὺς ἀγροὺς καὶ ἐπὶ τὰς οἰκίας τὴν συντέλειαν ἤγαγε, καὶ παραχρῆμα μηδὲν εἰπών, μήθ' ὅσον μήθ' ὅπως αὐτὸ δώσουσιν, ἔπεμψεν ἄλλους ἄλλῃ τά τε τῶν ἰδιωτῶν καὶ τὰ τῶν πόλεων κτήματα ἀπογραψομένους, ἵν' ὡς καὶ μειζόνως ζημιωθησόμενοι δείσωσι καὶ τὴν εἰκοστὴν τελεῖν ἀνθέλωνται. ὃ καὶ ἐγένετο.

καὶ ταῦτα μὲν ὧδέ πῃ τῷ Αὐγούστῳ διῳκεῖτο· ἐν δὲ τῇ τῶν 29
αὐγουσταλίων θέᾳ, ἥτις ἐπὶ τοῖς αὐτοῦ γενεθλίοις ἐγίγνετο, ἀνήρ τις ἐμμανὴς ἔς τε τὸν δίφρον τὸν τῷ Καίσαρι τῷ Ἰουλίῳ κείμενον ἐνιδρύθη καὶ τὸν στέφανον αὐτοῦ λαβὼν περιέθετο. καὶ ἐδόκει ἐς
τὸν Αὔγουστόν τι σημαίνεσθαι. ὅπερ καὶ ἀληθὲς ἦν· τῷ γὰρ ἐχο- 2
μένῳ ἔτει, ἐν ᾧ Σέξτος τε Ἀπουλήιος καὶ Σέξτος Πομπήιος ὑπά- a.C. 14
τευσαν, ἐξωρμήθη τε ἐς τὴν Καμπανίαν ὁ Αὔγουστος, καὶ τὸν ἀγῶνα τὸν ἐν τῇ Νέᾳ πόλει διαθεὶς ἔπειτα ἐν Νώλῃ μετήλλαξεν.

Digitized by Google

τέρατα δὲ ἄρα ἐς τοῦτο αὐτῷ φέροντα οὔτε ἐλάχιστα οὔτε δυσξύμ-
3 βλητα ἐγεγένητο· ὅ τε γὰρ ἥλιος πᾶς ἐξέλιπε, καὶ τοῦ οὐρανοῦ τὸ
πολὺ καίεσθαι ἔδοξε, ξύλα τε διάπυρα ἀπ' αὐτοῦ πίπτοντα ἐφαν-
τάσθη, καὶ ἀστέρες κομῆται καὶ αἱματώδεις ὤφθησαν. βουλῆς
τε ἐπὶ τῇ νόσῳ αὐτοῦ ἐπαγγελθείσης, ἵν' εὐχὰς ποιήσωνται, τό τε
συνέδριον κεκλεισμένον εὑρέθη καὶ βύας ὑπὲρ αὐτοῦ καθήμενος
4 ἔβυξεν. καὶ κεραυνὸς ἐς εἰκόνα αὐτοῦ ἐν τῷ Καπιτωλίῳ ἑστῶσαν
ἐμπεσὼν τὸ γράμμα τὸ πρῶτον τοῦ ὀνόματος τοῦ Καίσαρος ἠφά-
νισεν· ὅθεν οἱ μάντεις τῇ ἑκατοστῇ μετὰ τοῦτο αὐτὸν ἡμέρᾳ θείας
τινὸς μοίρας μεταλήψεσθαι ἔφασαν, τεκμαιρόμενοι ὅτι τό τε στοι-
χεῖον ἐκεῖνο τὸν τῶν ἑκατὸν ἀριθμὸν παρὰ τοῖς Λατίνοις καὶ τὸ
5 λοιπὸν πᾶν ὄνομα θεὸν παρὰ τοῖς Τυρσηνοῖς νοεῖ. ταῦτα μὲν
ζῶντος ἔτ' αὐτοῦ προεφάνη, τοῖς δὲ δὴ ἔπειτα ἀνθρώποις καὶ τὸ
τῶν ὑπάτων τό τε Σεξτίου Σουλπικίου Γάλβου ἐνθύμιον ἐγένετο.
ἐκεῖνοί τε γὰρ συγγενεῖς πῃ τοῦ Καίσαρος τοῦ Αὐγούστου ὄντες
ἦρχον, καὶ ὁ Γάλβας ὁ τὸ κράτος ὕστερον λαβὼν τότε ἐν αὐτῇ τῇ
6 νουμηνίᾳ ἐς τοὺς ἐφήβους ἐνεγράφη. ἐπεὶ οὖν πρῶτος μετὰ τὸ
τοῦ Αὐγούστου γένος ἐκ τῶν ἄλλων Ῥωμαίων ἐμονάρχησε, λόγον
τισὶ παρέσχεν ὡς οὐκ ἀπὸ ταὐτομάτου τότε ταῦτα ἀλλ' ἐκ δαιμο-
νίου προβουλῆς ἐγένετο.

30 ὁ δ' οὖν Αὔγουστος νοσήσας μετήλλαξεν· καί τινα ὑποψίαν τοῦ
θανάτου αὐτοῦ ἡ Λιουία ἔλαβεν, ἐπειδὴ πρὸς τὸν Ἀγρίππαν κρύφα
ἐς τὴν νῆσον διέπλευσε καὶ ἐδόκει οἱ καὶ παντάπασι καταλλαγή-
2 σεσθαι. δείσασα γάρ, ὥς φασί, μὴ καὶ ἐπὶ τῇ μοναρχίᾳ αὐτὸν
καταγάγῃ, σῦκά τινα ἐπὶ δένδροις ἔτ' ἐπόντα, ἀφ' ὧν ὁ Αὔγουστος
αὐτοχειρίᾳ συκάζειν εἰώθει, φαρμάκῳ ἔχρισε, καὶ αὐτή τε ἅμα τὰ
3 ἀνήλιφα ἤσθιε κἀκείνῳ τὰ πεφαρμαγμένα προσέβαλλεν. εἴτ' οὖν
ἐκ τούτου εἴτε καὶ ἄλλως ἀρρωστήσας τούς τε ἑταίρους συνεκάλεσε,
καὶ εἰπὼν αὐτοῖς ὅσα ἔχρῃζε, τέλος ἔφη ὅτι τὴν Ῥώμην γηΐνην
4 παραλαβὼν λιθίνην ὑμῖν καταλείπω. τοῦτο μὲν οὖν οὐ πρὸς τὸ
τῶν οἰκοδομημάτων αὐτῆς ἀκριβὲς ἀλλὰ πρὸς τὸ τῆς ἀρχῆς ἰσχυρὸν
ἐνεδείξατο· κρότον δὲ δή τινα παρ' αὐτῶν ὁμοίως τοῖς γελωτοποιοῖς,
ὡς καὶ ἐπὶ μίμου τινὸς τελευτῇ, αἰτήσας καὶ πάμπανυ πάντα τὸν
τῶν ἀνθρώπων βίον διέσκωψεν.

5 καὶ ὁ μὲν οὕτω τῇ ἐννεακαιδεκάτῃ τοῦ Αὐγούστου, ἐν ᾗ ποτὲ
τὸ πρῶτον ὑπάτευσε, μετήλλαξε, ζήσας μὲν πέντε καὶ ἑβδομήκοντα

29 4 3 ἑκατοστῇ om 5 3 τοῦ τε vel τό τε τοῦ* 4 τοῦ post Κ. om*
30 1 2 post αὐτοῦ Xiph. p. 93: ἐμοὶ γοῦν οὐ πιστήν 3 post διέπλευσεν Zon. p. 429: ἔνθα μετὰ τῆς Ἰουλίας τῆς μητρὸς πεφυγάδευτο. πᾶσι πάντα 3 3 πηλίνην Zon. 4 4 πάνυ Xiph.

Digitized by Google

ἔτη καὶ μῆνας δέκα καὶ ἡμέρας ἓξ καὶ εἴκοσι (τῇ γὰρ τρίτῃ καὶ
εἰκοστῇ τοῦ Σεπτεμβρίου ἐγεγέννητο), μοναρχήσας δέ, ἀφ' οὗ πρὸς
τῷ Ἀκτίῳ ἐνίκησε, τέσσαρα καὶ τεσσαράκοντα ἔτη, δεκατριῶν ἡμε-
ρῶν δέοντα. οὐ μέντοι καὶ ἐκφανὴς εὐθὺς ὁ θάνατος αὐτοῦ ἐγέ- 31
νετο· ἡ γὰρ Λιουία, φοβηθεῖσα μὴ τοῦ Τιβερίου ἐν τῇ Δελματίᾳ
ἔτ' ὄντος νεωτερισθῇ τι, συνέκρυψεν αὐτὸν μέχρις οὗ ἐκεῖνος ἀφί-
κετο. ταῦτα γὰρ οὕτω τοῖς τε πλείοσι καὶ τοῖς ἀξιοπιστοτέροις
γέγραπται· εἰσὶ γάρ τινες οἳ καὶ παραγενέσθαι τὸν Τιβέριον τῇ
νόσῳ αὐτοῦ καὶ ἐπισκήψεις τινὰς παρ' αὐτοῦ λαβεῖν ἔφασαν. τὸ 2
δ' οὖν σῶμα τὸ τοῦ Αὐγούστου ἐκ μὲν τῆς Νώλης οἱ πρῶτοι
καθ' ἑκάστην πόλιν ἐκ διαδοχῆς ἐβάστασαν, πρὸς δὲ δὴ τῇ Ῥώμῃ
γενόμενον οἱ ἱππεῖς παραλαβόντες νυκτὸς ἐς τὸ ἄστυ ἐσεκόμισαν.
τῇ τε ὑστεραίᾳ βουλὴ ἐγένετο, καὶ ἐς αὐτὴν οἱ μὲν ἄλλοι τὴν ἱππάδα
στολὴν ἐνδεδυκότες συνῆλθον, οἱ δ' ἄρχοντες τὴν βουλευτικὴν πλὴν
τῶν ἱματίων τῶν περιπορφύρων· ὁ δὲ δὴ Τιβέριος καὶ ὁ Δροῦσος 3
ὁ υἱὸς αὐτοῦ φαιάν, τὸν ἀγοραῖον τρόπον πεποιημένην, εἶχον. καὶ
τοῦ μὲν λιβανωτοῦ καὶ αὐτοὶ ἔθυσαν, τῷ δ' αὐλητῇ οὐκ ἐχρήσαντο.
ἐκαθέζοντο δὲ οἱ μὲν πολλοὶ ὥς που ἕκαστος εἰώθει, οἱ δ' ὕπατοι
κάτω ἐν τοῖς βάθροις ὁ μὲν τῷ τῶν στρατηγῶν ὁ δὲ τῷ τῶν δη-
μάρχων. καὶ μετὰ τοῦτο τῷ τε Τιβερίῳ ἄδεια ἐδόθη, ὅτι τοῦ
νεκροῦ, οὐκ ἐξὸν δή, ἥψατο καὶ συμπαρέπεμψεν αὐτόν, καὶ τὰς 32
διαθήκας αὐτοῦ Πολύβιός τις καισάρειος ἀνέγνω ὡς μὴ πρέπον
βουλευτῇ τοιοῦτό τι ἀναλέγεσθαι. κατελέλειπτο δὲ ἐν αὐταῖς τὰ
μὲν δύο μέρη τοῦ κλήρου τῷ Τιβερίῳ, τὸ δὲ λοιπὸν τῇ Λιουίᾳ, ὥς
τινες λέγουσιν· ἵνα γάρ τι καὶ ἐκείνη τῆς οὐσίας αὐτοῦ ἀπόνηται,
παρὰ τῆς βουλῆς ᾐτήσατο τοσοῦτον αὐτῇ καὶ παρὰ τὸν νόμον
καταλιπεῖν δυνηθῆναι. κληρονόμοι μὲν δὴ οὗτοι ἐγεγράφατο· κτή- 2
ματα δὲ καὶ χρήματα πολλὰ πολλοῖς καὶ τῶν προσηκόντων οἱ καὶ
τῶν ἀλλοτρίων, οὐχ ὅπως βουλευταῖς καὶ ἱππεῦσιν ἀλλὰ καὶ βα-
σιλεῦσι, τῷ τε δήμῳ χιλίας μυριάδας, καὶ τοῖς στρατιώταις τοῖς
μὲν δορυφόροις κατὰ πεντήκοντα καὶ διακοσίας δραχμάς, τοῖς δ'
ἀστικοῖς τὴν ἡμίσειαν, τῷ τε λοιπῷ τῷ πολιτικῷ πλήθει πέντε καὶ
ἑβδομήκοντα δοθῆναι ἐκέλευσεν. καὶ προσέτι καὶ τοῖς παισὶν ὧν 3
μικρῶν ἔτι ὄντων τοὺς πατέρας τῶν οὐσιῶν ἐκεκληρονομήκει, προσέ-
ταξε πάντα μετὰ τῶν προσόδων, ἐπειδὰν ἀνδρωθῶσιν, ἀποδοθῆναι.
ὅπερ που καὶ ζῶν ἐποίει· εἰ γάρ τινα τέκνα ἔχοντα διεδέξατο, τοῖς
παισὶν αὐτοῦ πάντως, εἰ μὲν ἤδη τότε τέλειοι ἦσαν, εὐθύς, εἰ δὲ

31 1 4 τοῖς ante ἀξ. om* 32 1 1 τὰς διαθήκας αὐτοῦ ὁ Δροῦσος ἐκ τῶν ἀειπαρθένων τῶν τῆς Ἑστίας ἱερειῶν, αἷς παρατέθειντο, παρειληφὼς εἰς τὸ συνέδριον εἰσήνεγκε, καὶ τὰς σφραγῖδας οἱ κατασημηνάμενοι ἐπεσκέψαντο, καὶ ἀνεγνώσθησαν ἐν ἐπηκόῳ τοῦ συνεδρίου. Zon.

Digitized by Google

4 μή, μετὰ τοῦτο πάντα ἀπεδίδου. τοιοῦτος μέντοι περὶ τοὺς ἀλλοτρίους παῖδας ὢν τὴν θυγατέρα οὔτε κατήγαγε, καίπερ καὶ δωρεῶν ἀξιώσας, καὶ ταφῆναι ἐν τῷ αὐτοῦ μνημείῳ ἀπηγόρευσεν.

33 τοσαῦτα μὲν αἱ διαθῆκαι ἐδήλουν, ἐσεκομίσθη δὲ καὶ βιβλία τέσσαρα· καὶ αὐτὰ ὁ Δροῦσος ἀνέγνω. ἐγέγραπτο δὲ ἐν μὲν τῷ πρώτῳ ὅσα τῆς ταφῆς εἴχετο, ἐν δὲ τῷ δευτέρῳ τὰ ἔργα ἃ ἔπραξε πάντα, ἃ καὶ ἐς χαλκᾶς στήλας πρὸς τῷ ἡρῴῳ αὐτοῦ σταθείσας
2 ἀναγραφῆναι ἐκέλευσεν. τὸ τρίτον τά τε τῶν στρατιωτῶν καὶ τὰ τῶν προσόδων τῶν τε ἀναλωμάτων τῶν δημοσίων, τό τε πλῆθος τῶν ἐν τοῖς θησαυροῖς χρημάτων, καὶ ὅσα ἄλλα τοιουτότροπα ἐς
3 τὴν ἡγεμονίαν φέροντα ἦν, εἶχε, καὶ τὸ τέταρτον ἐντολὰς καὶ ἐπισκήψεις τῷ Τιβερίῳ καὶ τῷ κοινῷ, ἄλλας τε καὶ ὅπως μήτ' ἀπελευθερῶσι πολλούς, ἵνα μὴ παντοδαποῦ ὄχλου τὴν πόλιν πληρώσωσι, μήτ' αὖ ἐς τὴν πολιτείαν συχνοὺς ἐσγράφωσιν, ἵνα πολὺ τὸ διά-
4 φορον αὐτοῖς πρὸς τοὺς ὑπηκόους ᾖ. τά τε κοινὰ πᾶσι τοῖς δυναμένοις καὶ εἰδέναι καὶ πράττειν ἐπιτρέπειν, καὶ ἐς μηδένα ἀναρτᾶν αὐτὰ παρήνεσε σφίσιν, ὅπως μήτε τυραννίδος τις ἐπιθυμήσῃ, μήτ'
5 αὖ πταίσαντος ἐκείνου τὸ δημόσιον σφαλῇ. γνώμην τε αὐτοῖς ἔδωκε τοῖς τε παροῦσιν ἀρκεσθῆναι καὶ μηδαμῶς ἐπὶ πλεῖον τὴν ἀρχὴν ἐπαυξῆσαι ἐθελῆσαι· δυσφύλακτόν τε γὰρ αὐτὴν ἔσεσθαι, καὶ κιν-
6 δυνεύσειν ἐκ τούτου καὶ τὰ ὄντα ἀπολέσαι ἔφη. τοῦτο γὰρ καὶ αὐτὸς ὄντως ἀεί ποτε οὐ λόγῳ μόνον ἀλλὰ καὶ ἔργῳ ἐτήρησεν· παρὸν γοῦν αὐτῷ πολλὰ ἐκ τοῦ βαρβαρικοῦ προσκτήσασθαι οὐκ ἠθέλησεν.

34 ταῦτα μὲν αἱ ἐντολαὶ εἶχον, μετὰ δὲ τοῦτο ἡ ἐκφορὰ αὐτοῦ ἐγένετο. κλίνη ἦν ἔκ τε ἐλέφαντος καὶ ἐκ χρυσοῦ πεποιημένη καὶ στρώμασιν ἁλουργοῖς διαχρύσοις κεκοσμημένη· καὶ ἐν αὐτῇ τὸ μὲν σῶμα κάτω που ἐν θήκῃ συνεκέκρυπτο, εἰκὼν δὲ δή τις αὐτοῦ
2 κηρίνη ἐν ἐπινικίῳ στολῇ ἐξεφαίνετο. καὶ αὕτη μὲν ἐκ τοῦ παλατίου πρὸς τῶν ἐς νέωτα ἀρχόντων, ἑτέρα δὲ ἐκ τοῦ βουλευτηρίου χρυσῆ, καὶ ἑτέρα αὖ ἐφ' ἅρματος πομπικοῦ ἤγετο. καὶ μετὰ ταύτας αἵ τε τῶν προπατόρων αὐτοῦ καὶ αἱ τῶν ἄλλων συγγενῶν τῶν τεθνηκότων, πλὴν τῆς τοῦ Καίσαρος ὅτι ἐς τοὺς ἥρωας ἐσεγέγραπτο, αἵ τε τῶν ἄλλων Ῥωμαίων τῶν καὶ καθ' ὁτιοῦν πρωτευσάντων,
3 ἀπ' αὐτοῦ τοῦ Ῥωμύλου ἀρξάμεναι, ἐφέροντο. καί τις καὶ τοῦ Πομπηίου τοῦ μεγάλου εἰκὼν ὤφθη, τά τε ἔθνη πάνθ' ὅσα προσεκτήσατο, ἐπιχωρίως σφίσιν ὡς ἕκαστα ἀπεικασμένα ἐπέμφθη. κἀκ τούτου καὶ τἆλλα αὐτοῖς, ὅσα ἐν τοῖς ἄνω λόγοις εἴρηται, ἐφέσπετο.
4 προτεθείσης δὲ τῆς κλίνης ἐπὶ τοῦ δημηγορικοῦ βήματος, ἀπὸ μὲν

33 4 2 μὴ ἐς ἕνα? an ἐς μηδένα ἕνα? 34 1 2 ἐκ om*

ἐκείνου ὁ Δροῦσός τι ἀνέγνω, ἀπὸ δὲ τῶν ἑτέρων ἐμβόλων τῶν
Ἰουλίων ὁ Τιβέριος δημόσιον δή τινα κατὰ δόγμα λόγον ἐπ' αὐτῷ
τοιόνδε ἐπελέξατο.
“ὅσα μὲν ἰδίᾳ καὶ παρὰ τῶν συγγενῶν ἐπὶ τῷ θείῳ ἐκείνῳ 35
Αὐγούστῳ λεχθῆναι ἔδει, Δροῦσος εἴρηκεν· ἐπειδὴ δὲ καὶ δημοσίας
τρόπον τινὰ φωνῆς ἡ γερουσία καλῶς ποιοῦσα ἠξίωσεν αὐτόν, οἶδα
μὲν προσήκοντα ἐμαυτῷ τὸν λόγον τόνδε ἐπιτραπείς (τίς γὰρ ἂν 2
δικαιότερον ἐμοῦ τοῦ καὶ παιδὸς αὐτοῦ καὶ διαδόχου τὸν ἐπ' αὐτῷ
ἔπαινον ἐνεχειρίσθη;) οὐ μέντοι καὶ θαρρεῖν ἔχω ὡς οὐ πολὺ κατα-
δεέστερος καὶ τῆς ὑμετέρας περὶ αὐτοῦ βουλήσεως καὶ τῆς ἐκείνου
ἀξιώσεως ὤν. ἀλλ' εἰ μὲν ἐν ἀλλοτρίοις τισὶ λέξειν ἔμελλον, σφόδρα 3
ἂν ἐφοβούμην μὴ τῷ ἐμῷ λόγῳ προσέχοντες τοιαῦτα καὶ τὰ ἔργα
αὐτοῦ νομίσωσιν εἶναι· νῦν δὲ δὴ παραμυθεῖταί με ὅτι παρ' ὑμῖν
τοῖς πάντα τε ἀκριβῶς αὐτὰ εἰδόσι καὶ πάντων αὐτῶν πεπειραμέ-
νοις, καὶ διὰ ταῦτα καὶ τῶν ἐπαίνων τῶνδε αὐτὸν ἠξιωκόσι, τοὺς
λόγους ποιήσομαι. οὐ γὰρ ἐξ ὧν ἂν ἔγωγε εἴπω καὶ τὴν ἐκείνου 4
ἀρετὴν κρινεῖτε, ἀλλ' ἐξ ὧν αὐτοὶ σύνιστε καὶ τοῖς ἐμοῖς λόγοις
βοηθήσετε, ἀναπληροῦντες τὸ ἐλλεῖπον τῇ μνήμῃ τῶν γεγονότων,
ὥστε κοινὸν κἂν τούτῳ παρὰ πάντων τὸν ἔπαινον γενέσθαι, ἐμοῦ
τε ὥσπερ ἐν χορῷ τινὶ τὰ κεφάλαια ἀποσημαίνοντος, καὶ ὑμῶν τὰ
λοιπὰ συνεπηχούντων. οὐ γὰρ δὴ καὶ ἐκεῖνο δέδοικα, μὴ ἤτοι ἐμοῦ 5
ἀσθένειάν τινα καταγνῶτε, ὅτι μὴ δύναμαι τῆς ἐπιθυμίας ὑμῶν
τυχεῖν, ἢ αὐτοὶ τῷ ὑπερβάλλοντι ὑμᾶς τῆς ἀρετῆς αὐτοῦ φθονή-
σητε. τίς γὰρ οὐκ ἐπίσταται τοῦθ', ὅτι οὔτ' ἂν πάντες ἄνθρωποι
συνελθόντες ἀξίους αὐτοῦ ἐπαίνους εἴποιεν, καὶ πάντες ἐθελονταὶ
τῶν νικητηρίων αὐτῷ παραχωρεῖτε, οὐχ ὅτι οὐδεὶς ἂν ὑμῶν ἐξισω- 6
θείη οἱ φθονοῦντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὑπερέχοντι αὐτοῦ ἀγαλλό-
μενοι. ὅσῳ γὰρ ἂν οὗτος μείζων ὑμῶν φανῇ, τοσούτῳ μείζονα
ὑμεῖς εὐηργετῆσθαι δόξετε, ὥστε μὴ ἀφ' ὧν ἐλαττοῦσθε αὐτοῦ
βασκανίαν ὑμῖν, ἀλλ' ἀφ' ὧν εὖ πεπόνθατε ὑπ' αὐτοῦ σεμνότητα
ἐγγενέσθαι.
ἄρξομαι δὲ ἐντεῦθεν ὅθεν περ καὶ ἐκεῖνος τὰ κοινὰ πράττειν 36
ἤρξατο, τοῦτ' ἔστιν ἀπὸ τῆς πρώτης ἡλικίας αὐτοῦ. καὶ γὰρ τοῦτο
ἓν τῶν μεγίστων τοῦ Αὐγούστου ἔργων ἐστίν, ὅτι ἄρτι ἔκ τε τῶν
παίδων ἐξεληλυθὼς καὶ μειρακιοῦσθαι ἀρχόμενος τὸν μὲν ἄλλον
χρόνον, καθ' ὃν καλῶς τὰ δημόσια πρὸς τοῦ ἡμιθέου ἐκείνου Καί- 2
σαρος διῳκεῖτο, παιδείᾳ προσεῖχεν, ἐπεὶ δὲ ἐπιβουλευθέντος αὐτοῦ
πάντα τὰ κοινὰ ἐταράχθη, τῷ τε πατρὶ ἅμα ἱκανῶς ἐτιμώρησε καὶ

35 5 1 ἐμοὶ  6 4 εὐεργετεῖσθαι

Digitized by Google

ὑμῖν ἀναγκαίως ἐπεκούρησε, μήτε τὸ πλῆθος τῶν ἐχθρῶν φοβηθεὶς
μήτε τὸ μέγεθος τῶν πραγμάτων δείσας μήτε τὴν ὀλιγοετίαν τὴν
3 ἑαυτοῦ ὀκνήσας. καίτοι τί τοιοῦτον ἢ Ἀλέξανδρος ὁ Μακεδὼν ἢ
Ῥωμύλος ὁ ἡμέτερος, οἵπερ που μάλιστα νεαροὶ ὄντες ἐλλόγιμόν τι
ποιῆσαι δοκοῦσιν, ἔπραξαν; ἀλλὰ τούτους μὲν ἐάσω, ἵνα μὴ καὶ
ἐξ αὐτοῦ τοῦ παραβάλλειν οἱ καὶ παραδεικνύναι σφᾶς, καὶ ταῦτα
ἐν ὑμῖν μηδὲν ἧττον ἐμοῦ αὐτοὺς εἰδόσι, σμικροτέραν τὴν τοῦ Αὐ-
4 γούστου ἀρετὴν ποιεῖν νομισθῶ· πρὸς μόνον δὲ δὴ τὸν Ἡρακλέα
καὶ τὰ ἐκείνου ἔργα παραθεωρῶν αὐτὸν ὀρθῶς μὲν ἂν κατ' αὐτὸ
τοῦτο ποιεῖν δόξαιμι, τοσοῦτο δ' ἂν τῆς προαιρέσεως διαμάρτοιμι
ὅσον ἐκεῖνος μὲν ἔν τε παισὶν ὄφεις καὶ ἐν ἀνδράσιν ἔλαφόν τέ τινα
καὶ κάπρον καὶ νὴ Δία καὶ λέοντα ἄκων καὶ ἐξ ἐπιτάξεως ἀπέκτει-
5 νεν, οὗτος δὲ οὐκ ἐν θηρίοις ἀλλ' ἐν ἀνδράσιν, ἐθελοντὴς καὶ
πολεμῶν καὶ νομοθετῶν, τό τε κοινὸν ἀκριβῶς ἔσωσε καὶ αὐτὸς
ἐλαμπρύνθη. τοιγάρτοι διὰ ταῦτα καὶ στρατηγὸν αὐτὸν εἵλεσθε
καὶ ὕπατον ἐδείξατε ἐκεῖνο τῆς ἡλικίας ἔχοντα ἐν ᾧ μηδὲ στρατεύ-
εσθαί τινες ἐθέλουσιν.

37 αὕτη μὲν δὴ καὶ Αὐγούστῳ τοῦ πολιτικοῦ βίου ἀρχὴ καὶ ἐμοὶ
τοῦ περὶ αὐτοῦ λόγου γέγονεν· μετὰ δὲ δὴ τοῦτο ὁρῶν τὸ μὲν πλεῖ-
στον καὶ κράτιστον καὶ τοῦ δήμου καὶ τῆς βουλῆς ἑαυτῷ συμφρο-
νοῦν, στασιώταις δέ τισι τόν τε Λέπιδον καὶ τὸν Ἀντώνιον τόν τε
2 Σέξτον καὶ τὸν Βροῦτον τόν τε Κάσσιον χρωμένους, καὶ φοβηθεὶς
μὴ πολλοῖς ἅμα πολέμιοις, καὶ τούτοις ἐμφυλίοις, ἡ πόλις συνενε-
χθεῖσα καὶ διασπασθῇ καὶ ἐκτρυχωθῇ ὥστε μηδένα ἔτι τρόπον
ἀνενεγκεῖν δυνηθῆναι, φρονιμώτατα καὶ δημωφελέστατα αὐτοὺς
3 διέθηκεν· τούς τε γὰρ ἰσχύοντας καὶ αὐτῷ τῷ ἄστει ἐπικειμένους
προσλαβὼν κατεπολέμησε μετ' αὐτῶν τοὺς ἑτέρους, καὶ τούτων
ὑπεξαιρεθέντων αὖθις αὖ καὶ ἀπ' ἐκείνων ἠλευθέρωσεν ἡμᾶς, ἑλόμε-
νος μὲν ὀλίγους τινὰς καὶ ἄκων σφίσι προέσθαι ὥστε τοὺς πλείους
διασῶσαι, ἑλόμενος δὲ καθ' ἑκάστους αὐτοῖς ἐπιτηδείως πως προσ-
4 ενεχθῆναι ὥστε μὴ πᾶσιν ἅμα πολεμῆσαι. ἐξ ὧν ἐκεῖνος μὲν οὐδὲν
ἰδίᾳ ἐκέρδανεν, ἡμᾶς δὲ δὴ πάντας περιφανῶς ὠφέλησεν. καὶ τὰ
μὲν κατὰ τοὺς πολέμους τούς τε ἐμφυλίους καὶ τοὺς ὀθνείους ἔργα
αὐτοῦ τί ἂν τις μακρηγοροίη, ἄλλως τε καὶ διότι τὰ μὲν ὤφελε
μηδ' ἀρχὴν γεγονέναι, τὰ δὲ ἐκ τῶν ἐπικτηθέντων πολὺ ἐναργεστέ-
5 ραν τὴν ὠφέλειαν παντὸς λόγου παρέχεται. καὶ προσέτι καὶ τῆς
τύχης τὸ πλεῖστον ὄντα, καὶ μετὰ πολλῶν μὲν πολιτῶν πολλῶν δὲ
καὶ συμμάχων κατορθωθέντα, καὶ κοινὴν πρὸς ἐκείνους τὴν αἰτίαν
αὐτῷ ἔχει, καὶ τάχ' ἂν καὶ ἑτέρων τινῶν πράξεσι παραβληθείη.
6 ταῦτα μὲν οὖν παραλείψω· καὶ γάρ που πολλαχῇ αὐτὰ καὶ γε-

Digitized by Google

γραμμένα καὶ τετυπωμένα καὶ ὁρᾶν καὶ ἀναγινώσκειν δύνασθε·
ἃ δὲ δὴ μάλιστα αὐτοῦ τε τοῦ Αὐγούστου ἔργα ἐστί, καὶ μήτ'
ἄλλῳ τινὶ ἀνθρώπων πέπρακται, καὶ τὴν πόλιν ἡμῶν οὐ μόνον ἐκ
πολλῶν καὶ παντοδαπῶν κινδύνων περιπεποίηκεν ἀλλὰ καὶ εὐπορω-
τέραν καὶ δυνατωτέραν ἐξείργασται, ταῦτα ἐρῶ μόνα· ἐκείνῳ τε 7
γὰρ εὔκλειαν ἐξαίρετον λεχθέντα οἴσει, καὶ ὑμῶν τοῖς μὲν πρεσβυ-
τέροις ἡδονὴν ἄμεμπτον ποιήσει, τοῖς δὲ νεωτέροις διδασκαλίαν
ἀκριβῆ τοῦ τε τρόπου καὶ τῆς καταστάσεως τῆς πολιτείας παρέξει.

ὁ τοίνυν Αὔγουστος οὗτος, ὃν δι' αὐτὰ ταῦτα καὶ τῆς ἐπωνυ- 38
μίας ταύτης ἠξιώσατε, ἐπειδὴ τάχιστα τῶν ἐμφυλίων πολέμων
ἀπηλλάγη καὶ πράξας καὶ παθὼν οὐχ ὅσα αὐτὸς ἤθελεν ἀλλ' ὅσα
τῷ δαιμονίῳ ἔδοξε, πρῶτον μὲν τοὺς πλείους τῶν ἀντιστάντων οἱ
καὶ περιγενομένων ἐκ τῆς παρατάξεως ἔσωσεν, ἐν μηδενὶ τὸν Σύλ-
λαν μιμησάμενος τὸν εὐτυχῆ ὀνομαζόμενον. καὶ ἵνα μὴ πάντας 2
αὐτοὺς καταλέγω, τίς οὐκ οἶδε τὸν Σόσσιον, τίς τὸν Σκαῦρον τὸν
ἀδελφὸν τοῦ Σέξτου, τίς τὸν Λέπιδον αὐτόν, ὃς καὶ ἐπεβίω το-
σοῦτον τῇ ἥττῃ χρόνον καὶ ἀρχιέρεως διὰ παντὸς τοῦ βίου αὐτοῦ
ὢν διετέλεσεν; ἔπειτα δὲ τοὺς συνεξετασθέντας οἱ πολλαῖς καὶ με-
γάλαις δωρεαῖς τιμήσας οὐθ' ὑπερήφανόν τι πράττειν οὐθ' ὑβρίζειν
εἴασεν. ἀλλ' ἴστε γὰρ ἀκριβῶς καὶ ἐν τούτῳ τούς τε ἄλλους καὶ 3
τὸν Μαικήναν καὶ τὸν Ἀγρίππαν, ὥστε με μηδὲν μηδὲ τούτους
ἐξαριθμήσασθαι δεῖσθαι. δύο μὲν δὴ ταῦτ' ἔσχεν οἷα ἐν οὐδενὶ
ἄλλῳ ἐγένετο. ἤδη γὰρ οἶδ' ὅτι καὶ ἐχθρῶν τινὲς ἐφείσαντο καὶ
ἕτεροι τοῖς ἑταίροις ἀσελγαίνειν οὐκ ἐπέτρεψαν· ἀλλ' ἀμφότερα τῷ
αὐτῷ ἅμα διὰ πάντων ὁμοίως οὐκ ἔστιν ὅτῳ ποτὲ ἄλλῳ ὑπῆρξεν.
τεκμήριον δέ, Σύλλας μὲν καὶ Μάριος καὶ τοὺς παῖδας τῶν ἀντι- 4
πολεμησάντων σφίσιν ἤχθηραν· τί γὰρ δεῖ τῶν ἄλλων ἀνδρῶν τῶν
μικροτέρων μνημονεύειν; Πομπήιος δὲ καὶ Καῖσαρ τούτου μὲν
ἀπέσχοντο ὥς γε ἐπίπαν εἰπεῖν, τοῖς δὲ δὴ φίλοις οὐκ ὀλίγα παρὰ
τὰ ἑαυτῶν ἤθη ποιεῖν ἐφῆκαν. ἀλλ' οὗτος οὕτως ἑκάτερον αὐτῶν 5
ἔμιξε καὶ ἐκέρασεν ὥστε τοῖς τε ἐναντιωθεῖσίν οἱ νίκην τὴν ἧτταν
ἀποφῆναι καὶ τοῖς συναγωνισαμένοις εὐτυχῆ τὴν ἀρετὴν ἀποδεῖξαι.

ποιήσας δὲ ταῦτα, καὶ τὸ μὲν στασιωτικὸν πᾶν τὸ περιλειφθὲν 39
φιλανθρωπίᾳ καταστήσας, τὸ δὲ στρατιωτικὸν τὸ κρατῆσαν εὐερ-
γεσίᾳ μετριάσας, καὶ δυνηθεὶς ἂν ἐκ τούτων καὶ ἐκ τῶν ὅπλων
τῶν τε χρημάτων μόνος ἀναμφιλόγως κύριος ἁπάντων, ὧν γε καὶ
ὑπ' αὐτῶν τῶν πραγμάτων ἐγεγόνει, εἶναι, οὐκ ἠθέλησεν, ἀλλ' ὥσπερ 2
τις ἀγαθὸς ἰατρὸς σῶμα νενοσηκὸς παραλαβὼν καὶ ἐξιασάμενος,

38 2 2 τίς τὸν] cf. c. 41 5 et 6. 3 3 δὴ] δύο

Digitized by Google

ἀπέδωκε πάντα ὑμῖν ὑγιᾶ ποιήσας. καίτοι ταῦτο ἡλίκον ἐστί, μάλιστ᾽
ἂν ἐξ ἐκείνου τεκμήραισθε ὅτι καὶ τὸν Πομπήιον καὶ τὸν Μέτελλον
τὸν τότε ἀνθήσαντα ἐπήνεσαν οἱ πατέρες ἡμῶν, ἐπειδὴ τὰς δυνά-
3 μεις μεθ᾽ ὧν ἐπολέμησαν ἐθελονταὶ διαφῆκαν. εἰ γὰρ ἐκεῖνοι μι-
κράν τινα ἰσχὺν καὶ ταύτην πρόσκαιρον ἔχοντες, καὶ προσέτι καὶ
ἀντιπάλους τοὺς οὐκ ἐπιτρέψοντάς σφισιν ἄλλο τι ποιῆσαι κεκτημέ-
νοι, τοῦτό τε ἔπραξαν καὶ ἐπ᾽ αὐτῷ ἔπαινον ἔσχον, ποῦ δὴ δύναιτ᾽
4 ἄν τις τῆς τοῦ Αὐγούστου μεγαλοφροσύνης ἐφικέσθαι, ὅστις πάσας
μὲν τὰς δυνάμεις ὑμῶν τηλικαύτας οὔσας ἔχων, πάντων δὲ τῶν
χρημάτων πλείστων ὄντων κρατῶν, καὶ μήτε φοβούμενός τινα μήθ᾽
ὑποπτεύων, ἀλλ᾽ ἐξὸν αὐτῷ πάντων συνεπαινούντων μόνῳ ἄρχειν,
οὐκ ἠξίωσεν, ἀλλὰ καὶ τὰ ὅπλα καὶ τὰ ἔθνη καὶ τὰ χρήματα ἐς
5 τὸ μέσον ὑμῖν κατέθηκεν; ὅθεν περ καὶ ὑμεῖς, καλῶς ποιοῦντες
καὶ ὀρθῶς φρονοῦντες, οὐκ ἠνέσχεσθε οὐδ᾽ ἐπετρέψατε αὐτῷ ἰδιω-
τεῦσαι, ἀλλ᾽ ἅτε εὖ εἰδότες ὅτι δημοκρατία μὲν οὔποτ᾽ ἂν τηλικού-
τοις πράγμασιν ἁρμόσειεν, προστασία δὲ ἑνὸς ἀνδρὸς μάλιστ᾽ ἂν
αὐτὰ σώσειεν, οὔτε λόγῳ μὲν ἐπανελθεῖν ἐς τὴν αὐτονομίαν ἔργῳ
6 δὲ ἐς τοὺς στασιασμοὺς ἠθελήσατε, καὶ ἐκεῖνον, ὃν αὐτοῖς τοῖς
ἔργοις ἐδεδοκιμάκειτε, προκρίναντες ἠναγκάσατε χρόνον γέ τινα
ὑμῶν προστῆναι. ἐξ οὗ δὴ πολὺ μᾶλλον αὐτοῦ πειραθέντες, καὶ
δεύτερον αὖθις καὶ τρίτον τέταρτόν τε καὶ πέμπτον ἐξεβιάσασθε
40 αὐτὸν ἐν τῇ τῶν κοινῶν διαχειρίσει ἐμμεῖναι. καὶ μάλα εἰκότως·
τίς μὲν γὰρ οὐκ ἂν ἕλοιτο ἀπραγμόνως σώζεσθαι καὶ ἀκινδύνως
εὐδαιμονεῖν, καὶ τῶν μὲν ἀγαθῶν τῶν τῆς πολιτείας ἀφθόνως ἀπο-
λαύειν, ταῖς δὲ δὴ φροντίσι ταῖς ὑπὲρ αὐτῆς μὴ συνεῖναι; τίς δ᾽
ἂν ἄμεινον τοῦ Αὐγούστου τῆς ἰδίας οἰκίας μόνης, μήτοι γε καὶ
2 ἄλλων ἀνθρώπων τοσούτων, ἦρξεν; ὅστις τὰ μὲν ἐπίπονα καὶ ἐμ-
πολέμια ἔθνη αὐτὸς καὶ φρουρήσειν καὶ σώσειν ὑπεδέξατο, τὰ δ᾽
ἄλλα τὰ εἰρηναῖα καὶ ἀκίνδυνα ὑμῖν ἀπέδωκε, στρατιώτας τε το-
σούτους ἀθανάτους πρὸς τὸ προπολεμεῖν ὑμῶν τρέφων οὐδενὶ τῶν
σφετέρων λυπηροὺς αὐτοὺς ἐποίησεν, ἀλλ᾽ ἐπὶ μὲν τὸ ὀθνεῖον φύ-
λακας φοβερωτάτους, πρὸς δὲ τὸ οἰκεῖον ἀόπλους ἀπολέμους εἶναι
3 παρεσκεύασεν. καὶ μέντοι καὶ τῶν βουλευτῶν οὔτε ἐν ταῖς ἡγεμονίαις
τὴν τοῦ κλήρου τύχην ἀφείλετο, ἀλλὰ καὶ τὰ ἆθλά σφισι τῆς ἀρετῆς
προσπαρέσχεν, οὔτε ἐν ταῖς διαγνώμαις τὴν ἐξουσίαν τῆς διαψηφί-
σεως κατέλυσεν, ἀλλὰ καὶ τὴν ἀσφάλειαν τῆς παρρησίας προσέθηκεν.
4 ἔκ τε τοῦ δήμου τὸ δύσκριτον ἐν ταῖς διαγνώσεσιν ἐς τὴν τῶν
δικαστηρίων ἀκρίβειαν μεταστήσας, τό τε ἀξίωμα τῶν ἀρχαιρεσιῶν

39 2 3 καὶ τοιοῦτον ἡλ. 3 4 γε 4 1 τοῦ om* 5 2 οὔτε* 5 λόγῳ μὲν οὔτε 40 1 5 ἂν om?* 3 4 προτέθεικεν*

αὐτῷ ἐτήρησε, κἀν ταύταις τὸ φιλότιμον ἀντὶ τοῦ φιλονείκου σφᾶς
ἐξεπαίδευσε, κἀκ τῶν σπουδαρχιῶν αὐτῶν τὸ πλεονεκτικὸν ἐκκόψας
τὸ εὔδοξον αὐτοῖς ἀντέδωκεν. τά τε ἑαυτοῦ χρήματα σωφρόνως
ἐπαύξων ἐς τὴν δημοσίαν χρείαν ἀνήλισκε, καὶ τῶν κοινῶν ὡς ἰδίων
κηδόμενος ὡς ἀλλοτρίων ἀπείχετο. καὶ πάντα μὲν τὰ ἔργα τὰ πε- 5
πονηκότα ἐπισκευάσας οὐδενὸς τῶν ποιησάντων αὐτὰ τὴν δόξαν
ἀπεστέρησεν· πολλὰ δὲ καὶ ἐκ καινῆς, τὰ μὲν ἐπὶ τῷ ἑαυτοῦ ὀνόματι
τὰ δὲ καὶ ἐφ' ἑτέρων, τὰ μὲν αὐτὸς κατεσκεύασε τὰ δὲ ἐκείνοις
οἰκοδομῆσαι ἐπέτρεψε, τὸ τῷ κοινῷ χρήσιμον διὰ πάντων ἰδών,
ἀλλ' οὐ τῆς ἐπ' αὐτοῖς εὐκλείας ἰδίᾳ τισὶ φθονήσας. τοῖς τε τῶν 6
οἰκειοτάτων ὑβρίσμασιν ἀπαραιτήτως ἐπεξιὼν τὰ τῶν ἄλλων ἁμαρ-
τήματα ἀνθρωπίνως μετεχειρίζετο. καὶ τοὺς μὲν ἀρετήν τινα ἔχον-
τας ἀφθόνως εἴα οἱ παρισοῦσθαι, τοὺς δ' ἄλλως πως βιοῦντας οὐκ
ἤλεγχεν. ἀλλὰ καὶ τῶν ἐπιβουλευσάντων αὐτῷ μόνους τοὺς μηδ' 7
ἂν ἑαυτοῖς λυσιτελούντως ζήσαντας ἐδικαίωσε, τοὺς δὲ δὴ λοιποὺς
οὕτω διέθηκεν ὥστε παμπληθῆ χρόνον μηδένα μήτ' οὖν ἀληθῆ
μήτε ψευδῆ αἰτίαν ἐπιθέσεως λαβεῖν. θαυμαστὸν μὲν γὰρ οὐδὲν
εἰ καὶ ἐπεβουλεύθη ποτέ· οὐδὲ γὰρ οὐδ' οἱ θεοὶ πᾶσιν ὁμοίως
ἀρέσκουσιν· ἡ δὲ δὴ τῶν καλῶς ἀρχόντων ἀρετὴ οὐκ ἐξ ὧν ἂν
ἕτεροι κακουργήσωσιν, ἀλλ' ἐξ ὧν ἂν αὐτοὶ εὖ ποιήσωσι φαίνεται.

εἴρηκα ὦ Κυιρῖται τὰ μέγιστα καὶ ἐκπρεπέστατα, ὥς γε ἐν 41
κεφαλαίοις διελθεῖν, ἐπεὶ ἄν γέ τις πάντα ἀκριβῶς καθ' ἕκαστον
ἀναριθμήσασθαι ἐθελήσῃ, παμπόλλων ἂν ἡμερῶν δεηθείη. πρὸς
δὲ καὶ εὖ οἶδ' ὅτι παρ' ἐμοῦ μὲν μόνα ταῦτα ἀκηκοότες ἔσεσθε,
παρ' ἑαυτοῖς δὲ δὴ καὶ τἄλλα ἐξ αὐτῶν πάντα ἀναμνησθήσεσθε,
ὥστε τρόπον τινὰ καὶ ἐκεῖνα ἐμὲ δοκεῖν εἰρηκέναι. οὐδὲ γὰρ ἄλλως 2
κόμπου τινὸς ἐν ἑτέροις τοῖς περὶ αὐτοῦ λόγον οὐθ' ὑμεῖς τὴν
ἀκρόασιν πεποίησθε, ἀλλ' ὅπως τὰ πεπραγμένα αὐτῷ πολλὰ καὶ
ἀγαθὰ ὄντα ἀειμνήστου παρὰ ταῖς ψυχαῖς ὑμῶν εὐκλείας τύχῃ.
τίς μὲν γὰρ οὐκ ἂν τῶν βουλευτῶν αὐτοῦ μνημονεύσειεν, ὧν τὸ 3
φαῦλον τὸ ἐκ τῶν στάσεων ἐπιπολάσαν ἀλύπως ἀφελὼν τὸ λοιπὸν
αὐτῷ τε τούτῳ ἐσέμνυνε καὶ τῇ αὐξήσει τοῦ τιμήματος ἐμεγάλυνε
τῇ τε δόσει τῶν χρημάτων ἐπλούτισεν· οἷς ἐξ ἴσου καὶ αὐτὸς τὴν
γνώμην ἐδίδου, καὶ μεθ' ὧν συμμεθίστατο· οἷς πάντα τὰ μέγιστα
καὶ ἀναγκαιότατα ἀεί ποτε ἢ ἐν τῷ συνεδρίῳ ἢ καὶ οἴκοι διά τε
τὴν ἡλικίαν καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος, παραλαμβάνων
ἄλλοτε ἄλλους, ἐπεκοίνου. τίς δ' οὐκ ἂν τῶν λοιπῶν Ῥωμαίων, 4
οἷς ἔργα χρήματα ἀγῶνας πανηγύρεις ἄδειαν, ἀφθονίαν τῶν ἐπιτη-

7 1 μηδὲν ἑαυτοῖς 7 εὖ om* 41 2 2 ἐν ἑτέροις τοῖς] ἕνεκά
οὔτ' ἐγὼ τὸν?*

δείων, ἀσφάλειαν οὐκ ἀπὸ τῶν πολεμίων οὐδ' ἀπὸ τῶν κακούργων
μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐκ τοῦ δαιμονίου οὐχ ὅτι μεθ' ἡμέραν
ἀλλὰ καὶ νύκτωρ συμπιπτόντων, παρεσκεύασεν. τίς τῶν συμμάχων,
οἷς ἀκίνδυνον τὴν ἐλευθερίαν, οἷς ἀζήμιον τὴν συμμαχίαν ἐποίησεν.
τίς τῶν ὑπηκόων, ὧν οὐδεὶς οὔθ' ὑβρίσθη ποτὲ οὔτ' ἐπηρεάσθη.
5 πῶς δ' ἄν τις ἐπιλάθοιτο ἀνδρὸς ἰδίᾳ μὲν πένητος δημοσίᾳ δὲ
πλουσίου, καὶ πρὸς ἑαυτὸν μὲν οἰκονομικοῦ πρὸς δὲ τοὺς ἄλλους
ἀναλωτικοῦ γενομένου, καὶ αὐτοῦ μὲν πάντα ἀεὶ καὶ πόνον καὶ
κίνδυνον ὑπὲρ ὑμῶν ὑπομείναντος, ὑμᾶς δὲ δὴ μηδ' ὅσον προπέμψαι
ποι αὐτὸν ἀπιόντα ἢ καὶ ἀπαντῆσαί οἱ ἐπανιόντι ταλαιπωρήσαντος,
καὶ ἐν μὲν ταῖς ἑορταῖς καὶ τὸν δῆμον οἴκαδε προσδεξαμένου, ἐν
δὲ ταῖς ἄλλαις ἡμέραις καὶ τὴν γερουσίαν ἐν αὐτῷ τῷ βουλευτηρίῳ
6 ἀσπασαμένου; πῶς τοῦ τε πλήθους καὶ τῆς ἀκριβείας ἅμα τῶν
νόμων τῶν τοῖς μὲν ἀδικουμένοις αὔταρκες παραμύθιον τοῖς δ'
ἀδικοῦσιν οὐκ ἀπάνθρωπον τιμωρίαν ἐχόντων; πῶς τῶν γερῶν τῶν
τοῖς γαμοῦσι καὶ τεκνοῦσι προκειμένων; πῶς τῶν ἄθλων τῶν τοῖς
7 στρατιώταις ἄνευ τινὸς ἑτέρου βλάβης διδομένων; τί δέ; τὸ τοῖς
ἅπαξ ἀναγκαίως κτηθεῖσιν ἀρκεσθῆναι αὐτὸν καὶ μηδὲν ἕτερον
προσκατεργάσασθαι ἐθελῆσαι, ἐξ οὗ πλειόνων ἂν δόξαντες ἄρχειν
καὶ τὰ ὄντα ἀπωλέσαμεν, ἢ τὸ τοῖς μὲν πάνυ φίλοις καὶ συνησθῆ-
ναι ἀεί ποτε αὐτὸν καὶ συλλυπηθῆναι καὶ συμπαῖξαι καὶ συσπου-
8 δάσαι, πᾶσι δ' ἁπλῶς τοῖς ὠφέλιμόν τι ἐπινοῆσαι δυνηθεῖσι παρ-
ρησιάσασθαι ἐπιτρέψαι, καὶ τοὺς μὲν ἀληθιζομένους τινὰ ἐπαινέσαι,
τοὺς δὲ κολακεύοντας μισῆσαι, καὶ πολλὰ μὲν καὶ ἐκ τῶν οἰκείων
πολλοῖς χαρίσασθαι, πάντα δὲ τὰ καταλειφθέντα αὐτῷ ὑπό τινων
παῖδας ἐχόντων αὐτοῖς ἐκείνοις ἀποδοῦναι, ποίᾳ ἂν ἐπιλησμοσύνῃ
9 φθαρείη; τοιγαροῦν διὰ ταῦτα εἰκότως καὶ προστάτην αὐτὸν καὶ
πατέρα δημόσιον ἐποιήσασθε, καὶ ἄλλοις τε πολλοῖς καὶ ὑπατείαις
πλείσταις ἐπεγαυρώσατε, καὶ τὸ τελευταῖον καὶ ἥρωα ἀπεδείξατε
καὶ ἀθάνατον ἀπεφήνατε. οὔκουν οὐδὲ πενθεῖν αὐτὸν ἡμῖν πρέπει,
ἀλλὰ τὸ μὲν σῶμα αὐτοῦ τῇ φύσει ἤδη ἀποδοῦναι, τὴν δὲ ψυχὴν
ὡς καὶ θεοῦ ἀεὶ ἀγάλλειν."

42 Τιβέριος μὲν ταῦτα ἀνέγνω, μετὰ δὲ τοῦτο τὴν μὲν κλίνην οἱ
αὐτοὶ οἵπερ καὶ πρότερον ἀράμενοι διὰ τῶν ἐπινικίων πυλῶν κατὰ
τὰ τῇ βουλῇ δόξαντα διεκόμισαν, παρῆν δὲ καὶ συνεξέφερεν αὐτὸν
ἥ τε γερουσία καὶ ἡ ἱππάς, αἵ τε γυναῖκες αὐτῶν καὶ τὸ δορυφορι-
2 κόν, οἵ τε λοιποὶ πάντες ὡς εἰπεῖν οἱ ἐν τῇ πόλει τότε ὄντες. ἐπεὶ
δὲ ἐς τὴν πυρὰν τὴν ἐν τῷ ἀρείῳ πεδίῳ ἐνετέθη, πρῶτοι μὲν οἱ

42 1 1 τήν τε κλ.*

Digitized by Google

ἱερεῖς πάντες περιῆλθον αὐτήν, ἔπειτα δὲ οἵ τε ἱππεῖς, οἵ τε ἐκ τοῦ
τέλους καὶ οἱ ἄλλοι, καὶ τὸ ὁπλιτικὸν τὸ φρουρικὸν περιέδραμον,
πάντα τὰ νικητήρια, ὅσα τινὲς αὐτῶν ἐπ' ἀριστείᾳ ποτὲ παρ' αὐτοῦ
εἰλήφεσαν, ἐπιβάλλοντες αὐτῷ. κἀκ τούτου δᾷδας ἑκατόνταρχοι, 3
ἅς που τῇ βουλῇ ἐδεδώκει, λαβόντες ὑφῆψαν αὐτήν· καὶ ἡ μὲν
ἀνηλίσκετο, ἀετὸς δέ τις ἐξ αὐτῆς ἀφεθεὶς ἀνίπτατο ὡς καὶ δὴ
τὴν ψυχὴν αὐτοῦ ἐς τὸν οὐρανὸν ἀναφέρων. πραχθέντων δὲ τού-
των οἱ μὲν ἄλλοι ἀπηλλάγησαν, ἡ δὲ δὴ Λιβία κατὰ χώραν πέντε 4
ἡμέραις μετὰ τῶν πρώτων ἱππέων μείνασα τά τε ὀστᾶ αὐτοῦ συ-
νελέξατο καὶ ἐς τὸ μνημεῖον κατέθετο.

τὸ δὲ δὴ πένθος τὸ μὲν ἐκ τοῦ νόμου οἱ μὲν ἄνδρες οὐ πολ- 43
λαῖς ἡμέραις αἱ δὲ γυναῖκες ἐνιαυτῷ ὅλῳ κατὰ ψήφισμα ἐποιήσαντο,
τὸ δ' ἀληθὲς ἐν μὲν τῷ παραχρῆμα οὐ πολλοὶ ὕστερον δὲ πάντες
ἔσχον. εὐπρόσοδός τε γὰρ πᾶσιν ὁμοίως ἦν, καὶ ἐς χρήματα πολ-
λοῖς ἐπήρκει, τούς τε φίλους ἰσχυρῶς ἐτίμα, καὶ ταῖς παρρησίαις
αὐτῶν ὑπερέχαιρεν. τεκμήριον δὲ πρὸς τοῖς εἰρημένοις ὅτι τοῦ 2
Ἀθηνοδώρου ἐν δίφρῳ ποτὲ καταστέγῳ ἐς τὸ δωμάτιον αὐτοῦ ὡς
καὶ γυναικός τινος ἐσκομισθέντος, καὶ ἐξ αὐτοῦ ξιφήρους ἐκπηδή-
σαντος, καὶ προσεπειπόντος "οὐ φοβῇ μή τίς σε οὕτως ἐσελθὼν
ἀποκτείνῃ;" οὐχ ὅπως ὠργίσθη, ἀλλὰ καὶ χάριν αὐτῷ ἔγνω. ταῦτά 3
τε οὖν αὐτοῦ ἀνεμιμνήσκοντο, καὶ ὅτι καὶ τοῖς λυπήσασί τι αὐτὸν
οὐκ ἀκρατῶς ὠργίζετο, τήν τε πίστιν καὶ πρὸς τοὺς οὐκ ἀξίους
αὐτῆς ἐτήρει· Κοροκότταν γοῦν τινὰ λῃστὴν ἐν Ἰβηρίᾳ ἀκμάσαντα
τὸ μὲν πρῶτον οὕτω δι' ὀργῆς ἔσχεν ὥστε καὶ τῷ ζωγρήσαντι αὐ-
τὸν πέντε καὶ εἴκοσι μυριάδας ἐπικηρῦξαι, ἔπειτ' ἐπειδὴ ἑκὼν οἱ
προσῆλθεν, οὔτε τι κακὸν εἰργάσατο καὶ προσέτι καὶ τῷ ἀργυρίῳ
ἐκείνῳ ἐπλούτισεν. διά τε οὖν ταῦτα, καὶ ὅτι τὴν μοναρχίαν τῇ 4
δημοκρατίᾳ μίξας τό τε ἐλεύθερόν σφισιν ἐτήρησε καὶ τὸ κόσμιον
τό τε ἀσφαλὲς προσπαρεσκεύασεν, ὥστ' ἔξω μὲν τοῦ δημοκρατικοῦ
θράσους ἔξω δὲ καὶ τῶν τυραννικῶν ὕβρεων ὄντας ἔν τε ἐλευθερίᾳ
σώφρονι καὶ ἐν μοναρχίᾳ ἀδεεῖ ζῆν, βασιλευομένους τε ἄνευ δουλείας
καὶ δημοκρατουμένους ἄνευ διχοστασίας, δεινῶς αὐτὸν ἐπένθουν.
εἰ γάρ τινες καὶ τῶν προτέρων τῶν ἐν τοῖς ἐμφυλίοις πολέμοις γε- 44
νομένων ἐμνημόνευον, ἐκεῖνα μὲν τῇ τῶν πραγμάτων ἀνάγκῃ ἀνε-
τίθεσαν, τὴν δὲ δὴ γνώμην αὐτοῦ ἐξ οὗ τὸ κράτος ἀναμφίλογον
ἔσχεν ἐξετάζειν ἠξίουν· πλεῖστον γὰρ δὴ τὸ διάφορον ὡς ἀληθῶς
παρέσχετο. καὶ τοῦτο μὲν καθ' ἕκαστον ἄν τις τῶν πραχθέντων 2
ἐπεξιὼν ἀκριβῶς εὑρήσει· κεφάλαιον δὲ ἐφ' ἅπασιν αὐτοῖς γράφω

3 2 ὡς — ἐδόκει? an οἷς που ἡ βουλὴ ἐδεδώκει? 43 1 2 ἐποίησαν*

ὅτι τό τε στασιάζον πᾶν ἔπαυσε καὶ τὸ πολίτευμα πρός τε τὸ
κράτιστον μετεκόσμησε καὶ ἰσχυρῶς ἐκράτυνεν, ὥστε εἰ καὶ βιαιό-
τερόν τι, οἷα ἐν τοῖς παραλόγοις φιλεῖ συμβαίνειν, ἐπράχθη, δι-
3 καιότερον ἄν τινα αὐτὰ τὰ πράγματα ἢ ἐκεῖνον αἰτιάσασθαι. οὐκ
ἐλάχιστον δ' οὖν αὐτῷ πρὸς εὐδοξίαν καὶ τὸ πολυχρόνιον τῆς ἡγε-
μονίας συνήρατο. τῶν μὲν γὰρ ἐκ τῆς δημοκρατίας ἀνδρῶν καὶ
4 οἱ πλείους καὶ οἱ δυνατώτεροι ἀπολώλεσαν· οἱ δ' ὕστεροι ἐκείνης
μὲν οὐδὲν εἰδότες, τοῖς δὲ παροῦσι μόνοις ἢ καὶ μάλιστα ἐντρα-
φέντες, οὐ μόνον οὐκ ἤχθοντο αὐτοῖς ἅτε καὶ συνήθεσιν οὖσιν,
ἀλλὰ καὶ ἔχαιρον, καὶ βελτίω καὶ ἀδεέστερα αὐτὰ ὧν ἤκουον
ὁρῶντες ὄντα.
45 ταῦτα δὲ ἠπίσταντο μὲν καὶ ζῶντος αὐτοῦ, ἐπὶ πλεῖον δ' ὅμως
μεταλλάξαντος ἔγνωσαν· καὶ γὰρ φιλεῖ πως τὸ ἀνθρώπειον οὐχ
οὕτω τι εὐπαθοῦν τῆς εὐδαιμονίας αἰσθάνεσθαι ὡς καὶ δυστυχῆ-
σαν ποθεῖν αὐτήν. ὅπερ που καὶ τότε περὶ τὸν Αὔγουστον συνέβη·
τοῦ γὰρ Τιβερίου μετ' αὐτὸν οὐχ ὁμοίου πειραθέντες ἐκεῖνον ἐζή-
2 τουν. καὶ ἦν μὲν καὶ παραχρῆμα τὴν μεταβολὴν τῆς καταστάσεως
τοῖς ἔμφροσι τεκμήρασθαι· ὅ τε γὰρ ὕπατος ὁ Πομπήιος ἐξορμή-
σας ὡς καὶ τοῖς τὸ τοῦ Αὐγούστου σῶμα ἄγουσιν ἀπαντήσων τό
τε σκέλος ἐπλήγη καὶ μετ' αὐτοῦ φοράδην ἀνεκομίσθη, καὶ βύας
αὖθις ὑπὲρ τοῦ συνεδρίου ἐν αὐτῇ τῇ πρώτῃ τῆς βουλῆς μετὰ τὸν
θάνατον αὐτοῦ ἕδρᾳ ἱδρύθη καὶ πολλὰ καὶ οὐκ αἴσια ἐπεφθέγξατο.
3 τοσοῦτο δ' οὖν τὸ σύμπαν ἀλλήλων διήνεγκαν ὥστε τινὰς καὶ ἐς
τὸν Αὔγουστον ὑποπτεῦσαι ὅτι ἐξεπίτηδες τὸν Τιβέριον, καίπερ εὖ
εἰδὼς ὁποῖος ἦν, διάδοχον ἀπέδειξεν, ἵν' αὐτὸς εὐδοξήσῃ.
46 ταῦτα μὲν δὴ οὖν ὕστερον διαθροεῖν ἤρξαντο, τότε δὲ ἀθα-
νατίσαντες αὐτόν, καὶ θιασώτας οἱ καὶ ἱερὰ ἱέρειάν τε τὴν Λιβίαν
2 τὴν Ἰουλίαν τε καὶ Αὐγοῦσταν ἤδη καλουμένην ἀπέδειξαν. καὶ οἱ
μὲν καὶ ῥαβδούχῳ χρῆσθαι ἐν ταῖς ἱερουργίαις αὐτῇ ἐπέτρεψαν·
ἐκείνη δὲ δὴ Νουμερίῳ τινὶ Ἀττικῷ, βουλευτῇ ἐστρατηγηκότι, πέντε
καὶ εἴκοσι μυριάδας ἐχαρίσατο, ὅτι τὸν Αὔγουστον ἐς τὸν οὐρανόν,
κατὰ τὰ περί τε τοῦ Πρόκλου καὶ περὶ τοῦ Ῥωμύλου λεγόμενα,
3 ἀνιόντα ἑωρακέναι ὤμοσεν. καὶ αὐτῷ ἔν τε τῇ Ῥώμῃ ἡρῷον ψη-
φισθὲν μὲν ὑπὸ τῆς γερουσίας οἰκοδομηθὲν δὲ ὑπό τε τῆς Λιβίας
καὶ ὑπὸ τοῦ Τιβερίου ἐποιήθη, καὶ ἄλλοθι πολλαχόθι, τὰ μὲν
ἑκόντων δὴ τῶν δήμων τὰ δὲ καὶ ἀκόντων οἰκοδομουμένων. καί
4 οἱ καὶ ἡ ἐν τῇ Νώλῃ οἰκία, ἐν ᾗ μετήλλαξεν, ἐτεμενίσθη. ἐν ᾧ δ'
οὖν τὸ ἐν τῇ Ῥώμῃ ἡρῷον ἐγίγνετο, εἰκόνα αὐτοῦ χρυσῆν ἐπὶ κλί-

46 2 1 Ἰουλίαν τε τὴν

Digitized by Google

νης ἐς τὸν τοῦ Ἄρεος ναὸν ἔθεσαν, καὶ ἐκείνῃ πάντα ὅσα τῷ ἀγάλματι αὐτοῦ μετὰ τοῦτο χρήσεσθαι ἔμελλον ἐνόμισαν. ταῦτά τε αὐτῷ ἐψηφίσθη, καὶ ὅπως μήτ' εἰκὼν αὐτοῦ ἐν ἐκφορᾷ τινὸς πομπεύῃ, καὶ τὰ γενέσια οἱ ὕπατοι ἐξ ἴσου τοῖς ἀρείοις ἀγωνοθετῶσι, τά τε αὐγουστάλια οἱ δήμαρχοι ὡς καὶ ἱεροπρεπεῖς ὄντες διατιθῶσιν. καὶ οἱ τὰ μὲν ἄλλα ὥσπερ εἰώθει γίγνεσθαι ἔπραξαν 5
(καὶ γὰρ τῇ ἐσθῆτι τῇ ἐπινικίῳ ἐν τῇ ἱπποδρομίᾳ ἐχρήσαντο), οὐ μέντοι καὶ τοῦ ἅρματος ἐπέβησαν. χωρὶς δὲ τούτων καὶ ἡ Λιουία ἰδίαν δή τινα αὐτῷ πανήγυριν ἐπὶ τρεῖς ἡμέρας ἐν τῷ παλατίῳ ἐποίησεν, ἣ καὶ δεῦρο ἀεὶ ὑπ' αὐτῶν τῶν ἀεὶ αὐτοκρατόρων τελεῖται.

ἐπὶ μὲν οὖν τῷ Αὐγούστῳ τοσαῦτα, λόγῳ μὲν ὑπὸ τῆς γερουσίας ἔργῳ δὲ ὑπό τε τοῦ Τιβερίου καὶ ὑπὸ τῆς Λιουίας, ἐνομίσθη· 47
ἄλλων γὰρ ἄλλα ἐσηγουμένων, ἔδοξέ σφισι βιβλία παρ' αὐτῶν τὸν Τιβέριον λαβόντα ἐκλέξασθαι ὅσα ἐβούλετο. προσέθηκα δὲ τὸ τῆς Λιουίας ὄνομα, ὅτι καὶ αὐτὴ τῶν πραγμάτων ὡς καὶ αὐταρχοῦσα ἀντεποιεῖτο. κἂν τούτῳ τὸ πλῆθος, τῶν ὀρχηστῶν τινὸς μὴ ἐθε- 2
λήσαντος ἐπὶ τῷ τεταγμένῳ μισθῷ ἐς τὸ θέατρον ἐν τοῖς αὐγουσταλίοις ἐσελθεῖν, ἐστασίασεν· καὶ οὐ πρότερον ἐπαύσαντο ταραττόμενοι πρὶν τοὺς δημάρχους τήν τε βουλὴν αὐθημερὸν συναγαγεῖν, καὶ δεηθῆναι αὐτῆς ἐπιτρέψαι σφίσι πλεῖόν τι τοῦ νενομισμένου ἀναλῶσαι.

ταῦτα μὲν κατὰ τὸν Αὔγουστον ἐγένετο, Τιβέριος δὲ εὐπατρίδης NZ
μὲν ἦν καὶ ἐπεπαίδευτο, φύσει δὲ ἰδιωτάτῃ ἐκέχρητο. οὔτε γὰρ ὧν ἐπεθύμει προσεποιεῖτό τι, καὶ ὧν ἔλεγεν οὐδὲν ὡς εἰπεῖν ἐβούλετο, ἀλλ' ἐναντιωτάτους τῇ προαιρέσει τοὺς λόγους ποιούμενος πᾶν τε ὃ ἐπόθει ἠρνεῖτο καὶ πᾶν ὃ ἐμίσει προετείνετο· ὠργίζετό τε ἐν οἷς ἥκιστα ἐθυμοῦτο, καὶ ἐπιεικὴς ἐν οἷς μάλιστα ἠγανάκτει ἐδόκει εἶναι· ἠλέει τε δῆθεν οὓς σφόδρα ἐκόλαζεν, καὶ ἐχαλέπαινεν οἷς 2
συνεγίγνωσκεν· τόν τε ἔχθιστον ὡς οἰκειότατον ἔστιν ὅτε ἑώρα, καὶ τῷ φιλτάτῳ ὡς ἀλλοτριωτάτῳ προσεφέρετο. τό τε σύμπαν οὐκ ἠξίου τὸν αὐταρχοῦντα κατάδηλον ὧν φρονεῖ εἶναι· ἔκ τε γὰρ τούτου πολλὰ καὶ μεγάλα πταίεσθαι καὶ ἐκ τοῦ ἐναντίου πολλῷ πλείω καὶ μείζω κατορθοῦσθαι ἔλεγεν. καὶ εἰ μὲν μόνα ταῦτ' ἔχειν ἐδόκει, 3
εὐφύλακτος ἂν τοῖς ἐς πεῖραν αὐτοῦ ἐλθοῦσιν ἦν· πρὸς γάρ τοι τὸ ἐναντιώτατον πάντα ἂν λαμβάνοντες ἐκ τοῦ ἴσου τό τε μὴ βούλεσθαι δή τι αὐτὸν τῷ πάνυ ποθεῖν καὶ τὸ ὀρέγεσθαί τινος τῷ μὴ ἐφίεσθαι ἐνόμιζον· νῦν δὲ ὠργίζετο εἴ τις αὐτοῦ συνεὶς φανερὸς ἐγένετο, καὶ πολλοὺς οὐδὲν ἄλλο σφίσιν ἢ ὅτι συνενόησαν αὐτὸν ἐγκαλέσαι ἔχων ἀπέκτεινεν. ὥστε χαλεπὸν μὲν ἦν μηδεμίαν αὐτοῦ 4

1 ι ι τὸν om*

Digitized by Google

σύνεσιν ποιεῖσθαι (πολλοὶ γὰρ ἅτε πρὸς τὸ λεγόμενον ἀλλὰ μὴ
πρὸς τὸ βουλόμενον συναινοῦντές οἱ ἐσφάλλοντο), χαλεπώτερον δὲ
συνιέναι· τήν τε γὰρ ἐπιτήδευσιν αὐτοῦ καταφωρᾶν κἀκ τούτου
καὶ ἄχθεσθαι αὐτῇ ὑπωπτεύοντο. μόνος οὖν ὡς εἰπεῖν, ὅπερ που
σπανιώτατόν ἐστι, διεγένετο ὃς οὔτ᾽ ἠγνόησε τὴν φύσιν αὐτοῦ οὔτ᾽
ἤλεγξεν· οὕτω γὰρ οὔτε πιστεύσαντές οἱ ἠπατήθησαν, οὔτ᾽ ἐνδειξά-
μενοι νοεῖν ἃ ἔπραττεν ἐμισήθησαν. πάνυ γὰρ πολὺν ὄχλον παρεῖχεν,
6 εἴτε τις ἐναντιοῖτο οἷς ἔλεγεν εἴτε καὶ συναίροιτο· τὸ μὲν γὰρ ἀλη-
θῶς γενέσθαι τὸ δὲ δοκεῖν βούλεσθαι ἐθέλων, πάντως τέ τινας
πρὸς ἑκάτερον ἐναντιουμένους εἶχε, καὶ διὰ τοῦτο τοὺς μὲν τῆς
ἀληθείας τοὺς δὲ τῆς δοκήσεως ἕνεκα ἤχθαιρεν.

2 τοιοῦτος οὖν δή τις ὢν ἔς τε τὰ στρατόπεδα καὶ ἐς τὰ ἔθνη πάντα
ὡς αὐτοκράτωρ εὐθὺς ἀπὸ τῆς Νώλης ἐπέστειλε, μὴ λέγων αὐτοκρά-
τωρ εἶναι· ψηφισθὲν γὰρ αὐτῷ καὶ τοῦτο μετὰ τῶν ἄλλων ὀνομάτων
οὐκ ἐδέξατο, καὶ τὸν κλῆρον τοῦ Αὐγούστου λαβὼν τὴν ἐπίκλησιν
2 αὐτοῦ ταύτην οὐκ ἔθετο. τούς τε σωματοφύλακας ἀμφ᾽ αὑτὸν ἤδη
ἔχων ἐδεῖτο δὴ τῆς γερουσίας συνάρασθαί οἱ ὥστε μηδὲν βίαιον ἐν
τῇ τοῦ σώματος αὐτοῦ ταφῇ παθεῖν· ἐδεδίει γὰρ δῆθεν μή τινες
αὐτὸ ἁρπάσαντες ἐν τῇ ἀγορᾷ, ὥσπερ τὸ τοῦ Καίσαρος, καύσωσιν.
3 καὶ ἐπειδή γε κομψευσάμενός τις ἐπὶ τούτῳ φρουρὰν αὐτῷ ὡς οὐκ
ἔχοντι δοθῆναι ἐσηγήσατο, τόν τε χλευασμὸν αὐτοῦ συνῆκε, καὶ
ἔφη ὅτι καὶ οἱ στρατιῶται οὐκ ἐμοὶ ἀλλὰ δημόσιοι εἰσίν. ταῦτα
μὲν οὖν οὕτως ἔπρασσε, καὶ τὰ τῆς ἀρχῆς ἔργῳ πάντα διοικῶν
4 ἠρνεῖτο μηδὲν αὐτῆς δεῖσθαι. καὶ τὸ μὲν πρῶτον καὶ πᾶσαν αὐτὴν
διά τε τὴν ἡλικίαν (ἓξ γὰρ καὶ πεντήκοντα ἔτη ἐγεγόνει) καὶ δι᾽
ἀμβλυωπίαν (πλεῖστον γὰρ τοῦ σκότους βλέπων ἐλάχιστα τῆς ἡμέ-
ρας ἑώρα) ἐξίστασθαι ἔλεγεν· ἔπειτα δὲ κοινωνούς τέ τινας καὶ
συνάρχοντας, οὔτοι γε καὶ πάντων καθάπαξ ὥσπερ ἐν ὀλιγαρχίᾳ,
ἀλλ᾽ ἐς τρία μέρη νέμων αὐτήν, ᾔτει, καὶ τὸ μὲν αὐτὸς ἔχειν ἠξίου,
5 τῶν δὲ ἑτέρων ἄλλοις παρεχώρει. ἦν δὲ ταῦτα ἓν μὲν ἥ τε Ῥώμη
καὶ ἡ ἄλλη Ἰταλία, ἕτερον δὲ τὰ στρατόπεδα καὶ ἕτερον οἱ λοιποὶ
ὑπήκοοι. ὡς οὖν πολὺς ἐνέκειτο, οἱ μὲν ἄλλοι καὶ ὣς ἀντέλεγον
δῆθεν καὶ ἐδέοντο αὐτοῦ πάντων ἄρχειν, Ἀσίνιος δὲ δὴ Γάλλος
παρρησίᾳ ἀεί ποτε πατρῴᾳ καὶ ὑπὲρ τὸ συμφέρον αὐτῷ χρώμενος
6 "ἑλοῦ" ἔφη "ἣν ἂν ἐθελήσῃς μοῖραν." καὶ Τιβέριος "καὶ πῶς οἷόν
τέ ἐστιν" εἶπε "τὸν αὐτὸν καὶ νέμειν τι καὶ αἱρεῖσθαι;" συνεὶς οὖν
ὁ Γάλλος ἐν ᾧ κακοῦ ἐγεγόνει, τῷ μὲν λόγῳ ἐθεράπευσεν αὐτόν,
ὑπολαβὼν ὅτι οὐχ ὡς καὶ τὸ τρίτον ἕξοντός σου, ἀλλ᾽ ὡς ἀδύνατον

1 4 2 πολλὰ

Digitized by Google

ὃν τὴν ἀρχὴν διαιρεθῆναι, τοῦτό σοι προέτεινα, οὐ μέντοι καὶ τῷ 7
ἔργῳ ἐτιθάσευσεν, ἀλλὰ πολλὰ καὶ δεινὰ προπαθὼν μετὰ ταῦτα
ἀπεσφάγη. καὶ γὰρ καὶ τὴν γυναῖκα αὐτοῦ τὴν προτέραν ἐγεγα-
μήκει, τόν τε Δροῦσον ὡς υἱὸν προσεποιεῖτο, ὅθεν περ καὶ πρότερον
διὰ μίσους αὐτῷ ἦν.

ὁ δ' οὖν Τιβέριος ταῦτα τότε ἐποίει τὸ μὲν πλεῖστον ὅτι οὕτω 3
τε ἐπεφύκει καὶ οὕτω προῄρητο, ἤδη δὲ καὶ ὅτι τά τε στρατεύματα,
καὶ τὰ Παννονικὰ καὶ τὰ Γερμανικά, ὑπετόπει, καὶ τὸν Γερμανικὸν
τῆς τε Γερμανίας ἄρχοντα καὶ φιλούμενον ὑπ' αὐτῶν ἐδεδίει. τοὺς 2
μὲν γὰρ ἐν τῇ Ἰταλίᾳ ὄντας τοῖς ὅρκοις τοῖς ὑπὸ τοῦ Αὐγούστου
καταδειχθεῖσι προκατέλαβεν· ἐς δ' ἐκείνους ὑποπτεύων ἐπ' ἀμφότερα
ἀνεῖχεν, ὅπως, ἄν τι νεωτερίσαντες ἐπικρατήσωσιν, ὡς καὶ ἰδιω-
τεύων σωθῇ. καὶ πολλάκις γε διὰ τοῦτο καὶ ἀρρωστεῖν ὑπεκρίνετο
καὶ οἴκοι κατέμενεν, ἵνα μὴ ἀναγκασθῇ ἀποκεκριμένον τι εἰπεῖν ἢ
πρᾶξαι. ἤδη μὲν γὰρ ἤκουσα ὅτι, ἐπειδὴ ἡ Λιουία ἄκοντος τοῦ 3
Αὐγούστου τὴν ἀρχὴν αὐτῷ περιπεποιηκέναι ἐλέγετο, ἔπλαττεν,
ὅπως μὴ παρ' ἐκείνης (καὶ γὰρ πάνυ αὐτῇ ἤχθετο) ἀλλὰ παρὰ τῆς
βουλῆς ἀναγκαστός, ὡς καὶ κατ' ἀρετήν σφων προήκων, δόξειεν
αὐτὴν εἰληφέναι· καὶ προσέτι καὶ ἐκεῖνο, ὅτι τοὺς ἀνθρώπους ὁρῶν 4
ἀλλοτρίως ἑαυτῷ ἔχοντας διέμελλε καὶ διῆγεν, ὅπως μὴ φθάσαντές
τινες νεοχμώσωσιν ἐλπίδι τοῦ καὶ ἐθελούσιον τὴν ἀρχὴν ἀφήσειν
αὐτόν, μέχρις οὗ ἐγκρατὴς αὐτῆς διὰ πάντων ἐγένετο. οὐ μέντοι 5
καὶ ταῦθ' οὕτως αἴτια τῆς διαγωγῆς ταύτης γράφω, ὡς τήν τε
ἐπιτήδευσιν τῆς γνώμης αὐτοῦ δεῖξαι καὶ τὴν ταραχὴν τῶν στρα-
τιωτῶν. τὸν μὲν γὰρ Ἀγρίππαν παραχρῆμα ἀπὸ τῆς Νώλης πέμ-
ψας τινὰ ἀπέκτεινεν· καὶ ἔλεγε μὲν μὴ ἐκ τῆς αὐτοῦ προστάξεως
τοῦτο γεγονέναι, ἐπηπείλει τε τῷ δράσαντι, οὐ μὴν καὶ τιμωρίαν 6
τινὰ αὐτοῦ ἐποιήσατο, ἀλλ' εἴα τοὺς ἀνθρώπους λογοποιεῖν, τοὺς
μὲν ὅτι ὁ Αὔγουστος αὐτὸν ὑπὸ τὴν τελευτὴν ἀπεχρήσατο, τοὺς
δ' ὅτι ὁ ἑκατόνταρχος ὁ τὴν φρουρὰν αὐτοῦ ἔχων καινοτομοῦντά
τι ἀπέσφαξεν αὐτογνωμονήσας, ἄλλους ὡς ἡ Λιουία, ἀλλ' οὐκ ἐκεῖ-
νος, ἀποθανεῖν αὐτὸν ἐκέλευσεν.

τοῦτον μὲν οὖν αὐτίκα ὑπεξείλετο, τὸν δὲ δὴ Γερμανικὸν δει- 4
νῶς ἐφοβεῖτο. ἐθορύβησαν μὲν γὰρ καὶ οἱ ἐν τῇ Παννονίᾳ στρα-
τιῶται, ἐπειδὴ τάχιστα τῆς τοῦ Αὐγούστου μεταλλαγῆς ᾔσθοντο·
καὶ συνελθόντες ἐς ἓν τεῖχος, καὶ ἐκεῖνο κρατυνάμενοι, πολλὰ καὶ
στασιαστικὰ ἔπραξαν. τά τε γὰρ ἄλλα καὶ τὸν ἄρχοντά σφων 2
Ἰούνιον Βλαῖσον ἀποκτεῖναι ἐπεχείρησαν, τούς τε δούλους αὐτοῦ

3 2 1 τε] τότε  4 3 τὴν] αὐτὴν τὴν*  5 3 στρατιωτῶν βουλόμενος?

Digitized by Google

συλλαβόντες ἐβασάνισαν. τό τε σύμπαν οὔθ' ὑπὲρ ἑκκαίδεκα ἔτη
στρατεύεσθαι ἤθελον, καὶ δραχμὴν ἡμερησίαν φέρειν τά τε ἆθλα
εὐθὺς αὐτοῦ ἐν τῷ στρατοπέδῳ λαμβάνειν ἠξίουν, ἀπειλοῦντες, ἂν
μὴ τύχωσιν αὐτῶν, τό τε ἔθνος ἀποστήσειν καὶ ἐπὶ τὴν Ῥώμην
3 ἐλάσειν. οὐ μὴν ἀλλ' ἐκεῖνοι μὲν τότε τε μόλις ποτὲ ὑπὸ τοῦ Βλαί-
σου πεισθέντες πρέσβεις πρὸς τὸν Τιβέριον ὑπὲρ αὐτῶν ἔπεμψαν·
ἐν γὰρ τῇ μεταβολῇ τῆς ἀρχῆς πάνθ' ὅσα ἐπεθύμουν, ἢ αὐτὸν
ἐκφοβήσαντες ἢ καὶ ἄλλῳ τινὶ τὸ κράτος δόντες, καταπράξειν ἤλ-
4 πιζον· καὶ μετὰ ταῦτα τοῦ Δρούσου σὺν τοῖς δορυφόροις ἐπελθόντος
σφίσιν ἐταράχθησαν μέν, ἐπειδὴ μηδὲν αὐτοῖς βέβαιον ἐλέγετο, καὶ
τῶν τε συνόντων αὐτῷ κατέτρωσάν τινας καὶ αὐτὸν τῆς νυκτὸς
περιεφρούρησαν, μὴ διαφύγῃ, τῆς δὲ δὴ σελήνης ἐκλιπούσης ἐνθυ-
μηθέντες ἀπημβλύνθησαν, ὥστε κακὸν μὲν μηδὲν ἔτ' αὐτοὺς ποιῆσαι,
5 πρέσβεις δ' αὖθις πρὸς τὸν Τιβέριον ἀποστεῖλαι. κἀν τούτῳ χει-
μῶνος μεγάλου γενομένου, καὶ δι' αὐτὸν ἐς τὰ οἰκεῖα ἑκάστων τείχη
ἀναχωρησάντων, οἵ τε θρασύτατοι ὑπό τε τοῦ Δρούσου καὶ ἐν
αὐτῇ γε τῇ σκηνῇ αὐτοῦ, μεταπεμφθέντες ὡς καὶ ἐπ' ἄλλο τι, καὶ
ὑπὸ τῶν συνακολουθησάντων αὐτῷ ἄλλοι κατ' ἄλλον τρόπον ἐφθά-
ρησαν, καὶ οἱ λοιποὶ κατέστησαν, ὥστε καὶ πρὸς τιμωρίαν τινὰς
ὡς καὶ αἰτίους τῆς στάσεως γεγονότας ἐκδοῦναι.

5 Καὶ οὗτοι μὲν οὕτως ἡσύχασαν, οἱ δ' ἐν τῇ Γερμανίᾳ, καὶ
πολλοὶ διὰ τὸν πόλεμον ἠθροισμένοι καὶ τὸν Γερμανικὸν καὶ Καί-
σαρα καὶ πολὺ τοῦ Τιβερίου κρείττω ὁρῶντες ὄντα, οὐδὲν ἐμετρία-
ζον, ἀλλὰ τὰ αὐτὰ προτεινόμενοι τόν τε Τιβέριον ἐκακηγόρησαν
2 καὶ τὸν Γερμανικὸν αὐτοκράτορα ἐπεκάλεσαν. ἐπειδή τε ἐκεῖνος
πολλὰ εἰπὼν καὶ μὴ δυνηθεὶς αὐτοὺς καταστῆσαι, τέλος τὸ ξίφος
ὡς καὶ ἑαυτὸν καταχρησόμενος ἐσπάσατο, ἐπεβόησάν οἱ αἰάζοντες,
καί τις αὐτῶν τὸ ἑαυτοῦ ξίφος ἀνατείνας "τοῦτο" ἔφη "λάβε· τοῦτο
3 γὰρ ὀξύτερον ἐστίν." ὁ οὖν Γερμανικὸς ἰδὼν ὅποι τὸ πρᾶγμα προ-
εληλύθει, ἀποκτεῖναι μὲν ἑαυτὸν οὐκ ἐτόλμησε διά τε τἆλλα καὶ
ὅτι στασιάσειν αὐτοὺς οὐδὲν ἧττον ἤλπισε, γράμματα δὲ δή τινα
ὡς καὶ παρὰ τοῦ Τιβερίου πεμφθέντα συνθείς, τήν τε δωρεὰν τὴν
ὑπὸ τοῦ Αὐγούστου καταλειφθεῖσάν σφισι διπλῆν ὡς καὶ παρ'
4 ἐκείνου διέδωκε, καὶ τοὺς ἔξω τῆς ἡλικίας ἀφῆκεν· καὶ γὰρ ἐκ τοῦ
ἀστικοῦ ὄχλου, οὓς ὁ Αὔγουστος μετὰ τὴν τοῦ Οὐάρου συμφορὰν
προσκατέλεξεν, οἱ πλείους αὐτῶν ἦσαν. τότε μὲν οὖν οὕτω στα-
σιάζοντες ἐπαύσαντο· ὕστερον δὲ πρεσβευτῶν παρὰ τοῦ Τιβερίου
βουλευτῶν ἐλθόντων, οἷς ἐκεῖνος ἐν ἀπορρήτῳ μόνα εἶπεν ὅσα τὸν

4 3 1 τε om* 5 3 1 ὅπῃ* 4 1 δέδωκε*

Digitized by Google

*Γερμανικὸν μαθεῖν ἠθέλησεν (εὖ τε γὰρ ἠπίστατο πάντως σφᾶς 5
ἐροῦντάς οἱ πάντα τὰ ἑαυτοῦ διανοήματα, καὶ οὐκ ἠβουλήθη παρὰ
ταῦτα οὐδέν, ὡς καὶ μόνα ὄντα, οὔτε ἐκείνους οὔτε τὸν Γερμανικὸν
πολυπραγμονῆσαι), τούτων οὖν ἀφικομένων οἱ στρατιῶται τό τε
τοῦ Γερμανικοῦ στρατήγημα μαθόντες, καὶ τοὺς βουλευτὰς ὡς καὶ
ἐπὶ τῇ τῶν πεπραγμένων ὑπ' αὐτοῦ καταλύσει παρόντας ὑποπτεύ-
σαντες, ἐθορύβησαν αὖθις, καὶ τῶν τε πρέσβεων ὀλίγου τινὰς 6
ἀπέσφαξαν καὶ ἐνέκειντο, τήν τε γυναῖκα αὐτοῦ Ἀγριππῖναν, τοῦ
τε Ἀγρίππου καὶ τῆς Ἰουλίας τῆς τοῦ Αὐγούστου θυγατέρα οὖσαν,
καὶ τὸν υἱόν, ὃν Γάιον Καλιγόλαν, ὅτι ἐν τῷ στρατοπέδῳ τὸ πλεῖ-
στον τραφεὶς τοῖς στρατιωτικοῖς ὑποδήμασιν ἀντὶ τῶν ἀστικῶν
ἐχρῆτο, προσωνόμαζον, ὑπεκπεμφθέντας ποι ὑπὸ τοῦ Γερμανικοῦ
συνέλαβον. καὶ τὴν μὲν Ἀγριππῖναν ἐγκύμονα οὖσαν ἀφῆκαν αὐτῷ 7
δεηθέντι, τὸν δὲ δὴ Γάιον κατέσχον. χρόνῳ δ' οὖν ποτὲ καὶ τότε,
ὡς οὐδὲν ἐπέραινον, ἡσύχασαν, καὶ ἐς τοσαύτην γε μεταβολὴν ἦλθον
ὥστε καὶ αὐτοὶ τοὺς θρασυτάτους σφῶν αὐτοκέλευστοι συλλαβεῖν
καὶ τοὺς μὲν ἰδίᾳ ἀποκτεῖναι, τοὺς δὲ καὶ ἐς τὸ μέσον ἀγαγόντες
ἔπειτα πρὸς τὸ τῶν πλειόνων βούλημα τοὺς μὲν ἀποσφάξαι τοὺς
δ' ἀπολῦσαι. φοβηθεὶς δ' οὖν καὶ ὣς ὁ Γερμανικὸς μὴ καὶ αὖθις 6
στασιάσωσιν, ἐς τὴν πολεμίαν ἐνέβαλε, καὶ ἐν αὐτῇ ἀσχολίαν τε ἅμα
αὐτοῖς καὶ τροφὴν ἄφθονον ἐκ τῶν ἀλλοτρίων παρέχων ἐνεχρόνισεν.*

*καὶ ὁ μὲν δυνηθεὶς ἂν τὴν αὐτοκράτορα ἀρχὴν λαβεῖν (ἡ γὰρ 2
εὔνοια πάντων ἁπλῶς τῶν τε Ῥωμαίων καὶ τῶν ὑπηκόων σφῶν ἐς
αὐτὸν ἐποίει) οὐκ ἠθέλησεν· Τιβέριος δὲ ἐπῄνεσε μὲν αὐτὸν ἐπὶ
τούτῳ, καὶ πολλὰ καὶ κεχαρισμένα καὶ ἐκείνῳ καὶ τῇ Ἀγριππίνῃ
ἐπέστειλεν, οὐ μέντοι καὶ ἥσθη οἷς ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ πλεῖον
αὐτὸν ὡς καὶ τὰ στρατεύματα ἀνηρτημένον ἔδεισεν. οὐ γάρ που 3
καὶ φρονεῖν οὕτως ὡς ἐδόκει, ἐξ ὧν ἑαυτῷ συνῄδει ἄλλα μὲν λέ-
γοντι ἄλλα δὲ ποιοῦντι, ὑπελάμβανεν, ὥσθ' ὑπετόπει μὲν καὶ ἐκεῖνον,
ὑπετόπει δὲ καὶ τὴν γυναῖκα αὐτοῦ· ἦν γὰρ ἀντίπαλον τὸ φρόνημα
τῷ τοῦ γένους ὄγκῳ ἔχουσα. οὐ μὴν καὶ προσεποιεῖτο ἄχθεσθαί 4
σφισιν, ἀλλὰ καὶ ἐπαίνους ἐν τῇ βουλῇ τοῦ Γερμανικοῦ πολλοὺς
ἐποιήσατο, καὶ θυσίας ἐπὶ τοῖς πραχθεῖσιν ὑπ' αὐτοῦ, ὥσπερ καὶ
ἐπὶ τοῖς ὑπὸ τοῦ Δρούσου, γενέσθαι ἐσηγήσατο. τοῖς τε στρατιώ-
ταις τοῖς ἐν τῇ Παννονίᾳ τὰ αὐτὰ τοῖς ὑπ' ἐκείνου δοθεῖσιν ἐδω-
ρήσατο. ἐς μέντοι τὸ ἔπειτα οὐ πρότερον τοὺς ἔξω τῆς Ἰταλίας 5
στρατευομένους ἀπέλυε πρὶν τὰ εἴκοσιν ἔτη στρατεύσασθαι.*

*ὡς δ' οὖν οὐδὲν ἔτι νεώτερον ἠγγέλλετο, ἀλλ' ἀσφαλῶς πάντα 7*

6 2 *καὶ ἐκείνῳ ἐνέκειντο?** 6 3 2 *ὡς* om

Digitized by Google

τὰ τῶν Ῥωμαίων ἐς τὴν ἡγεμονίαν αὐτοῦ συνεφρόνησε, τήν τε ἀρ-
χὴν οὐδὲν ἔτι εἰρωνευόμενος ὑπεδέξατο, καὶ ἐν τοιῷδε αὐτὴν τρόπῳ,
2 ἐφ᾽ ὅσον ὁ Γερμανικὸς ἔζη, διήγαγεν. αὐτὸς μὲν καθ᾽ ἑαυτὸν ἤ
τι ἢ οὐδὲν ἔπραττε, πάντα δὲ δὴ καὶ τὰ σμικρότατα ἔς τε τὴν
γερουσίαν ἐσέφερε καὶ ἐκείνῃ ἐκοίνου. ἐπεποίητο μὲν γὰρ βῆμα ἐν
τῇ ἀγορᾷ, ἐφ᾽ οὗ προκαθίζων ἐχρημάτιζε, καὶ συμβούλους ἀεὶ κατὰ
τὸν Αὔγουστον παρελάμβανεν, οὐ μέντοι καὶ διῴκει. λόγου τι ἄξιον
3 ὃ μὴ καὶ τοῖς ἄλλοις ἐπεκοίνου. καὶ ἔς γε τὸ μέσον τὴν ἑαυτοῦ
γνώμην τιθεὶς οὐχ ὅπως ἀντειπεῖν αὐτῇ παντί τῳ παρρησίαν ἔνεμεν,
ἀλλὰ καὶ τἀναντία οἱ ἔστιν ὅτε ψηφιζομένων τινῶν ἔφερεν. καὶ
γὰρ αὐτὸς ψῆφον πολλάκις ἐδίδου. ὁ μὲν γὰρ Δροῦσος ἐξ ἴσου
τοῖς ἄλλοις τοτὲ μὲν πρῶτος τοτὲ δὲ μεθ᾽ ἑτέρους τοῦτ᾽ ἐποίει·
4 ἐκεῖνος δὲ ἔστι μὲν ὅτε ἐσιώπα, ἔστι δ᾽ ὅτε καὶ πρῶτος ἢ καὶ μετ᾽
ἄλλους τινὰς ἢ καὶ τελευταῖος τὰ μὲν ἄντικρυς ἀπεφαίνετο, τὰ δὲ
δὴ πλείω, ἵνα μὴ δοκῇ τὴν παρρησίαν αὐτῶν ἀφαιρεῖσθαι, ἔλεγεν
5 ὅτι εἰ γνώμην ἐποιούμην, τὰ καὶ τὰ ἂν ἀπεδειξάμην. καὶ ἦν μὲν
καὶ τοῦτο τὴν ἴσην τῷ ἑτέρῳ ἰσχὺν ἔχον, οὐ μέντοι καὶ ἐκωλύοντο
οἱ λοιποὶ ὑπ᾽ αὐτοῦ τὰ δοκοῦντά σφισι λέγειν, ἀλλὰ καὶ πολλάκις
ὁ μὲν τὸ ἐγίνωσκεν, οἱ δὲ μετ᾽ αὐτὸν ἕτερόν τι ἀνθῃροῦντο, καὶ
ἔστιν ὅτε καὶ ἐπεκράτουν· καὶ οὐδενὶ μέντοι παρὰ τοῦτο ὀργὴν
6 εἶχεν. ἐδίκαζε μὲν οὖν ὥσπερ εἶπον, ἐπεφοίτα δὲ καὶ ἐπὶ τὰ τῶν
ἀρχόντων δικαστήρια, καὶ παρακαλούμενος ὑπ᾽ αὐτῶν καὶ ἀπαρά-
κλητος, καὶ ἐκείνους μὲν ἐν τῇ ἑαυτῶν χώρᾳ καθῆσθαι εἴα, αὐτὸς
δὲ ἐπὶ τοῦ βάθρου τοῦ κατάντικρύς σφων κειμένου καθίζων ἔλεγεν
ὅσα ἐδόκει αὐτῷ ὡς πάρεδρος.

8 καὶ τἆλλα δὲ πάντα κατὰ τὸν αὐτὸν τοῦτον τρόπον ἐποίει.
οὔτε γὰρ δεσπότην ἑαυτὸν τοῖς ἐλευθέροις οὔτε αὐτοκράτορα πλὴν
τοῖς στρατιώταις καλεῖν ἐφίει, τό τε τοῦ πατρὸς τῆς πατρίδος
πρόσρημα παντελῶς διεώσατο, καὶ τὸ τοῦ Αὐγούστου οὐκ ἐπέθετο
μέν (οὐδὲ γὰρ ψηφισθῆναί ποτε εἴασε), λεγόμενον δ᾽ ἀκούων καὶ
2 γραφόμενον ἀναγινώσκων ἔφερεν· καὶ ὁσάκις γε βασιλεῦσί τισιν ἐπέ-
στελλε, καὶ ἐκεῖνο προσενέγραφεν. τὸ δ᾽ ὅλον Καῖσαρ, ἔστι δ᾽ ὅτε
καὶ Γερμανικὸς ἐκ τῶν ὑπὸ τοῦ Γερμανικοῦ πραχθέντων, πρόκριτός
τε τῆς γερουσίας κατὰ τὸ ἀρχαῖον καὶ ὑφ᾽ ἑαυτοῦ ὠνομάζετο, καὶ
πολλάκις γε ἔλεγεν ὅτι δεσπότης μὲν τῶν δούλων, αὐτοκράτωρ δὲ
3 τῶν στρατιωτῶν, τῶν δὲ δὴ λοιπῶν πρόκριτός εἰμι. εὔχετό τε,
ὁσάκις τοιοῦτό τι παραπέσοι, τοσοῦτον καὶ ζῆσαι καὶ ἄρξαι χρόνον
ὅσον ἂν τῷ δημοσίῳ συμφέρῃ. καὶ οὕτω γε διὰ πάντων ὁμοίως

7 5 1 ἐπεδειξάμην   6 5 πρόεδρος   8 3 2 τι ἄρα πέσοι*

Digitized by Google

δημοτικὸς ἦν ὥστε οὔτε ἐν τοῖς γενεθλίοις αὐτοῦ γίγνεσθαί τι παρὰ τὸ
καθεστηκὸς ἐπέτρεπεν, οὔτε ὀμνύναι τοῖς ἀνθρώποις τὴν αὐτοῦ τύχην
συνεχώρει, οὔτ᾽, εἰ καὶ ὀμόσας τις αὐτὴν αἰτίαν ὡς καὶ ἐπιωρκηκὼς
ἔλαβεν, ἐπεξῄει. συνελόντι τε εἰπεῖν, οὐδ᾽ ὅπερ ἐπί τε τῷ Αὐγούστῳ 4
δεῦρο ἀεὶ ἐν τῇ πρώτῃ τοῦ ἔτους ἡμέρᾳ καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς μετ᾽
ἐκεῖνον ἄρξασιν, ὧν γε καὶ λόγον τινὰ ποιούμεθα, ἐπί τε τοῖς τὸ κράτος
ἀεὶ ἔχουσιν ἐξ ἀνάγκης γίγνεται, τά τε πραχθέντα ὑπ᾽ αὐτῶν καὶ τὰ
πραχθησόμενα ὑπὸ τῶν ἀεὶ ζώντων ὅρκοις τισὶ βεβαιοῦσθαι, οὐδὲ
τοῦτο τά γε πρῶτα ἐφ᾽ ἑαυτῷ περιεῖδε γενόμενον. καίτοι ἐπὶ ταῖς τοῦ 5
Αὐγούστου πράξεσι τούς τε ἄλλους πάντας ὥρκου καὶ αὐτὸς ὤμνυεν.
καὶ ὅπως γε ἐκδηλότερον αὐτὸ ποιοίη, παρεὶς ἂν τὴν νουμηνίαν
καὶ μήτε ἐς τὸ βουλευτήριον ἐσελθὼν μήθ᾽ ὅλως ἐν τῇ πόλει τὴν
ἡμέραν ἐκείνην ὀφθείς, ἀλλ᾽ ἐν προαστείῳ τινὶ διατρίψας, ἐσῄει τε
μετὰ ταῦτα καὶ κατὰ μόνας ἐπιστοῦτο. τούτου τε οὖν ἕνεκα ἔξω 6
που ταῖς νουμηνίαις διῆγε, καὶ ἵνα μηδένα τῶν ἀνθρώπων ἄσχολον,
περί τε τὰς νέας ἀρχὰς καὶ περὶ τὴν ἑορτὴν ἔχοντα, ποιῇ, ἢ καὶ
ἀργύριον παρ᾽ αὐτῶν λαμβάνῃ. οὐδὲ γὰρ οὐδὲ τὸν Αὔγουστον ἐπὶ
τούτῳ ἐπῄνει διὰ τὸ πολλὴν μὲν δυσχέρειαν ἐν αὐτῷ πολλὴν δὲ
καὶ ἀνάλωσιν ἐκ τῆς ἀντιδόσεως γίγνεσθαι.

ταῦτά τε οὖν δημοτικῶς διῴκει, καὶ ὅτι οὔτε τεμένισμα αὐτῷ 9
οὐχ ὅπως αὐθαίρετον ἀλλ᾽ οὐδ᾽ ἄλλως τότε γε ἐτεμενίσθη, οὔτε
εἰκόνα ἐξῆν αὐτοῦ οὐδενὶ στῆσαι· ἄντικρυς γὰρ παραχρῆμα ἀπη-
γόρευσε μήτε πόλει μήτ᾽ ἰδιώτῃ τοῦτο ποιεῖν. προσέθηκε μὲν γὰρ 2
τῇ ἀπορρήσει ὅτι ἂν μὴ ἐγὼ ἐπιτρέψω, προσεπεῖπε δὲ ὅτι οὐκ
ἐπιτρέψω. ἐπεὶ τό γε ὑβρίσθαι πρός τινος καὶ τὸ ἠσεβῆσθαι (ἀσέ-
βειάν τε γὰρ ἤδη καὶ τὸ τοιοῦτον ὠνόμαζον, καὶ δίκας ἐπ᾽ αὐτῷ
πολλὰς ἐσῆγον) ἥκιστα προσεποιεῖτο, οὐδ᾽ ἔστιν ἥν τινα τοιαύτην
ἐφ᾽ ἑαυτῷ γραφὴν προσεδέξατο, καίπερ τὸν Αὔγουστον καὶ ἐν τούτῳ
σεμνύνων. τὸ μὲν γὰρ πρῶτον οὐδένα οὐδὲ τῶν ἐπ᾽ ἐκείνῳ τινὰ 3
αἰτίαν λαβόντων ἐκόλασεν, ἀλλὰ καὶ ἐγκληθέντας τινὰς ὡς καὶ
ἐπιωρκηκότας τὴν τύχην αὐτοῦ ἀπέλυσεν· προϊόντος δὲ τοῦ χρόνου
καὶ πάνυ πολλοὺς ἐθανάτωσεν.

καὶ ἔν τε τούτῳ τὸν Αὔγουστον ἤγαλλε, καὶ ὅτι τά τε οἰκοδο- 10
μήματα, ἃ προκατεβάλετο μὲν οὐκ ἐξετέλεσε δέ, ἐκποιῶν τὸ ὄνομα
αὐτοῦ ἐπέγραφε σφίσι, τά τε ἀγάλματα καὶ τὰ ἡρῷα αὐτοῦ, καὶ
ὅσα οἱ δῆμοι καὶ ὅσα οἱ ἰδιῶται ἐποίουν, τὰ μὲν αὐτὸς καθιέρου,
τὰ δὲ τῶν ποντιφίκων τινὶ προσέτασσεν. τοῦτο δὲ τὸ κατὰ τὰς 2
ἐπιγραφὰς οὐκ ἐπ᾽ ἐκείνοις μόνοις τοῖς τοῦ Αὐγούστου ἔργοις, ἀλλ᾽

9 2 3 πρός τινος καὶ τὸ ἠσεβ. πρός τινος*

Digitized by Google

ἐπὶ πᾶσιν ὁμοίως τοῖς ἐπισκευῆς τινὸς δεηθεῖσιν ἐποίησεν· πάντα
γὰρ τὰ πεπονηκότα ἀνακτησάμενος (αὐτὸς γὰρ οὐδὲν τὸ παράπαν
ἐκ καινῆς, πλὴν τοῦ αὐγουστείου, κατεσκευάσατο) οὐδὲν αὐτῶν
ἰδιώσατο, ἀλλὰ τὰ τῶν πρώτων οἰκοδομησάντων αὐτὰ ὀνόματα
3 πᾶσί σφισιν ἀπέδωκεν. ἐλάχιστα γὰρ ἐς αὐτὸν δαπανῶν πλεῖστα
ἐς τὸ κοινὸν ἀνήλισκε, πάντα μὲν ὡς εἰπεῖν τὰ δημόσια ἔργα τὰ
μὲν ἀνοικοδομῶν τὰ δὲ ἐπικοσμῶν, πολλὰ δὲ καὶ πόλεσι καὶ ἰδιώ-
ταις ἐπαρκῶν. τῶν τε βουλευτῶν συχνοὺς πενομένους καὶ μηκέτι
4 μηδὲ βουλεύειν διὰ τοῦτ' ἐθέλοντας ἐπλούτισεν. οὐ μέντοι καὶ
ἀκρίτως αὐτὸ ἐποίει, ἀλλὰ καὶ διέγραφε τοὺς μὲν ὑπ' ἀσελγείας
τοὺς δὲ καὶ ὑπὸ πτωχείας, ὅσοι μηδένα αὐτῆς λογισμὸν εἰκότα
ἀποδοῦναι ἐδύναντο. πᾶν τε ὃ ἐδωρεῖτό τισιν, εὐθὺς καὶ ἐν τοῖς
ὀφθαλμοῖς αὐτοῦ ἠριθμεῖτο· ἐπειδὴ γὰρ ἐπὶ τοῦ Αὐγούστου μεγάλα
ἐκ τῶν τοιούτων οἱ δοτῆρες αὐτῶν ἀπετέμνοντο, δεινῶς ἐφυλάττετο
5 μὴ καὶ ἐφ' ἑαυτοῦ τοῦτο γίγνεσθαι. καὶ ταῦτα μέντοι πάντα ἐκ
τῶν νενομισμένων προσόδων ἐδαπάνα· οὔτε γὰρ ἀπέκτεινε χρημά-
των ἕνεκα οὐδένα, οὔτε οὐσίαν τινὸς τότε γε ἐδήμευσεν, ἀλλ' οὐδ'
ἐξ ἐπηρείας τι ἠργυρολόγησεν. Αἰμιλίῳ γοῦν Ῥήκτῳ χρήματά
ποτε αὐτῷ πλείω παρὰ τὸ τεταγμένον ἐκ τῆς Αἰγύπτου ἧς ἦρχε
πέμψαντι ἀντεπέστειλεν ὅτι κείρεσθαί μου τὰ πρόβατα, ἀλλ' οὐκ
ἀποξύρεσθαι βούλομαι.

11 καὶ μέντοι καὶ εὐπρόσοδος καὶ εὐπροσήγορος ἰσχυρῶς ἦν. τοὺς
γοῦν βουλευτὰς ἀθρόους ἀσπάζεσθαι αὐτὸν ἐκέλευσεν, ἵνα μὴ ὠστί-
2 ζωνται. τό τε σύμπαν τοσαύτην ἐπιείκειαν ἤσκει ὥστε, ἐπειδή ποτε
οἱ Ῥοδίων ἄρχοντες ἐπιστείλαντές τι αὐτῷ οὐχ ὑπέγραψαν τῇ ἐπι-
στολῇ τοῦτο δὴ τὸ νομιζόμενον, εὐχὰς αὐτῷ ποιούμενοι, μετεπέμ-
ψατο μέν σφας σπουδῇ ὡς καὶ κακόν τι δράσων, ἐλθόντας δὲ οὐδὲν
3 δεινὸν εἰργάσατο, ἀλλ' ὑπογράψαντας τὸ ἐνδέον ἀπέπεμψεν. τούς
τε ἀεὶ ἄρχοντας ὡς ἐν δημοκρατίᾳ ἐτίμα, καὶ τοῖς ὑπάτοις καὶ
ὑπανίστατο· ὁπότε τε αὐτοὺς δειπνίζοι, τοῦτο μὲν ἐσιόντας σφᾶς
πρὸς τὰς θύρας ἐξεδέχετο, τοῦτο δὲ καὶ ἀπιόντας προέπεμπεν. εἴ
τέ ποτε ἐπὶ τοῦ δίφρου κομίζοιτο, οὐδένα οἱ παρακολουθεῖν οὐχ
4 ὅπως βουλευτὴν ἀλλ' οὐδ' ἱππέα τῶν πρώτων εἴα. ἔν τε ταῖς πα-
νηγύρεσι, καὶ εἴ δή τι καὶ ἄλλο τοιουτότροπον ἀσχολίαν τοῖς πολλοῖς
παρέξειν ἔμελλεν, ἐλθὼν ἂν ἀφ' ἑσπέρας πρός τινα τῶν καισαρείων
τῶν πρὸς τοῖς χωρίοις ἐκείνοις ἐς ἃ συμφοιτῆσαι ἔδει οἰκούντων,
ἐνταῦθα τὰς νύκτας ἐνηυλίζετο, ὅπως ἐξ ἑτοιμοτάτου καὶ ἀπονω-
5 τάτου τοῖς ἀνθρώποις ἐντυγχάνειν αὐτῷ γίγνοιτο. καὶ τούς γε τῶν
ἵππων ἀγῶνας ἐξ οἰκίας καὶ αὐτὸς τῶν ἀπελευθέρων τινὸς πολλάκις
ἑώρα. συνεχέστατα γὰρ ἐπὶ τὰς θέας ἀπήντα τῆς τε τιμῆς τῶν

Digitized by Google

ἐπιτελούντων αὐτὰς ἕνεκα καὶ τῆς τοῦ πλήθους εὐκοσμίας, τοῦ τε
συνεορτάζειν σφίσι δοκεῖν. οὐ γὰρ οὔτε ἐσπούδασέ ποτε τὸ παρά-
παν τῶν τοιούτων οὐδέν, οὔτε δόξαν τινὰ ὡς καὶ συσπεύδων τινὶ
ἔσχεν. οὕτω τε ἐς πάντα ἴσος καὶ ὅμοιος ἦν ὥστ' ὀρχηστήν τινα 6
τοῦ δήμου ἐλευθερωθῆναί ποτε βουληθέντος μὴ πρότερον συνεπαι-
νέσαι πρὶν τὸν δεσπότην αὐτοῦ καὶ πεισθῆναι καὶ τὴν τιμὴν λαβεῖν.
τοῖς τε ἑταίροις ὡς καὶ ἐν ἰδιωτείᾳ συνῆν· καὶ γὰρ δικαζομένοις 7
σφίσι συνηγωνίζετο καὶ θύουσι συνεώρταζε, νοσοῦντάς τε ἐπεσκέπ-
τετο μηδεμίαν φρουρὰν ἐπεσαγόμενος, καὶ ἐφ' ἑνί γέ τινι αὐτῶν
τελευτήσαντι τὸν ἐπιτάφιον αὐτὸς εἶπεν.

καὶ μέντοι καὶ τὴν μητέρα πάνθ' ὅσα πρέποντα αὐτῇ τῶν 12
τοιούτων ποιεῖν ἦν, τὸ μέν τι τῆς ἑαυτοῦ ζηλώσεως ἕνεκα, τὸ δὲ
ἵνα μὴ ὑπεραυχῇ, πράττειν ἐκέλευεν. πάνυ γὰρ μέγα καὶ ὑπὲρ πά- 2
σας τὰς πρόσθεν γυναῖκας ὤγκωτο, ὥστε καὶ τὴν βουλὴν καὶ τοῦ
δήμου τοὺς ἐθέλοντας οἴκαδε ἀσπασομένους ἀεί ποτε ἐσδέχεσθαι,
καὶ τοῦτο καὶ ἐς τὰ δημόσια ὑπομνήματα ἐσγράφεσθαι. αἵ τε
ἐπιστολαὶ αἱ τοῦ Τιβερίου καὶ τὸ ἐκείνης ὄνομα χρόνον τινὰ ἔσχον,
καὶ ἐγράφετο ἀμφοῖν ὁμοίως. πλήν τε ὅτι οὔτε ἐς τὸ συνέδριον 3
οὔτε ἐς τὰ στρατόπεδα οὔτε ἐς τὰς ἐκκλησίας ἐτόλμησέ ποτε ἐσελ-
θεῖν, τά γε ἄλλα πάντα ὡς καὶ αὐταρχοῦσα διοικεῖν ἐπεχείρει. ἐπί
τε γὰρ τοῦ Αὐγούστου μέγιστον ἠδυνήθη καὶ τὸν Τιβέριον αὐτὴ
αὐτοκράτορα πεποιηκέναι ἔλεγε, καὶ διὰ τοῦτο οὐχ ὅσον ἐξ ἴσου οἱ
ἄρχειν, ἀλλὰ καὶ πρεσβεύειν αὐτοῦ ἤθελεν. ὅθεν ἄλλα τε ἔξω τοῦ 4
νενομισμένου ἐσεφέρετο, καὶ πολλοὶ μὲν μητέρα αὐτὴν τῆς πατρίδος
πολλοὶ δὲ καὶ γονέα προσαγορεύεσθαι γνώμην ἔδωκαν. ἄλλοι καὶ
τὸν Τιβέριον ἀπ' αὐτῆς ἐπικαλεῖσθαι ἐσηγήσαντο, ὅπως ὥσπερ οἱ
Ἕλληνες πατρόθεν, οὕτω καὶ ἐκεῖνος μητρόθεν ὀνομάζηται. ἀγα- 5
νακτῶν οὖν ἐπὶ τούτοις οὔτε τὰ ψηφιζόμενα αὐτῇ πλὴν ἐλαχίστων
ἐπεκύρου, οὔτ' ἄλλο τί οἱ ὑπέρογκον ποιεῖν ἐπέτρεπεν. εἰκόνα γοῦν
ποτὲ αὐτῆς οἴκοι τῷ Αὐγούστῳ ὁσιωσάσης, καὶ διὰ τοῦτο καὶ τὴν
βουλὴν καὶ τοὺς ἱππέας μετὰ τῶν γυναικῶν ἑστιᾶσαι ἐθελησάσης,
οὔτ' ἄλλως συνεχώρησέν οἱ τοῦτο πρᾶξαι πρὶν τὴν γερουσίαν ψη-
φίσασθαι, οὔτε τότε τοὺς ἄνδρας δειπνίσαι, ἀλλ' αὐτὸς μὲν τούτους
ἐκείνη δὲ τὰς γυναῖκας εἱστίασεν. καὶ τέλος τῶν μὲν δημοσίων 6
παντάπασιν αὐτὴν ἀπήλλαξε, τὰ δ' οἴκοι διοικεῖν οἱ ἐφεῖς, εἶθ' ὡς
καὶ ἐν τούτοις ἐπαχθὴς ἦν, ἀποδημίας τε ἐστέλλετο καὶ πάντα τρό-
πον αὐτὴν ἐξίστατο, ὥστε καὶ ἐς τὴν Καπρίαν δι' ἐκείνην οὐχ
ἥκιστα μεταστῆναι.

ταῦτα μὲν περὶ τῆς Λιουίας παραδέδοται· ὁ δὲ δὴ Τιβέριος 13

12 5 3 οἱ om*

αὐτὸς μὲν τραχύτερον τοὺς αἰτιαζομένους τι μετεχειρίζετο, τῷ δὲ
δὴ Δρούσῳ τῷ υἱεῖ καὶ ἀσελγεστάτῳ καὶ ὠμοτάτῳ, ὥστε καὶ τὰ
ὀξύτατα τῶν ξιφῶν Δρουσιανὰ ἀπ' αὐτοῦ κληθῆναι, ὄντι καὶ ἤχθετο
2 καὶ ἐπετίμα καὶ ἰδίᾳ καὶ δημοσίᾳ πολλάκις. καί ποτε αὐτῷ καὶ
ἄντικρυς πολλῶν παρόντων εἶπεν ὅτι ζῶντος μὲν ἐμοῦ οὐδὲν οὔτε
βίαιον οὔθ' ὑβριστικὸν πράξεις· ἂν δέ τι καὶ τολμήσῃς, οὐδὲ τελευ-
3 τήσαντος. χρόνον γάρ τινα σωφρονέστατα διεγένετο, καὶ οὐδὲ τῶν
ἄλλων οὐδενὶ ἀσελγαίνειν ἐφίει, ἀλλὰ καὶ συχνοὺς ἐπὶ τούτῳ ἐκό-
λαζε, καίτοι τῶν βουλευτῶν ποτὲ ἐπιτίμιόν τι κατὰ τῶν ἀσώτως
ζώντων νομοθετηθῆναι ἐθελησάντων μήτε τι τάξας, καὶ προσεπειπὼν
ὅτι ἄμεινόν ἐστιν ἰδίᾳ τρόπον τινὰ αὐτοὺς σωφρονίζειν ἢ κοινήν
4 σφισι τιμωρίαν ἐπιθεῖναι. νῦν μὲν γὰρ ἂν τῷ φόβῳ τῆς αἰσχύνης
καὶ μετριάσαι τινὰ αὐτῶν, ὥστε καὶ λαθεῖν ἐπιχειρῆσαι· ἂν δ'
ἅπαξ ὁ νόμος ὑπὸ τῆς φύσεως ἐκνικηθῇ, μηδένα αὐτοῦ προτιμήσειν.
5 καὶ ἐπειδή γε πολλῇ ἐσθῆτι ἁλουργεῖ καὶ ἄνδρες συχνοὶ καίπερ
ἀπαγορευθὲν πρότερον ἐχρῶντο, διεμέμψατο μὲν οὐδένα οὐδ' ἐζημίω-
σεν, ὑετοῦ δὲ ἐν πανηγύρει τινὶ γενομένου φαιὰν μανδύην ἐπενέδυ·
κἀκ τούτου οὐκέτ' οὐδεὶς αὐτῶν ἀλλοῖον ἔσθημα λαβεῖν ἐτόλμησεν.
6 ταῦθ' οὕτω πάντα μέχρι γε καὶ ὁ Γερμανικὸς ἔζη ἐποίει· μετὰ
γὰρ τοῦτο συχνὰ αὐτῶν μετέβαλεν, εἴτ' οὖν φρονῶν μὲν οὕτως ἀπὸ
πρώτης ὡς ὕστερον διέδειξε, πλασάμενος δὲ ἐφ' ὅσον ἐκεῖνος ἐβίω,
ἐπειδή περ ἐφεδρεύοντα αὐτὸν τῇ ἡγεμονίᾳ ἑώρα, εἴτε καὶ πεφυκὼς
14 μὲν εὖ, ἐξοκείλας δ' ὅτε τοῦ ἀνταγωνιστοῦ ἐστερήθη. λέξω δὲ καὶ
κατὰ τοὺς καιροὺς ὡς ἕκαστα ἐγένετο, ὅσα γε καὶ μνήμης ἄξια ἐστίν.
a.C. 15 ἐπὶ μὲν τοῦ Δρούσου τοῦ υἱέος αὐτοῦ Γαΐου τε Νωρβανοῦ
ὑπάτων τῷ δήμῳ τὰ καταλειφθέντα ὑπὸ τοῦ Αὐγούστου ἀπέδωκεν,
ἐπειδὴ προσελθών τις πρὸς νεκρὸν διὰ τῆς ἀγορᾶς ἐκφερόμενον καὶ
πρὸς τὸ οὖς αὐτοῦ προσκύψας ἐψιθύρισέ τι, καὶ ἐρομένων τῶν
ἰδόντων ὅ τι εἰρήκοι, ἐντετάλθαι ἔφη τῷ Αὐγούστῳ ὅτι οὐδέπω
2 οὐδὲν ἐκομίσαντο. ἐκεῖνον μὲν γὰρ αὐτίκα ἀπέκτεινεν, ἵν' αὐτάγγε-
λος αὐτῷ, ὥς που καὶ ἐπισκώπτων εἶπε, γένηται, τοὺς δ' ἄλλους
οὐκ ἐς μακρὰν ἀπήλλαξε, κατὰ πέντε καὶ ἑξήκοντα δραχμὰς δια-
3 νείμας. καὶ τοῦτο μὲν τῷ προτέρῳ ἔτει γενέσθαι τινὲς λέγουσιν·
τότε δὲ ἱππέων τινῶν ἐν τοῖς ἀγῶσιν οὓς ὁ Δροῦσος ὑπέρ τε ἑαυ-
τοῦ καὶ ὑπὲρ τοῦ Γερμανικοῦ δὴ διέθηκε μονομαχῆσαι ἐθελησάντων
τὸν μὲν ἀγῶνα αὐτῶν οὐκ εἶδε, σφαγέντος δὲ τοῦ ἑτέρου τὸν ἕτερον
4 οὐκέτ' εἴασεν ὁπλομαχῆσαι. ἐγένοντο δὲ καὶ ἄλλαι ἐν τῇ τῶν Αὐ-
γούστου γενεθλίων ἱπποδρομίᾳ μάχαι, καί τινα καὶ θηρία ἐσφάγη.
καὶ τοῦτο μὲν καὶ ἐπὶ πολλὰ ἔτη οὕτως ἐποιήθη· τότε δὲ ἡ Κρήτη
τοῦ ἄρχοντος αὐτῆς ἀποθανόντος τῷ τε ταμίᾳ καὶ τῷ παρέδρῳ

Digitized by Google

αὐτοῦ τὸν λοιπὸν χρόνον προσετάχθη. ἐπειδή τε συχνοὶ τῶν τὰ 5
ἔθνη κληρουμένων ἐπὶ πολὺ ἔν τε τῇ Ῥώμῃ καὶ ἐν τῇ λοιπῇ Ἰταλίᾳ
ἐνδιέτριβον, ὥστε τοὺς προάρξαντας αὐτῶν παρὰ τὸ καθεστηκὸς
χρονίζειν, ἐκέλευσέ σφισιν ἐντὸς τῆς τοῦ Ἰουνίου νουμηνίας ἀφορ-
μᾶσθαι. κἂν τούτῳ τοῦ ἐγγόνου αὐτοῦ, ὃν ἐκ τοῦ Δρούσου εἶχε, 6
τελευτήσαντος οὐδὲν ὅ τι τῶν συνήθων οὐκ ἔπραξε, μήτ' ἄλλως
ἀξιῶν τὸν ἄρχοντα τινῶν πρὸς τὰς ἰδίας συμφορὰς τῆς τῶν κοινῶν
ἐπιμελείας ἐξίστασθαι, καὶ τοὺς λοιποὺς ἐθίζων μὴ διὰ τοὺς οἰχο-
μένους καὶ τὰ τῶν ζώντων προΐεσθαι. τοῦ τε ποταμοῦ τοῦ Τιβέ- 7
ριδος πολλὰ τῆς πόλεως κατασχόντος ὥστε πλευσθῆναι, οἱ μὲν
ἄλλοι ἐν τέρατος λόγῳ καὶ τοῦτο, ὥσπερ που τό τε μέγεθος τῶν
σεισμῶν ὑφ' ὧν καὶ μέρος τι τοῦ τείχους ἔπεσε, καὶ τὸ πλῆθος
τῶν κεραυνῶν ὑφ' ὧν καὶ οἶνος ἐξ ἀγγείων ἀθραύστων ἐξετάκη,
ἐλάμβανον, ἐκεῖνος δὲ δὴ νομίσας ἐκ πολυπληθίας ναμάτων αὐτὸ 8
γεγονέναι πέντε ἀεὶ βουλευτὰς κληρωτοὺς ἐπιμελεῖσθαι τοῦ ποταμοῦ
προσέταξεν, ἵνα μήτε τοῦ θέρους ἐλλείπῃ μήτε τοῦ χειμῶνος πλεο-
νάζῃ, ἀλλ' ἴσος ὅτι μάλιστα ἀεὶ ῥέῃ.

Τιβέριος μὲν ταῦτα ἔπραττεν, ὁ δὲ δὴ Δροῦσος τὰ μὲν τῇ 9
ὑπατείᾳ προσήκοντα ἐξ ἴσου τῷ συνάρχοντι ὥσπερ τις ἰδιώτης
ἐξετέλεσε, καὶ κληρονόμος γε ὑπό τινος καταλειφθεὶς τὸ σῶμα αὐ-
τοῦ συνεξήνεγκε, τῇ μέντοι ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ὥστε καὶ
πληγὰς ἱππεῖ ἐπιφανεῖ δοῦναι καὶ διὰ τοῦτο καὶ Κάστωρ παρωνύ-
μιον λαβεῖν. τῇ τε μέθῃ κατακορὴς οὕτως ἐγίγνετο ὥστε ποτὲ 10
νυκτὸς ἐμπρησθεῖσί τισιν ἐπικουρῆσαι μετὰ τῶν δορυφόρων ἀναγ-
κασθείς, ὕδωρ αὐτῶν αἰτούντων, θερμόν σφισιν ἐγχέαι κελεῦσαι.
τοῖς τε ὀρχησταῖς οὕτω προσέκειτο ὥστε καὶ στασιάζειν αὐτοὺς
καὶ μηδ' ὑπὸ τῶν νόμων, οὓς ὁ Τιβέριος ἐπ' αὐτοῖς ἐσενηνόχει,
καθίστασθαι.

τότε μὲν ταῦτα ἐγένετο, Στατιλίου δὲ Ταύρου μετὰ Λουκίου 15
Λίβωνος ὑπατεύσαντος ὁ Τιβέριος ἀπεῖπε μὲν ἐσθῆτι σηρικῇ μη- a.C. 16
δένα ἄνδρα χρῆσθαι, ἀπεῖπε δὲ καὶ χρυσῷ σκεύει μηδένα πλὴν
πρὸς τὰ ἱερὰ νομίζειν. ἐπεί τε διηπόρησάν τινες εἰ καὶ τὰ ἀργυρᾶ 2
τὰ χρυσοῦν τι ἔμβλημα ἔχοντα ἀπηγορευμένον σφίσιν εἴη κεκτῆσθαι,
βουληθεὶς καὶ περὶ τούτου τι δόγμα ποιῆσαι, ἐκώλυσεν ἐς αὐτὸ τὸ
ὄνομα τὸ τοῦ ἐμβλήματος ὡς καὶ Ἑλληνικὸν ἐμβληθῆναι, καίτοι
μὴ ἔχων ὅπως ἐπιχωρίως αὐτὸ ὀνομάσῃ. ἐκεῖνό τε οὖν οὕτως 3
ἐποίησε, καὶ ἑκατοντάρχου ἑλληνιστὶ ἐν τῷ συνεδρίῳ μαρτυρῆσαί
τι ἐθελήσαντος οὐκ ἠνέσχετο, καίπερ πολλὰς μὲν δίκας ἐν τῇ δια-

14 6 1 ἐκγόνου* 4 καθίζων

λέκτῳ ταύτῃ καὶ ἐκεῖ λεγομένας ἀκούων, πολλὰς δὲ καὶ αὐτὸς ἐπε-
4 ρωτῶν. τοῦτό τε οὖν οὐχ ὁμολογούμενον ἔπραξε, καὶ Λούκιον Σκριβώνιον Λίβωνα, νεανίσκον εὐπατρίδην δόξαντά τι νεωτερίζειν, τέως μὲν ἔρρωτο, οὐκ ἔκρινε, νοσήσαντα δὲ ἐπιθάνατον ἔν τε σκιμποδίῳ καταστέγῳ, ὁποίῳ αἱ τῶν βουλευτῶν γυναῖκες χρῶνται,
5 ἐς τὴν γερουσίαν ἐσεκόμισε, καὶ ἐπειδὴ ἀναβολῆς τινὸς γενομένης ἑαυτὸν προαπεχρήσατο, καὶ τελευτήσαντα εὔθυνε, τά τε χρήματα αὐτοῦ τοῖς κατηγόροις διέδωκεν, καὶ θυσίας ἐπ᾽ αὐτῷ οὐχ ἑαυτοῦ μόνον ἕνεκα ἀλλὰ καὶ τοῦ Αὐγούστου τοῦ τε πατρὸς αὐτοῦ τοῦ
6 Ἰουλίου, καθάπερ ποτὲ ἐδέδοκτο, ψηφισθῆναι ἐποίησεν. ταῦτα δὲ περὶ τούτων πράξας, Ὀβιβίῳ Ῥούφῳ οὔτε ἐνεκάλεσέ τι ἀρχὴν ὅτι τῷ τοῦ Καίσαρος δίφρῳ, ἐφ᾽ οὗ ἀεί ποτε ἐκαθίζετο καὶ ἐφ᾽ οὗ καὶ ἐσφάγη, ἐχρῆτο. τοῦτό τε γὰρ ὁ Ῥοῦφος ἐπιτηδεύσας ἔπραττε, καὶ τῇ τοῦ Κικέρωνος γυναικὶ συνῴκει, σεμνυνόμενος ἐφ᾽ ἑκατέρῳ ὥσπερ ἢ διὰ τὴν γυναῖκα ῥήτωρ ἢ διὰ τὸν δίφρον Καῖσαρ ἐσόμε-
7 νος. οὐ μὴν οὔτε αἰτίαν τινὰ ἐπὶ τούτῳ ἔσχε καὶ προσέτι καὶ ὑπάτευσεν. καὶ μέντοι τῷ τε Θρασύλλῳ ἀεὶ συνὼν καὶ μαντείᾳ τινὶ καθ᾽ ἑκάστην ἡμέραν χρώμενος, αὐτός τε ἀκριβῶν οὕτω τὸ πρᾶγμα ὥστε ποτὲ ὄναρ δοῦναί τινι ἀργύριον κελευσθεὶς συνεῖναί τε ὅτι δαίμων τις ἐκ γοητείας οἱ ἐπιπέμπεται καὶ τὸν ἄνθρωπον
8 ἀποκτεῖναι, πάντας τοὺς ἄλλους τούς τε ἀστρολόγους καὶ τοὺς γόητας, εἴ τέ τινα ἕτερον καὶ ὁποιονοῦν τρόπον ἐμαντεύετό τις, τοὺς μὲν ξένους ἐθανάτωσε, τοὺς δὲ πολίτας, ὅσοι καὶ τότε ἔτι, μετὰ τὸ πρότερον δόγμα δι᾽ οὗ ἀπηγόρευτο μηδὲν τοιοῦτον ἐν τῇ πόλει μεταχειρίζεσθαι, ἐσηγγέλθησαν τῇ τέχνῃ χρώμενοι, ὑπερώρισεν· τοῖς
9 γὰρ πειθαρχήσασιν αὐτῶν ἄδεια ἐδόθη. καὶ σύμπαντες δ᾽ ἂν οἱ πολῖται καὶ παρὰ γνώμην αὐτοῦ ἀφείθησαν, εἰ μὴ δήμαρχός τις ἐκώλυσεν. ἔνθα δὴ καὶ μάλιστ᾽ ἄν τις τὸ τῆς δημοκρατίας σχῆμα κατενόησεν, ὅτι ἡ βουλὴ τοῦ-τε Δρούσου καὶ τοῦ Τιβερίου, συνέπαινος Γναίῳ Καλπουρνίῳ Πίσωνι γενομένη, κατεκράτησε, καὶ αὐτὴ ὑπὸ τοῦ δημάρχου ἡττήθη.

16 ταῦτά τε οὖν οὕτως ἐπράχθη, καὶ ἐκ τῶν πέρυσι τεταμιευκότων ἐς τὰ ἔθνη τινὲς ἐξεπέμφθησαν, ἐπειδή περ οἱ τότε ταμιεύοντες ἐλάττους αὐτῶν ἦσαν. καὶ τοῦτο καὶ αὖθις, ὁσάκις ἐδέησεν, ἐγέ-
2 νετο. ἐπεί τε πολλὰ τῶν δημοσίων γραμμάτων τὰ μὲν καὶ παντελῶς ἀπολώλει, τὰ δὲ ἐξίτηλα γοῦν ὑπὸ τοῦ χρόνου ἐγεγόνει, τρεῖς βουλευταὶ προεχειρίσθησαν ὥστε τά τε ὄντα ἐκγράψασθαι καὶ τὰ λοιπὰ ἀναζητῆσαι. ἐμπρησθεῖσί τέ τισιν οὐχ ὅπως ὁ Τιβέριος ἀλλὰ καὶ

15 4 3 ἐπὶ θάνατον* 5 3 ἐδεδώκει

Digitized by Google

ἡ Λιβία ἤμυνεν. κἂν τῷ αὐτῷ ἔτει Κλήμης τις, δοῦλός τε τοῦ 3
Ἀγρίππου γεγονὼς καί πῃ καὶ προσεοικὼς αὐτῷ, ἐπλάσατο· αὐτὸς ἐκεῖνος εἶναι, καὶ ἐς τὴν Γαλατίαν ἐλθὼν πολλοὺς μὲν ἐνταῦθα πολλοὺς δὲ καὶ ἐν τῇ Ἰταλίᾳ ὕστερον προσεποιήσατο, καὶ τέλος καὶ ἐπὶ τὴν Ῥώμην ὥρμησεν ὡς καὶ τὴν παππῴαν μοναρχίαν ἀποληψόμενος. ταραττομένων τε οὖν ἐπὶ τούτῳ τῶν ἐν τῷ ἄστει, καὶ 4
συχνῶν αὐτῷ προστιθεμένων, ὁ Τιβέριος σοφίᾳ αὐτὸν διά τινων ὡς καὶ τὰ ἐκείνου φρονούντων ἐχειρώσατο, καὶ μετὰ τοῦτο βασανίσας ἵνα τι περὶ τῶν συνεγνωκότων αὐτῷ μάθῃ, ἔπειτ' ἐπειδὴ μηδὲν ἐξελάλησεν, ἐπύθετο αὐτοῦ "πῶς Ἀγρίππας ἐγένου;" καὶ ὃς ἀπεκρίνατο ὅτι οὕτως ὡς καὶ σὺ Καῖσαρ.

τῷ δ' ἐχομένῳ ἔτει τὸ μὲν τῶν ὑπάτων ὄνομα Γάιός τε Και- 17
κίλιος καὶ Λούκιος Φλάκκος ἔλαβον, ὁ δὲ δὴ Τιβέριος, ἐπειδὴ καὶ a. C. 17
μετὰ τὴν νουμηνίαν τινὲς ἀργύριον αὐτῷ προσήνεγκαν, οὔτε ἐδέξατο καί τι καὶ γράμμα περὶ αὐτοῦ τοῦτον ἐξέθηκε, ῥήματί τινι μὴ Λατίνῳ χρησάμενος. ἐνθυμηθεὶς οὖν νυκτὸς περὶ αὐτοῦ πάντας 2
τοὺς τὰ τοιαῦτα ἀκριβοῦντας μετεπέμψατο· πάνυ γὰρ δὴ ἔμελεν αὐτῷ τοῦ καλῶς διαλέγεσθαι. καί τινος Ἀτηίου Καπίτωνος εἰπόντος ὅτι εἰ καὶ μηδεὶς πρόσθεν τὸ ὄνομα τοῦτ' ἐφθέγξατο, ἀλλὰ νῦν γε πάντες διὰ σὲ ἐς τὰ ἀρχαῖα αὐτὸ καταριθμήσομεν, Μάρκελλός τις ὑπολαβὼν ἔφη "σὺ Καῖσαρ ἀνθρώποις μὲν πολιτείαν Ῥωμαίων δύνασαι δοῦναι, ῥήμασι δὲ οὔ." ἐκεῖνον μὲν οὖν οὐδὲν 3
ἐπὶ τούτῳ κακόν, καίπερ ἀκρατῶς παρρησιασάμενον, ἔδρασεν· τὸν δὲ δὴ Ἀρχέλαον τὸν τῆς Καππαδοκίας βασιλέα δι' ὀργῆς σχών, ὅτι πρότερόν οἱ ὑποπεπτωκὼς ὥστε καὶ συνηγόρῳ, ὅτε ἐπὶ τοῦ Αὐγούστου ὑπὸ τῶν ἐπιχωρίων κατηγορήθη, χρήσασθαι, μετὰ τοῦτο 4
αὐτοῦ μὲν ἐς τὴν Ῥόδον ἐλθόντος ἠμέλησε, τὸν δὲ δὴ Γάιον ἐς τὴν Ἀσίαν ἐλθόντα ἐθεράπευσε, μετεπέμψατο ὡς καὶ νεωτερίζοντά τι, καὶ τῇ τῆς γερουσίας ψήφῳ παρέδωκεν, οὐ μόνον ὑπεργήρων ὄντα, ἀλλὰ καὶ δεινῶς ποδαγρῶντα καὶ προσέτι καὶ παραφρονεῖν δοκοῦντα. ἔπαθε μὲν γάρ ποτε τοῦτο ὄντως, ὥστε καὶ ἐπίτροπον 5
παρὰ τοῦ Αὐγούστου τῆς ἀρχῆς λαβεῖν, οὐ μέντοι καὶ τότε ἔτι παρελήρει, ἀλλ' ἐπλάσσετο, εἴ πως ἔκ γε τούτου σωθείη. κἂν ἐθανατώθη, εἰ μὴ καταμαρτυρῶν τις αὐτοῦ ἔφη ποτὲ αὐτὸν εἰρηκέναι ὅτι ἐπειδὰν οἴκαδε ἐπανέλθω, δείξω αὐτῷ οἷα νεῦρα ἔχω. γέλωτος γὰρ ἐπὶ τούτῳ, διὰ τὸ τὸν ἄνθρωπον μὴ ὅτι στῆναι ἀλλὰ

16 4 6 post *Καῖσαρ* Zon. p. 438: *τὴν δὲ γυναῖκα Ἰουλίαν οὔτε ἐπανήγαγεν ἐκ τῆς ὑπερορίας ἣν παρὰ τοῦ πατρὸς αὐτῆς τοῦ Αὐγούστου κατεδικάσθη δι' ἀσέλγειαν, ἀλλὰ καὶ κατέκλεισεν αὐτὴν ὥσθ' ὑπὸ κακουχίας καὶ λιμοῦ φθαρῆναι.*



Digitized by Google

μηδὲ καθίζεσθαι δύνασθαι, πολλοῦ γενομένου οὐκέτ' αὐτὸν ὁ Τι-
6 βέριος ἀπέκτεινεν. οὕτω γάρ τοι κακῶς διέκειτο ὥστε ἐν σκιμποδίῳ καταστέγῳ ἐς τὸ συνέδριον ἐσκομισθῆναι. νομιζόμενον γάρ που καὶ τοῖς ἀνδράσιν, ἥν ποτέ τις αὐτῶν ἀσθενῶς ἔχων ἐκεῖσε ἐσίοι, κατακείμενον αὐτὸν ἐσφέρεσθαι, καὶ τοῦτο καὶ ὁ Τιβέριος τότε
7 ἐποίησεν· καὶ διελέχθη γέ τινα ἐκ τοῦ σκιμποδίου προκύψας. τότε μὲν οὕτως ὁ Ἀρχέλαος ἐσώθη, ἄλλως δ' οὐ πολλῷ ὕστερον ἀπέ-
a.C. 18 θανεν, κἀκ τούτου καὶ ἡ Καππαδοκία τῶν τε Ῥωμαίων ἐγένετο καὶ ἱππεῖ ἐπετράπη. ταῖς τε ἐν τῇ Ἀσίᾳ πόλεσι ταῖς ὑπὸ τοῦ σεισμοῦ κακωθείσαις ἀνὴρ ἐστρατηγηκὼς σὺν πέντε ῥαβδούχοις προσετάχθη, καὶ χρήματα πολλὰ μὲν ἐκ τῶν φόρων ἀνείθη πολλὰ δὲ καὶ παρὰ
8 τοῦ Τιβερίου ἐδόθη· τῶν γὰρ ἀλλοτρίων ἰσχυρῶς, μέχρι γε καὶ τὴν ἄλλην ἀρετὴν ἐπετήδευσεν, ἀπεχόμενος, μηδὲ τὰς κληρονομίας ἅς τινες αὐτῷ συγγενεῖς ἔχοντες κατέλιπον προσιέμενος, πάμπολλα ἔς τε τὰς πόλεις καὶ ἐς τοὺς ἰδιώτας ἀνήλισκεν, καὶ οὔτε τιμὴν
9 οὔτε ἔπαινον οὐδένα ἐπ' αὐτοῖς προσεδέχετο. ταῖς τε πρεσβείαις ταῖς παρὰ τῶν πόλεων ἢ καὶ τῶν ἐθνῶν οὐδέποτε μόνος ἐχρημάτιζεν, ἀλλὰ πολλούς, καὶ μάλιστα τοὺς ἄρξαντάς ποτε αὐτῶν, κοινωνοὺς τῆς διαγνώμης ἐποιεῖτο.

18 Γερμανικὸς δὲ τῇ ἐπὶ τοὺς Κελτοὺς στρατείᾳ φερόμενος εὖ μέχρι τε τοῦ ὠκεανοῦ προεχώρησε, καὶ τοὺς βαρβάρους κατὰ τὸ καρτερὸν νικήσας τά τε ὀστᾶ τῶν σὺν τῷ Οὐάρῳ πεσόντων συνέλεξέ
2 τε καὶ ἔθαψε, καὶ τὰ σημεῖα τὰ στρατιωτικὰ ἀνεκτήσατο. τῷ δέ γε Τιβερίῳ τῆς βουλῆς ἐγκειμένης, καὶ τὸν γοῦν μῆνα τὸν Νοέμβριον, ἐν ᾧ τῇ ἕκτῃ ἐπὶ δέκα ἐγεγέννητο, Τιβέριον καλεῖσθαι ἀξιούσης, "καὶ τί" ἔφη "ποιήσετε, ἂν δεκατρεῖς Καίσαρες γένωνται;"
3 Μάρκου δὲ δὴ Ἰουνίου Λουκίου τε Νωρβανοῦ μετὰ ταῦτα ἀρξάν-
a.C. 19 των τέρας ἐν αὐτῇ τῇ νουμηνίᾳ οὐ σμικρὸν ἐγένετο, ὅπερ που ἐς τὸ Γερμανικοῦ πάθος ἀπεσήμαινεν· ὁ γὰρ Νωρβανὸς ὁ ὕπατος σάλπιγγι ἀεὶ προσκείμενος, καὶ ἐρρωμένως τὸ πρᾶγμα ἀσκῶν, ἠθέλησε καὶ τότε ὑπὸ τὸν ὄρθρον, πολλῶν ἤδη πρὸς τὴν οἰκίαν αὐτοῦ
4 παρόντων, σαλπίσαι. καὶ τοῦτό τε πάντας ὁμοίως ἐτάραξε καθάπερ ἐμπολέμιόν τι σύνθημα τοῦ ὑπάτου παραγγείλαντός σφισι, καὶ ὅτι τὸ τοῦ Ἰανοῦ ἄγαλμα κατέπεσεν. λόγιόν τέ τι ὡς καὶ Σιβύλλειον, ἄλλως μὲν οὐδὲν τῷ τῆς πόλεως χρόνῳ προσῆκον, πρὸς δὲ τὰ πα-
5 ρόντα ᾀδόμενον, οὐχ ἡσυχῇ σφᾶς ἐκίνει· ἔλεγε γὰρ ὅτι τρὶς δὲ τριηκοσίων περιτελλομένων ἐνιαυτῶν Ῥωμαίους ἔμφυλος ὀλεῖ στάσις, ἁ Συβαρῖτις ἀφροσύνα. ὁ οὖν Τιβέριος ταῦτά τε τὰ ἔπη ὡς καὶ

17 6 1 τοι] τοι καὶ αὐτὸς? 3 ἥν] εἴ? 8 2 μήτε*
4 ἐς om*

ψευδῆ ὄντα διέβαλε, καὶ τὰ βιβλία πάντα τὰ μαντείαν τινὰ ἔχοντα
ἐπεσκέψατο, καὶ τὰ μὲν ὡς οὐδενὸς ἄξια ἀπέκρινε τὰ δὲ ἐνέκρινεν.
τοῦ δὲ δὴ Γερμανικοῦ τελευτήσαντος ὁ μὲν Τιβέριος καὶ ἡ Λιβία 6
πάνυ ἥσθησαν, οἱ δὲ δὴ ἄλλοι πάντες δεινῶς ἐλυπήθησαν. κάλλι-
στος μὲν γὰρ τὸ σῶμα ἄριστος δὲ καὶ τὴν ψυχὴν ἔφυ, παιδείᾳ τε
ἅμα καὶ ῥώμῃ διέπρεπε, καὶ ἔς τε τὸ πολέμιον ἀνδρειότατος ὢν
ἡμερώτατα τῷ οἰκείῳ προσεφέρετο, καὶ πλεῖστον ἰσχύων ἅτε Καῖ- 7
σαρ ὢν ἐξ ἴσου τοῖς ἀσθενεστέροις ἐσωφρόνει, καὶ οὐδὲν οὔτε πρὸς
τοὺς ἀρχομένους ἐπαχθὲς οὔτε πρὸς τὸν Δροῦσον ἐπίφθονον οὔτε
πρὸς τὸν Τιβέριον ἐπαίτιον ἔπραττεν, ἀλλὰ συνελόντι εἰπεῖν ἐν 8
ὀλίγοις τῶν πώποτε οὔτ᾽ ἐξήμαρτέ τι ἐς τὴν ὑπάρξασαν αὐτῷ τύχην
οὔτ᾽ αὐτὸς ὑπ᾽ ἐκείνης διεφθάρη· δυνηθεὶς γοῦν πολλάκις καὶ παρ᾽
ἑκόντων, οὐχ ὅτι τῶν στρατιωτῶν ἀλλὰ καὶ τοῦ δήμου τῆς τε βου-
λῆς, τὴν αὐτοκράτορα λαβεῖν ἀρχὴν οὐκ ἠθέλησεν. ἀπέθανε δὲ 9
ἐν Ἀντιοχείᾳ, ὑπό τε τοῦ Πίσωνος καὶ ὑπὸ τῆς Πλαγκίνης ἐπιβου-
λευθείς· ὀστᾶ γὰρ ἀνθρώπων ἐν τῇ οἰκίᾳ ἐν ᾗ ᾤκει κατορωρυγμένα
καὶ ἐλασμοὶ μολίβδινοι ἀράς τινας μετὰ τοῦ ὀνόματος αὐτοῦ ἔχον-
τες ζῶντος ἔθ᾽ εὑρέθη. ὁ δὲ Πίσων ἐς τὸ βουλευτήριον ἐπὶ τῷ 10 a.C.
φόνῳ ὑπ᾽ αὐτοῦ τοῦ Τιβερίου ἐσαχθεὶς ἀναβολήν τέ τινα ἐποιήσατο 20
καὶ ἑαυτὸν κατεχρήσατο.

ὅτι καὶ ἀφορμάς τινας φόνων ὁ Τιβέριος ἔσχεν· διὰ γὰρ τὸν
τοῦ Γερμανικοῦ θάνατον πολλοὶ ὡς καὶ ἐφησθέντες αὐτῷ ἀπώλοντο.

Τιβέριος δὲ ἐπεὶ τὸ ἐφεδρεῦον οὐκέτ᾽ εἶχεν, ἐς πᾶν τοὐναν- 19
τίον τῶν πρόσθεν εἰργασμένων αὐτῷ, πολλῶν ὄντων καὶ καλῶν,
περιέστη. τά τε γὰρ ἄλλα ἀγρίως ἦρξε, καὶ ταῖς τῆς ἀσεβείας
δίκαις, εἴ τις οὐχ ὅσον ἐς τὸν Αὔγουστον ἀλλὰ καὶ ἐς αὐτὸν ἐκεῖνον
τήν τε μητέρα αὐτοῦ πράξας τι ἢ καὶ εἰπὼν ἀνεπιτήδειον ἐπεκλήθη,
δεινῶς ἐπεξῄει. ἐβασανίζοντο δὲ οὐχὶ οἰκέται μόνον κατὰ τῶν ἰδίων 2
δεσποτῶν, ἀλλὰ καὶ ἐλεύθεροι καὶ πολῖται. οἵ τε κατηγορήσαντες

18 6 4 καὶ ἔς — 7 3 ἐπαχθὲς V p. 665 coll. Zon. p. 438: codices Dionis πραότατός τε καὶ σωφρονέστατος ἦν. 8 1 ἀλλὰ — 3 διεφθάρη et 3 καὶ παρ᾽ — 4 βουλῆς V p. 666. 10 1 addit Z p. 438: ὅτι δὲ καὶ φαρμάκῳ ἐφθάρη, τὸ σῶμα αὐτοῦ ἐξέφηνεν εἰς τὴν ἀγορὰν κομισθὲν καὶ τοῖς παροῦσι δειχθέν. ἐς] χρόνῳ ὕστερον εἰς τὴν Ῥώμην ἀνακομισθεὶς καὶ ἐπὶ τῷ φόνῳ τοῦ Γερμανικοῦ εἰς Z p. 439. 2 post ἐσαχθεὶς Z: διακρουομένου τὴν ὑποψίαν τὴν ἐπὶ τῇ φθορᾷ τοῦ Γερμανικοῦ.
3 post κατεχρήσατο Z: ἐπὶ τρισὶ δ᾽ υἱέσιν ὁ Γερμανικὸς ἐτελεύτησεν, οὓς ὁ Αὔγουστος ἐν ταῖς διαθήκαις αὐτοῦ ὠνόμασε Καίσαρας. τούτων ὁ πρεσβύτατος Νέρων κατὰ τὸν χρόνον ἐκεῖνον τοῖς ἐφήβοις κατηριθμήθη.
4 ὅτι — 5 ἀπώλοντο V p. 666. 19 2 1 cf. Z: καὶ εἰς τοὺς ὑπονοηθέντας ἐπιβουλεύειν αὐτῷ ἀπαραίτητος ἦν. ἤδη δὲ καὶ ἐνδεικνύμενός τισιν ὅτι βούλεται τεθνάναι τινάς, δι᾽ ἐκείνων σφᾶς ἀπεκτίννυε, καὶ οὐκ ἐλάνθανε ταῦτα ποιῶν.



Digitized by Google

ἢ καὶ καταμαρτυρήσαντες τινῶν τὰς οὐσίας τῶν ἁλισκομένων διε-
3 λάγχανον, καὶ προσέτι καὶ ἀρχὰς καὶ τιμὰς προσελάμβανον. πολ-
λοὺς δὲ καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ἐν ᾗ ἐγεγέννηντο ἐξετάζων,
καὶ ἐκεῖθεν καὶ τὸν τρόπον καὶ τὴν τύχην αὐτῶν διασκοπῶν, ἀπε-
κτίννυεν· εἰ γάρ τῳ ὑπέρογκόν τι καὶ εὔελπι πρὸς δυναστείαν ἐνεῖδε,
4 πάντως ἀπώλλυεν. οὕτω δ' οὖν τὸ πεπρωμένον ἑκάστῳ τῶν πρώ-
των καὶ ἐξήταζε καὶ ἠπίστατο ὥστε καὶ τῷ Γάλβᾳ τῷ μετὰ ταῦτα
αὐταρχήσαντι ἀπαντήσας, γυναῖκα ἐγγεγυημένῳ, εἰπεῖν ὅτι καὶ σύ
ποτε τῆς ἡγεμονίας γεύσῃ. ἐφείσατο γὰρ αὐτοῦ, ὡς μὲν ἐγὼ δοκῶ,
ὅτι καὶ τοῦτ' αὐτῷ εἱμαρμένον ἦν, ὡς δ' αὐτὸς ἔλεγεν, ὅτι καὶ ἐν
γήρᾳ καὶ μετὰ πολὺ τῆς τελευτῆς αὐτοῦ ἄρξοι.

5 συνήρατο δὲ αὐτῷ καὶ συγκατειργάσατο πάντα προθυμότατα
Λούκιος Αἴλιος Σηιανός, υἱὸς μὲν τοῦ Στράβωνος ὤν, παιδικὰ δέ
ποτε Μάρκου Γαβίου Ἀπικίου γενόμενος, Ἀπικίου ἐκείνου ὃς πάν-
τας ἀνθρώπους ἀσωτίᾳ ὑπερεβάλετο οὕτως ὥστε, ἐπειδὴ μαθεῖν
ποτὲ ἐθελήσας ὅσα τε ἤδη καταναλώκει καὶ ὅσα ἔτ' εἶχεν, ἔγνω ὅτι
διακόσιαι καὶ πεντήκοντα αὐτῷ μυριάδες ἔτι περιεῖεν, ἐλυπήθη τε
6 ὡς καὶ λιμῷ τελευτήσειν μέλλων καὶ ἑαυτὸν διέφθειρεν. οὗτος οὖν
ὁ Σηιανὸς χρόνῳ μέν τινι μετὰ τοῦ πατρὸς τῶν δορυφόρων ἦρξεν·
ἐπεὶ δὲ ἐκείνου ἐς τὴν Αἴγυπτον πεμφθέντος μόνος τὴν προστασίαν
αὐτῶν ἔσχε, τά τε ἄλλα συνέστησεν αὐτήν, καὶ τοὺς λόχους ἰδίᾳ
καὶ χωρὶς ἀλλήλων, ὥσπερ τοὺς τῶν νυκτοφυλάκων, ὄντας ἐς ἓν
τεῖχος συνήγαγεν, ὥστε τὰ παραγγέλματα καὶ ἀθρόους καὶ διὰ
ταχέων λαμβάνειν, καὶ φοβεροὺς πᾶσιν ἅτε καὶ ἐν ἑνὶ τείχει ὄντας
7 εἶναι. τοῦτον οὖν ὁ Τιβέριος ἐκ τῆς τῶν τρόπων ὁμοιότητος προσ-
λαβὼν ταῖς τε στρατηγικαῖς τιμαῖς ἐκόσμησεν, ὃ μήπω πρότερον
μηδενὶ τῶν ὁμοίων αὐτῷ ἐγεγόνει, καὶ σύμβουλον καὶ ὑπηρέτην
πρὸς πάντα ἐποιεῖτο.

8 τὸ μὲν οὖν σύμπαν οὕτω μετὰ τὸν τοῦ Γερμανικοῦ θάνα-
τον μετεβάλετο ὥστε αὐτὸν μεγάλως καὶ πρότερον ἐπαινούμενον
πολλῷ δὴ τότε μᾶλλον θαυμασθῆναι...

20 ἐπεὶ δὲ ὁ Τιβέριος τὴν ὕπατον ἀρχὴν ἦρξε μετὰ τοῦ Δρούσου,
a.C. 21 εὐθὺς οἱ ἄνθρωποι τὸν ὄλεθρον τῷ Δρούσῳ ἐξ αὐτοῦ τούτου προε-
μαντεύσαντο· οὐ γάρ ἐστιν ὅστις τῶν ὑπατευσάντων ποτὲ μετ' αὐτοῦ
2 οὐ βιαίως ἀπέθανεν, ἀλλὰ τοῦτο μὲν Οὖάρος ὁ Κυιντίλιος, τοῦτο δὲ
Πίσων ὁ Γναῖος ὅ τε Γερμανικὸς αὐτὸς βιαίως καὶ κακῶς ἀπώλοντο.
τοιούτῳ τινί, ὡς ἔοικε, διὰ βίου δαίμονι συγκεκλήρωτο. ἀμέλει καὶ
ὁ Δροῦσος τότε καὶ ὁ Σηιανὸς μετὰ ταῦτα συνάρξαντές οἱ διεφθά-

3 2 τὴν ante ὥραν om*: cf. l. 58 27 2    8 1 τὸ — 3 θαυμασθῆναι V p. 666

ρησαν. ἐκδημοῦντος δὲ τοῦ Τιβερίου Γάιος Λουτώριος Πρίσκος 3
ἱππεύς, ἄλλως τε μέγα ἐπὶ ποιήσει φρονῶν καὶ ἐπιτάφιον ἐπὶ τῷ
Γερμανικῷ ἐπιφανῆ συγγράψας, ὥστε καὶ χρήματα δι' αὐτὸν πολλὰ
λαβεῖν, αἰτίαν ἔσχεν ὡς καὶ ἐπὶ τῷ Δρούσῳ ποίημα παρὰ τὴν νό-
σον αὐτοῦ συντεθεικώς, καὶ ἐκρίθη τε διὰ τοῦτο ἐν τῇ βουλῇ καὶ
κατεδικάσθη καὶ ἀπέθανεν. ὁ οὖν Τιβέριος ἀγανακτήσας, οὐχ ὅτι 4
ἐκεῖνος ἐκολάσθη ἀλλ' ὅτι τις ὑπὸ τῶν βουλευτῶν ἄνευ τῆς ἑαυτοῦ
γνώμης ἐθανατώθη, ἐπετίμησέ τε αὐτοῖς, καὶ δόγματι παραδοθῆναι
ἐκέλευσε μήτ' ἀποθνήσκειν ἐντὸς δέκα ἡμερῶν τὸν καταψηφισθέντα
ὑπ' αὐτῶν, μήτε τὸ γράμμα τὸ ἐπ' αὐτῷ γενόμενον ἐς τὸ δημόσιον
ἐντὸς τοῦ αὐτοῦ χρόνου ἀποτίθεσθαι, ὅπως καὶ ἀποδημῶν προ-
πυνθάνηται τὰ δόξαντά σφισι καὶ ἐπιδιακρίνῃ.

καὶ μετὰ τοῦτο ἐξελθούσης αὐτῷ τῆς ὑπατείας ἔς τε τὴν Ῥώ- 21
μην ἦλθε, καὶ τοὺς ὑπάτους συναγορεύειν τισὶν ἐκώλυσεν, εἰπὼν a.C. 22
ὅτι εἰ ὑπάτευον, οὐκ ἂν ἐποίησα τοῦτο. ἐπειδή τε τῶν στρατη- 2
γούντων τις αἰτίαν, ὡς καὶ ἀσεβές τι ἐς αὐτὸν εἰρηκὼς ἢ καὶ πε-
ποιηκώς, λαβὼν ἐξῆλθέ τε ἐκ τοῦ συνεδρίου, καὶ τὴν ἀρχικὴν στο-
λὴν ἐκδὺς ἐπανῆλθέ τε καὶ κατηγορηθῆναι παραχρῆμα ὡς καὶ
ἰδιωτεύων ἠξίωσε, δεινῶς τε ἤλγησε καὶ οὐκέτ' αὐτοῦ ἥψατο. τοὺς 3
δὲ ὀρχηστὰς τῆς τε Ῥώμης ἐξήλασε καὶ μηδαμόθι τῇ τέχνῃ χρῆ-
σθαι προσέταξεν, ὅτι τάς τε γυναῖκας ᾔσχυνον καὶ στάσεις ἤγειρον.
ἄλλους μὲν δὴ οὖν καὶ πολλούς γε τῶν τελευτώντων καὶ ἀνδριᾶσι
καὶ δημοσίαις ταφαῖς ἐτίμα, τὸν δὲ δὴ Σηιανὸν ζῶντα ἐν τῷ θεά-
τρῳ χαλκοῦν ἔστησεν. κἀκ τούτου πολλαὶ μὲν ὑπὸ πολλῶν εἰκόνες
αὐτοῦ ἐποιήθησαν, πολλοὶ δὲ καὶ ἔπαινοι καὶ παρὰ τῷ δήμῳ καὶ
παρὰ τῇ βουλῇ ἐγίγνοντο. ἔς τε τὴν οἰκίαν αὐτοῦ οἵ τε ἄλλοι οἱ 4
ἐλλόγιμοι καὶ οἱ ὕπατοι αὐτοὶ ὑπὸ τὸν ὄρθρον συνεχῶς ἐφοίτων,
καὶ τά τε ἴδια αὐτῷ πάντα, ὅσα τινὲς ἀξιώσειν παρὰ τοῦ Τιβερίου
ἔμελλον, καὶ τὰ κοινά, ὑπὲρ ὧν χρηματισθῆναι ἔδει, ἐπεκοίνουν.
καὶ συνελόντι εἰπεῖν οὐδὲν ἔτι χωρὶς αὐτοῦ τῶν τοιούτων ἐπράττετο.

κατὰ δὲ τὸν χρόνον τοῦτον καὶ στοὰ μεγίστη ἐν τῇ Ῥώμῃ, 5
ἐπειδὴ ἑτεροκλινὴς ἐγένετο, θαυμαστὸν δή τινα τρόπον ὠρθώθη.
ἀρχιτέκτων γάρ τις, οὗ τὸ ὄνομα οὐδεὶς οἶδεν (τῇ γὰρ θαυματοποιίᾳ
αὐτοῦ φθονήσας ὁ Τιβέριος οὐκ ἐπέτρεψεν αὐτὸ ἐς τὰ ὑπομνήματα
ἐσγραφῆναι), οὗτος οὖν ὅστις ποτὲ ὠνομάζετο, τούς τε θεμελίους
αὐτῆς πέριξ κρατύνας ὥστε μὴ συγκινηθῆναι, καὶ τὸ λοιπὸν πᾶν 6
πόκοις τε καὶ ἱματίοις παχέσι περιλαβών, σχοίνοις τε πανταχόθεν
αὐτὴν διέδησε, καὶ ἐς τὴν ἀρχαίαν ἕδραν ἀνθρώποις τε πολλοῖς
καὶ μηχανήμασιν ὠσάμενος ἐπανήγαγεν. τότε μὲν ὁ Τιβέριος καὶ
ἐθαύμασεν αὐτὸν καὶ ἐζηλοτύπησεν, καὶ διὰ μὲν ἐκεῖνο χρήμασιν

Digitized by Google

7 ἐτίμησε, διὰ δὲ τοῦτο ἐκ τῆς πόλεως ἐξήλασεν· μετὰ δὲ ταῦτα
προσελθόντος οἱ αὐτοῦ καὶ ἱκετείαν ποιουμένου, κἂν τούτῳ ποτή-
ριόν τι ὑαλοῦν καταβαλόντος τε ἐξεπίτηδες καὶ θλασθέν πως ἢ
συντριβὲν ταῖς τε χερσὶ διατρίψαντος καὶ ἄθραυστον παραχρῆμα
ἀποφήναντος, ὡς καὶ συγγνώμης διὰ τοῦτο τευξομένου, καὶ ἀπέ-
κτεινεν αὐτόν.

22 Δροῦσος δὲ ὁ παῖς αὐτοῦ φαρμάκῳ διώλετο. ὁ γὰρ Σηιανὸς
a.C. 23 ἐπί τε τῇ ἰσχύι καὶ ἐπὶ τῷ ἀξιώματι ὑπερμαζήσας τά τε ἄλλα
ὑπέρογκος ἦν, καὶ τέλος καὶ ἐπὶ τὸν Δροῦσον ἐτράπετο καί ποτε
2 πὺξ αὐτῷ ἐνέτεινεν. φοβηθείς τε ἐκ τούτου καὶ ἐκεῖνον καὶ τὸν Τι-
βέριον, καὶ ἅμα καὶ προσδοκήσας, ἂν τὸν νεανίσκον ἐκποδὼν ποιή-
σηται, καὶ τὸν γέροντα ῥᾷστα μεταχειριεῖσθαι, φάρμακόν τι αὐτῷ
διά τε τῶν ἐν τῇ θεραπείᾳ αὐτοῦ ὄντων καὶ διὰ τῆς γυναικὸς
αὐτοῦ, ἥν τινες Λιουίλλαν ὀνομάζουσιν, ἔδωκεν· καὶ γὰρ καὶ ἐμοίχευεν
3 αὐτήν. αἰτίαν μὲν γὰρ ὁ Τιβέριος ἔλαβεν, ὅτι μήτε νοσοῦντος τοῦ
Δρούσου μήτ᾽ ἀποθανόντος ἔξω τι τῶν συνήθων ἔπραξε, μηδὲ τοῖς
ἄλλοις ποιῆσαι ἐπέτρεψεν· οὐ μέντοι καὶ πιστὸς ὁ λόγος. τοῦτό
τε γὰρ ἀπὸ γνώμης ἐπὶ πάντων ὁμοίως ἔπραττεν, καὶ τῷ υἱεῖ ἅτε
4 καὶ μόνῳ καὶ γνησίῳ ὄντι προσέκειτο, τούς τε χειρουργήσαντας
τὸν ὄλεθρον αὐτοῦ, τοὺς μὲν εὐθὺς τοὺς δὲ μετὰ ταῦτα, ἐκόλασεν.
τότε δ᾽ οὖν ἐσῆλθέ τε ἐς τὸ συνέδριον, καὶ τὸν προσήκοντα ἐπὶ
τῷ παιδὶ ἔπαινον ποιησάμενος οἴκαδε ἐκομίσθη.

5 ἀπεῖπε δὲ ὁ Τιβέριος τοῖς πυρὸς καὶ ὕδατος εἰρχθεῖσι μὴ δια-
τίθεσθαι· καὶ τοῦτο καὶ νῦν φυλάττεται. Αἴλιον δὲ Σατορνῖνον,
ὡς καὶ ἔπη τινὰ ἐς αὐτὸν οὐκ ἐπιτήδεια ἀπορρίψαντα, ὑπό τε τὴν
βουλὴν ὑπήγαγε καὶ ἁλόντα ἀπὸ τοῦ Καπιτωλίου κατεκρήμνισεν.
23 πολλὰ δ᾽ ἂν καὶ ἄλλα τοιουτότροπα γράφειν ἔχοιμι, εἰ πάντα ἐπε-
ξίοιμι. τοῦτό τε οὖν ἐν κεφαλαίῳ εἰρήσθω, ὅτι συχνοὶ διὰ τὰ
τοιαῦτα ὑπ᾽ αὐτοῦ ἀπώλοντο, καὶ ἐκεῖνο, ὅτι ζητῶν καθ᾽ ἕκαστον

22 2 5 ἣν Ἰουλίαν, ἕτεροι δὲ Λιουίαν γράφουσι Z p. 440   3 2 μήτε τ.*
4 3 τότε δ᾽ οὖν] ὁ δέ γε Τιβέριος εἰς τὸ συνέδριον ἀφικόμενος ἐκεῖνόν τε ἀπωδύρατο, καὶ τὸν Νέρωνα τόν τε Δροῦσον τοὺς τοῦ Γερμανικοῦ παῖδας τῇ γερουσίᾳ παρακατέθετο, καὶ τὸ σῶμα τοῦ Δρούσου προυτέθη ἐπὶ τοῦ βήματος, καὶ ὁ Νέρων γαμβρὸς αὐτοῦ ὢν ἐπαίνους ἐπ᾽ αὐτῷ εἶπεν. ὁ δὲ δὴ θάνατος αὐτοῦ πολλοῖς αἴτιος θανάτου ἐγένετο ὡς ἐφησθεῖσι τῇ ἀπωλείᾳ αὐτοῦ. πολλοί τε γὰρ καὶ ἄλλοι διώλοντο καὶ ἡ Ἀγριππῖνα μετὰ τῶν παίδων αὐτῆς, τοῦ νεωτάτου χωρίς. πολλὰ γὰρ κατ᾽ αὐτῆς ὁ Σηιανὸς παρώξυνε τὸν Τιβέριον, προσδοκήσας ἐκείνης μετὰ τῶν τέκνων ἀπολομένης τῇ τε Λιουίᾳ συνοικήσειν τῇ τοῦ Δρούσου γυναικί, ἧς ἤρα, καὶ τὸ κράτος ἕξειν μηδενὸς τῷ Τιβερίῳ τυγχάνοντος διαδόχου· τὸν γὰρ υἱιδοῦν ἐμίσει ὡς καὶ μοιχίδιον. καὶ ἄλλους δὲ πολλοὺς ἐπὶ ἄλλαις καὶ ἄλλαις αἰτίαις, ταῖς δέ γε πλείοσι πεπλασμέναις, καὶ ἐφυγάδευσε καὶ διέφθειρε. Z.
5 3 ἀπορράψαντα

Digitized by Google

ἀκριβῶς ὅσα τινὲς ᾐτιάζοντο φλαύρως περὶ αὐτοῦ εἰρηκέναι, αὐτὸς
ἑαυτὸν πάντα τὰ ἐξ ἀνθρώπων κακὰ ἔλεγεν. καὶ γὰρ εἰ ἐν ἀπορ- 2
ρήτῳ τις καὶ πρὸς ἕνα διελέχθη τι, καὶ τοῦτο ἐδημοσίευεν ὥστε
καὶ ἐς τὰ κοινὰ ὑπομνήματα ἐσγράφεσθαι. καὶ πολλάκις ἃ μηδ᾽
εἶπέ τις, ὡς εἰρημένα, ἐξ ὧν ἑαυτῷ συνῄδει προσκατεψεύδετο, ὅπως
ὡς δικαιότατα ὀργίζεσθαι νομισθείη. κἀκ τούτου συνέβαινεν αὐτῷ 3
πάντα τε ἐκεῖνα, ἐφ᾽ οἷς τοὺς ἄλλους ὡς καὶ ἀσεβοῦντας ἐκόλαζεν,
αὐτὸν ἐς ἑαυτὸν πλημμελεῖν, καὶ προσέτι καὶ χλευασμὸν ὀφλισκά-
νειν· ἃ γὰρ ἀπηρνοῦντό τινες μὴ λελαληκέναι, ταῦτα αὐτὸς διισχυ-
ριζόμενος εἰρῆσθαι καὶ κατομνύων ἀληθέστερον ἑαυτὸν ᾐδίκει. ἀφ᾽
οὗ δὴ καὶ ἐξεστηκέναι τινὲς αὐτὸν τῶν φρενῶν ὑπώπτευσαν. οὐ 4
μέντοι καὶ ὄντως παραφρονεῖν ἐκ τούτου ἐπιστεύετο· τὰ γὰρ ἄλλα
καὶ πάνυ πάντα δεόντως διῴκει. τοῦτο μὲν γὰρ βουλευτῇ τινὶ
ἀσελγῶς ζῶντι ἐπίτροπον ὥσπερ τινὶ ὀρφανῷ προσέταξεν· τοῦτο δὲ
τὸν Καπίτωνα τὸν τὴν Ἀσίαν ἐπιτροπεύσαντα ἐς τὸ συνέδριον ἐσή-
γαγε, καὶ ἐγκαλέσας αὐτῷ ὅτι καὶ στρατιώταις ἐχρήσατο καὶ ἄλλα
τινὰ ὡς καὶ ἀρχὴν ἔχων ἔπραξεν, ἐφυγάδευσεν. οὐ γὰρ ἐξῆν τότε 5
τοῖς τὰ αὐτοκρατορικὰ χρήματα διοικοῦσι πλέον οὐδὲν ποιεῖν ἢ
τὰς νενομισμένας προσόδους ἐκλέγειν καὶ περὶ τῶν διαφορῶν ἔν τε
τῇ ἀγορᾷ καὶ κατὰ τοὺς νόμους ἐξ ἴσου τοῖς ἰδιώταις δικάζεσθαι.

τοσοῦτο μὲν δὴ τὸ διαλλάττον ἐν ταῖς Τιβερίου πράξεσιν ἦν,
διελθόντων δὲ τῶν δέκα ἐτῶν τῆς ἀρχῆς αὐτοῦ ψηφίσματος μὲν ἐς 24
τὴν ἀνάληψιν αὐτῆς οὐδενὸς ἐδεήθη (οὐδὲ γὰρ ἐδεῖτο κατατέμνων a.C. 24
αὐτήν, ὥσπερ ὁ Αὔγουστος, ἄρχειν), ἡ μέντοι πανήγυρις ἡ δεκαε-
τηρὶς ἐποιήθη. Κρεμούτιος δὲ δὴ Κόρδος αὐτόχειρ ἑαυτοῦ γενέ- 2
σθαι, ὅτι τῷ Σηιανῷ προσέκρουσεν, ἠναγκάσθη· οὕτω γὰρ οὐδὲν a.C. 25
ἔγκλημα ἐπαίτιον λαβεῖν ἠδυνήθη (καὶ γὰρ ἐν πύλαις ἤδη γήρως
ἦν καὶ ἐπιεικέστατα ἐβεβιώκει) ὥστε ἐπὶ τῇ ἱστορίᾳ, ἣν πάλαι ποτὲ 3
περὶ τῶν τῷ Αὐγούστῳ πραχθέντων συνετεθείκει καὶ ἣν αὐτὸς
ἐκεῖνος ἀνεγνώκει, κριθῆναι, ὅτι τόν τε Κάσσιον καὶ τὸν Βροῦτον
ἐπῄνεσε, καὶ τοῦ δήμου τῆς τε βουλῆς καθήψατο, τόν τε Καίσαρα
καὶ τὸν Αὔγουστον εἶπε μὲν κακὸν οὐδέν, οὐ μέντοι καὶ ὑπερεσέ-
μνυνεν. ταῦτά τε γὰρ ᾐτιάθη, καὶ διὰ ταῦτα αὐτός τε ἀπέθανε, 4
καὶ τὰ συγγράμματα αὐτοῦ τότε μὲν ἐν τῇ πόλει εὑρεθέντα πρὸς
τῶν ἀγορανόμων καὶ τὰ ἔξω πρὸς τῶν ἑκασταχόθι ἀρχόντων ἐκαύθη,
ὕστερον δὲ ἐξεδόθη τε αὖθις (ἄλλοι τε γὰρ καὶ μάλιστα ἡ θυγάτηρ
αὐτοῦ Μαρκία συνέκρυψεν αὐτά) καὶ πολὺ ἀξιοσπουδαστότερα ὑπὸ
τῆς τοῦ Κόρδου συμφορᾶς ἐγένετο. ἐν δ᾽ οὖν τῷ τότε ὁ Τιβέριος 5
τὴν τοῦ δορυφορικοῦ γυμνασίαν τοῖς βουλευταῖς, ὥσπερ ἀγνοοῦσι

3 3 αὐτὸς*

Digitized by Google

τὴν δύναμιν αὐτῶν, ἐπέδειξεν, ὅπως καὶ πολλούς σφας καὶ ἐρρωμένους ἰδόντες μᾶλλον αὐτὸν φοβῶνται.

6 τὸν μὲν οὖν χρόνον ἐκεῖνον ταῦτά τε ἐς ἱστορίας ἀπόδειξιν ἐγένετο, καὶ Κυζικηνῶν ἡ ἐλευθερία αὖθις, ὅτι τε Ῥωμαίους τινὰς ἔδησαν καὶ ὅτι καὶ τὸ ἡρῷον ὃ τῷ Αὐγούστῳ ποιεῖν ἤρξαντο οὐκ
7 ἐξετέλεσαν, ἀφῃρέθη. πάντως δ' ἂν καὶ τὸν συμπωλήσαντα τῇ οἰκίᾳ τὸν ἀνδριάντα αὐτοῦ καὶ ἐπὶ τούτῳ κριθέντα ἀπεκτόνει, εἰ μὴ ὁ ὕπατος αὐτὸν ἐκεῖνον τὴν γνώμην πρῶτον ἀνήρετο· αἰδεσθεὶς γὰρ μὴ καὶ ἑαυτῷ τι χαρίζεσθαι δόξῃ, τὴν ἀπολύουσαν ἔθετο.
8 Λεντούλου δέ τινος βουλευτοῦ φύσει τε ἐπιεικοῦς καὶ τότε ἐν γήραι πολλῷ ὄντος κατηγόρησέ τις ὡς ἐπιβεβουλευκότος τῷ αὐτοκράτορι. καὶ ὁ μὲν Λέντουλος (παρῆν γάρ) ἀνεκάγχασεν· ὁ δὲ Τιβέριος, ἐπιθορυβησάσης τι πρὸς τοῦτο τῆς γερουσίας, "οὐδὲ ζῆν ἔτι" ἔφη "ἄξιός εἰμι, εἴγε καὶ Λέντουλός με μισεῖ."

NH ἀπεδήμησε δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐκ τῆς Ῥώμης, καὶ οὐ-
a.C. 26 κέτι τὸ παράπαν ἐς τὴν πόλιν ἀνεκομίσθη, καίτοι μέλλων τε ἀεὶ
a.C. 28 καὶ ἐπαγγελλόμενος, ὅτε δὴ καὶ Λατιάριός τις ἑταῖρος Σαβίνου ἀνδρὸς τῶν πρώτων ἐν Ῥώμῃ, τῷ Σηιανῷ χαριζόμενος, ἐς τὴν τοῦ οἰκήματος ἐν ᾧ διῃτᾶτο ὀροφὴν βουλευτὰς κατακρύψας ὑπηγάγετο τὸν Σαβῖνον ἐς λόγους, καί τι εἰπὼν ὧν εἰώθει, ἐπεσπάσατο καὶ
2 ἐκεῖνον πάνθ' ὅσα ἐφρόνει ἐκλαλῆσαι. τῶν γάρ τοι συκοφαντεῖν ἐθελόντων ἔργον ἐστὶ λοιδορίας τέ τινος προκατάρχεσθαι καὶ ἀπόρρητόν τι ἐκφαίνειν, ἵν' ἀκούσας τι αὐτὸς ἢ καὶ ὅμοιόν τι εἰπὼν αἰτιαθῇ· τοῖς μὲν γάρ, ἅτε ἐκ παρασκευῆς τοῦτο δρῶσιν, ἀκίνδυνός ἐστιν ἡ παρρησία (οὐ γὰρ ὡς καὶ φρονοῦντές τινα, ἀλλ' ὡς ἑτέρους ἐλέγξαι βουλόμενοι λέγειν αὐτὰ πιστεύονται), οἱ δ' ὅ τι ἂν καὶ τὸ
3 βραχύτατον ἔξω τοῦ καθεστηκότος εἴπωσι, κολάζονται. ὅπερ καὶ τότε ἐγένετο· ἔς τε γὰρ τὸ δεσμωτήριον αὐθημερὸν ὁ Σαβῖνος κατετέθη, καὶ μετὰ τοῦτο ἀκρίτως ἐφθάρη, τό τε σῶμα αὐτοῦ κατὰ τῶν ἀναβασμῶν ἐρρίφη καὶ ἐς τὸν ποταμὸν ἐνεβλήθη. ἐδείνωσε δ' ἐπὶ πλέον τὸ πάθος αὐτοῦ κύων τις τοῦ Σαβίνου, συνεσελθὼν τε αὐτῷ ἐς τὸ οἴκημα καὶ ἀποθανόντι παραμείνας καὶ τέλος καὶ ἐς τὸν ποταμὸν συνεσπεσών.

2 τοῦτο μὲν τοιοῦτον ἐγένετο, ἐν δὲ τῷ αὐτῷ τούτῳ χρόνῳ καὶ
a.C. 29 ἡ Λιβία μετήλλαξεν, ἓξ καὶ ὀγδοήκοντα ἔτη ζήσασα. καὶ αὐτὴν ὁ Τιβέριος οὔτε νοσοῦσαν ἐπεσκέψατο οὔτ' ἀποθανοῦσαν αὐτὸς προέθετο· οὐ μὴν οὐδὲ ἐς τιμὴν ἄλλο τι αὐτῇ πλὴν τῆς δημοσίας ἐκφορᾶς καὶ εἰκόνων ἑτέρων τε τινῶν οὐδενὸς ἀξίων ἔνειμεν.
2 ἀθανατισθῆναι δὲ αὐτὴν ἄντικρυς ἀπηγόρευσεν. οὐ μέντοι καὶ μόνα οἱ ἡ βουλή, ὅσα ἐκεῖνος ἐπέστειλεν, ἐψηφίσατο, ἀλλὰ πένθος

Digitized by Google

αὐτῇ παρ᾽ ὅλον τὸν ἐνιαυτὸν ταῖς γυναιξὶν ἐπήγγειλαν, καίπερ τὸν
Τιβέριον ἐπαινέσαντες ὅτι τῆς τῶν κοινῶν διοικήσεως οὐδὲ τότε
ἀπέσχετο· καὶ προσέτι καὶ ἁψῖδα αὐτῇ, ὃ μηδεμιᾷ ἄλλῃ γυναικί, 3
ἐψηφίσαντο, ὅτι τε οὐκ ὀλίγους σφῶν ἐσεσώκει, καὶ ὅτι παῖδας
πολλῶν ἐτετρόφει κόρας τε πολλοῖς συνεξεδεδώκει, ἀφ᾽ οὗ γε καὶ
μητέρα αὐτὴν τῆς πατρίδος τινὲς ἐπωνόμαζον. ἐν δὲ τῷ μνημείῳ
ἐτάφη τῷ τοῦ Αὐγούστου. καὶ αὐτῆς ἄλλα τε καλῶς εἰρημένα 4
ἀποφθέγματα φέρεται, καὶ ὅτι γυμνούς ποτε ἄνδρας ἀπαντήσαντας
αὐτῇ καὶ μέλλοντας διὰ τοῦτο θανατωθήσεσθαι ἔσωσεν, εἰποῦσα
ὅτι οὐδὲν ἀνδριάντων ταῖς σωφρονούσαις οἱ τοιοῦτοι διαφέρουσιν.
πυθομένου τέ τινος αὐτῆς πῶς καὶ τί δρῶσα οὕτω τοῦ Αὐγούστου 5
κατεκράτησεν, ἀπεκρίνατο ὅτι αὐτή τε ἀκριβῶς σωφρονοῦσα, καὶ
πάντα τὰ δοκοῦντα αὐτῷ ἡδέως ποιοῦσα, καὶ μήτε ἄλλο τι τῶν
ἐκείνου πολυπραγμονοῦσα, καὶ τὰ ἀφροδίσια αὐτοῦ ἀθύρματα μήτε
διώκουσα μήτε αἰσθάνεσθαι προσποιουμένη. τοιαύτη οὖν ἡ Λιουία 6
ἐγένετο, ἡ μέντοι ψηφισθεῖσα αὐτῇ ἁψὶς οὐκ ᾠκοδομήθη διὰ τὸ
τὸν Τιβέριον τοῖς ἑαυτοῦ τέλεσι κατασκευάσειν αὐτὴν ὑποσχέσθαι·
κατοκνήσας γὰρ τῷ λόγῳ τὸ δόγμα λῦσαι, τοῦτον τὸν τρόπον ἀνέτρεψεν αὐτό, μήτ᾽ ἐκ τῶν δημοσίων χρημάτων τὸ ἔργον ἐπιτρέψας
γενέσθαι μήτ᾽ αὐτὸς ποιήσας.

ὁ δὲ δὴ Σηιανὸς ἔτι καὶ μᾶλλον ἤρετο, καὶ ἐψηφίσθη ὅπως 7
τὰ γενέθλια αὐτοῦ δημοσίᾳ ἑορτάζηται. τὸ γάρ τοι πλῆθος τῶν
ἀνδριάντων ὧν ἥ τε βουλὴ καὶ ἡ ἱππὰς αἵ τε φυλαὶ καὶ οἱ ἄνδρες
οἱ πρῶτοι ἔστησαν αὐτοῦ, οὐδ᾽ ἐξηρίθμησεν ἄν τις· πρέσβεις τε 8
ἰδίᾳ μὲν ἡ γερουσία ἰδίᾳ δὲ οἱ ἱππεῖς τό τε πλῆθος ἔκ τε τῶν δημάρχων καὶ ἐκ τῶν ἀγορανόμων τῶν σφετέρων πρὸς ἀμφοτέρους
αὐτοὺς ἔπεμπον, καὶ ηὔχοντο ὑπὲρ ἀμφοῖν ὁμοίως καὶ ἔθυον, τήν
τε τύχην αὐτῶν ὤμνυσαν.

τῷ δὲ δὴ Γάλλῳ ὁ Τιβέριος, τῷ τήν τε γυναῖκα αὐτοῦ ἀγα- 3
γομένῳ καὶ τῇ περὶ τῆς ἀρχῆς χρησαμένῳ παρρησίᾳ, καιρὸν λαβὼν a.C. 30
ἐπέθετο. ἐπειδὴ γὰρ τὸν Σηιανὸν ἤτοι καὶ ἀληθῶς ὡς αὐταρχήσοντα ἢ καὶ τῷ τοῦ Τιβερίου δέει θεραπεύων, ἢ καὶ ἐξ ἐπιβουλῆς, 2
ἵνα καὶ αὐτῷ ἐκείνῳ διὰ κόρου γενόμενος φθαρῇ, τά τε πλείω οἱ

2 2 3 αὐτῆς? an ἐπ᾽ αὐτῇ?* 3 4 οὐδὲν δὲ τῶν τισὶ καταλειφθέντων ὑπ᾽ ἐκείνης δέδωκεν ὁ Τιβέριος. Z p. 441. 7 1 ὁ δὲ] ὅτι Τιβέριος νόσον προσποιησάμενος τὸν Σηιανὸν ὡς καὶ ἐπακολουθήσων εἰς Ῥώμην προέπεμψε, λέγων μέρος τοῦ σώματος αὐτοῦ καὶ τῆς ψυχῆς ἀποσπᾶσθαι ἀπ᾽ αὐτοῦ. καὶ περιέβαλεν αὐτὸν καὶ κατεφίλησεν μετὰ δακρύων, ὥστε Σηιανὸν ἐπὶ πλέον ἐπαίρεσθαι. M p. 199 3 1 1 ἀγομένῳ* 3 ἐπειδὴ — 3 2 ἐδεξιώσατο V p. 666: codices προσιόντα γάρ οἱ κατὰ πρεσβείαν ἑστιάσας τε καὶ φιλοφρόνως δεξιωσάμενος ἔγραψε κατ᾽ αὐτοῦ τῇ βουλῇ. 3 τὸν] τόν τε*

*καὶ τὰ μείζω ἐσηγήσατο καὶ ἐν τοῖς πρεσβευταῖς γενέσθαι ἐσπού-
δασεν, ἐπέστειλε περὶ αὐτοῦ τῇ βουλῇ τά τε ἄλλα καὶ ὅτι τῷ
Σηιανῷ τῆς πρὸς ἑαυτὸν φιλίας φθονοίη, καίπερ αὐτὸς Συριακῷ
3 φίλῳ χρώμενος. καὶ ταῦτα οὐκ ἐξέφηνε τῷ Γάλλῳ, ἀλλὰ καὶ πάνυ
αὐτὸν ἐδεξιώσατο, ὥστε συμβῆναί οἱ πρᾶγμα παραδοξότατον, καὶ
ὃ μηδενὶ ἄλλῳ συνηνέχθη· ἐν γὰρ τῇ αὐτῇ ἡμέρᾳ παρά τε τῷ
Τιβερίῳ εἱστιάθη καὶ φιλοτησίας ἔπιε, καὶ ἐν τῷ βουλευτηρίῳ κα-
τεψηφίσθη, ὥστε καὶ στρατηγὸν τὸν δήσοντά τε αὐτὸν καὶ πρὸς
4 τὴν τιμωρίαν ἀπάξοντα πεμφθῆναι. καὶ μέντοι τοῦθ᾽ οὕτως ὁ
Τιβέριος πράξας οὐδ᾽ ἀποθανεῖν αὐτῷ ἐθελήσαντι, ἐπειδὴ τάχιστα
τῶν δεδογμένων ᾔσθετο, ἐπέτρεψεν, ἀλλ᾽ ἐκείνῳ τε, ἵν᾽ ἐπὶ πλεῖστον
κακωθείη, θαρσεῖν ... ἐνετείλατο ὅπως ἐν φυλακῇ ἀδέσμῳ ᾖ, μέχρις
ἂν αὐτὸς ἐς τὴν πόλιν ἀφίκηται, ἵν᾽, ὅπερ εἶπον, ἐπὶ μακρότατον
5 καὶ τῇ ἀτιμίᾳ ἅμα καὶ τῷ φόβῳ ταλαιπωρήσειεν. καὶ ἔσχεν οὕτως·
πρός τε γὰρ τῶν ἀεὶ ὑπάτων ἐτηρεῖτο (ἔξω τῆς τοῦ Τιβερίου ἀρχῆς·
τότε γὰρ πρὸς τῶν στρατηγῶν ἐφυλάχθη), οὐχ ἵνα μὴ φύγῃ, οὐ
μὰ Δί᾽, ἀλλ᾽ ἵνα μὴ τελευτήσῃ, καὶ οὔτε ἑταῖρός τις οὔτ᾽ οἰκέτης
αὐτῷ συνεγίγνετο, οὔτ᾽ ἐλάλει τινὶ οὔθ᾽ ἑώρα τινὰ πλὴν ὁπότε τρο-
6 φὴν λαβεῖν ἠναγκάζετο. καὶ ἦν αὕτη τοιαύτη καὶ τοσαύτη ὥστε
μήτε τινὰ ἡδονὴν καὶ ῥώμην αὐτῷ παρασχεῖν μήτ᾽ ἀποθανεῖν αὐτὸν
ἐᾶν· τοῦτο γὰρ ἦν τὸ δεινότατον. ὃ καὶ ἐπ᾽ ἄλλων συχνῶν ὁ Τι-
βέριος ἐποίει· δήσας γοῦν τινὰ τῶν ἑταίρων, ἔπειτα λόγου περὶ τῆς
θανατώσεως αὐτοῦ γενομένου ἔφη ὅτι οὐδέπω αὐτῷ διήλλαγμαι.
7 ἕτερον μέντοι τινὰ καὶ πάνυ ἰσχυρῶς βασανίσας, ἔπειτα γνοὺς ὅτι
ἀδίκως κατηγορήθη, καὶ πάνυ σπουδῇ ἀπέκτεινεν, εἰπὼν ὅτι χαλε-
πωτέρως ὕβρισται ἢ ὥστε καλῶς δύνασθαι ζῆν. Συριακὸς δ᾽ οὔτ᾽
ἀδικήσας τι οὔτ᾽ αἰτιαθείς, ἀλλὰ καὶ ἐπὶ παιδείᾳ ἐλλόγιμος ὤν,
ἐσφάγη διὰ τοῦτο μόνον ὅτι φίλον αὐτὸν τοῦ Γάλλου ὁ Τιβέριος
εἶπεν εἶναι.*

8 *ὅτι ὁ Σηιανὸς καὶ τὸν Δροῦσον διέβαλε διὰ τῆς γυναικὸς αὐτοῦ.
πάσας γὰρ ὡς εἰπεῖν τὰς τῶν ἐπιφανῶν ἀνδρῶν γαμετὰς μοιχεύων
τά τε λεγόμενα ἢ καὶ πραττόμενα ὑπ᾽ ἐκείνων ἐμάνθανε, καὶ προσέτι
καὶ συνεργούς σφας ὡς καὶ γαμηθησομένας οἱ ἐποιεῖτο. ἐπεὶ δὲ ὁ
Τιβέριος ἁπλῶς τὸν Δροῦσον ἐς τὴν Ῥώμην ἔπεμψεν, ὁ Σηιανὸς δεί-
σας μὴ μεταβάληται, ἔπεισε τὸν Κάσσιον χρηματίσαι τι κατ᾽ αὐτοῦ...*

4 *ὁ δὲ δὴ Σηιανὸς καὶ μείζων καὶ φοβερώτερος ἀεὶ ἐγίγνετο,*

4 4 ...] *ἐκέλευσεν καὶ τῇ βουλῇ ἐπιμελεῖσθαι?* 5 5 *ὁπόταν** 8 1 *ὅτι* — 6 *αὐτοῦ* V p. 669 4 1 1 *τὸν δὲ Σηιανὸν ὁ Τιβέριος ἐπὶ μέγα δόξης ἐπάρας, καὶ κηδεστὴν ἐπὶ Ἰουλίᾳ τῇ τοῦ Δρούσου θυγατρὶ ποιησάμενος, ὕστερον ἔκτεινε.* Z p. 442

Digitized by Google

ὥστε καὶ τοὺς βουλευτὰς καὶ τοὺς ἄλλους ἐκείνῳ μὲν ὡς καὶ αὐτο-
κράτορι προσέχειν, τὸν δὲ Τιβέριον ἐν ὀλιγωρίᾳ ποιεῖσθαι. μαθὼν
οὖν ταῦτα ὁ Τιβέριος οὔτε ἐν ἐλαφρῷ τὸ πρᾶγμα ἐποιήσατο, φο-
βηθεὶς μὴ καὶ αὐτοκράτορα ἄντικρυς αὐτὸν ἀποδείξωσιν, οὔτε ἠμέ-
λησεν. ἐκ μὲν δὴ οὖν τοῦ προφανοῦς οὐδὲν ἔδρασεν· τό τε γὰρ 2
δορυφορικὸν πᾶν ἰσχυρῶς ᾠκείωτο, καὶ τῶν βουλευτῶν τὸ μὲν εὐ-
εργεσίαις τὸ δὲ ἐλπίσι τὸ δὲ καὶ φόβῳ προσεπεποίητο, τούς τε
περὶ τὸν Τιβέριον ὄντας οὕτω πάντας προσηταίριστο ὥστε τὰ μὲν
ἐκείνου πάντα ἁπλῶς, καὶ ὅσα ἔλεγε καὶ ὅσα ἔπραττε, παραυτίκα
οἱ ἀγγέλλεσθαι, τὰ δ' ὑπ' αὐτοῦ δρώμενα μηδένα τῷ Τιβερίῳ δη-
λοῦν. ἄλλως οὖν αὐτὸν μετεπορεύετο, καὶ ὕπατόν τε αὐτὸν ἀπέ- 3
δειξε καὶ κοινωνὸν τῶν φροντίδων ὠνόμαζε, Σηιανός τε ὁ ἐμός a.C. 31
πολλάκις ἐπαναλαμβάνων ἔλεγε, καὶ τοῦτο καὶ γράφων πρός τε τὴν
βουλὴν καὶ πρὸς τὸν δῆμον ἐδήλου. τούτοις οὖν οἱ ἄνθρωποι 4
ἀπατώμενοι καὶ πιστεύοντες χαλκοῦς τε αὐτοὺς ἁπανταχοῦ ἐκ τοῦ
ἴσου ἵστασαν, κἀν ταῖς γραφαῖς συνέγραφον, δίφρους τε ἐπιχρύσους
ἐς τὰ θέατρα ἀμφοῖν ἐσέφερον· καὶ τέλος ἐψηφίσθη ὑπάτους τέ
σφας διὰ πέντε ἐτῶν ἅμα ἀποδείκνυσθαι, καὶ ἀπάντησιν, ὁπότε ἐς
τὴν Ῥώμην ἐσίοιεν, ἀμφοτέροις ὁμοίως γίγνεσθαι. καὶ τέλος καὶ
ταῖς εἰκόσιν αὐτοῦ ὥσπερ καὶ ταῖς τοῦ Τιβερίου ἔθυον.

καὶ τὰ μὲν περὶ τὸν Σηιανὸν τοιαῦτα ἦν, τῶν δ' ἄλλων πολ- 5
λοὶ καὶ ὀνομαστοὶ ἐφθάρησαν, ὧν ἦν καὶ Γάιος Ῥοῦφος Γεμίνιος.
ἀσεβείας γὰρ ἐς τὸν Τιβέριον ἐγκληθεὶς τὰς διαθήκας ἔς τε τὸ
συνέδριον ἐσεκόμισε καὶ ἀνέγνω, δηλῶν ὅτι τὸν κλῆρον ἐξ ἴσου τοῖς
τέκνοις καὶ ἐκείνῳ καταλελοιπὼς ἦν· καὶ μαλακίας αἰτιαθεὶς ἀπῆλ- 6
θεν οἴκαδε πρὶν ψηφισθῆναί τι, καὶ μαθὼν τὸν ταμίαν ἐπὶ δικαιώ-
σει αὐτοῦ παρόντα αὐτός τε ἑαυτὸν ἔτρωσε, καὶ ἐκείνῳ τὸ τραῦμα
δείξας "ἀπάγγειλον" ἔφη "τῇ γερουσίᾳ ὅτι ἀνὴρ οὕτως ἀποθνήσκει."
καὶ ἡ γυνὴ δὲ αὐτοῦ Πουπλία Πρίσκα ἔγκλημά τι λαβοῦσα ἐσῆλθέ
τε ἐς τὸ βουλευτήριον, κἀνταῦθα ἑαυτὴν ἐγχειριδίῳ τινί, ὃ λάθρᾳ
ἐσεκεκομίκει, ἔσφαξεν.

ὁ δὲ Σηιανὸς τοσοῦτος ἦν τῇ τε ὑπεροχῇ τοῦ φρονήματος καὶ 5
τῷ μεγέθει τῆς ἐξουσίας ὥστε συνελόντι εἰπεῖν αὐτὸν μὲν αὐτο-
κράτορα τὸν δὲ Τιβέριον νησίαρχόν τινα εἶναι δοκεῖν διὰ τὸ ἐν τῇ
νήσῳ τῇ λεγομένῃ Καπρίᾳ τὰς διατριβὰς ποιεῖσθαι. σπουδαί τε 2
καὶ ὠθισμοὶ περὶ τὰς θύρας αὐτοῦ ἐγίγνοντο ἐκ τοῦ δεδιέναι μὴ
μόνον μὴ οὐκ ὀφθῇ τις αὐτῷ, ἀλλὰ μὴ καὶ ἐν τοῖς ὑστάτοις φανῇ·
πάντα γὰρ ἀκριβῶς, καὶ μάλιστα τὰ τῶν πρώτων, ἐτηρεῖτο καὶ τὰ

6 5 Ποπιλία?

Digitized by Google

3 ῥήματα καὶ τὰ νεύματα. οἱ μὲν γὰρ οἰκείᾳ ἀξιώσει προύχοντες
οὔτε τὰ δεξιώματα παρὰ τινῶν πάνυ ἀπαιτοῦσιν, κἂν ἄρα καὶ
ἐκλειφθῇ τι αὐτῶν, οὐκ ἐγκαλοῦσί σφισιν, ἅτε καὶ ἑαυτοῖς συνειδό-
τες ὅτι μὴ καταφρονοῦνται· οἱ δ' ἐπακτῷ καλλωπίσματι χρώμενοι
πάντα ἰσχυρῶς τὰ τοιαῦτα, ὡς καὶ ἐς τὴν τοῦ ἀξιώματός σφων
πλήρωσιν ἀναγκαῖα, ἐπιζητοῦσιν, κἂν μὴ τύχωσιν αὐτῶν, ἄχθονταί
4 τε ὡς διαβαλλόμενοι καὶ ὀργίζονται ὡς ὑβριζόμενοι. καὶ διὰ τοῦτο
μᾶλλον περὶ τοὺς τοιούτους ἢ περὶ αὐτοὺς ὡς εἰπεῖν τοὺς αὐτο-
κράτορας σπουδάζουσιν, ὅτι τοῖς μέν, κἂν πλημμεληθῇ τι, ἀρετὴν
τὸ συγγνῶναί τῳ φέρει, τοῖς δὲ τοῦτο μὲν τὴν ἀσθένειάν σφων
ἐλέγχειν δοκεῖ, τὸ δὲ ἐπεξελθεῖν καὶ τιμωρήσασθαι βεβαίωσιν τοῦ
5 μέγα δύνασθαι ἔχειν νομίζεται. ἐν δέ τινι νουμηνίᾳ πάντων συ-
νιόντων ἐς τὴν οἰκίαν τοῦ Σηιανοῦ ἥ τε κλίνη ἡ ἐν τῷ δωματίῳ,
ἐν ᾧ ἠσπάζετο, κειμένη πᾶσα ὑπὸ τοῦ ὄχλου τῶν ἱζησάντων συνε-
τρίβη, καὶ προϊόντος αὐτοῦ ἐκ τῆς οἰκίας γαλῆ διὰ μέσων σφῶν
6 διῇξεν. ἐπειδή τε καὶ ἐν τῷ Καπιτωλίῳ θύσας ἐς τὴν ἀγορὰν
κατῄει, οἱ οἰκέται αὐτοῦ οἱ δορυφόροι διά τε τῆς ὁδοῦ τῆς ἐς τὸ
δεσμωτήριον ἀγούσης ἐξετράποντο, μὴ δυνηθέντες αὐτῷ ὑπὸ τοῦ
ὄχλου ἐπακολουθῆσαι, καὶ κατὰ τῶν ἀναβασμῶν καθ' ὧν οἱ δικαι-
7 ούμενοι ἐρριπτοῦντο κατιόντες ὤλισθον καὶ κατέπεσον. οἰωνιζομένου
τε μετὰ τοῦτο αὐτοῦ τῶν μὲν αἰσίων ὀρνίθων ἐπεφάνη οὐδείς,
κόρακες δὲ δὴ περιπτάμενοι καὶ περικρώξαντες αὐτὸν ἀπέπταντο
ἀθρόοι πρὸς τὸ οἴκημα καὶ ὑπὲρ αὐτοῦ ἐκαθέζοντο.

6 τούτων οὖν τῶν τεράτων οὔθ' ὁ Σηιανὸς οὔτ' ἄλλος τις ἐνθύ-
μιον ἐποιήσατο· πρὸς γὰρ τὴν τῶν παρόντων ὄψιν οὐδ' ἂν εἰ σα-
φῶς θεός τις προέλεγεν ὅτι τοσαύτη δι' ὀλίγου μεταβολὴ γενήσοιτο,
2 ἐπίστευσεν ἄν τις. τήν τε οὖν τύχην αὐτοῦ κατακορῶς ὤμνυσαν,
καὶ συνάρχοντα τοῦ Τιβερίου, οὐκ ἐς τὴν ὑπατείαν ἀλλ' ἐς τὸ
κράτος ὑποσημαίνοντες, ἐκάλουν. Τιβέριος δὲ ἠγνόει μὲν οὐδὲν
ἔτι τῶν κατ' αὐτόν, βουλευόμενος δὲ ὅντινα τρόπον αὐτὸν ἀποκτείνῃ,
καὶ οὐχ εὑρίσκων ὅπως ἀσφαλῶς ἐκ τοῦ φανεροῦ τοῦτο ποιήσει,
θαυμαστὸν δή τινα τρόπον καὶ αὐτῷ ἐκείνῳ καὶ τοῖς ἄλλοις, ὥστε
3 τὴν γνώμην αὐτῶν ἀκριβῶς μαθεῖν, ἐχρήσατο. περί τε γὰρ ἑαυτοῦ
πολλὰ καὶ ποικίλα καὶ τῷ Σηιανῷ καὶ τῇ βουλῇ συνεχῶς ἐπέστελλε,
νῦν μὲν λέγων φλαύρως ἔχειν καὶ ὅσον οὐκ ἤδη τελευτήσειν, νῦν
δὲ καὶ σφόδρα ὑγιαίνειν καὶ αὐτίκα δὴ μάλα ἐς τὴν Ῥώμην ἀφί-
4 ξεσθαι· καὶ τὸν Σηιανὸν τοτὲ μὲν πάνυ ἐπῄνει τοτὲ δὲ πάνυ καθῄρει,
τῶν τε ἑταίρων αὐτοῦ τοὺς μὲν ἐτίμα δι' ἐκεῖνον τοὺς δ' ἠτίμαζεν.

5 7 3 περιπτάμενοι 6 2 1 κατακορεῖς* 3 ἐδήλουν

Digitized by Google

*ὥστε ὁ Σηιανὸς ἐν τῷ μέρει καὶ τοῦ ὑπερόγκου καὶ τοῦ ὑπερφόβου
πληρούμενος ἀεὶ μετέωρος ἦν· οὔτε γὰρ δεδιέναι αὐτῷ καὶ διὰ
τοῦτο καὶ νεοχμῶσαί τι ἐπῄει, καὶ γὰρ ἐτιμᾶτο, οὔτ' αὖ θαρσεῖν
καὶ ἀπ' αὐτοῦ καὶ ἐπιτολμῆσαί τι, καὶ γὰρ ἐκολούετο. καὶ μέντοι* 5
*καὶ οἱ λοιποὶ πάντες ἐναλλὰξ καὶ δι' ὀλίγου τὰ ἐναντιώτατα ἀκούον-
τες, καὶ μήτε τὸν Σηιανὸν θαυμάζειν ἔτι ἢ καὶ καταφρονεῖν ἔχοντες,
ἔς τε τὸν Τιβέριον ὡς καὶ τεθνήξοντα ἢ καὶ ἥξοντα ὑποπτεύοντες,
ἐν ἀμφιβόλῳ ἐγίγνοντο.*

*Σηιανὸν μὲν οὖν ταῦτά τε ἐτάραττε, καὶ πολλῷ μᾶλλον ὅτι* 7
*ἐξ ἀνδριάντος τινὸς αὐτοῦ τὰ μὲν πρῶτα καπνὸς πολὺς ἀνέθορεν,
ἔπειτα δὲ ἀφαιρεθείσης τῆς κεφαλῆς ὅπως τὸ γιγνόμενον ἴδωσιν,
ὄφις μέγας ἀνεπήδησεν, ἑτέρας τε εὐθὺς ἀντεπιτεθείσης αὐτῷ, καὶ* 2
*διὰ τοῦτ' ἐκείνου [τε] θύσειν ἑαυτῷ μέλλοντος (τά τε γὰρ ἄλλα καὶ
ἑαυτῷ ἔθυεν), σχοινίον περὶ τὸν αὐχένα αὐτοῦ περικείμενον εὑρέθη.
τύχης τέ τι ἄγαλμα, ὃ ἐγεγόνει μέν, ὥς φασί, Τουλλίου τοῦ βασι-
λεύσαντός ποτε ἐν τῇ Ῥώμῃ, τότε δὲ ὁ Σηιανὸς οἴκοι τε εἶχε καὶ
μεγάλως ἤγαλλεν, αὐτός τε θύων εἶδεν ἀποστρεφόμενον ... καὶ* 3
*μετὰ τοῦθ' ἕτεροι συνεξιόντες σφίσιν. οἱ δὲ δὴ ἄλλοι ὑπώπτευον
μέν που ταῦτα, ἀγνοοῦντες δὲ δὴ τὴν τοῦ Τιβερίου διάνοιαν, καὶ
προσεκλογιζόμενοι τό τε ἐκείνου ἔμπληκτον καὶ τὸ τῶν πραγμάτων
ἀστάθμητον, ἐπημφοτέριζον, καὶ ἰδίᾳ μὲν τῆς ἑαυτῶν ἀσφαλείας* 4
*διεσκόπουν, κοινῇ δὲ δὴ ἐθεράπευον αὐτὸν διά τε τἆλλα καὶ ὅτι
καὶ ὁ Τιβέριος ἱερέας μετὰ Γαΐου γε καὶ ἐκεῖνον καὶ τὸν υἱὸν αὐ-
τοῦ ἐποίησε, καὶ τήν τε ἀνθυπατικὴν ἐξουσίαν αὐτῷ ἔδωκαν, καὶ
προσεψηφίσαντο πᾶσιν ἀεὶ τοῖς ὑπατεύουσι παραγγέλλεσθαι κατὰ
τὸ ἐκείνου ζήλωμα ἄρξαι. ὁ δ' οὖν Τιβέριος ταῖς μὲν ἱερωσύναις* 5
*ἐτίμησεν αὐτόν, οὐ μὴν καὶ μετεπέμψατο, ἀλλὰ καὶ αἰτησαμένῳ οἱ
ὅπως ἐς τὴν Καμπανίαν ἐπὶ προφάσει τῆς μελλονύμφου νοσησάσης
ἔλθῃ, κατὰ χώραν μεῖναι προσέταξεν ὡς καὶ αὐτὸς ὅσον οὔπω ἐς
τὴν Ῥώμην ἀφιξόμενος.*

*ἔκ τε οὖν τούτων ὁ Σηιανὸς αὖθις ἠλλοιοῦτο, καὶ διότι καὶ* 8
*τὸν Γάιον ὁ Τιβέριος ἱερέα ἀποδείξας ἐπῄνεσε, καί τι καὶ ὡς διά-
δοχον αὐτὸν τῆς μοναρχίας ἕξων ἐνεδείκνυτο. κἂν ἐνεόχμωσέ τι,* 2
*ἄλλως τε καὶ τῶν στρατιωτῶν πρὸς πάντα ἑτοίμως ὑπακοῦσαι αὐτῷ
ἐχόντων, εἰ μὴ τὸν δῆμον ἰσχυρῶς τοῖς περὶ τοῦ Γαΐου λεχθεῖσι
πρὸς τὴν τοῦ Γερμανικοῦ τοῦ πατρὸς αὐτοῦ μνήμην ἡσθέντα εἶδεν·
πρότερον γὰρ νομίζων καὶ ἐκείνους πρὸς ἑαυτοῦ εἶναι, τότε ὡς
ᾔσθετο τὰ τοῦ Γαΐου σπουδάζοντας, ἠθύμησεν. καὶ ὁ μὲν μετεγί-* 3

7 4 3 μετ' αὐτοῦ τε

νωσκεν ὅτι μηδὲν ἐν τῇ ὑπατείᾳ ἐνεόχμωσεν, οἱ δὲ δὴ ἄλλοι διά
τε ταῦτα, καὶ ὅτι ὁ Τιβέριος ἐχθρόν τινα αὐτοῦ ᾑρημένον μὲν πρὸ
δέκα ἐτῶν Ἰβηρίας ἄρξαι, κρινόμενον δὲ ἐπί τισιν ἐξ ἐκείνου ἀφῆκε,
καὶ δι' αὐτὸν καὶ τοῖς ἄλλοις τοῖς ἡγεμονεύσειν τινῶν ἢ καὶ ἄλλο
τι δημόσιον πράξειν μέλλουσιν ἄδειαν ἐν τῷ καιρῷ τούτῳ τῶν τοι-
4 ούτων δικῶν ἔδωκεν. τῇ τε γερουσίᾳ περὶ τοῦ Νέρωνος ἀποθανόντος
γράφων Σηιανὸν ἁπλῶς αὐτὸν ὠνόμασε, μηδὲν ὧνπερ εἴθιστο προ-
σθείς· καὶ προσέτι καὶ ἀπεῖπε μήτ' ἀνθρώπων τινὶ θύεσθαι, διότι
καὶ ἐκείνῳ τοῦτ' ἐγίγνετο, μήτ' ἐπὶ τῇ ἑαυτοῦ τιμῇ τι χρηματίζεσθαι,
διότι πολλὰ ἐκείνῳ ἐψηφίζετο. τοῦτο γὰρ ἀπηγορεύκει μὲν καὶ πρό-
τερον, τότε δὲ διὰ τὸν Σηιανὸν ἀνενεώσατο· οὐ γάρ που ὁ μηδὲν
9 ἑαυτῷ τοιοῦτο γίγνεσθαι ἐπιτρέπων ἄλλῳ γε ἐφίει. ἐπ' οὖν τούτοις
ἔτι καὶ μᾶλλον αὐτοῦ κατεφρόνησαν, ὥστε καὶ φανερώτερον ἢ λαν-
θάνειν καὶ ἐξίστασθαι αὐτὸν καὶ ἐγκαταλείπειν. μαθὼν οὖν ταῦτα
ὁ Τιβέριος, καὶ θαρσήσας ὡς καὶ τὸν δῆμον καὶ τὴν βουλὴν συμ-
2 μάχους ἕξων, ἐπεχείρησεν αὐτῷ· καὶ προκαθεὶς τὸν λόγον ὅτι τήν
γε ἐξουσίαν οἱ τὴν δημαρχικὴν δώσοι, ὅπως ἀπροσδόκητον αὐτὸν
ὅτι μάλιστα λάβῃ, ἐπέστειλε κατ' αὐτοῦ τῷ συνεδρίῳ διὰ Ναιβίου
Σερτωρίου Μάκρωνος, ἄρχειν τε αὐτὸν τῶν σωματοφυλάκων κρύφα
3 προκαταστήσας, καὶ πάνθ' ὅσα ἐχρῆν πραχθῆναι προδιδάξας. καὶ
ὃς νύκτωρ ἐς τὴν Ῥώμην ὡς καὶ κατ' ἄλλο τι ἐλθών, τά τε ἐπε-
σταλμένα οἱ Μεμμίῳ τε Ῥηγούλῳ τότε ὑπατεύοντι (ὁ γὰρ συνάρ-
χων αὐτοῦ τὰ τοῦ Σηιανοῦ ἐφρόνει) καὶ Γραικίνῳ Λάκωνι τῷ τῶν
4 νυκτοφυλάκων ἄρχοντι ἐπεκοίνωσεν, καὶ ἀναβὰς ἅμα τῇ ἕῳ ἐς τὸ
παλάτιον (τῆς γὰρ βουλῆς ἕδρα ἐν τῷ ἀπολλωνίῳ γενήσεσθαι ἔμελλε)
τῷ τε Σηιανῷ μηδέπω ἐς αὐτὸ ἐσεληλυθότι περιέπεσε, καὶ ἰδὼν
αὐτὸν ταραττόμενον ὅτι μηδέν οἱ ὁ Τιβέριος ἐπεστάλκει, παρεμυ-
θήσατο εἰπὼν ἰδίᾳ καὶ ἐν ἀπορρήτῳ ὅτι τὴν ἐξουσίαν αὐτῷ τὴν
5 δημαρχικὴν φέροι. καὶ ὁ μὲν περιχαρὴς ἐπὶ τούτῳ γενόμενος ἐς
τὸ βουλευτήριον ἐσεπήδησεν· Μάκρων δὲ τοὺς μὲν δορυφόρους τοὺς
περί τε ἐκεῖνον καὶ τὸ συνέδριον ὄντας ἐς τὸ στρατόπεδον ἀπέπεμψε,
τήν τε ἡγεμονίαν σφίσι τὴν ἑαυτοῦ ἐκφήνας καὶ γράμματα παρὰ
6 τοῦ Τιβερίου γέρα τινὰ αὐτοῖς διδόντα φέρειν φήσας, τοὺς δὲ δὴ
νυκτοφύλακας ἀντ' αὐτῶν περὶ τὸν ναὸν περιστήσας ἐσῆλθέ τε ἐς
αὐτόν, καὶ τὴν ἐπιστολὴν τοῖς ὑπάτοις δοὺς ἐξῆλθε πρὶν καὶ ὁτιοῦν
ἀναγνωσθῆναι, αὐτῷ τε τῷ Λάκωνι τἀνταῦθα φυλάττειν προστά-
ξας αὐτὸς ἐς τὸ στρατόπεδον, μὴ καὶ νεωτερισθείη τι, ὥρμησεν.
10 κἀν τούτῳ ἡ ἐπιστολὴ ἀνεγνώσθη. ἦν δὲ μακρά, καὶ οὐδὲν ἀθρόον

8 3 2 ἄλλοι] ἄλλοι ἠλλοιοῦντο? an αὐτοῦ κατεφρόνησαν? 9 1 3 ἐγ-
καταλιπεῖν*

Digitized by Google

κατὰ τοῦ Σηιανοῦ εἶχεν, ἀλλὰ τὰ μὲν πρῶτα ἄλλο τι, εἶτα μέμψιν
κατ᾽ αὐτοῦ βραχεῖαν, καὶ μετ᾽ αὐτὴν ἕτερόν τι, καὶ κατ᾽ ἐκείνου
ἄλλο· καὶ ἐπὶ τελευτῆς δύο τε βουλευτὰς τῶν ᾠκειωμένων οἱ κο-
λασθῆναι καὶ αὐτὸν ἐν φρουρᾷ γενέσθαι δεῖν ἔλεγεν. ἄντικρυς 2
γὰρ ἀποθανεῖν αὐτὸν ὁ Τιβέριος οὐ προσέταξεν, οὐχ ὅτι οὐκ ἐβού-
λετο, ἀλλ᾽ ὅτι ἐφοβήθη μὴ ταραχή τις ἐκ τούτου γένηται· ὡς γοῦν
οὐδὲ τὴν ὁδὸν ἀσφαλῶς ποιήσασθαι δυνάμενος, τὸν ἕτερον τῶν
ὑπάτων μετεπέμψατο. τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου, παρῆν δὲ
καὶ ἀκοῦσαι ἐπ᾽ αὐτῇ καὶ ἰδεῖν πολλὰ καὶ ποικίλα. πρότερον μὲν 3
γάρ, πρὶν ἀναγινώσκεσθαι αὐτήν, ἐπαίνους τε αὐτοῦ ὡς καὶ τὴν
δημαρχικὴν ἐξουσίαν ληψομένου ἐποιοῦντο καὶ ἐπιβοήμασιν ἐχρῶντο,
προλαμβάνοντες ὅσα ἤλπιζον, καὶ προσενδεικνύμενοί οἱ ὡς καὶ αὐ-
τοὶ αὐτὰ δώσοντες· ἐπεὶ δ᾽ οὐδὲν τοιοῦτον εὑρίσκετο, ἀλλὰ καὶ 4
πᾶν τοὐναντίον ἢ προσεδόκων ἤκουον, ἔν τε ἀπορίᾳ καὶ μετὰ τοῦτο
καὶ ἐν κατηφείᾳ πολλῇ ἐγίγνοντο. καί τινες καὶ ἐξανέστησαν τῶν
συγκαθημένων αὐτῷ· ὃν γὰρ πρόσθεν περὶ πολλοῦ φίλον ἔχειν ἐποι-
οῦντο, τούτῳ τότε οὐδὲ τῆς αὐτῆς συνεδρείας κοινωνεῖν ἤθελον.
κἀκ τούτου καὶ στρατηγοὶ καὶ δήμαρχοι περιέσχον αὐτόν, ὅπως μὴ 5
συνταράξῃ τι ἐκπηδήσας· ὅπερ πάντως ἂν ἐπεποιήκει, εἰ κατ᾽ ἀρ-
χὰς ἀθρόῳ τινὶ ἀκούσματι ἐπέπληκτο. νῦν δὲ τό τε ἀεὶ ἀναγινω-
σκόμενον ὡς καὶ κοῦφον καὶ μόνον ὂν παρορῶν, καὶ μάλιστα μὲν
μηδὲν ἄλλο, εἰ δὲ μή, μήτοι γε καὶ ἀνήκεστόν τι ἐπεστάλθαι περὶ
αὐτοῦ ἐλπίζων, διετρίβη καὶ κατὰ χώραν ἔμεινεν. κἂν τούτῳ προσ- 6
καλεσαμένου αὐτὸν τοῦ Ῥηγούλου οὐχ ὑπήκουσεν, οὐχ ὅτι ὑπερεφρό-
νησεν (ἤδη γὰρ ἐτεταπείνωτο) ἀλλ᾽ ὅτι ἀήθης τοῦ προστάττεσθαί
τι ἦν. ὡς δὲ καὶ δεύτερον καὶ τρίτον γε ἐκεῖνος ἐμβοήσας οἱ καὶ
τὴν χεῖρα ἅμα ἐκτείνας εἶπε "Σηιανὲ δεῦρο ἐλθέ," ἐπηρώτησεν αὐ-
τὸν αὐτὸ τοῦτο, "ἐμὲ καλεῖς;" ὀψὲ δ᾽ οὖν ποτὲ ἀναστάντι αὐτῷ
καὶ ὁ Λάκων ἐπεσελθὼν προσέστη. καὶ τέλος διαναγνωσθείσης 7
τῆς ἐπιστολῆς πάντες ἀπὸ μιᾶς γλώσσης καὶ κατεβόων αὐτοῦ καὶ
δεινὰ ἐπέλεγον, οἱ μὲν ἠδικημένοι οἱ δὲ πεφοβημένοι, ἄλλοι τὴν
φιλίαν τὴν πρὸς αὐτὸν ἐπηλυγαζόμενοι, ἄλλοι τῇ μεταβολῇ αὐτοῦ
ἐπιχαίροντες. οὐ μὴν οὔτε πάντας αὐτοὺς οὔτε περὶ τοῦ θανάτου 8
τινὰ αὐτοῦ ὁ Ῥήγουλος ἐπεψήφισε, φοβηθεὶς μή τις ἐναντιωθῇ
κἀκ τούτου καὶ ταραχθῇ τι (συχνοὺς γὰρ δὴ καὶ συγγενεῖς καὶ
φίλους εἶχεν)· ἀλλ᾽ ἕνα τινὰ ἀνακρίνας καὶ σύμψηφον ὅπως δεθῇ
λαβών, ἐξήγαγέ τε αὐτὸν ἐκ τοῦ συνεδρίου καὶ ἐς τὸ δεσμωτήριον
μετά τε τῶν ἄλλων ἀρχόντων καὶ μετὰ τοῦ Λάκωνος κατήγαγεν.
ἔνθα δὴ καὶ μάλιστ᾽ ἄν τις τὴν ἀνθρωπίνην ἀσθένειαν κατεῖδεν, 11
ὥστε μηδαμῇ μηδαμῶς φυσᾶσθαι. ὃν γὰρ τῇ ἕῳ πάντες ὡς καὶ

Digitized by Google

κρείττω σφῶν ὄντα ἐς τὸ βουλευτήριον παρέπεμψαν, τοῦτον τότε
ἐς τὸ οἴκημα ὡς μηδενὸς βελτίω κατέσυρον, καὶ ὃν στεφάνων πρό-
2 τερον ἠξίουν, τούτῳ τότε δεσμὰ περιέθεσαν· ὃν δὲ ἐδορυφόρουν
ὡς δεσπότην, τοῦτον ἐφρούρουν ὡς δραπέτην καὶ ἀπεκάλυπτον
ἐπικαλυπτόμενον, καὶ ὃν τῷ περιπορφύρῳ ἱματίῳ ἐκεκοσμήκεσαν,
ἐπὶ κόρρης ἔπαιον, ὅν τε προσεκύνουν ᾧ τε ὡς θεῷ ἔθυον, τοῦτον
3 θανατώσοντες ἦγον. καὶ αὐτῷ καὶ ὁ δῆμος προσπίπτων πολλὰ
μὲν ἐπὶ τοῖς ἀπολωλόσιν ὑπ᾽ αὐτοῦ ἐπεβόα, πολλὰ δὲ καὶ ἐπὶ τοῖς
ἐλπισθεῖσιν ἐπέσκωπτεν. τάς τε εἰκόνας αὐτοῦ πάσας κατέβαλλον
καὶ κατέκοπτον καὶ κατέσυρον ὡς καὶ αὐτὸν ἐκεῖνον αἰκιζόμενοι·
4 καὶ οὕτω θεατὴς ὧν πείσεσθαι ἔμελλεν ἐγίγνετο. τότε μὲν γὰρ ἐς
τὸ δεσμωτήριον ἐνεβλήθη· ὕστερον δ᾽ οὐ πολλῷ, ἀλλ᾽ αὐθημερὸν
ἡ γερουσία πλησίον τοῦ οἰκήματος ἐν τῷ ὁμονοείῳ, ἐπειδὴ τά τε
τοῦ δήμου τοιαῦτα ὄντα ᾔσθετο καὶ τῶν δορυφόρων οὐδένα ἑώρα,
5 ἀθροισθεῖσα θάνατον αὐτοῦ κατεψηφίσατο. καὶ οὕτω δικαιωθεὶς
κατά τε τῶν ἀναβασμῶν ἐρρίφη, καὶ αὐτὸν ὁ ὅμιλος τρισὶν ὅλαις
ἡμέραις ἐλυμήνατο, καὶ μετὰ τοῦτο ἐς τὸν ποταμὸν ἐνέβαλεν. τά
τε παιδία αὐτοῦ κατὰ δόγμα ἀπέθανε, τῆς κόρης, ἣν τῷ τοῦ Κλαυ-
δίου υἱεῖ ἐγγεγυήκει, προδιαφθαρείσης ὑπὸ τοῦ δημίου, ὡς οὐχ
6 ὅσιον ὂν παρθενευομένην τινὰ ἐν τῷ δεσμωτηρίῳ ἀπολέσθαι. καὶ
ἡ γυνὴ Ἀπικᾶτα οὐ κατεψηφίσθη μέν, μαθοῦσα δὲ ὅτι τὰ τέκνα
αὐτῆς τέθνηκε, καί σφων τὰ σώματα ἐν τοῖς ἀναβασμοῖς ἰδοῦσα,
ἀνεχώρησε, καὶ ἐς βιβλίον γράψασα περὶ τοῦ θανάτου τοῦ Δρούσου
κατά τε τῆς Λιβίλλης τῆς γυναικὸς αὐτοῦ, δι᾽ ἥνπερ που καὶ αὐτὴ
τῷ ἀνδρὶ προσεκεκρούκει ὥστε μηκέτι συνοικεῖν, τὸ μὲν τῷ Τιβε-
7 ρίῳ ἔπεμψεν, αὐτὴ δ᾽ ἑαυτὴν διεχρήσατο. καὶ οὕτως ὁ Τιβέριος
ἐντυχὼν τῷ βιβλίῳ, καὶ διελέγξας τὰ γεγραμμένα, τούς τε ἄλλους
πάντας καὶ τὴν Λιβίλλαν ἀπέκτεινεν. ἤδη δὲ ἤκουσα ὅτι ἐκεῖνος
μὲν αὐτῆς διὰ τὴν μητέρα τὴν Ἀντωνίαν ἐφείσατο, αὐτὴ δὲ ἡ
Ἀντωνία ἑκοῦσα λιμῷ τὴν θυγατέρα ἐξώλεσεν.

12 τοῦτο μὲν οὖν ὕστερον ἐγένετο, τότε δὲ θόρυβος πολὺς ἐν τῇ
πόλει συνηνέχθη. ὅ τε γὰρ δῆμος εἴ πού τινα τῶν μέγα παρὰ τῷ
Σηιανῷ δυνηθέντων καὶ δι᾽ αὐτὸν ὑβρισάντων τι εἶδεν, ἐφόνευεν·
2 καὶ οἱ στρατιῶται ἀγανακτοῦντες ὅτι αὐτοί τε ἐς τὴν τοῦ Σηιανοῦ
εὔνοιαν ὑπωπτεύθησαν καὶ οἱ νυκτοφύλακές σφων ἐς τὴν τοῦ αὐτο-
κράτορος πίστιν προετιμήθησαν, ἐμπρήσεις τε καὶ ἁρπαγὰς ἐποι-
οῦντο, καίτοι πάντων τῶν ἐν ταῖς ἀρχαῖς ὄντων τὸ ἄστυ πᾶν ἐκ
3 τῆς τοῦ Τιβερίου ἐντολῆς φυλαττόντων. οὐ μὴν οὐδ᾽ ἡ βουλὴ
ἡσύχαζεν, ἀλλ᾽ οἵ τε τὸν Σηιανὸν τεθεραπευκότες δεινῶς δέει τῆς
τιμωρίας ἐταράσσοντο, καὶ οἱ κατηγορηκότες ἢ καὶ καταμεμαρτυ-

Digitized by Google

ρηκότες τινῶν διὰ φόβον, ὑποψίᾳ τοῦ καὶ δι' ἐκεῖνον ἀλλ' οὐ διὰ
τὸν Τιβέριον αὐτοὺς διεφθάρθαι, ἐγίγνοντο. ὀλίγον τε πάνυ τὸ
θαρσοῦν ἦν, ὅσον ἔξω τε τούτων καθειστήκει καὶ τὸν Τιβέριον
ἠπιώτερον γενήσεσθαι προσεδόκα. τά τε γὰρ συμβεβηκότα σφίσιν 4
ἐς τὸν ἀπολωλότα, ὥσπερ που φιλεῖ γίγνεσθαι, ἔτρεπον, καὶ ἐκεῖνον
ἢ οὐδενὸς ἢ ὀλίγων ᾐτιῶντο· τὰ γὰρ πλείονα τὰ μὲν ἠγνοηκέναι,
τὰ δὲ καὶ ἄκοντα κατηναγκάσθαι πρᾶξαι ἔλεγον. ἰδίᾳ μὲν δὴ ὡς
ἕκαστοι οὕτω διετέθειντο, κοινῇ δὲ δὴ ἐψηφίσαντο, ὡς καὶ δεσπο-
τείας τινὸς ἀπηλλαγμένοι, μήτε πένθος τινὰ ἐπ' αὐτῷ ποιήσασθαι,
καὶ ἐλευθερίας ἄγαλμα ἐς τὴν ἀγορὰν ἀνατεθῆναι, ἑορτήν τε διά 5
τε τῶν ἀρχόντων καὶ διὰ τῶν ἱερέων ἁπάντων, ὃ μή πώποτε ἐγε-
γόνει, ἀχθῆναι, καὶ τὴν ἡμέραν ἐν ᾗ ἐτελεύτησε καὶ ἵππων ἀγῶσι
καὶ θηρίων σφαγαῖς ἐτησίοις διά τε τῶν ἐς τὰς τέσσαρας ἱερωσύνας
τελούντων καὶ διὰ τῶν τοῦ Αὐγούστου θιασωτῶν ἀγάλλεσθαι, ὃ
οὐδέποτε ἐπεποίητο. ὃν γὰρ αὐτοὶ ταῖς τε ὑπερβολαῖς καὶ ταῖς 6
καινότησι τῶν τιμῶν πρὸς τὸν ὄλεθρον προήγαγον, κατὰ τούτου
καὶ τοῖς θεοῖς ξένα τινὰ ἐψηφίζοντο. οὕτω γάρ τοι σαφῶς ἠπί-
σταντο ὅτι ὑπ' ἐκείνων μάλιστα ἐξεφρόνησεν, ὥστ' ἀπαγορεῦσαι
παραχρῆμα διαρρήδην μήτε τιμὰς μηδενὶ ὑπερόγκους δίδοσθαι
μήτε τοὺς ὅρκους ἐπ' ἄλλου τινὸς πλὴν τοῦ αὐτοκράτορος ποιεῖσθαι.
καὶ μέντοι ταῦθ' οὕτω, καθάπερ ἐκ θείας τινὸς ἐπιπνοίας, ψηφι- 7
σάμενοι καὶ τὸν Μάκρωνα καὶ τὸν Λάκωνα κολακεύειν οὐ πολλῷ
ὕστερον ἤρξαντο· χρήματά τε γὰρ αὐτοῖς πολλὰ καὶ τιμάς, Λάκωνι
μὲν τὰς τῶν τεταμιευκότων Μάκρωνι δὲ τὰς τῶν ἐστρατηγηκότων,
ἔδωκαν, καὶ αὐτῷ καὶ συνθεᾶσθαί σφισι καὶ ἱματίῳ περιπορφύρῳ
ἐν ταῖς εὐκταίαις πανηγύρεσι χρῆσθαι ἐπέτρεψαν. οὐ μέντοι καὶ 8
ἐκεῖνοι ἐδέξαντο αὐτά· τὸ γὰρ παράδειγμά σφας ὑπόγυιον ὂν ἐθο-
ρύβει. οὐ μὴν οὐδ' ὁ Τιβέριος προσήκατό τι ἄλλων τ' αὐτῷ πολ-
λῶν ψηφισθέντων, καὶ ὅπως αὐτός τε πατὴρ τῆς πατρίδος τότε γε
ἄρξηται ὀνομάζεσθαι, καὶ τὰ γενέθλια αὐτῷ δέκα τε τῶν ἵππων
ἁμίλλαις καὶ ἑστιάσει τῆς γερουσίας τιμᾶτο· ἀλλὰ καὶ προηγόρευσεν
αὖθις μηδένα μηδὲν τοιοῦτον ἐσηγεῖσθαι.

ταῦτα μὲν ἐν τῇ πόλει ἐγίγνετο, ὁ δὲ δὴ Τιβέριος τέως μὲν 13
ἐν δέει μεγάλῳ καθειστήκει μὴ ὁ Σηιανὸς κατασχὼν αὐτὴν ἐπ' αὐ-
τὸν ἐπιπλεύσῃ, καὶ πλοῖα παρεσκευάσατο ἵνα, ἄν τι τοιοῦτο συμβῇ,
διαφύγῃ· τῷ τε Μάκρωνι, ὥς τινές φασιν, ἐνετείλατο ὅπως, ἄν τι
παρακινήσῃ, τὸν Δροῦσον ἔς τε τὴν βουλὴν καὶ ἐς τὸν δῆμον ἐσα-
γάγῃ καὶ αὐτοκράτορα ἀποδείξῃ. ἐπεὶ δὲ ἔμαθεν αὐτὸν ἀπολωλότα, 2

12 3 4 ὑποψίαν 7 1 ἐπινοίας 8 3 τ' om* 8 ἄρξαιτο?*
αὐτοῦ δώδεκά?

ἔχαιρε μὲν ὥσπερ εἰκὸς ἦν, οὐ μέντοι καὶ τὴν πρεσβείαν τὴν πεμφθεῖ-
σαν ἐπὶ τούτῳ προσεδέξατο, καίπερ πολλῶν μὲν παρὰ τῆς βουλῆς
πολλῶν δὲ καὶ παρὰ τῶν ἱππέων τοῦ τε πλήθους, ὥσπερ καὶ πρίν,
3 σταλέντων· ἀλλὰ καὶ τὸν ὕπατον τὸν Ῥήγουλον, τά τε αὐτοῦ ἀεὶ
φρονήσαντα καὶ πρὸς τὴν ἀσφάλειαν τῆς ἐς τὴν πόλιν αὐτοῦ κο-
μιδῆς, ὥσπερ ἐπεστάλκει, ἐλθόντα, ἀπεώσατο.

14 Σηιανὸς μὲν δὴ μέγιστον τῶν τε πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐ-
τόν, πλὴν Πλαυτιανοῦ, τὴν ἡγεμονίαν ταύτην λαβόντων ἰσχύσας
οὕτως ἀπήλλαξεν, οἱ δὲ δὴ συγγενεῖς οἵ τε ἑταῖροι αὐτοῦ καὶ οἱ
λοιποὶ πάντες οἵ τι αὐτὸν κολακεύσαντες καὶ οἱ τὰς τιμὰς αὐτῷ
2 ἐσηγησάμενοι ἐκρίνοντο· καὶ ἐκείνων τε οἱ πλείους ἡλίσκοντο ἐφ'
οἷς πρότερον ἐφθονοῦντο, καὶ οἱ ἄλλοι κατεδίκαζόν σφων ἐφ' οἷς
πρότερον ἐψηφίσαντο. καὶ συχνοὶ καὶ τῶν κεκριμένων τε ἐπί τισι
καὶ ἀφειμένων καὶ κατηγορήθησαν αὖθις καὶ ἑάλωσαν ὡς καὶ τὴν
3 ἐκείνου χάριν τότε σωθέντες. οὕτως, εἰ καὶ μηδὲν ἄλλο ἔγκλημά
τῳ ἐπεφέρετο, ἀλλ' αὐτό γε τότε ἐξήρκει οἱ πρὸς τὴν τιμωρίαν ὅτι
φίλος τοῦ Σηιανοῦ ἐγεγόνει, καθάπερ οὐ καὶ αὐτοῦ τοῦ Τιβερίου
φιλήσαντος αὐτὸν καὶ δι' ἐκεῖνον καὶ τῶν ἄλλων οὕτω σπουδασάν-
4 των. ἐμήνυον δὲ δὴ ταῦτα ἄλλοι τε καὶ αὐτοὶ οἱ μάλιστα τὸν
Σηιανὸν θεραπεύοντες· οἷα γὰρ ἀκριβῶς τοὺς ὁμοίους σφίσιν εἰδό-
τες, οὐδὲν πρᾶγμα εἶχον οὔτ' ἀναζητοῦντες αὐτοὺς οὔτ' ἐξελέγχοντες.
καὶ οἱ μέν, ὡς σωθησόμενοί τε διὰ τοῦτο καὶ τιμὰς καὶ χρήματα
προσληψόμενοι, οἱ μὲν κατηγόρουν τινῶν οἱ δὲ κατεμαρτύρουν,
5 συνέβη δὲ αὐτοῖς μηδενὸς ὧν ἤλπιζον τυχεῖν· τοῖς γὰρ αὐτοῖς ἐγκλή-
μασιν οἷς τοὺς ἄλλους μετήεσαν ἐνεχόμενοι, τὸ μέν τι δι' ἐκεῖνα
15 τὸ δὲ καὶ ὡς προδωσέταιροι, προσαπώλλυντο. τῶν δ' οὖν αἰτια-
θέντων συχνοὶ μὲν καὶ κατηγορήθησαν παρόντες καὶ ἀπελογήσαντο,
καὶ παρρησίᾳ γε εἰσὶν οἳ μεγάλῃ ἐχρήσαντο· οἱ δὲ δὴ πλείους αὐτοὶ
2 ἑαυτοὺς πρὶν ἁλῶναι διέφθειραν. ἐποίουν δὲ τοῦτο μάλιστα μὲν
τῷ μήτε τὴν ὕβριν μήτε τὴν αἰκίαν φέρειν (πάντες γὰρ οἵ τινα
τοιαύτην αἰτίαν λαβόντες, οὐχ ὅπως ἱππεῖς ἀλλὰ καὶ βουλευταί,
οὐδ' ὅπως ἄνδρες ἀλλὰ καὶ γυναῖκες, ἐς τὸ δεσμωτήριον συνεω-
3 θοῦντο, καὶ καταψηφισθέντες οἱ μὲν ἐκεῖ ἐκολάζοντο, οἱ δὲ καὶ
ἀπὸ τοῦ Καπιτωλίου ὑπὸ τῶν δημάρχων ἢ καὶ τῶν ὑπάτων κατε-
κρημνίζοντο, καὶ ἔς τε τὴν ἀγορὰν τὰ σώματα αὐτῶν ἁπάντων
ἐρρίπτετο καὶ μετὰ τοῦτο ἐς τὸν ποταμὸν ἐνεβάλλετο), ἤδη δὲ καὶ
4 ὅπως οἱ παῖδες τῶν οὐσιῶν αὐτοὺς κληρονομῶσιν· ὀλίγαι γὰρ πάνυ
τῶν ἐθελοντηδὸν πρὸ τῆς δίκης τελευτώντων ἐδημεύοντο, προκα-

13 2 2 μὲν om* 15 1 1 γοῦν*

Digitized by Google

λουμένου διὰ τούτου τοὺς ἀνθρώπους τοῦ Τιβερίου αὐτοέντας γε-
νέσθαι, ἵνα μὴ αὐτός σφας ἀποκτείνειν δοκῇ, ὥσπερ οὐ πολλῷ
δεινότερον ὂν αὐτοχειρίᾳ τινὰ ἀποθανεῖν ἀναγκάσαι τοῦ τῷ δημίῳ
αὐτὸν παραδοῦναι. αἱ δ' οὖν πλεῖσται τῶν οὐχ οὕτως ἀποθανόντων 16
οὐσίαι ἐδημοσιοῦντο, βραχέος τινὸς ἢ καὶ μηδενὸς τοῖς κατηγορή-
σασιν αὐτῶν διδομένου. καὶ γὰρ τὰ χρήματα δι' ἀκριβείας ἤδη
πολὺ μᾶλλον ἐποιεῖτο. καὶ μετὰ τοῦτο καὶ τέλος τι διακοσιοστὴν 2
ἔχον ἑκατοστὴν ἤγαγε, καὶ ἐκληρονόμει παντὸς τοῦ καταλειφθέντος
αὐτῷ· κατέλειπον δὲ δὴ πάντες ὀλίγου καὶ οἱ ἑαυτοὺς ἀναχρώμενοι,
ὥσπερ καὶ τῷ Σηιανῷ ὅτε ἔζη. τῇ δ' αὐτῇ ἐκείνῃ διανοίᾳ ᾗ τὰ 3
τῶν ἑκόντως ἀποθνησκόντων χρήματα οὐκ ἀφῃρεῖτο, καὶ τὰς ἐσαγ-
γελίας πάσας ἐς τὴν γερουσίαν ἐσῆγεν, ὅπως αὐτός τε ἔξω αἰτίας,
ὥς γε καὶ ἐδόκει, ᾖ, καὶ ἡ βουλὴ αὐτὴ ἑαυτῆς ὡς καὶ ἀδικούσης τι
καταψηφίζηται. ὅθεν καὶ πάνυ ἀκριβῶς ἔμαθον, αὐτοὶ δι' ἑαυτῶν 4
ἀπολλύμενοι, ὅτι καὶ τὰ πρότερον ἐκεῖνα οὐ τοῦ Σηιανοῦ μᾶλλον
ἢ τοῦ Τιβερίου ἔργα ἦν. οὐ γὰρ μόνον οἱ κατηγορήσαντες τινῶν
ἐκρίνοντο ἢ καὶ οἱ καταμαρτυρήσαντες κατεμαρτυροῦντο, ἀλλὰ καὶ
οἱ κατεψηφισμένοι τινῶν ἀνθηλίσκοντο. οὕτως οὐθ' ὁ Τιβέριος 5
τινῶν ἐφείδετο, ἀλλὰ καὶ πᾶσιν αὐτοῖς κατ' ἀλλήλων ἀπεχρῆτο,
οὔτ' ἄλλον βέβαιον φίλον οὐδένα εἶχεν, ἀλλ' ἐν τῷ ἴσῳ οἱ καὶ τὸ
ἀδικοῦν καὶ τὸ ἀναμάρτητον τό τε ὑποπτεῦόν τι καὶ τὸ ἀδεὲς πρὸς
τὴν τῶν Σηιανῶν ἐγκλημάτων ἀνάκρισιν ἐγίγνετο. ἔδοξε μὲν γάρ 6
τινα ἀμνηστίαν αὐτῶν ὀψέ ποτε ἐσηγήσασθαι· καὶ γὰρ πενθεῖν
τοῖς βουλομένοις αὐτὸν ἐπέτρεψε, προσαπειπὼν μηδ' ἐφ' ἑτέρου
τινὸς κωλύεσθαί τινα τοῦτο ποιεῖν, ὃ πολλάκις ἐψηφίζετο· οὐ μὴν 7
καὶ τῷ ἔργῳ ἐβεβαίωσεν αὐτήν, ἀλλ' ὀλίγον διαλιπὼν ἔπειτα καὶ
ἐπὶ τῷ Σηιανῷ καὶ ἐφ' ἑτέροις ἀθεμίτοις ἐγκλήμασι συχνοὺς ἐκό-
λασεν, ᾐσχυγκέναι τε καὶ ἀπεκτονέναι καὶ τὰς συγγενεστάτας σφί-
σιν αἰτιαθέντας.

τοιαύτης δ' οὖν τότε τῆς καταστάσεως οὔσης, καὶ μηδ' ἀπαρ- 17
νήσασθαί τινος δυναμένου τὸ μὴ οὐ καὶ τῶν σαρκῶν αὐτοῦ ἡδέως
ἐμφαγεῖν, γελοιότατον πρᾶγμα τῷ ἑξῆς ἔτει, ᾧ Γναῖος Δομίτιος a.C. 32
καὶ Κάμιλλος Σκριβωνιανὸς ὑπάτευσαν, ἐγένετο. νομιζομένου γὰρ 2

16 1 2 βραχέος — 3 διδ.] at V p. 669: ὅτι ἐπὶ Τιβερίου πάντες οἱ κατηγοροῦντες τινῶν χρήματα καὶ πολλά γε ἔκ τε τῶν οὐσιῶν αὐτῶν καὶ ἐκ τοῦ δημοσίου, καὶ προσέτι καὶ τιμάς τινας ἐλάμβανον. ἤδη δὲ καὶ ἕτεροι προχείρως τινὰς θορυβοῦντες ἢ καὶ ἑτοίμως τινῶν καταψηφιζόμενοι, οἱ μὲν εἰκόνας οἱ δὲ καὶ τιμὰς ἐπινικίους ἐκτῶντο. ὥστε τινὰς τῶν ἄλλων ἐλλογίμων, ἀξιωθέντας τοιούτου τινός, μὴ θελῆσαι αὐτὸ προσθέσθαι, ἵνα μὴ καὶ αὐτοὶ δόξωσί ποτε ὅμοιοι ἐκείνοις γεγονέναι. 3 ἤδη πολὺ] ἢ δεῖπνα 2 3 κατέλιπον* 3 4 διαδικούσης* 5 3 οἱ om* 6 3 μηδενὶ 17 1 2 κἂν?*

συχνὸν χρόνον ἤδη μηκέτι κατ' ἄνδρα τὴν βουλὴν ἐν τῇ νουμηνίᾳ
ὀμνύναι, ἀλλ' ἑνός, ὥσπερ εἴρηταί μοι, προομνύντος καὶ τοὺς λοι-
ποὺς συνεπαινεῖν, οὐκ ἐποίησαν αὐτό, ἀλλ' αὐτεπάγγελτοι, μηδενός
σφας ἀναγκάσαντος, ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἕκαστος ἐπιστώθησαν
3 ὥσπερ τι παρὰ τοῦτο μᾶλλον εὐορκήσοντες. πρότερον μὲν γὰρ καὶ
ἐπὶ πολλὰ ἔτη οὐδ' ὀμνύντα τινὰ τὰ πρὸς τὴν ἀρχὴν αὐτοῦ φέ-
ροντα, ὥσπερ εἶπον, ἠνέσχετο· τότε δὲ καὶ ἕτερόν τι γελοιότερον
ἐγένετο. προχειρίσασθαί τε γὰρ αὐτὸν ὅσους ἂν ἐθελήσῃ σφῶν,
καὶ ἐξ αὐτῶν εἴκοσιν, οὓς ἂν ὁ κλῆρος ἀποφήνῃ, φρουροῖς, ὁσάκις
ἂν ἐς τὸ βουλευτήριον ἐσίῃ, ξιφίδια ἔχουσι χρῆσθαι ἐψηφίσαντο.
4 τῶν τε γὰρ ἔξω πρὸς τῶν στρατιωτῶν τηρουμένων καὶ εἴσω μηδε-
νὸς ἰδιώτου ἐσιόντος, δι' οὐδένα δῆλον ὅτι ἄλλον, ἀλλὰ δι' ἑαυτοὺς
μόνους ὡς καὶ πολεμίους οἱ ὄντας τὴν φρουρὰν αὐτῷ δοθῆναι
18 ἔγνωσαν. ὁ δ' οὖν Τιβέριος ἐπῄνεσε μὲν αὐτούς, καὶ χάριν δῆθεν
τῆς εὐνοίας σφίσιν ἔγνω, τὸ δὲ δὴ πρᾶγμα ὡς καὶ ἄηθες διεκρού-
σατο· οὐ γὰρ οὕτως εὐήθης ἦν ὥστ' αὐτοῖς γε ἐκείνοις, οὓς τε
2 ἐμίσει καὶ ὑφ' ὧν μάλιστα ἐμισεῖτο, ξίφη δοῦναι. ἀμέλει καὶ ἐξ
αὐτῶν τούτων προσυποτοπήσας σφᾶς (πᾶν γὰρ ὅ τι ἄν τις παρὰ
τὴν ἀλήθειαν ἐπὶ κολακείᾳ ποιῇ ὑποπτεύεται) τοῖς μὲν ἐκείνων ψη-
φίσμασι μακρὰ χαίρειν ἔφρασε, τοὺς δὲ δορυφόρους καὶ λόγοις καὶ
χρήμασι, καίπερ τὰ τοῦ Σηιανοῦ φρονήσαντας εἰδώς, ἐτίμησεν, ἵν'
3 αὐτοῖς προθυμοτέροις κατ' αὐτῶν χρῆσθαι ἔχῃ. ἔστι μὲν γὰρ ὅτε
καὶ τοὺς βουλευτὰς αὖθις ἐπῄνεσεν, ἐπεί σφισιν ἐκ τοῦ δημοσίου
τὸ ἀργύριον δοθῆναι ἐψηφίσαντο· οὕτω δὲ δὴ ἀκριβῶς τοὺς μὲν
τῷ λόγῳ ἀντεξηπάτα τοὺς δὲ τῷ ἔργῳ προσηταιρίζετο, ὥστε καὶ
Ἰούνιον Γαλλίωνα, θέαν τοῖς διαστρατευσαμένοις αὐτῶν ἐν τῇ τῶν
4 ἱππέων ἕδρᾳ δίδοσθαι ἐσηγησάμενον, μὴ μόνον φυγαδεῦσαι, αὐτὸ
τοῦτο ἐπικληθέντα ὅτι σφᾶς ἀναπείθειν ἐδόκει τῷ κοινῷ μᾶλλον ἢ
ἑαυτῷ εὐνοεῖν, ἀλλὰ καὶ ἐπειδὴ ἔγνω αὐτὸν ἐς Λέσβον ἀπαίρειν,
τῆς τε ἐκεῖ ἀσφαλοῦς εὐδαιμονίας ἀφελέσθαι καὶ ἐς φυλακὴν τοῖς
5 ἄρχουσιν, ὥσπερ ποτὲ τὸν Γάλλον, παραδοῦναι. καὶ ἵνα γε ἐπὶ
μᾶλλον ἑκατέρους πείσῃ ὅπως περὶ ἀμφοτέρων αὐτῶν φρονοίη, ᾐτή-
σατο παρὰ τῆς βουλῆς οὐ πολλῷ ὕστερον ἀρκεῖν οἱ τόν τε Μά-
κρωνα καὶ χιλιάρχους ἐς τὸ συνέδριον ἐσάγεσθαι. οὐ γάρ που καὶ
ἐδέετό τι αὐτῶν, ὅς γε οὐδὲ ἐς τὴν πόλιν ἔτι ἐσελθεῖν ἐνενόει, ἀλλὰ
τό τε ἐκείνων μῖσος καὶ τὴν τῶν στρατιωτῶν εὔνοιαν ἐνδείξασθαί
6 σφίσιν ἠθέλησεν. καὶ τοῦτο καὶ αὐτοὶ οἱ βουλευταὶ ὡμολόγησαν·
τῷ γοῦν δόγματι προσενέγραψαν ὥστε ἐρευνᾶν σφων ἐσιόντων, μὴ
καὶ ξιφίδιόν τις ὑπὸ μάλῃς ἔχῃ, γίγνεσθαι.

18 5 4 καὶ ἰ χιλ.? 6 2 δ' οὖν*

τοῦτο μὲν δὴ τῷ ἐχομένῳ ἔτει ἐγνώσθη, τότε δὲ ἐφείσατο μὲν 19
καὶ ἄλλων τινῶν καίτοι τῷ Σηιανῷ ᾠκειωμένων, ἐφείσατο δὲ καὶ
Λουκίου Σηιανοῦ στρατηγοῦ Μάρκου τε Τερεντίου ἱππέως, ἐκείνου
μὲν ὑπερφρονήσας τά τε ἄλλα πάντα διὰ φαλακρῶν ἐν τοῖς φλω-
ραλίοις ἕωθεν μέχρι νυκτὸς ἐπὶ τῇ τοῦ Τιβερίου χλευασίᾳ, ὅτι καὶ 2
αὐτὸς φαλακρὸς ἦν, ποιήσαντος, καὶ φῶς τοῖς ἀπιοῦσιν ἐκ τοῦ
θεάτρου διὰ πεντακισχιλίων παίδων ἀπεξυρημένων παρασχόντος
(τοσοῦτον γὰρ ἐδέησε δι᾽ ὀργῆς αὐτῷ γενέσθαι ὥστ᾽ οὐδὲ προσε-
ποιήσατο ἀρχὴν ὅτι περὶ αὐτῶν ἠκηκόει, καίπερ καὶ Σηιανῶν ἐξ
ἐκείνου τῶν φαλακρῶν πάντων ὀνομασθέντων), τοῦ δὲ δὴ Τερεν- 3
τίου, ὅτι ἐπὶ τῇ τοῦ Σηιανοῦ φιλίᾳ κρινόμενος οὐχ ὅσον οὐκ ἠρνή-
σατο, ἀλλὰ καὶ ἔφη καὶ σπουδάσαι μάλιστα αὐτὸν καὶ θεραπεῦσαι,
ἐπειδὴ καὶ ὑπ᾽ αὐτοῦ τοῦ Τιβερίου οὕτως ἐτιμᾶτο, "ὥστε εἰ μὲν
ἐκεῖνος ὀρθῶς" εἶπεν "ἐποίει τοιούτῳ φίλῳ χρώμενος, οὐδ᾽ ἐγώ τι
ἠδίκηκα· εἰ δ᾽ ὁ αὐτοκράτωρ ὁ πάντα ἀκριβῶς εἰδὼς ἐπλανήθη, 4
τί θαυμαστὸν εἰ καὶ ἐγὼ οἱ συνεξηπατήθην; καὶ γάρ τοι προσήκει
ἡμῖν πάντας τοὺς ὑπ᾽ αὐτοῦ τιμωμένους ἀγαπᾶν, μὴ πολυπραγμο-
νοῦσιν ὁποῖοί τινες εἰσίν, ἀλλ᾽ ἕνα ὅρον τῆς φιλίας σφῶν ποιουμένοις
τὸ τῷ αὐτοκράτορι αὐτοὺς ἀρέσκειν." ἥ τε γὰρ βουλὴ διὰ ταῦτα 5
αὐτὸν ἀφῆκε, καὶ προσέτι καὶ τοῖς κατηγορήσασιν αὐτοῦ προσεπε-
τίμησεν, καὶ ὁ Τιβέριος συγκατέθετο σφίσιν. τόν τε Πίσωνα τὸν
πολίαρχον τελευτήσαντα δημοσίᾳ ταφῇ ἐτίμησεν, ὅπερ που καὶ ἄλ-
λοις ἐχαρίζετο· καὶ Λούκιον ἀντ᾽ αὐτοῦ Λαμίαν ἀνθείλετο, ὃν
πρόπαλαι τῇ Συρίᾳ προστάξας κατεῖχεν ἐν τῇ Ῥώμῃ. τοῦτο δὲ 6
καὶ ἐφ᾽ ἑτέρων πολλῶν ἐποίει, ἔργῳ μὲν μηδὲν αὐτῶν δεόμενος,
λόγῳ δὲ δὴ τιμᾶν αὐτοὺς προσποιούμενος. κἀν τούτῳ Ὀυητρασίου
Πωλίωνος τοῦ τῆς Αἰγύπτου ἄρχοντος τελευτήσαντος Ἰβήρῳ τινὶ
καισαρείῳ χρόνον τινὰ τὸ ἔθνος ἐπέτρεψεν.

τῶν δ᾽ οὖν ὑπάτων ὁ μὲν Δομίτιος δι᾽ ἔτους ἦρξεν (τῆς γὰρ 20
Ἀγριππίνης τῆς τοῦ Γερμανικοῦ θυγατρὸς ἀνὴρ ἦν), οἱ δ᾽ ἄλλοι
ὥς που τῷ Τιβερίῳ ἔδοξεν. τοὺς μὲν γὰρ ἐπὶ μακρότερον τοὺς δὲ
ἐπὶ βραχύτερον ἂν ᾑρεῖτο, καὶ τοὺς μὲν ἔτι καὶ θᾶσσον τοῦ τεταγ-
μένου ἀπήλλασσε, τοῖς δὲ καὶ ἐπὶ πλεῖον ἄρχειν ἐδίδου. ἤδη δὲ 2
καὶ ἐς ὅλον τὸν ἐνιαυτὸν ἀποδείξας ἄν τινα ἐκεῖνον μὲν κατέλυεν,
ἕτερον δὲ καὶ αὖθις ἕτερον ἀντικαθίστη· καί τινας καὶ ἐς τρίτον
ἑτέρους προχειριζόμενος, εἶτα ἄλλους ὑπατεύειν πρὸ αὐτῶν ἀνθ᾽
ἑτέρων ἐποίει. καὶ περὶ μὲν τοὺς ὑπάτους ταῦτα διὰ πάσης ὡς 3
εἰπεῖν τῆς ἡγεμονίας αὐτοῦ ἐγίγνετο· τῶν δὲ δὴ τὰς ἄλλας ἀρχὰς

19 6 1 στρατιᾷ 2 μηδενὸς* 4 Σεβήρῳ? 20 1 4 ἀνη-ρεῖτο* 2 4 ἑτέρους] ἔτος?

αἰτούντων ἐξελέγετο ὅσους ἤθελε, καί σφας ἐς τὸ συνέδριον ἐσέπεμπε, τοὺς μὲν συνιστὰς αὐτῷ, οἵπερ ὑπὸ πάντων ᾑροῦντο, τοὺς δὲ ἐπί τε τοῖς δικαιώμασι καὶ ἐπὶ τῇ ὁμολογίᾳ τῷ τε κλήρῳ ποι-
4 ούμενος. καὶ μετὰ τοῦτο ἔς τε τὸν δῆμον καὶ ἐς τὸ πλῆθος οἱ προσήκοντες ἑκατέρῳ, τῆς ἀρχαίας ὁσίας ἕνεκα, καθάπερ καὶ νῦν, ὥστε ἐν εἰκόνι δοκεῖν γίγνεσθαι, ἐσιόντες ἀπεδείκνυντο. εἰ δ᾽ οὖν ποτὲ ἐνέλιπόν τινες ἢ καὶ φιλονεικίᾳ ἀκράτῳ ἐχρήσαντο, καὶ ἐλάτ-
5 τους προεχειρίζοντο. τῷ γοῦν ἐπιόντι ἔτει, ἐν ᾧ ὅ τε Γάλβας ὁ
a. C. 33 Σέρουιος ὁ μετὰ ταῦτα αὐταρχήσας καὶ Λούκιος Κορνήλιος τὸ τῶν ὑπάτων ὄνομα ἔσχον, πεντεκαίδεκα στρατηγοὶ ἐγένοντο· καὶ τοῦτο ἐπὶ πολλὰ ἔτη συνέβη, ὥστε ἔστι μὲν ὅτε ἑκκαίδεκα ἔστι δ᾽ ὅτε καὶ παρ᾽ ἕνα ἢ καὶ δύο χειροτονεῖσθαι.

21 Τιβέριος δὲ δὴ ἦλθε μὲν πρὸς τὸ ἄστυ, καὶ διέτριψεν ἐν τοῖς πέριξ αὐτοῦ τόποις, οὐ μέντοι καὶ ἐσεφοίτησεν εἴσω, καίτοι καὶ τριάκοντα σταδίους ἀποσχών, καὶ τὰς θυγατέρας τάς τε τοῦ Γερ-
2 μανικοῦ τὰς λοιπὰς καὶ τὴν τοῦ Δρούσου τὴν Ἰουλίαν ἐκδούς. καὶ διὰ τοῦτο οὐδ᾽ ἡ πόλις τοὺς γάμους αὐτῶν ἑώρτασεν, ἀλλὰ τά τε ἄλλα καὶ ἡ βουλὴ καὶ τότε καὶ συνήχθη καὶ ἐδίκασεν. σφόδρα γὰρ ἐπιμελὲς ἐποιεῖτο ἀεί σφας ὁσάκις ἂν καὶ καθήκοι συνιέναι καὶ μήτ᾽ ὀψιαίτερον ἀπαντᾶν τοῦ τεταγμένου μήτε πρωιαίτερον ἀπαλλάττε-
3 σθαι. καὶ πολλὰ περὶ τούτου καὶ τοῖς ὑπάτοις ἐπέστελλε, καί ποτέ τινα ὑπ᾽ αὐτῶν καὶ ἀναγνωσθῆναι ἐκέλευσεν. ὃ καὶ ἐπ᾽ ἄλλων πραγμάτων ἐποίει, καθάπερ μὴ δυνάμενος αὐτὰ ἄντικρυς τῇ βουλῇ γράψαι. ἐσέπεμπε δὲ ἐς αὐτὴν οὐ μόνον τὰ βιβλία τὰ διδόμενά οἱ παρὰ τῶν μηνυόντων τι, ἀλλὰ καὶ τὰς βασάνους ἃς ὁ Μάκρων ἐποιεῖτο, ὥστε μηδὲν ἐπ᾽ αὐτοῖς πλὴν τῆς καταψηφίσεως γίγνεσθαι.
4 ἐπεὶ μέντοι Οὐιβούλιος τις Ἀγρίππας ἱππεὺς φάρμακον ἐν αὐτῷ τῷ βουλευτηρίῳ ἐκ δακτυλίου ῥοφήσας ἀπέθανε, καὶ ὁ Νέρουας μηκέτι τὴν συνουσίαν αὐτοῦ φέρων ἀπεκαρτέρησε διά τε τἆλλα, καὶ μάλισθ᾽ ὅτι τοὺς νόμους τοὺς περὶ τῶν συμβολαίων ὑπὸ τοῦ Καίσαρος τεθέντας, ἐξ ὧν καὶ ἀπιστία καὶ ταραχὴ πολλὴ γενήσεσθαι ἔμελλεν,
5 ἀνενεώσατο, καὶ πολλά γε αὐτοῦ παρακαλοῦντος ὅπως τι ἂν φαίη οὐδ᾽ ἀποκρίνασθαί τι ἠθέλησε, τό τε πρᾶγμα τὸ κατὰ τὰ δανείσματα ἐμετρίασε, καὶ δισχιλίας καὶ πεντακοσίας μυριάδας τῷ δημοσίῳ ἔδωκεν ὥστ᾽ αὐτὰς ὑπ᾽ ἀνδρῶν βουλευτῶν ἀτοκὶ τοῖς δεομένοις ἐς τρία ἔτη ἐκδανεισθῆναι, τούς τε ἐπιβοητοτάτους τῶν τὰς κατηγορίας
6 ποιουμένων ἀποθανεῖν ἐν μιᾷ ἡμέρᾳ ἐκέλευσεν. καὶ ἐνδεῖξαί τινα ἀνδρὸς ἐν τοῖς ἑκατοντάρχοις ἐξητασμένου βουληθέντος ἀπεῖπε μηδένα ἐστρατευμένον τοῦτο ποιεῖν, καίπερ καὶ ἱππεῦσι καὶ βουλευταῖς ἐπιτρέπων αὐτὸ πράττειν.

Digitized by Google

οὐ μὴν ἀλλ' ἐν μὲν τούτῳ ἐπῃνεῖτο, καὶ μάλισθ' ὅτι ψηφισθέντα 22
οἱ ἐπ' αὐτοῖς πολλὰ οὐκ ἐδέξατο, ἐκ δὲ δὴ τῶν ἐρώτων, οἷς ἀνέδην
καὶ τῶν εὐγενεστάτων καὶ ἀρρένων καὶ θηλειῶν ὁμοίως ἐχρῆτο,
διεβάλλετο. ὁ γοῦν Μάριος ὁ Σέξτος ἐκεῖνος ὁ φίλος αὐτοῦ καὶ 2
διὰ τοῦτο καὶ πλουτήσας καὶ δυνηθεὶς τοσοῦτον ὥστ', ἐπειδὴ γεί-
τονί τινι ὠργίσθη, δειπνίσαι τε αὐτὸν ἐπὶ δύο ἡμέρας, καὶ τῇ μὲν
προτέρᾳ τὴν ἔπαυλιν αὐτοῦ πᾶσαν κατασκάψαι, τῇ δ' ὑστέρᾳ ἐπί
τε τὸ μεῖζον καὶ ἐπὶ τὸ λαμπρότερον αὐτὴν ἀνοικοδομῆσαι, ἀγνοοῦντί 3
τε αὐτῷ τοὺς ταῦτα πεποιηκότας ἑκάτερον ὁμολογῆσαι, καὶ παρα-
δείξαντα εἰπεῖν ὅτι οὕτω καὶ ἀμύνεσθαί τινα καὶ ἀμείβεσθαι καὶ
οἶδα καὶ δύναμαι, τὴν θυγατέρα ἐκπρεπῆ οὖσαν ὑπεκπέμψας ποι
ἵνα μὴ ὁ Τιβέριος αὐτὴν αἰσχύνῃ, αἰτίαν τε ἔσχεν ὡς συνών οἱ,
καὶ διὰ τοῦτο καὶ συναπώλετο. ἐπὶ μὲν οὖν τούτοις αἰσχύνην 4
ὠφλίσκανεν, ἐπὶ δὲ δὴ τῷ τε τοῦ Δρούσου καὶ τῷ τῆς Ἀγριππίνης
θανάτῳ ὠμότητα· δοκοῦντες γὰρ οἱ ἄνθρωποι ὑπὸ τοῦ Σηιανοῦ
πάντα τὰ κατ' αὐτοὺς πρότερον γενόμενα, καὶ ἐλπίσαντές σφας
σωθήσεσθαι τότε, ὡς καὶ ἐκείνους πεφονεῦσθαι ἔμαθον, ὑπερήλγη- 5
σαν διά τε τοῦτο καὶ ὅτι καὶ τὰ ὀστᾶ αὐτῶν οὐ μόνον οὐκ ἐς τὸ
βασιλικὸν μνημεῖον κατέθετο, ἀλλὰ καὶ κρυφθῆναί που κατὰ γῆς
ἐκέλευσεν ὥστε μηδέποτε εὑρεθῆναι. τῇ δ' οὖν Ἀγριππίνῃ καὶ ἡ
Πλαγκῖνα ἡ Μουνατία ἐπεσφάγη· πρότερον γὰρ καίπερ μισῶν αὐ-
τήν, οὐ διὰ τὸν Γερμανικὸν ἀλλὰ δι' ἄλλο τι, ὅμως ἵνα μὴ καὶ
ἐκείνη τῷ θανάτῳ αὐτῆς ἐφησθῇ, ζῆν εἴα.

ταῦτά τε ἅμα ἔπραττε, καὶ τὸν Γάιον ταμίαν μὲν οὐκ ἐν τοῖς 23
πρῶτον ἀπέδειξεν, ἐς δὲ δὴ τὰς ἄλλας ἀρχὰς πέντε ἔτεσι θᾶσσον
τοῦ καθήκοντος προβιβάσειν ὑπέσχετο, καίτοι καὶ τῆς γερουσίας
δεηθεὶς μήτε πολλαῖς μήτ' ἀκαίροις τιμαῖς αὐτόν, ὅπως μὴ καὶ
ἐξοκείλῃ ποι, ἐπαίρειν. εἶχε μὲν γὰρ καὶ τὸν Τιβέριον τὸν ἔγγονον·
ἀλλ' ἐκεῖνον μὲν διά τε τὴν ἡλικίαν (ἔτι γὰρ παιδίον ἦν) καὶ διὰ 2
τὴν ὑποψίαν (οὐ γὰρ ἐπιστεύετο τοῦ Δρούσου παῖς εἶναι) παρεώρα,
τῷ δὲ δὴ Γαΐῳ ὡς καὶ μοναρχήσοντι προσεῖχε, καὶ μάλισθ' ὅτι
τὸν Τιβέριον καὶ ὀλίγον χρόνον βιώσεσθαι καὶ ὑπ' αὐτοῦ ἐκείνου
φονευθήσεσθαι σαφῶς ἠπίστατο. ἠγνόει μὲν γὰρ οὐδὲν οὐδὲ τῶν 3
κατὰ τὸν Γάιον, ἀλλὰ καὶ εἶπέ ποτε αὐτῷ διαφερομένῳ πρὸς τὸν
Τιβέριον ὅτι σύ τε τοῦτον ἀποκτενεῖς καὶ σὲ ἄλλοι· οὔτε δὲ ἕτερόν
τινα ὁμοίως πάνυ προσήκοντα ἑαυτῷ ἔχων, καὶ ἐκεῖνον κάκιστον
εἰδὼς ἐσόμενον, ἀσμένως, ὥς φασί, τὴν ἀρχὴν αὐτῷ ἔδωκεν, ὅπως 4
τά τε ἑαυτοῦ τῇ τοῦ Γαΐου ὑπερβολῇ συγκρυφθῇ, καὶ τὸ πλεῖον

22 1 1 ἐπί?* 2 4 προτεραίᾳ et ὑστεραίᾳ* 4 4 γενόμενα γενέσθαι, καὶ?
5 2 οὐ om 23 1 1 μὲν om* 4 ὅπως ante μήτε* 5 ἔκγονον*

Digitized by Google

τό τε εὐγενέστατον τῆς λοιπῆς βουλῆς καὶ μετ' αὐτὸν φθαρῇ. λέγε-
ται γοῦν πολλάκις μὲν ἀναφθέγξασθαι τοῦτο δὴ τὸ ἀρχαῖον "ἐμοῦ
θανόντος γαῖα μιχθήτω πυρί," πολλάκις δὲ καὶ τὸν Πρίαμον μα-
καρίσαι ὅτι ἄρδην καὶ μετὰ τῆς πατρίδος καὶ μετὰ τῆς βασιλείας
5 ἀπώλετο. καὶ τεκμαίρονταί γε ἀληθῆ ταῦτα περὶ αὐτοῦ γεγράφθαι
τοῖς τότε γενομένοις· τοσοῦτο γὰρ πλῆθος τῶν τε ἄλλων καὶ τῶν
βουλευτῶν ἀπώλετο ὥστε τοὺς ἄρχοντας τοὺς κληρωτοὺς τοὺς μὲν
ἐστρατηγηκότας ἐπὶ τρία τοὺς δ' ὑπατευκότας ἐπὶ ἓξ ἔτη τὰς ἡγε-
6 μονίας τῶν ἐθνῶν, ἀπορίᾳ τῶν διαδεξομένων αὐτούς, σχεῖν. τί
γὰρ ἄν τις ἔχοι τοὺς αἱρετοὺς ὀνομάζειν, οἷς καὶ ἀπὸ πρώτης ἐπὶ
πλεῖστον ἄρχειν ἐδίδου; ἐν δ' οὖν τοῖς τότε ἀποθανοῦσι καὶ Γάλλος
ἐγένετο· τότε γὰρ αὐτῷ μόλις, ὡς αὐτὸς εἶπε, κατηλλάγη. οὕτω
που, παρὰ τὸ νομιζόμενον, καὶ τὴν ζωὴν τιμωρίαν τισὶ καὶ τὸν
θάνατον εὐεργεσίαν ἐποίει.

24 μετὰ δὲ ταῦτα εἰκοστοῦ ἔτους τῆς ἀρχῆς ἐπιστάντος αὐτὸς
a. C. 34 μέν, καίτοι περί τε τὸ Ἀλβανὸν καὶ περὶ τὸ Τούσκουλον διατρίβων,
οὐκ ἐσῆλθεν ἐς τὴν πόλιν, οἱ δ' ὕπατοι Λούκιός τε Οὐιτέλλιος καὶ
Φάβιος Περσικὸς τὴν δεκετηρίδα τὴν δευτέραν ἑώρτασαν (οὕτω
γὰρ αὐτήν, ἀλλ' οὐκ εἰκοσετηρίδα ὠνόμαζον) ὡς καὶ τὴν ἡγεμονίαν
2 αὖθις αὐτῷ κατὰ τὸν Αὔγουστον διδόντες. τήν τε οὖν ἑορτὴν
ἅμα ἐποίουν καὶ ἐκολάζοντο· ἀφείθη μὲν γὰρ τῶν αἰτιαθέντων τότε
οὐδείς, πάντες δ' ἡλίσκοντο, οἱ μὲν πλείους ἔκ τε τῶν τοῦ Τιβερίου
γραμμάτων καὶ ἐκ τῶν τοῦ Μάκρωνος βασάνων, οἱ δὲ δὴ λοιποὶ
ἐξ ὧν βουλεύεσθαί σφας ὑπώπτευον. καὶ ἐθρυλεῖτό γε ὅτι δι' αὐτὸ
τοῦτο οὐδ' ἐς τὴν Ῥώμην ἀφικνοῖτο, ἵνα μὴ παρὼν ταῖς καταδίκαις
3 αἰσχύνοιτο. ἄλλοι τε οὖν, οἱ μὲν ὑπὸ τῶν δημίων οἱ δὲ καὶ ὑφ'
ἑαυτῶν, ἀπέθανον καὶ Πομπώνιος Λαβεών. καὶ οὗτος μὲν τῆς τε
Μυσίας ποτὲ ὀκτὼ ἔτεσι μετὰ τὴν στρατηγίαν ἄρξας, καὶ δώρων
μετὰ τῆς γυναικὸς γραφείς, ἐθελοντὴς σὺν αὐτῇ διεφθάρη· Μα-
μέρκος δὲ δὴ Αἰμίλιος Σκαῦρος μήτ' ἄρξας τινῶν μήτε δωροδοκή-
σας ἑάλω τε διὰ τραγῳδίαν καὶ παθήματι δεινοτέρῳ οὗ συνέγραψε
4 περιέπεσεν. Ἀτρεὺς μὲν τὸ ποίημα ἦν, παρῄνει δὲ τῶν ἀρχομένων
τινὶ ὑπ' αὐτοῦ, κατὰ τὸν Εὐριπίδην, ἵνα τὴν τοῦ κρατοῦντος ἀβου-
λίαν φέρῃ. μαθὼν οὖν τοῦτο ὁ Τιβέριος ἐφ' ἑαυτῷ τε τὸ ἔπος
εἰρῆσθαι ἔφη, Ἀτρεὺς διὰ τὴν μιαιφονίαν εἶναι προσποιησάμενος,
καὶ ὑπειπὼν ὅτι καὶ ἐγὼ οὖν Αἴαντα αὐτὸν ποιήσω, ἀνάγκην οἱ
5 προσήγαγεν αὐτοεντὶ ἀπολέσθαι. οὐ μὴν καὶ ἐπὶ τούτῳ κατηγο-

4 4 μὲν om* 24 2 6 ἀφικνεῖτο* 4 1 παρῄνει —] εἰσήγαγέ τινα λέγοντα κατὰ τὸν Εὐριπίδην (Phoen. 393) ὅτι τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών. M p. 201. 3 τε] τότε

Digitized by Google

ῥήθη, ἀλλ' ὡς τὴν Λιβίλλαν μεμοιχευκώς· πολλοὶ γὰρ δὴ καὶ ἄλλοι
δι' αὐτήν, οἱ μὲν ἐπ' ἀληθείας οἱ δ' ἐκ συκοφαντίας, ἐκολάσθησαν.
τούτων δ' οὕτως ἐν τῇ Ῥώμῃ γιγνομένων οὐδὲ τὸ ὑπήκοον 25
ἡσύχαζεν, ἀλλ' ἐπειδὴ τάχιστα νεανίσκος τις Δροῦσος λέγων εἶναι
περί τε τὴν Ἑλλάδα καὶ περὶ τὴν Ἰωνίαν ὤφθη, καὶ ἐδέξαντο αὐ-
τὸν ἀσμένως αἱ πόλεις καὶ συνῄροντο. κἂν ἐς τὴν Συρίαν προχω-
ρήσας τὰ στρατόπεδα κατέσχεν, εἰ μὴ γνωρίσας τις αὐτὸν συνέλαβέ
τε καὶ πρὸς τὸν Τιβέριον ἀνήγαγεν.

ἐκ δὲ τούτου Γάιος μὲν Γάλλος καὶ Μάρκος Σερουίλιος ὑπάτευ- 2 a.C.
σαν, Τιβέριος δὲ ἐν Ἀντίῳ τοὺς τοῦ Γαΐου γάμους ἑώρταζεν. ἐς 35
γὰρ τὴν Ῥώμην οὐδὲ δι' ἐκείνους ἐσελθεῖν ἠθέλησεν, ἐπειδὴ Φουλ-
κίνιός τις Τρίων, φίλος μὲν τοῦ Σηιανοῦ γεγονώς, σφόδρα δ' αὐτῷ
διὰ τὰς συκοφαντίας κεχαρισμένος, κατηγορηθείς τε παρεδόθη καὶ
δείσας ἑαυτὸν προαπέκτεινε, πολλὰ μὲν ἐκεῖνον πολλὰ δὲ καὶ τὸν
Μάκρωνα ἐν ταῖς διαθήκαις λοιδορήσας. καὶ οἱ μὲν παῖδες αὐτοῦ 3
οὐκ ἐτόλμησαν αὐτὰς δημοσιεῦσαι, ὁ δὲ δὴ Τιβέριος μαθὼν τὰ γε-
γραμμένα ἐς τὸ βουλευτήριόν σφας ἐσκομισθῆναι ἐκέλευσεν. ἥκιστά
τε γὰρ αὐτῷ τῶν τοιούτων ἔμελε, καὶ τὰς κακηγορίας καὶ λανθα-
νούσας ἔσθ' ὅτε ἐς τοὺς πολλοὺς ἑκών, ὥσπερ τινὰς ἐπαίνους, ἐξέ-
φαινεν. ἀμέλει καὶ ὅσα ὁ Δροῦσος, οἷα ἔν τε ταλαιπωρίᾳ ὢν καὶ 4
κακοπαθῶν, ἐξελάλησε, καὶ ταῦτα ἐς τὴν βουλὴν ἐσέπεμψεν. Τρίων
μὲν οὖν οὕτως ἀπέθανεν, Ποππαῖος δὲ Σαβῖνος τῆς τε Μυσίας
ἑκατέρας καὶ προσέτι καὶ τῆς Μακεδονίας ἐς ἐκεῖνο τοῦ χρόνου
παρὰ πᾶσαν ὡς εἰπεῖν τὴν τοῦ Τιβερίου ἀρχὴν ἡγεμονεύσας, ἥδιστα
προαπηλλάγη πρίν τινα αἰτίαν λαβεῖν. καὶ αὐτὸν ὁ Ῥήγουλος ἐπὶ 5
τοῖς αὐτοῖς διεδέξατο· καὶ γὰρ ἡ Μακεδονία, ὥς δέ τινές φασι,
καὶ ἡ Ἀχαΐα, ἀκληρωτὶ προσετάσσοντο.

ὑπὸ δὲ δὴ τοὺς αὐτοὺς χρόνους ὁ Ἀρτάβανος ὁ Πάρθος τε- 26
λευτήσαντος τοῦ Ἀρτάξου τὴν Ἀρμενίαν Ἀρσάκῃ τῷ ἑαυτοῦ υἱεῖ
ἔδωκεν, καὶ ἐπεὶ μηδεμία ἐπὶ τούτῳ τιμωρία παρὰ τοῦ Τιβερίου
ἐγένετο, τῆς τε Καππαδοκίας ἐπείρα καὶ ὑπερηφανώτερον καὶ τοῖς
Πάρθοις ἐχρῆτο. ἀποστάντες οὖν τινὲς αὐτοῦ ἐπρεσβεύσαντο πρὸς 2
τὸν Τιβέριον, βασιλέα σφίσιν ἐκ τῶν ὁμηρευόντων αἰτοῦντες· καὶ
αὐτοῖς τότε μὲν Φραάτην τὸν τοῦ Φραάτου, τελευτήσαντος δὲ
ἐκείνου κατὰ τὴν ὁδὸν Τηριδάτην, ἐκ τοῦ βασιλικοῦ καὶ αὐτὸν
γένους ὄντα, ἔπεμψεν. καὶ ὅπως γε ὡς ῥᾷστα τὴν βασιλείαν παρα- 3
λάβῃ, ἔγραψε Μιθριδάτῃ τῷ Ἴβηρι ἐς τὴν Ἀρμενίαν ἐσβαλεῖν, ἵν'
ὁ Ἀρτάβανος τῷ υἱεῖ βοηθῶν ἀπὸ τῆς οἰκείας ἀπάρῃ. καὶ ἔσχεν
οὕτως, οὐ μέντοι καὶ ἐπὶ πολὺ ὁ Τηριδάτης ἐβασίλευσεν· ὁ γὰρ

25 3 4 κατηγορίας*

Digitized by Google

4 *Ἀρτάβανος Σκύθας προσλαβὼν οὐ χαλεπῶς αὐτὸν ἐξήλασεν. τὰ
μὲν ουν τῶν Πάρθων οὕτως ἔσχε, τὴν δ' Ἀρμενίαν ὁ Μιθριδατης
ὁ Μιθριδάτου μὲν τοῦ Ἴβηρος, ὡς ἔοικε, παῖς, Φαρασμάνου δὲ
τοῦ μετ' αὐτὸν τῶν Ἰβήρων βασιλεύσαντος ἀδελφός, ἔλαβεν.*

5 *Σέξτου δὲ δὴ Παπινίου μετὰ Κυίντου Πλαυτίου ὑπατεύσαντος*
a.C. 36 *ὅ τε Τίβερις πολλὰ τῆς πόλεως ἐπέκλυσεν ὥστε πλευσθῆναι, καὶ
πυρὶ πολὺ πλείω περί τε τὸν ἱππόδρομον καὶ περὶ τὸν Ἀυεντῖνον
ἐφθάρη, ὥστε τὸν Τιβέριον δισχιλίας καὶ πεντακοσίας μυριάδας*
27 *τοῖς ζημιωθεῖσί τι ἀπ' αὐτοῦ δοῦναι. εἰ δέ τι καὶ τὰ Αἰγύπτια
πρὸς τοὺς Ῥωμαίους προσήκει, ὁ φοῖνιξ ἐκείνῳ τῷ ἔτει ὤφθη· καὶ
ἔδοξε πάντα ταῦτα τὸν θάνατον τῷ Τιβερίῳ προσημᾶναι. τότε*
a.C. 37 *μὲν γὰρ ὁ Θράσυλλος, τῷ δ' ἐπιόντι ἦρι ἐκεῖνος ἐπί τε Γναίου*
2 *Πρόκλου καὶ ἐπὶ Ποντίου Νιγρίνου ὑπάτων ἐτελεύτησεν. ἐτύγχανε
δὲ ὁ Μάκρων ἄλλοις τε συχνοῖς καὶ τῷ Δομιτίῳ ἐπιβεβουλευκώς,
καὶ ἐγκλήματα καὶ βασάνους κατ' αὐτῶν ἐσκευωρημένος· οὐ μὴν
καὶ πάντες οἱ αἰτιαθέντες ἀπέθανον διὰ τὸν Θράσυλλον σοφώτατα*
3 *τὸν Τιβέριον μεταχειρισάμενον. περὶ μὲν γὰρ αὐτοῦ καὶ πάνυ
ἀκριβῶς καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ἐν ᾗ τεθνήξοιτο εἶπεν, ἐκεῖ-
νον δὲ δὴ δέκα ἄλλα ἔτη ψευδῶς βιώσεσθαι ἔφη, ὅπως ὡς καὶ
ἐπὶ μακρότερον ζήσων μὴ ἐπειχθῇ σφᾶς ἀποκτεῖναι. ὃ καὶ ἐγένετο·
νομίσας γὰρ καὶ μετὰ τοῦτο ἐξεῖναί οἱ πάνθ' ὅσα ἐβούλετο κατὰ
σχολὴν πρᾶξαι, οὔτ' ἄλλως ἔσπευσε, καὶ τῆς βουλῆς, ἀντειπόντων
τι πρὸς τὰς βασάνους τῶν ὑπευθύνων, ἀναβαλομένης τὴν καταδίκην*
4 *σφῶν οὐκ ὠργίσθη. γυνὴ μὲν γάρ τις ἑαυτὴν τρώσασα ἐσεκομίσθη
τε ἐς τὸ συνέδριον, καὶ ἐκεῖθεν ἐς τὸ δεσμωτήριον ἀπαχθεῖσα ἀπέ-
θανεν. καὶ Λούκιος Ἀρρούντιος καὶ ἡλικίᾳ καὶ παιδείᾳ προήκων,
ἑκούσιος, καίπερ νοσοῦντος ἤδη τοῦ Τιβερίου καὶ νομιζομένου μὴ
ῥαΐσειν, ἐφθάρη· τὴν γὰρ τοῦ Γαΐου κακίαν συνιδὼν ἐπεθύμησε,
πρὶν πειραθῆναι αὐτοῦ, προαπαλλαγῆναι, εἰπὼν ὅτι οὐ δύναμαι ἐπὶ*
5 *γήρως δεσπότῃ καινῷ καὶ τοιούτῳ δουλεῦσαι. οἱ δὲ δὴ ἄλλοι οἱ
μὲν καὶ καταψηφισθέντες, ἀλλ' ὅτι γε οὐκ ἐξῆν αὐτοὺς πρὸ τῶν
δέκα ἡμερῶν ἀποθανεῖν, οἱ δὲ καὶ τῆς δίκης αὖθις, ἐπειδὴ τὸν
Τιβέριον κακῶς ἀρρωστοῦντα ᾔσθοντο, ἀναβληθείσης ἐσώθησαν.*
28 *ἔφθασε γὰρ ἐν Μισηνῷ μεταλλάξας πρίν τι αὐτῶν μαθεῖν. ἐνόσει
μὲν γὰρ ἐκ πλείονος χρόνου, προσδοκῶν δὲ δὴ διὰ τὴν τοῦ Θρα-
σύλλου πρόρρησιν βιώσεσθαι οὔτε τοῖς ἰατροῖς ἐκοινοῦτό τι οὔτε*
2 *τῆς διαίτης τι μετέβαλλεν, ἀλλὰ πολλάκις, οἷα ἐν γήραι καὶ νόσῳ
μὴ ὀξείᾳ, κατὰ βραχὺ μαραινόμενος τοτὲ μὲν ὅσον οὐκ ἀπέψυχε
τοτὲ δὲ ἀνερρώννυτο, κἀκ τούτου πολλὴν μὲν ἡδονὴν τοῖς τε ἄλλοις*

27 1 4 τε om*     28 2 2 ἀπεψύχετο

Digitized by Google

καὶ τῷ Γαΐῳ ὡς καὶ τελευτήσων, πολὺν δὲ καὶ φόβον ὡς καὶ ζήσων,
ἐνεποίει. δείσας οὖν ἐκεῖνος μὴ καὶ ἀληθῶς ἀνασωθῇ, οὔτε ἐμφα- 3
γεῖν τι αἰτήσαντι αὐτῷ ὡς καὶ βλαβησομένῳ ἔδωκεν, καὶ ἱμάτια
πολλὰ καὶ παχέα ὡς καὶ θερμασίας τινὸς δεομένῳ προσεπέβαλεν,
καὶ οὕτως ἀπέπνιξεν αὐτόν, συναραμένου πῃ αὐτῷ καὶ τοῦ Μά-
κρωνος· ἅτε γὰρ κακῶς ἤδη τοῦ Τιβερίου νοσοῦντος τὸν νεανίσκον 4
ἐθεράπευε, καὶ μάλισθ᾽ ὅτι ἐς ἔρωτα αὐτὸν τῆς ἑαυτοῦ γυναικὸς
Ἐννίας Θρασύλλης προϋπῆκτο. ὅπερ καὶ ὁ Τιβέριος ὑποπτεύσας
ποτὲ "εὖ γε" ἔφη "τὸν δυόμενον ἐγκαταλιπὼν πρὸς τὸν ἀνατέλ-
λοντα ἐπείγῃ."

Τιβέριος μὲν δὴ πλείστας μὲν ἀρετὰς πλείστας δὲ καὶ κακίας 5
ἔχων, καὶ ἑκατέραις αὐταῖς ὡς καὶ μόναις κεχρημένος, οὕτω δὴ
μετήλλαξε τῇ ἕκτῃ καὶ εἰκοστῇ τοῦ Μαρτίου ἡμέρᾳ. ἐβίω δὲ ἑπτὰ
καὶ ἑβδομήκοντα ἔτη καὶ μῆνας τέσσαρας καὶ ἡμέρας ἐννέα, ἀφ᾽ ὧν
ἔτη μὲν δύο καὶ εἴκοσι μῆνας δὲ ἑπτὰ καὶ ἡμέρας ἑπτὰ ἐμονάρχη-
σεν. καὶ δημοσίας τε ταφῆς ἔτυχε καὶ ἐπῃνέθη ὑπὸ τοῦ Γαΐου.

περὶ μὲν οὖν τοῦ Τιβερίου ταῦτα παραδέδοται, διεδέξατο δὲ ΝΘ
αὐτὸν ὁ Γάιος ὁ τοῦ Γερμανικοῦ καὶ τῆς Ἀγριππίνης παῖς, ὃν καὶ
Γερμανικὸν καὶ Καλιγόλαν, ὥσπερ εἶπον, ἐπωνόμαζον. ἐκεῖνος μὲν
γὰρ καὶ τῷ Τιβερίῳ τῷ ἐγγόνῳ τὴν αὐταρχίαν κατέλιπεν· ὁ δὲ δὴ 2
Γάιος τὰς διαθήκας αὐτοῦ ἐς τὸ συνέδριον διὰ τοῦ Μάκρωνος
ἐσπέμψας ἀκύρους ὑπό τε τῶν ὑπάτων καὶ ὑπὸ τῶν ἄλλων τῶν
προπαρεσκευασμένων οἱ, ὡς καὶ παραφρονήσαντος, ἐποίησεν, ὅτι
παιδίῳ, ᾧ μηδὲ ἐσελθεῖν ἐς τὸ βουλευτήριον ἐξῆν, ἄρχειν σφᾶς
ἐπέτρεψεν. τότε τε οὖν παραχρῆμα οὕτως αὐτὸν τῆς ἀρχῆς πα- 3
ρέλυσε, καὶ μετὰ τοῦτο ποιησάμενος ἀπέκτεινεν. καίπερ ὁ Τιβέριος
πολλαχῇ τὰ αὐτὰ γράψας, ὡς καὶ ἰσχύν τινα παρὰ τοῦτο ἕξοντα,
κατέλιπε, καὶ πάντα τότε ἐκεῖνα ὑπὸ τοῦ Μάκρωνος ἐν τῇ γερουσίᾳ
ἀνεγνώσθη. ἀλλ᾽ οὐδὲν γὰρ οὔτε πρὸς τὴν ἀγνωμοσύνην οὔτε πρὸς
τὴν δύναμιν τῶν διαδεχομένων τινὰ ἐπίσκηψίς τις ἰσχύει. ταὐτὸ 4
οὖν ὁ Τιβέριος ἔπαθεν ὅπερ τὴν μητέρα ἐπεποιήκει, πλὴν καθ᾽ ὅσον
αὐτὸς μὲν οὐδὲν οὐδενὶ ἐκ τῶν ἐκείνης διαθηκῶν ἀπήλλαξε, τὰ δ᾽
ὑπ᾽ αὐτοῦ καταλειφθέντα πᾶσι πλὴν τοῦ ἐγγόνου αὐτοῦ ἀπεδόθη.
ἀφ᾽ οὗπερ κατάδηλον οὐχ ἥκιστα ἐγένετο ὅτι διὰ τὸ παιδίον πᾶν
τὸ κατὰ τὰς διαθήκας αἰτίαμα συνεσκευάσθη. ἐξῆν μὲν γὰρ αὐτῷ 5
μὴ ἐκφῆναί σφας (οὐ γάρ που τὰ γεγραμμένα ἠγνόησεν)· ἐπεὶ δὲ
πολλοί τε αὐτὰ ᾔδεσαν, καὶ ἔμελλεν ἐκ μὲν τοῦ αὐτὸς ἐκ δὲ τοῦ ἡ
βουλὴ τὴν αἰτίαν, ὥς γε καὶ ἐδόκει, λήψεσθαι, ἀνατρέψαι μᾶλλον

3 3 προσέβαλε* 4 ποι* 1 4 1 ταῦτα 5 3 αὐτὸς] ὁ Αὔγουστος*

Digitized by Google

2 αὐτὰς δι' ἐκείνης ἢ συγκρύψαι ἠθέλησεν. πρὸς δὲ τούτοις τὰ κα-
ταλειφθέντα ὑπ' αὐτοῦ πάντα, ὡς καὶ παρ' ἑαυτοῦ δή, τοῖς τε
ἄλλοις ἀποδοὺς μεγαλοψυχίας τινὰ δόξαν παρὰ τοῖς πολλοῖς ἐκτή-
σατο. τούς τε οὖν δορυφόρους εὐθὺς γυμνασίαν ποιουμένους θεα-
σάμενος μετὰ τῆς γερουσίας, τάς τε καταλειφθείσας σφίσι κατὰ
πεντήκοντα καὶ διακοσίας δραχμὰς διένειμε καὶ ἑτέρας τοσαύτας
2 προσεπέδωκεν· καὶ τῷ δήμῳ τάς τε πέντε καὶ εἴκοσι καὶ ἑκατὸν καὶ
χιλίας μυριάδας (τοσαῦται γὰρ αὐτῷ κατελείφθησαν) καὶ προσέτι
τὰς ἑξήκοντα κατ' ἄνδρα δραχμάς, ἃς ἐπὶ τῇ ἑαυτοῦ ἐς τοὺς ἐφή-
βους ἐσγραφῇ οὐκ εἰλήφεσαν, μετὰ τόκου πεντεκαίδεκα ἄλλων
3 δραχμῶν ἀπέδωκεν. τοῖς τε γὰρ ἀστικοῖς καὶ τοῖς νυκτοφύλαξι,
τοῖς τε ἔξω τῆς Ἰταλίας ἐκ τοῦ καταλόγου οὖσιν, εἴ τέ τι ἄλλο
στράτευμα πολιτικὸν ἐν τοῖς μικροτέροις τείχεσιν ἦν, τὰ καταλει-
φθέντα διέλυσε, τοῦτ' ἔστι τοῖς μὲν ἀστικοῖς ἀνὰ πέντε καὶ εἴκοσι
καὶ ἑκατὸν δραχμάς, τοῖς δ' ἄλλοις ἅπασι πέντε καὶ ἑβδομήκοντα.
4 τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ τὰς τῆς Λιβίας διαθήκας ἔπραξεν· καὶ
γὰρ ἐκεῖνα πάντα ἀπήλλαξεν. καὶ εἴπερ καὶ τὰ λοιπὰ χρήματα
δεόντως ἀναλώκει, μεγαλόνους τε ἂν καὶ μεγαλοπρεπὴς εἶναι ἔδοξεν.
ἔστι μὲν γὰρ ὅ τι φοβηθεὶς καὶ τὸν δῆμον καὶ τοὺς στρατιώτας
ταῦτ' ἐποίησε, τὸ δὲ δὴ πλεῖστον ἀπὸ γνώμης· οὐ γὰρ ὅτι τοῖς
ἄλλοις ἀλλὰ καὶ τοῖς ἰδιώταις, οὐχ ὅπως τὰ παρὰ τοῦ Τιβερίου
5 ἀλλὰ καὶ τὰ παρὰ τῆς προτήθης δωρηθέντα διέλυσεν. νῦν δὲ καὶ
ἐς ὀρχηστάς (αὐτίκα γὰρ αὐτοὺς ἐπανήγαγεν) καὶ ἐς ἵππους τούς τε
μονομάχους καὶ τἆλλα τὰ τοιουτότροπα ἀπλήστως δαπανήσας τούς
τε θησαυροὺς μεγάλους γενομένους διὰ βραχυτάτου ἐξεκένωσε, καὶ
ἑαυτὸν προσεξήλεγχεν ὅτι εὐχερείᾳ τέ τινι καὶ ἀκρισίᾳ καὶ ἐκεῖνα
6 ἐπεποιήκει. πέντε γοῦν μυριάδας μυριάδων καὶ πεντακοσίας καὶ
ἑπτακισχιλίας, ὡς δ' ἕτεροι, ὀκτώ τε καὶ δισχιλίας καὶ πεντακοσίας
τεθησαυρισμένας εὑρὼν οὐδὲ ἐς τὸ τρίτον ἔτος μέρος ἀπ' αὐτῶν
τι διέσωσεν, ἀλλ' εὐθὺς τῷ ἑτέρῳ παμπόλλων προσεδεήθη.

3 τῷ δ' αὐτῷ τούτῳ τρόπῳ καὶ ἐς τἆλλα πάντα ὡς εἰπεῖν ἐχρῆτο.
δημοκρατικώτατος γὰρ εἶναι τὰ πρῶτα δόξας, ὥστε μήτε τῷ δήμῳ
ἢ τῇ γε βουλῇ γράψαι τι μήτε τῶν ὀνομάτων τῶν ἀρχικῶν προσ-
2 θέσθαι τι, μοναρχικώτατος ἐγένετο, ὥστε πάντα ὅσα ὁ Αὔγουστος
ἐν τοσούτῳ τῆς ἀρχῆς χρόνῳ μόλις καὶ καθ' ἓν ἕκαστον ψηφισθέντα
οἱ ἐδέξατο, ὧν ἔνια ὁ Τιβέριος οὐδ' ὅλως προσήκατο, ἐν μιᾷ ἡμέρᾳ
λαβεῖν. πλὴν γὰρ τῆς τοῦ πατρὸς ἐπικλήσεως οὐδὲν ἄλλο ἀνεβά-
3 λετο· καὶ ἐκείνην δὲ οὐκ ἐς μακρὰν προσεκτήσατο. μοιχικώτατός

2 1 1 τούτοις om* 2 ἀπ' 3 ἄλλοις] ἄλλοις καὶ τοῖς στρα-
τιώταις? 4 4 ἔστι γὰρ ὅτε*

Digitized by Google

τε ἀνδρῶν γεγενημένος, καὶ γυναῖκα μίαν μὲν ἐκδιδομένην ἀνδρὶ
ἁρπάσας, ἄλλας δὲ συνοικούσας τισὶν ἀποσπάσας, ἔπειτα αὐτὰς
πλὴν μιᾶς ἐμίσησεν· πάντως δ᾽ ἂν καὶ ἐκείνην ἤχθηρεν, εἰ ἐπὶ πλεῖον
ἐβεβιώκει. ἔς τε τὴν μητέρα καὶ ἐς τὰς ἀδελφὰς τήν τε τήθην
τὴν Ἀντωνίαν πλεῖστα ὅσα εὐσεβῶς ποιήσας — ταύτην τε γὰρ Αὐ- 4
γοῦστάν τε εὐθὺς καὶ ἱέρειαν τοῦ Αὐγούστου ἀποδείξας πάντα
αὐτῇ καθάπαξ, ὅσα ταῖς ἀειπαρθένοις ὑπάρχει, ἔδωκεν, καὶ ταῖς
ἀδελφαῖς ταῦτά τε τὰ τῶν ἀειπαρθένων καὶ τὸ τὰς ἱπποδρομίας
οἱ ἐν τῇ αὐτῇ προεδρίᾳ συνθεᾶσθαι, τό τε τάς τε εὐχὰς τὰς κατ᾽
ἔτος ὑπὸ τῶν ἀρχόντων καὶ ὑπὸ τῶν ἱερέων ὑπέρ τε ἑαυτοῦ καὶ
ὑπὲρ τοῦ δημοσίου ποιουμένας καὶ τοὺς ὅρκους τοὺς ἐς τὴν ἀρχὴν
αὐτοῦ φέροντας καὶ ὑπὲρ ἐκείνων ὁμοίως γίγνεσθαι ἔνειμεν. τά τε 5
ὀστᾶ τά τε τῆς μητρὸς καὶ τὰ τῶν ἀδελφῶν τῶν ἀποθανόντων
αὐτός τε πλεύσας καὶ αὐτὸς αὐτοχειρίᾳ ἀνελόμενος ἐκόμισε καὶ ἐς
τὸ τοῦ Αὐγούστου μνῆμα κατέθετο, τὸ ἱμάτιον τὸ περιπόρφυρον
ἐνδὺς καὶ ῥαβδούχοις τισὶν ὥσπερ ἐν ἐπινικίοις κοσμηθείς. τά τε 6
ψηφισθέντα κατ᾽ αὐτῶν πάντα ἀπήλειψε, καὶ τοὺς ἐπιβουλεύσαντάς
σφισι πάντας ἐκόλασε, τούς τε φεύγοντας δι᾽ αὐτοὺς κατήγαγεν.
ταῦτ᾽ οὖν ποιήσας ἀνοσιώτατος ἀνθρώπων καὶ περὶ τὴν τήθην καὶ
περὶ τὰς ἀδελφὰς ἐγένετο· ἐκείνην τε γὰρ ἐπιτιμήσασάν τι αὐτῷ
ἐς ἀνάγκην ἑκουσίου θανάτου κατέστησε, καὶ τὰς ἀδελφὰς πάσας
διαφθείρας ἐς νῆσον τὰς δύο κατέκλεισεν· ἡ γὰρ τρίτη προαπέθανεν.
τόν τε Τιβέριον αὐτόν, ὃν καὶ πάππον προσωνόμαζε, τῶν αὐτῶν 7
τῷ Αὐγούστῳ τιμῶν παρὰ τῆς βουλῆς τυχεῖν ἀξιώσας, ἔπειτα,
ἐπειδὴ μὴ παραχρῆμα ἐψηφίσθησαν (οὔτε γὰρ τιμῆσαι αὐτὸν ὑπο-
μένοντες οὔτ᾽ ἀτιμάσαι θαρσοῦντες, ἅτε μηδέπω τὴν τοῦ νεανίσκου
γνώμην σαφῶς εἰδότες, ἐς τὴν παρουσίαν αὐτοῦ πάντα ἀνεβάλλοντο),
οὐδενὶ ἄλλῳ πλὴν τῇ δημοσίᾳ ταφῇ ἤγηλε, νυκτός τε ἐς τὴν πόλιν τὸ
σῶμα αὐτοῦ ἐσαγαγὼν καὶ ἅμα τῇ ἕῳ προθέμενος. ἐποιήσατο μὲν γὰρ 8
καὶ λόγους ἐπ᾽ αὐτῷ, ἀλλ᾽ οὔτοι γε καὶ ἐκεῖνον οὕτως ἐπαινῶν ὡς τοῦ
τε Αὐγούστου καὶ τοῦ Γερμανικοῦ τὸν δῆμον ἀναμιμνήσκων, καὶ ἑαυ-
τὸν αὐτοῖς παρακατατιθέμενος. οὕτω γὰρ καὶ πρὸς πάντα ἐναντίος 4
ἐπεφύκει ὥστε τὴν μὲν ἀσέλγειαν καὶ τὴν μιαιφονίαν αὐτοῦ, ἐφ᾽ οἷσπερ
καὶ διέβαλλεν αὐτόν, οὐ μόνον ἐζήλωσεν ἀλλὰ καὶ ὑπερέβαλεν, ὧν δὲ
δὴ ἐπῄνει οὐδὲν ἐμιμήσατο. πρῶτός τε ὑβρίσας αὐτὸν καὶ πρῶτος 2
λοιδορήσας, ὥστε καὶ τοὺς ἄλλους ἐκ τούτου χαριεῖσθαί οἱ νομί-
σαντας προπετεστέρᾳ παρρησίᾳ χρήσασθαι, ἔπειτα καὶ ἐνεκωμίαζε
καὶ ἐσέμνυνεν, ὥστε καὶ κολάσαι τινὰς ἐφ᾽ οἷς εἰρήκεσαν. καὶ

3 4 5 προσεδρίᾳ      5 2 τὰ om

ἐκείνους τε ἅμα ὡς ἐχθροὺς τοῦ Τιβερίου διὰ τὰς βλασφημίας,
3 καὶ τοὺς ἐπαινοῦντάς πῃ αὐτὸν ὡς καὶ φίλους, ἐμίσει. τά τε τῆς
ἀσεβείας ἐγκλήματα παύσας πλείστους ὅσους ἐπ' αὐτοῖς ἀπώλεσεν.
καὶ τοῖς συστᾶσιν ἐπί τε τὸν πατέρα καὶ τὴν μητέρα τούς τε ἀδελ-
φοὺς αὐτοῦ τήν τε ὀργὴν ἀφείς, ὡς ἔλεγε, καὶ τὰ γράμματα αὐτῶν
καταφλέξας, παμπληθεῖς ἐξ αὐτῶν ἀπέκτεινεν· διέφθειρε μὲν γὰρ
ὡς ἀληθῶς γράμματά τινα, οὐ μέντοι κἀκεῖνα τὰ αὐτόχειρα τὰ
4 τὸν ἀκριβῆ ἔλεγχον ἔχοντα, ἀλλ' ἀντίγραφα αὐτῶν ποιήσας. πρὸς
δὲ τούτοις εἰκόνας τε ἀπαγορεύσας κατ' ἀρχὰς μηδένα αὐτοῦ ἱστά-
ναι, καὶ ἐς ἀγαλμάτων ποίησιν προεχώρησε, καὶ ψηφισθέν ποτε
τῇ τύχῃ αὐτοῦ θύεσθαι παρέμενος, ὥστε καὶ ἐς στήλην αὐτὸ τοῦτ'
ἐγγραφῆναι, καὶ ναοὺς ἑαυτῷ καὶ θυσίας ὡς καὶ θεῷ γίγνεσθαι
5 ἐκέλευσεν. πλήθει τε ἀνθρώπων καὶ ἐρημίᾳ αὖ ἔχαιρεν, αἰτούμενός
τέ τι καὶ μὴ αἰτούμενος αὖ ὠργίζετο. ὀξύτατά τε πρὸς πράξεις
τινὰς ἐφέρετο, καὶ νωθέστατα ἔστιν ἃς αὐτῶν μετεχειρίζετο. τά
τε χρήματα καὶ ἀφειδέστατα ἀνήλισκε καὶ ῥυπαρώτατα ἠργυρολόγει.
τοῖς τε θωπεύουσιν αὐτὸν καὶ τοῖς παρρησιαζομένοις τι καὶ ἤχθετο
6 ὁμοίως καὶ ἥδετο. καὶ πολλοὺς μὲν μεγάλα ἀδικήσαντας οὐκ ἐκό-
λασε, πολλοὺς δὲ καὶ μηδὲν ἀδικήσαντας ἀπέσφαξεν. τῶν τε ἑταί-
ρων τοὺς μὲν ὑπερεκολάκευε τοὺς δὲ ὑπερύβριζεν. ὥστε μηδένα
μήθ' ὅ τι εἰπεῖν μήθ' ὅ τι ποιῆσαι χρὴ πρὸς αὐτὸν εἰδέναι, ἀλλ' ὅσοι
τι καὶ κατώρθωσαν, ἐκ συντυχίας μᾶλλον ἢ ἐκ γνώμης τυχεῖν αὐτοῦ.
5 τοιούτῳ μὲν τότε αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν, ὥστε
τὰ τοῦ Τιβερίου ἔργα, καίπερ χαλεπώτατα δόξαντα γεγονέναι, το-
σοῦτο παρὰ τὰ τοῦ Γαΐου ὅσον τὰ τοῦ Αὐγούστου παρ' ἐκεῖνα
2 παρενεγκεῖν. Τιβέριος μὲν γὰρ αὐτός τε ἦρχε καὶ ὑπηρέταις τοῖς
ἄλλοις πρός γε τὸ αὐτοῦ βούλημα ἐχρῆτο, Γάιος δὲ ἤρχετο μὲν
καὶ ὑπὸ τῶν ἁρματηλατούντων καὶ ὑπὸ τῶν ὁπλομαχούντων, ἐδού-
λευε δὲ καὶ τοῖς ὀρχησταῖς καὶ τοῖς ἄλλοις τοῖς περὶ τὴν σκηνὴν
ἔχουσιν· τὸν γοῦν Ἀπελλῆν τὸν εὐδοκιμώτατον τῶν τότε τραγῳδῶν
3 καὶ ἐν τῷ δημοσίῳ συνόντα οἱ ἀεὶ εἶχεν. κἀκ τούτου χωρὶς μὲν
αὐτὸς χωρὶς δὲ ἐκεῖνοι, πάνθ' ὅσα ἂν ἄνθρωποι τοιοῦτοι δυνηθέν-
τες τι τολμήσειαν, ἐπ' ἐξουσίας ἐποίουν. καὶ γὰρ τἆλλα τὰ ἐς τὴν
ἐπιτήδευσιν αὐτῶν φέροντα αὐτός τε πολυτελέστατα ἐπὶ πάσῃ προ-
φάσει καὶ διετίθει καὶ καθίστατο καὶ τοὺς στρατηγοὺς τούς τε
ὑπάτους ποιεῖν ἠνάγκαζεν, ὥστε καθ' ἑκάστην ὀλίγου ἡμέραν πάν-
4 τως τι τοιοῦτον ἄγεσθαι. καὶ αὐτῶν τὰ μὲν πρῶτα θεατὴς καὶ
ἀκροατὴς ἐγίγνετο, συνεσπούδαζέ τέ τισι καὶ ἀντεσπούδαζεν ὥσπερ

4 3 6 τὰ post αὐτ. om    5 3 ἃς] ἃ    6 2 ἁμαρτόντας?*
5 3 2 ἂν om    4 2 ἀντεστασίαζεν alii

Digitized by Google

τις ἐκ τοῦ ὁμίλου ὤν· καί ποτε δυσκολάνας τι τοῖς ἀντικαθεστη-
κόσιν οὐκ ἀπήντησεν ἐπὶ τὴν θέαν. προϊόντος δὲ δὴ τοῦ χρόνου
καὶ ἐς ζήλωμα καὶ ἐς ἀγώνισμα πολλῶν προῆλθεν· ἅρματά τε γὰρ 5
ἤλασε καὶ ἐμονομάχησεν ὀρχήσει τε ἐχρήσατο καὶ τραγῳδίαν ὑπε-
κρίνατο. καὶ ταῦτα μέν που ἀεὶ ἐποίει, ἅπαξ δέ ποτε τοὺς πρώτους
τῆς γερουσίας σπουδῇ νυκτὸς ὡς καὶ ἐπ' ἀναγκαῖόν τι βούλευμα
μεταπεμψάμενος ὠρχήσατο.

ἐν μὲν οὖν τῷ ἔτει ἐν ᾧ ὅ τε Τιβέριος ἐτελεύτησε καὶ αὐτὸς 6
ἐς τὴν ἡγεμονίαν ἀντικατέστη, πρῶτον μὲν τοὺς βουλευτάς, παρόν-
των ἐν τῷ συνεδρίῳ καὶ ἱππέων τοῦ τε δήμου τινῶν, πολλὰ ἐκολά-
κευσε, τήν τε ἀρχὴν κοινώσειν σφίσι καὶ πάνθ' ὅσα ἂν καὶ ἐκείνοις
ἀρέσῃ ποιήσειν ὑπέσχετο, καὶ υἱὸς καὶ τρόφιμος αὐτῶν λέγων εἶναι.
ἦγε δὲ πέμπτον καὶ εἰκοστὸν ἔτος, ἡμερῶν τεσσάρων καὶ μηνῶν 2
πέντε ἐπιδέων. ἔπειτα τοὺς ἐν τῷ δεσμωτηρίῳ ὄντας ἀπέλυσεν,
ὧν εἷς ἦν Κύιντος Πομπώνιος ἑπτὰ ὅλοις ἔτεσιν ἐν τῷ οἰκήματι
μεθ' ὑπατείαν κακωθείς· τά τε ἐγκλήματα τῆς ἀσεβείας, οἷσπερ
καὶ τὰ μάλιστα πονουμένους σφᾶς ἑώρα, κατέλυσε, καὶ τὰ γράμ- 3
ματα τὰ περὶ αὐτῶν, ὅσα ὁ Τιβέριος κατελελοίπει, συννήσας, ὥς
γε ἐσκήπτετο, κατέκαυσεν, εἰπὼν ὅτι τοῦτ' ἐποίησα ἵνα μηδ' ἂν
πάνυ ἐθελήσω ποτὲ διά τε τὴν μητέρα καὶ διὰ τοὺς ἀδελφοὺς
μνησικακῆσαί τινι, δυνηθῶ αὐτὸν τιμωρήσασθαι. ἐπαινούμενός τε 4
ἐπὶ τούτοις, ἐπειδὴ καὶ ἠλπίζετο παντὸς μᾶλλον ἀληθεύσειν ἅτε
μηδὲν διπλοῦν ὑπὸ τῆς νεότητος ἢ φρονεῖν ἢ λέγειν δύνασθαι νο-
μιζόμενος, προσεπηύξησε τὰς ἐλπίδας αὐτῶν τά τε κρόνια ἐπὶ πέντε
ἡμέρας ἑορτάζεσθαι κελεύσας, καὶ ὀβολὸν παρ' ἑκάστου τῶν τὸ
σιτηρέσιον φερόντων, ἀντὶ τῆς δραχμῆς ἣν ἐς εἰκόνων ποίησιν ἐδί-
δοσαν αὐτῷ, λαβών. ἐψηφίσθη μὲν οὖν καὶ παραχρῆμα αὐτὸν 5
ὑπατεῦσαι, καταλυθέντων τοῦ τε Πρόκλου καὶ τοῦ Νιγρίνου τῶν
τότε ἀρχόντων, καὶ μετὰ τοῦτο κατ' ἔτος ὑπατεύειν· οὐ μὴν καὶ
προσεδέξατο αὐτά, ἀλλ' ἐπειδὴ ἐκεῖνοι τὸν ἔκμηνον ἐς ὃν ἀπεδεδεί-
χατο διῆρξαν, οὕτω δὴ καὶ αὐτὸς ὑπάτευσε, τὸν Κλαύδιον τὸν
θεῖον προσλαβών· οὗτος γὰρ ἔν τε τοῖς ἱππεῦσι μέχρι τότε ἐξετα- 6
ζόμενος, καὶ πρεσβευτὴς πρὸς τὸν Γάιον μετὰ τὸν τοῦ Τιβερίου
θάνατον ὑπὲρ τῆς ἱππάδος πεμφθείς, τότε πρῶτον, καίπερ ἓξ καὶ
τεσσαράκοντα ἔτη βεβιωκώς, καὶ ὑπάτευσεν ἅμα καὶ ἐβούλευσεν.
ὁ δ' οὖν Γάιος ταῦτά τε ἐπιεικῶς ποιῆσαι ἔδοξε, καὶ τοιαῦτα ἐπι- 7
βὰς τῆς ὑπατείας ἐν τῷ βουλευτηρίῳ ἐδημηγόρησε, τοῦ τε Τιβε-
ρίου καθ' ἕκαστον ὧν ᾐτιάζετο κατατρέχων καὶ περὶ ἑαυτοῦ πολλὰ
ἐπαγγελλόμενος, ὥστε τὴν γερουσίαν, φοβηθεῖσαν μὴ μεταβάληται,
δόγμα ποιῆσαι κατ' ἔτος αὐτὰ ἀναγινώσκεσθαι.

7 ἐκ δὲ τούτου τὸ ἡρῷον τὸ τοῦ Αὐγούστου ὡσίωσε, τὴν ἐπινί-
κιον στολὴν ἐνδύς· καὶ οἵ τε εὐγενέστατοι παῖδες, ὅσοι γε καὶ ἀμ-
φιθαλεῖς ἦσαν, μετὰ παρθένων ὁμοίων τὸν ὕμνον ᾖσαν, καὶ ἡ βουλὴ
σὺν ταῖς γαμεταῖς σφῶν ὅ τε δῆμος εἱστιάθη, θέαι τε παντοδαπαὶ
2 ἐγένοντο. τά τε γὰρ τῆς μουσικῆς ἐχόμενα ἐσήχθη, καὶ ἵπποι δύο
ἡμέραις ἠγωνίσαντο, τῇ μὲν προτέρᾳ εἰκοσάκις, τῇ δ' ὑστέρᾳ καὶ
τετράκις διὰ τὸ τὰ γενέθλια αὐτοῦ τὴν ἡμέραν ἐκείνην εἶναι· ἦν
3 γὰρ ἡ τελευταία τοῦ Αὐγούστου. καὶ τοῦτο μὲν καὶ ἐπ' ἄλλων
πολλῶν, ὥς που καὶ ἔδοξεν αὐτῷ, ἐποίησεν· πρότερον γὰρ οὐ πλείω
τῶν δώδεκα ἄθλων ἐτίθετο, τότε δὲ καὶ ἄρκτους τετρακοσίας μεθ'
4 ἑτέρων Λιβυκῶν θηρίων ἴσων ἀπέκτεινεν. καὶ οἵ τε εὐγενεῖς παῖ-
δες τὴν Τροίαν ἵππευσαν, καὶ τὸ ἅρμα τὸ πομπικὸν ἐφ' οὗ ἤχθη
ἓξ ἵπποι εἵλκυσαν· ὃ μὴ πώποτε ἐγεγόνει. οὐ μέντοι καὶ αὐτὸς
τοῖς ἡνιόχοις ἀπεσήμηνεν, ἀλλ' ἐκ προέδρας μετά τε τῶν ἀδελφῶν
5 καὶ μετὰ τῶν συνιερέων τῶν αὐγουστείων συνεθεάσατο. ὅπως τε
μηδεμία τινὶ τοῦ μὴ συμφοιτᾶν ἐς τὰ θέατρα πρόφασις εἴη (καὶ
γὰρ ἤσχαλλε δεινῶς εἴ τις αὐτῶν ἀπελείπετο ἢ καὶ μεσούσης τῆς
θέας ἐξανίστατο), τάς τε δίκας ἁπάσας ἀνεβάλετο καὶ τὰ πένθη
πάντα ἐπέσχεν, ὥστε καὶ ταῖς γυναιξὶ ταῖς τῶν ἀνδρῶν ἐστερημέ-
ναις γαμεῖσθαι καὶ πρὸ τοῦ καθήκοντος χρόνου, ἄν γε μὴ ἐν γαστρὶ
6 ἔχωσιν, ἐξεῖναι. καὶ ἵνα μετὰ ῥαστώνης βαδίζοιεν καὶ μὴ πράγματα
ἔχοιεν ἀσπαζόμενοί τινες αὐτόν (πρότερον γὰρ καὶ ἐν ταῖς ὁδοῖς
τὸν αὐτοκράτορα οἱ συντυγχάνοντές οἱ προσηγόρευον), ἀπεῖπε μη-
7 δένα ἔτι τοῦτο ποιεῖν. καὶ ἐξῆν καὶ ἀνυποδήτοις τοῖς βουλομένοις
θεάσασθαι, νομιζόμενον μέν που ἀπὸ τοῦ πάνυ ἀρχαίου καὶ δικάζειν
τινὰς ἐν τῷ θέρει οὕτως, καὶ πολλάκις καὶ ὑπὸ τοῦ Αὐγούστου ἐν
ταῖς θεριναῖς πανηγύρεσι γενόμενον, ἐκλειφθὲν δὲ ὑπὸ τοῦ Τιβερίου.
8 τά τε προσκεφάλαια τοῖς βουλευταῖς, ὅπως μὴ ἐπὶ γυμνῶν τῶν
σανίδων καθίζωνται, πρῶτον τότε ὑπετέθη· καὶ πίλους σφίσι τὸν
Θετταλικὸν τρόπον ἐς τὰ θέατρα φορεῖν, ἵνα μὴ τῇ ἡλιάσει ταλαι-
πωρῶνται, ἐπετράπη. καὶ εἴ γέ ποτε ἐς ὑπερβολὴν ἐπέφλεξε, τῷ
διριβιτωρίῳ ἀντὶ τοῦ θεάτρου ἰκριωμένῳ ἐχρῶντο.
9 ταῦθ' οὕτως ἐν τῇ ὑπατείᾳ ἔπραξε, δύο τε μησὶ καὶ ἡμέραις
δώδεκα αὐτὴν σχών· τὸν γὰρ λοιπὸν τῆς ἑξαμήνου χρόνον τοῖς
8 προαποδεδειγμένοις ἐς αὐτὴν ἀπέδωκεν. μετὰ δὲ τοῦτο νοσήσας
αὐτὸς μὲν οὐκ ἀπέθανε, τὸν δὲ δὴ Τιβέριον, καίπερ ἔς τε τοὺς
ἐφήβους ἐγγραφέντα καὶ τῆς νεότητος προκριθέντα καὶ τέλος ἐσποι-
ηθέντα, ἀνεχρήσατο, ἔγκλημα αὐτῷ ἐπαγαγὼν ὡς καὶ τελευτῆσαι

7 4 4 προεδρίας?  7 1 τοῖς om

αὐτὸν καὶ εὐξαμένῳ καὶ προσδοκήσαντι. ἀφ' οὗ καὶ ἄλλους γε
συχνοὺς ἐφόνευσεν. ὁ γὰρ Ἀντιόχῳ τε τῷ Ἀντιόχου τὴν Κομμα- 2
γηνήν, ἣν ὁ πατὴρ αὐτοῦ ἔσχε, καὶ προσέτι καὶ τὰ παραθαλάσσια
τῆς Κιλικίας δούς, καὶ Ἀγρίππαν τὸν τοῦ Ἡρώδου ἔγγονον λύσας
τε (ὑπὸ γὰρ τοῦ Τιβερίου ἐδέδετο) καὶ τῇ τοῦ πάππου ἀρχῇ προσ-
τάξας, τὸν ἀδελφὸν ἢ καὶ τὸν υἱὸν οὐχ ὅτι τῶν πατρῴων ἀπεστέ-
ρησεν, ἀλλὰ καὶ κατέσφαξεν. καὶ οὐδ' ἐπέστειλέ τι περὶ αὐτοῦ τῇ
βουλῇ· ὅπερ που καὶ ἐπ' ἄλλων μετὰ τοῦτο πολλῶν ἐποίησεν.
ἐκεῖνος μὲν οὖν ὡς καὶ τῇ ἀρρωστίᾳ αὐτοῦ ἐφεδρεύσας ἀπώλετο· 3
Πούπλιος δὲ Ἀφράνιος Ποτῖτος· δημότης τε ὢν καὶ ὑπὸ μωρᾶς
κολακείας οὐ μόνον ἐθελοντὴς ἀλλὰ καὶ ἔνορκος, ἄν γε ὁ Γάιος
σωθῇ, τελευτήσειν ὑποσχόμενος, Ἀτάνιός τέ τις Σεκοῦνδος ἱππεύς
τε ὢν καὶ μονομαχήσειν ἐπαγγειλάμενος, ἀντὶ τῶν χρημάτων ἃ
ἤλπιζον παρ' αὐτοῦ ὡς καὶ ἀντίψυχοί οἱ ἀποθανεῖν ἐθελήσαντες
λήψεσθαι, ἀποδοῦναι τὴν ὑπόσχεσιν ἠναγκάσθησαν, ἵνα μὴ ἐπιορ-
κήσωσιν. καὶ τούτοις μὲν αὕτη αἰτία τοῦ θανάτου ἐγένετο· ὁ δὲ 4
δὴ πενθερὸς αὐτοῦ Μάρκος Σιλανὸς οὔθ' ὑποσχόμενός τι οὔτε κα-
τομόσας, ὅμως ἐπειδὴ βαρὺς αὐτῷ ὑπό τε τῆς ἀρετῆς καὶ ὑπὸ τῆς
συγγενείας ἦν καὶ διὰ τοῦτο περιυβρίζετο, ἑαυτὸν κατεχρήσατο.
ὁ μὲν γὰρ Τιβέριος οὕτως αὐτὸν ἐτίμησεν ὥστε μηδὲ ἔκκλητόν 5
ποτε ἀπ' αὐτοῦ δικάσαι ἐθελῆσαι, ἀλλ' ἐκείνῳ πάντα αὖθις τὰ
τοιαῦτα ἐγχειρίσαι· ὁ δὲ δὴ Γάιος τά τε ἄλλα ἰσχυρῶς προεπηλά-
κιζε, καίτοι οὕτω κακῶς περὶ αὐτοῦ φρονῶν ὥστε καὶ χρυσοῦν αὐ-
τὸν πρόβατον ὀνομάζειν, καὶ ὅπως μηκέτι πρῶτος ἐπιψηφίζηται, 6
ἐν ᾧ που καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὸ ἀξίωμα ὑφ' ἁπάντων
τῶν ὑπάτων ἐτιμᾶτο, κατέλυσε τὸ πρῶτόν τινα τῶν ὑπατευκότων
ἢ δεύτερον, πρὸς τὸ τοῖς τὴν γνώμην ἐπάγουσι δοκοῦν, ψηφίζεσθαι,
καὶ κατεστήσατο ἐκ τοῦ ἴσου τοῖς ἄλλοις καὶ ἐκείνους ἐν τῇ τάξει
τῆς ἀρχῆς ἣν ἦρξαν ἀποφαίνεσθαι. τήν τε θυγατέρα αὐτοῦ ἐκ- 7
βαλὼν ἔγημε Κορνηλίαν Ὀρεστῖναν, ἣν ἥρπασεν ἐν αὐτοῖς τοῖς
γάμοις οὓς τῷ ἐγγεγυημένῳ αὐτὴν Γαΐῳ Καλπουρνίῳ Πίσωνι συ-
νεώρταζεν. πρὶν δὲ δύο μῆνας ἐξελθεῖν, ἀμφοτέρους σφᾶς ὡς καὶ
συγγιγνομένους ἀλλήλοις ἐξώρισεν· καὶ τῷ γε Πίσωνι δέκα δού- 8
λους ἐπαγαγέσθαι ἐπιτρέψας, εἶτ' ἐπειδὴ πλείονας ᾐτήσατο, ἐφῆκεν
ὅσοις ἂν ἐθελήσῃ χρήσασθαι, εἰπὼν ὅτι καὶ στρατιῶται τοσοῦτοί
σοι συνέσονται.

τῷ δ' ἑξῆς ἔτει ὕπατοι Μάρκος τε Ἰουλιανὸς καὶ Πούπλιος 9
Νώνιος ἐκ τῶν προαποδεδειγμένων ἐγένοντο. καὶ οἱ ὅρκοι περὶ μὲν a.C. 38

8 5 1 μήτε* 4 καλῶς* 7 2 *Liviam Orestillam* Suetonius.

τῶν ὑπὸ τοῦ Τιβερίου πραχθέντων οὐκ ἐπήχθησαν, καὶ διὰ τοῦτο οὐδὲ νῦν γίγνονται (οὐ γάρ ἔστιν ὅστις αὐτὸν ἐν τοῖς αὐταρχήσασιν
2 ἐς τὴν τῆς οἰκίας νόμισιν καταλέγει)· περὶ δὲ δὴ τοῦ Αὐγούστου τοῦ τε Γαΐου τά τε ἄλλα ὥσπερ εἴθιστο, καὶ ὅτι καὶ σφῶν αὐτῶν καὶ τῶν τέκνων καὶ ἐκεῖνον καὶ τὰς ἀδελφὰς αὐτοῦ προτιμήσουσιν,
3 ὤμοσαν, τάς τε εὐχὰς ὑπὲρ πάντων αὐτῶν ὁμοίως ἐποιήσαντο. ἐν δ' οὖν τῇ νουμηνίᾳ αὐτῇ Μαχάων τις δοῦλος ἐπί τε τὴν κλίνην τοῦ Διὸς τοῦ Καπιτωλίου ἐπανέβη, κἀντεῦθεν πολλὰ καὶ δεινὰ ἀπομαντευσάμενος κυνίδιόν τέ τι ὃ ἐσενηνόχει ἀπέκτεινε καὶ ἑαυτὸν
4 ἔσφαξεν. Γάιος δὲ καλὰ μὲν ἐπαίνου τε ἄξια τάδε ἔπραξεν. τούς τε λογισμοὺς τῶν δημοσίων χρημάτων, μὴ ἐκτεθειμένους ἐν τῷ χρόνῳ ἐν ᾧ ὁ Τιβέριος ἐξεδήμησε, πάντας κατὰ τὸν Αὔγουστον προέγραψεν· καὶ ἔμπρησίν τινα μετὰ τῶν στρατιωτῶν κατασβέσας
5 ἐπήρκεσε τοῖς ζημιωθεῖσιν. τοῦ τε τέλους τοῦ τῶν ἱππέων ὀλιγανδροῦντος, τοὺς πρώτους ἐξ ἁπάσης καὶ τῆς ἔξω ἀρχῆς τοῖς τε γένεσι καὶ ταῖς περιουσίαις μεταπεμψάμενος κατελέξατο, καί τισιν αὐτῶν καὶ τῇ ἐσθῆτι τῇ βουλευτικῇ, καὶ πρὶν ἄρξαι τινὰ ἀρχὴν δι' ἧς ἐς τὴν γερουσίαν ἐσερχόμεθα, χρῆσθαι ἐπὶ τῇ τῆς βουλῆς ἐλπίδι ἔδωκεν· πρότερον γὰρ μόνοις, ὡς ἔοικέ πως, τοῖς ἐκ τοῦ βουλευτικοῦ
6 φύλου γεγενημένοις τοῦτο ποιεῖν ἐξῆν. ταῦτα μὲν δὴ πᾶσιν ἤρεσεν· ὅτι δὲ τὰς ἀρχαιρεσίας τῷ τε δήμῳ καὶ τῷ πλήθει ἀπέδωκε, λύσας ὅσα περὶ αὐτῶν ὁ Τιβέριος ὡρίκει, καὶ τὸ τέλος τῆς ἑκατοστῆς κατέλυσε, γυμνικόν τέ τινα ἀγῶνα ποιήσας σύμβολα διέρριψε καὶ
7 ἐξ αὐτῶν πλεῖστα τοῖς ἁρπάσασιν αὐτὰ διέδωκε, τῷ μὲν φαύλῳ ἐχαρίσατο, τοὺς δ' ἔμφρονας ἐλύπησε λογισαμένους ὅτι, ἐὰν ἐπὶ τοῖς πολλοῖς αἱ ἀρχαὶ αὖθις γένωνται καὶ τὰ ὄντα ἐξαναλωθῇ αἵ
10 τε ἰδικαὶ πρόσοδοι πανθῶσι, πολλὰ καὶ δεινὰ συμβήσεται. ἐπαίτια δὲ δὴ πρὸς πάντων ὁμοίως τάδε ἐξειργάσατο. πλείστους ὅσους ὁπλομαχῆσαι ἐποίησεν. καὶ γὰρ καὶ καθ' ἕνα καὶ ἀθρόους, ὥσπερ ἐν παρατάξει τινί, ἀγωνίσασθαί σφας ἠνάγκασε, παρὰ τῆς βουλῆς
2 δὴ τοῦτο αἰτήσας· τὸ δὲ καὶ ἔξω τοῦ νενομοθετημένου πάνθ' ὅσα βούλοιτο δρᾶσαι, καὶ ἀποκτεῖναι τῶν τε ἄλλων πολλοὺς καὶ τῶν ἱππέων ἓξ καὶ εἴκοσι, τοὺς μὲν τὰς οὐσίας κατεδηδοκότας, τοὺς δὲ καὶ ἄλλως ὁπλομαχίαν ἠσκηκότας. ἦν δὲ οὐ τὸ πλῆθος τῶν ἀπολλυμένων οὕτω τι δεινόν, καίπερ δεινὸν ὄν, ἀλλ' ὅτι τοῖς τε φόνοις
3 αὐτῶν ὑπερέχαιρε καὶ τῆς τοῦ αἵματος θέας ἀπλήστως εἶχεν. ὑπὸ δὲ δὴ τῆς αὐτῆς ὠμότητος, ἐπιλιπόντων ποτὲ τῶν τοῖς θηρίοις ἐκ καταδίκης διδομένων, ἐκέλευσεν ἐκ τοῦ ὄχλου τοῦ τοῖς ἰκρίοις προσ-

9 2 1 cf. l. 60 4 extr. 4 τάς] καὶ τάς 6 2 δὲ om ἀποδέδωκε* 7 1 τῷ] καὶ τῷ 2 ἐὰν] κἂν 10 2 1 τὸ δὲ] ὥστε?*

Digitized by Google

ἐστηκότος συναρπασθῆναί τέ τινας καὶ παραβληθῆναι σφίσιν· καὶ
ὅπως γε μήτε ἐπιβοήσασθαι μήτε αἰτιάσασθαί τι δυνηθῶσι, τὰς
γλώσσας αὐτῶν προαπέτεμεν. τῶν τε ἱππέων τινὰ τῶν ἐπιφανῶν 4
μονομαχῆσαί τε ὡς καὶ ὑβρίσαντα τὴν μητέρα αὐτοῦ τὴν Ἀγριππῖ-
ναν ἠνάγκασε, καὶ νικήσαντα κατηγόροις παρέδωκε καὶ ἀπέσφαξεν.
τόν τε πατέρα αὐτοῦ μηδὲν ἀδικήσαντα ἔς τε γαλεάγραν, ὥσπερ
καὶ ἄλλους συχνούς, καθεῖρξε κἀνταῦθα διέφθειρεν. ἐποίησε δὲ 5
τοὺς ἀγῶνας τούτους τὰ μὲν πρῶτα ἐν τοῖς σέπτοις, πᾶν τὸ χωρίον
ἐκεῖνο διορύξας καὶ ὕδατος πληρώσας, ἵνα μίαν ναῦν ἐσαγάγῃ,
ἔπειτα δὲ καὶ ἑτέρωθι, πλεῖστά τε καὶ μέγιστα οἰκοδομήματα κα-
θελὼν καὶ ἰκρία πηξάμενος· τὸ γὰρ τοῦ Ταύρου θέατρον ὑπερ-
εφρόνησεν. τούτων τε οὖν ἕνεκα καὶ διὰ τὰς δαπάνας καὶ διὰ τοὺς 6
φόνους αἰτίαν εἶχε, καὶ ὅτι τὸν Μάκρωνα μετὰ τῆς Ἐννίας, μήτε
τοῦ ταύτης ἔρωτος μήτε τῶν ἐκείνου εὐεργετημάτων, δι' ὧν τά τε
ἄλλα καὶ τὴν ἀρχὴν αὐτῷ μόνος συγκατέπραξε, μνησθείς, ἔς τε
ἑκουσίου δὴ θανάτου ἀνάγκην, καίπερ καὶ τὴν Αἴγυπτόν οἱ προ-
στάξας, καὶ ἐς αἰσχύνην, ἧς αὐτὸς τὸ πλεῖστον μετεῖχε, κατέστησεν·
προαγωγείας γὰρ ἔγκλημα αὐτῷ πρὸς τοῖς ἄλλοις ἐπήγαγεν. κἀκ 7
τούτου καὶ ἕτεροι πολλοὶ οἱ μὲν καταψηφισθέντες οἱ δὲ καὶ πρὶν
ἁλῶναι ἐφονεύθησαν, πρόφασιν μὲν διά τε τοὺς γονέας καὶ διὰ
τοὺς ἀδελφοὺς αὐτοῦ τούς τε ἄλλους τοὺς δι' ἐκείνους ἀπολομένους,
τὸ δ' ἀληθὲς διὰ τὰς οὐσίας· οἵ τε γὰρ θησαυροὶ ἐξανάλωντο καὶ
οὐδὲν αὐτῷ ἐξήρκει. ἠλέγχοντο δὲ καὶ ἐκ τῶν καταμαρτυρούντων 8
σφῶν καὶ ἐκ τῶν γραμμάτων ἃ κατακεκαυκέναι ποτὲ ἔφη. καὶ
ἑτέρους ἥ τε νόσος ἡ τῷ προτέρῳ ἔτει οἱ συμβᾶσα καὶ ὁ τῆς Δρου-
σίλλης τῆς ἀδελφῆς αὐτοῦ θάνατος ἔφθειρεν· τά τε γὰρ ἄλλα, καὶ
εἴ τις εἱστίασεν ἢ ἠσπάσατό τινα ἢ καὶ ἐλούσατο ἐν ταῖς ἡμέραις,
ἐκολάζετο.

τῇ δὲ Δρουσίλλῃ συνῴκει μὲν Μάρκος Λέπιδος, παιδικά τε 11
ἅμα αὐτοῦ καὶ ἐραστὴς ὤν, συνῆν δὲ καὶ ὁ Γάιος· καὶ αὐτὴν ἀπο-
θανοῦσαν τότε ἐπῄνεσε μὲν ὁ ἀνήρ, δημοσίας δὲ ταφῆς ὁ ἀδελφὸς
ἠξίωσεν· καὶ οἵ τε δορυφόροι μετὰ τοῦ ἄρχοντός σφων καὶ χωρὶς 2
οἱ ἱππεῖς τὸ τέλος ..., οἵ τε εὐγενεῖς παῖδες τὴν Τροίαν περὶ τὸν
τάφον αὐτῆς περιίππευσαν, καί οἱ τά τε ἄλλα ὅσα τῇ Λιβίᾳ ἐδέ-
δοτο ἐψηφίσθη, καὶ ἵν' ἀθανατισθῇ καὶ ἐς τὸ βουλευτήριον χρυσῇ
ἀνατεθῇ, καὶ ἐς τὸ ἐν τῇ ἀγορᾷ ἀφροδίσιον ἄγαλμα αὐτῆς ἰσομέ-
τρητον τῷ τῆς θεοῦ ἐπὶ ταῖς ὁμοίαις τιμαῖς ἱερωθῇ, σηκός τε ἴδιος 3
οἰκοδομηθῇ, καὶ ἱεραῖς εἰκόσιν οὐχ ὅτι ἄνδρες ἀλλὰ καὶ γυναῖκες

6 4 μόνῳ 7 2 οἱ ante μὲν om 8 5 ἐν ταύταις ταῖς?
11 2 2 ...] περιέδραμον?* cf. 56 42 2 3 τῇ τε λ.



Digitized by Google

γένωνται, αἵ τε γυναῖκες αὐτήν, ὁσάκις ἂν μαρτυρῶσί τι, ὀμνύωσιν,
καὶ ἐν τοῖς γενεσίοις αὐτῆς ἑορτή τε ὁμοία τοῖς μεγαλησίοις ἄγηται
καὶ ἡ γερουσία ἥ τε ἱππὰς ἑστιᾶται. τότε οὖν Πάνθεά τε ὠνομά-
4 ζετο καὶ τιμῶν δαιμονίων ἐν πάσαις ταῖς πόλεσιν ἠξιοῦτο, Λίβιός
τέ τις Γεμίνιος βουλευτὴς ἔς τε τὸν οὐρανὸν αὐτὴν ἀναβαίνουσαν
καὶ τοῖς θεοῖς συγγιγνομένην ἑωρακέναι ὤμοσεν, ἐξώλειαν καὶ ἑαυτῷ
καὶ τοῖς παισίν, εἰ ψεύδοιτο, ἐπαρασάμενος τῇ τε τῶν ἄλλων θεῶν
ἐπιμαρτυρίᾳ καὶ τῇ αὐτῆς ἐκείνης· ἐφ' ᾧ πέντε καὶ εἴκοσι μυριάδας
5 ἔλαβεν. τούτοις τε οὖν αὐτὴν ὁ Γάιος ἐτίμησε, καὶ τῷ τὰς πανη-
γύρεις τὰς τότε ὀφειλούσας γενέσθαι μήτε ἐν τῷ νενομισμένῳ χρόνῳ,
πλὴν τῆς ὁσίας ἕνεκα, μήτ' αὖθίς ποτε ποιηθῆναι. αἰτίαν τε πάν-
τες ὁμοίως εἶχον, εἴθ' ἥσθησαν ἐπί τινι ὡς λυπούμενοι, εἴτε καὶ
ὡς χαίροντες ἔπραξαν· ἢ γὰρ μὴ πενθεῖν αὐτὴν ὡς ἄνθρωπον ἢ
6 θρηνεῖν ὡς θεὸν ἐνεκαλοῦντο. πάρεστι δὲ ἐξ ἑνὸς πάντα τὰ τότε
γενόμενα τεκμήρασθαι· τὸν γὰρ πωλήσαντα θερμὸν ὕδωρ ἀπέκτει-
12 νεν ὡς ἀσεβήσαντα. διαλιπὼν δ' οὖν ὀλίγας ἡμέρας ἔγημε Λολ-
a.C. 39 λίαν Παυλῖναν, αὐτὸν τὸν ἄνδρα αὐτῆς Μέμμιον Ῥήγουλον ἐγγυῆσαί
οἱ τὴν γυναῖκα ἀναγκάσας, μὴ καὶ ἀνέγγυον αὐτὴν παρὰ τοὺς νό-
μους λάβῃ. καὶ εὐθύς γε καὶ ἐκείνην ἐξήλασεν.

2 ἐν δὲ τούτῳ Σοαίμῳ μὲν τὴν τῶν Ἰτυραίων τῶν Ἀράβων,
Κότυϊ δὲ τήν τε Ἀρμενίαν τὴν σμικροτέραν καὶ μετὰ τοῦτο καὶ
τῆς Ἀραβίας τινά, τῷ τε Ῥυμητάλκῃ τὰ τοῦ Κότυος καὶ Πολέμωνι
τῷ τοῦ Πολέμωνος υἱεῖ τὴν πατρῴαν ἀρχήν, ψηφισαμένης δὴ τῆς
βουλῆς, ἐχαρίσατο, ἔν τε τῇ ἀγορᾷ καὶ ἐπὶ τοῦ βήματος ἐν δίφρῳ
μεταξὺ τῶν ὑπάτων καθεζόμενος, καὶ παραπετάσμασι σηρικοῖς, ὥς
3 γέ τινές φασι, χρησάμενος. καὶ μετὰ τοῦτο πηλὸν πολὺν ἐν στε-
νωπῷ τινὶ ἰδὼν ἐκέλευσεν αὐτὸν ἐς τὸ τοῦ Οὐεσπασιανοῦ τοῦ Φλαουίου
ἱμάτιον, ἀγορανομοῦντός τε τότε καὶ τῆς τῶν στενωπῶν καθαριό-
τητος ἐπιμελουμένου, ἐμβληθῆναι. καὶ τοῦτο οὕτω πραχθὲν παρα-
χρῆμα μὲν ἐν οὐδενὶ λόγῳ ὤφθη, ὕστερον δὲ τοῦ Οὐεσπασιανοῦ τὰ
πράγματα τεταραγμένα καὶ πεφυρμένα παραλαβόντος τε καὶ κατα-
στησαμένου ἔδοξεν οὐκ ἀθεεὶ γεγονέναι, ἀλλ' ἄντικρυς αὐτῷ τὴν
πόλιν ὁ Γάιος πρὸς ἐπανόρθωσιν ἐγκεχειρικέναι.

13 μετὰ δὲ τοῦτο ὑπατεύσας αὖθις τὸν μὲν τοῦ Διὸς ἱερέα ἐκώ-
λυσεν ἐν τῷ συνεδρίῳ ὀμόσαι (ἰδίᾳ γὰρ καὶ τότε, ὥσπερ ἐπὶ τοῦ
Τιβερίου, τὸν ὅρκον ἐποιοῦντο), αὐτὸς δὲ καὶ ἐνιστάμενος ἐς τὴν
ἀρχὴν καὶ ἀπαλλαττόμενος ἀπ' αὐτῆς ἐξ ἴσου τοῖς ἄλλοις ἀπὸ
τοῦ βήματος, ὃ δὴ καὶ μεῖζον τοῦ προτέρου ἐπεποίητο, ὤμοσεν.

3 3 γεραίρωσιν?     12 2 3 Ἰβηρίας?

Digitized by Google

τριάκοντα δὲ δὴ ἡμέρας ἦρξε, καίτοι Λουκίῳ Ἀπρωνίῳ τῷ συνάρ- 2
χοντι ἓξ μῆνας ἐπιτρέψας· καὶ αὐτὸν Σαγκουΐνιος Μάξιμος πολι-
αρχῶν διεδέξατο. καὶ ἔν τε ἐκείναις καὶ ἐν ταῖς ἔπειτα πολλοὶ μὲν
τῶν πρώτων καταδικασθέντες (συχνοὶ γὰρ δὴ καὶ τῶν ἐκ τοῦ δεσμω-
τηρίου ἀφειμένων, δι' αὐτὰ ἐκεῖνα δι' ἃ ὑπὸ τοῦ Τιβερίου ἐδέδεντο,
ἐκολάσθησαν) πολλοὶ δὲ καὶ τῶν ἄλλων μονομαχήσαντες ἀπώλοντο.
καὶ ἦν ἔξω τῶν φόνων οὐδέν· οὐδὲ γὰρ οὐδὲ τῷ πλήθει ἔτι τι 3
ἐχαρίζετο, ἀλλὰ καὶ πάνυ πρὸς πάντα ὅσα ἐβούλετο ἀντέπραττεν.
καὶ διὰ τοῦτο καὶ ἐκεῖνοι πᾶσι τοῖς ἐπιθυμήμασιν αὐτοῦ ἀντέσπευ-
δον, καὶ ἦν καὶ ἀκούειν καὶ ὁρᾶν οἷα ἂν ἐν τῷ τοιούτῳ ὁ μὲν
ὀργιζόμενος οἱ δ' ἀνταγωνιζόμενοι καὶ εἴποιεν καὶ πράξαιεν. οὐ 4
μέντοι καὶ ἐξ ἴσου σφίσι τὸ πρᾶγμα ἐγίγνετο· οἱ μὲν γὰρ ἔξω τοῦ
λαλεῖν ἢ καὶ τοῖς σχήμασί τι προσενδείκνυσθαι οὐδὲν ἐδύναντο, ὁ
δὲ δὴ Γάιος συχνοὺς μὲν καὶ μεταξὺ θεωμένους κατασπῶν, συχνοὺς
δὲ καὶ ἀπηλλαγμένους ἐκ τῶν θεάτρων συλλαμβάνων ἀπώλλυεν.
αἰτίαι δὲ ἐς τὰ μάλιστα τῆς ὀργῆς αὐτῷ ἐγίγνοντο ὅτι τε μὴ σπουδῇ 5
συνεφοίτων (ἄλλοτε γὰρ ἄλλῃ ὥρᾳ παρὰ τὰ προηγγελμένα ἀπαν-
τῶντος αὐτοῦ, καὶ τοτὲ μὲν ἔτι νυκτὸς τοτὲ δὲ καὶ μετὰ μεσημβρίαν
ἐς τὰ θέατρα ἐσιόντος, ἀποκναιόμενοι ἐκακοῦντο) καὶ ὅτι μήτε ἀεὶ
πάντας τοὺς ἀρέσκοντας αὐτῷ ἐπῄνουν καί τινας καὶ τῶν ἐναντίων
ἔστιν ὅτε ἐτίμων. καὶ προσέτι καὶ ἐπ' ἐκείνῳ δεινῶς ἠγανάκτει ὅτι 6
μεγαλύνοντες αὐτὸν ἐπεβόων "νεανίσκε Αὔγουστε·" οὐ γὰρ μακα-
ρίζεσθαι ὅτι νέος ὢν ἐμονάρχει, ἀλλ' ἐγκαλεῖσθαι ὅτι ἐν ἐκείνῃ τῇ
ἡλικίᾳ τηλικαύτην ἀρχὴν εἶχεν ἡγεῖτο. καὶ ταῦτα μὲν ἀεὶ ἐποίει,
καί ποτε παντὶ τῷ δήμῳ ἅμα ἀπειλῶν εἶπεν "εἴθε ἕνα αὐχένα εἴ-
χετε·" τότε δὲ ἐπειδὴ παρωξύνθη τι οἷον εἰώθει, δυσχεράναν τὸ 7
πλῆθος τῆς τε θέας ἠμέλησε καὶ ἐπὶ τοὺς συκοφαντοῦντας ἐτράπετο,
καὶ αὐτοὺς ἐπὶ πολὺ σφοδρῶς βοῶντες ἐξῄτουν. καὶ ὃς ἀγανακτή-
σας ἀπεκρίνατο μὲν σφισιν οὐδέν, προστάξας δὲ ἑτέροις τισὶ τοὺς
ἀγῶνας ποιεῖν ἐς Καμπανίαν ἀπῆρεν. καὶ μετὰ τοῦτο ἐπανελθὼν 8
πρὸς τὰ τῆς Δρουσίλλης γενέσια ἄγαλμά τε αὐτῆς ἐπ' ἐλεφάντων
ἐν ἁρμαμάξῃ ἐς τὸν ἱππόδρομον ἐσήγαγε, καὶ θέαν τῷ δήμῳ προῖκα
ἐπὶ δύο ἡμέρας ἀπένειμεν· καὶ αὐτῷ τῇ μὲν προτέρᾳ ἄρκτοι πρὸς
ταῖς τῶν ἵππων ἁμίλλαις πεντακόσιαι ἐσφάγησαν, τῇ δ' ἑτέρᾳ Λι- 9
βυκὰ θηρία ἴσα ἀναλώθη, καὶ παγκρατιασταὶ ἐν πολλοῖς ἅμα τόποις
ἠγωνίσαντο. καὶ ὁ δῆμος εἱστιάθη, τοῖς τε βουλευταῖς ταῖς τε
γυναιξὶν αὐτῶν δωρεὰ ἐδόθη.

ταῦτά τε ἅμα ὡς καὶ πάνυ πενόμενος ἐφόνευε, καί τινα καὶ 14

13 2 2 σαουίνιος 7 3 ἐξήτουν*

ἕτερον τοιόνδε χρηματισμὸν προσεπεξεῦρεν. τοὺς γὰρ περιγενομένους
τῶν μονομάχων τοῖς τε ὑπάτοις καὶ τοῖς στρατηγοῖς τοῖς τε ἄλλοις,
2 οὐχ ὅτι τοῖς ἐθέλουσιν, ἀλλὰ καὶ τοὺς πάνυ ἄκοντας βιαζόμενος
ἐν ταῖς ἱπποδρομίαις καὶ τὰ τοιαῦτα ποιεῖν, καὶ δὴ καὶ τοῖς ἐπ᾿
αὐτὸ τοῦτο κληρουμένοις ὅτι μάλιστα (δύο γὰρ στρατηγοὺς ἐς τοὺς
ὁπλομαχικοὺς ἀγῶνας, ὥσπερ ποτὲ ἐγίγνετο, λαγχάνειν ἐκέλευσεν)
πάντως ἐπιτιμῶν ἀπεδίδοτο, αὐτός τε ἐπὶ τοῦ πρατηρίου καθεζό-
3 μενος καὶ αὐτὸς ὑπερβάλλων. πολλοὶ δὲ καὶ ἄλλοθεν ἀφικνούμενοι
ἀντωνοῦντο αὐτούς, καὶ μάλισθ᾿ ὅτι ἐπέτρεψε τοῖς βουλομένοις καὶ
ὑπὲρ τὸν νόμον τῷ ἀριθμῷ τῶν μονομαχούντων χρῆσθαι, καὶ πολ-
4 λάκις καὶ αὐτὸς ἐπεφοίτα σφίσιν, ὥσθ᾿ οἱ μὲν καὶ δεόμενοι τῶν
ἀνθρώπων, οἱ δὲ χαριεῖσθαι αὐτῷ νομίζοντες, καὶ οἵ γε πλείους,
ὅσοι ἐν δόξῃ περιουσίας ἦσαν, ἀναλῶσαί τι τῶν ὑπαρχόντων ἐπὶ
τῇ προφάσει ταύτῃ, ὅπως πενέστεροι γενόμενοι περισωθῶσιν, ἐθέ-
5 λοντες, μεγάλων αὐτοὺς χρημάτων ἠγόρασαν. καίτοι τοῦτο ποιήσας
ἔπειτα τούς τε ἀρίστους καὶ τοὺς ἐνδοξοτάτους σφῶν φαρμάκῳ
διέφθειρεν. τὸ δ᾿ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἵππων τῶν τε ἡνιόχων
6 τῶν ἀντιστασιωτῶν ἐποίει. ἰσχυρῶς γὰρ τῷ τὴν βατραχίδα ἐνδύ-
νοντι καὶ διὰ τοῦτ᾿ ἀπὸ τοῦ χρώματος τῷ πρασίνῳ καλουμένῳ
προσέκειτο, ὥστε καὶ νῦν ἔτι Γαϊανὸν ἐπ᾿ αὐτοῦ τὸ χωρίον ἐν ᾧ
7 τὰ ἅρματα ἤσκει καλεῖσθαι. καὶ ἕνα γε τῶν ἵππων, ὃν Ἰγκιτᾶτον
ὠνόμαζε, καὶ ἐπὶ δεῖπνον ἐκάλει, χρυσᾶς τε αὐτῷ κριθὰς παρέβαλλε,
καὶ οἶνον ἐν χρυσοῖς ἐκπώμασι προύπινε, τήν τε σωτηρίαν αὐτοῦ
καὶ τὴν τύχην ὤμνυε, καὶ προσυπισχνεῖτο καὶ ὕπατον αὐτὸν ἀπο-
δείξειν. καὶ πάντως ἂν καὶ τοῦτο ἐπεποιήκει, εἰ πλείω χρόνον ἐζήκει.
15 ἐς δ᾿ οὖν τοὺς πόρους τῶν χρημάτων πρότερον μὲν ἐψήφιστο
ὅπως ὅσοι τινὰ τῷ Τιβερίῳ καταλιπεῖν ἐθελήσαντες περιῆσαν, τῷ
Γαΐῳ αὐτὰ τελευτῶντες χαρίσωνται· ἵνα γὰρ δὴ καὶ παρὰ τοὺς
νόμους καὶ κληρονομεῖν καὶ δωρήματα τοιαῦτα λαμβάνειν, ὅτι
μήτε γυναῖκα τότε γε μήτε παῖδας εἶχε, δύνασθαι δοκῇ, δόγμα τι
2 προέθετο. ἐν δὲ τῷ παρόντι πάσας ἁπλῶς τὰς τῶν ἐν τοῖς ἑκατον-
τάρχοις ἐστρατευμένων οὐσίας, ὅσοι μετὰ τὰ ἐπινίκια ἃ ὁ πατὴρ
αὐτοῦ ἔπεμψεν ἄλλῳ τινὶ αὐτὰς καὶ μὴ τῷ αὐτοκράτορι κατελελοί-
3 πεσαν, αὐτὸς ἑαυτῷ καὶ ἄνευ ψηφίσματος ἐσέπραξεν. καὶ ἐπειδὴ
μηδὲ ταῦτα ἐξικνεῖτο, τρίτην τοιαύτην ἀφορμὴν ἀργυρισμοῦ ἐπε-
νόησεν. Γναῖος Δομίτιος Κορβούλων βουλευτής, κακῶς ἐπὶ τοῦ
Τιβερίου τὰς ὁδοὺς ἐχούσας ὁρῶν, τοῖς τε ἐπιμεληταῖς αὐτῶν ἀεί
ποτε ἐνέκειτο, καὶ προσέτι καὶ τῇ γερουσίᾳ ὀχληρὸς ὑπὲρ αὐτῶν
4 ἐγίγνετο. τοῦτον οὖν παραλαβὼν ἐπέθετο δι᾿ αὐτοῦ πᾶσιν οὐχ ὅτι
τοῖς ζῶσιν ἀλλὰ καὶ τοῖς τεθνηκόσιν, ὅσοι ποτὲ ἐπιστάται τῶν

Digitized by Google

ὁδῶν ἐγεγόνεσαν καὶ χρήματα ἐς τὰς ἐπισκευὰς αὐτῶν εἰλήφεσαν,
καὶ ἐκείνους τε καὶ τοὺς ἐργολαβήσαντάς τι παρ' αὐτῶν ὡς οὐδὲν
δὴ δαπανήσαντας ἐζημίου. ἐφ' οὗ δὴ ὁ Κορβούλων τότε μὲν ὑπά- 5
τευσεν, ὕστερον δὲ ἐπὶ Κλαυδίου αἰτίαν τε ἔσχε καὶ εὐθύνθη· ὁ
γὰρ Κλαύδιος οὔτε τὰ ἐποφειληθέντα ἀπήτησε, καὶ τὰ δεδομένα,
τὰ μὲν ἐκ τοῦ δημοσίου τὰ δὲ καὶ παρ' αὐτοῦ τοῦ Κορβούλωνος
ἐσπράξας, ἀπέδωκε τοῖς ζημιωθεῖσιν. τοῦτο μὲν ὕστερον ἐγένετο· 6
τότε δ' οὗτοί τε ὡς ἕκαστοι καὶ οἱ ἄλλοι πάντες ὡς εἰπεῖν οἱ ἐν
τῇ πόλει τρόπον τινὰ ἀπεσυλῶντο, καὶ ἀζήμιος τῶν γέ τι ἐχόντων
οὐδείς, οὐκ ἀνὴρ οὐ γυνή, ἦν. καὶ γὰρ εἴ τινα τῶν ἀφηλικεστέρων
ζῆν εἴα, ἀλλὰ πατέρας τε καὶ πάππους μητέρας τε καὶ τήθας σφᾶς
ὀνομάζων ζῶντάς τε ἐξεκαρποῦτο καὶ τελευτῶντας τῶν οὐσιῶν
ἐκληρονόμει.

μέχρι μὲν οὖν τοῦ χρόνου τούτου αὐτός τε τὸν Τιβέριον ἀεὶ 16
καὶ πρὸς πάντας κακῶς ἔλεγε, καὶ τοῖς ἄλλοις τοῖς κακηγοροῦσιν
αὐτὸν καὶ ἰδίᾳ καὶ δημοσίᾳ οὐχ ὅσον οὐκ ἐπετίμα ἀλλὰ καὶ ἔχαιρεν·
τότε δὲ ἐσελθὼν ἐς τὸ βουλευτήριον πολλὰ μὲν ἐκεῖνον ἐπῄνεσεν,
πολλὰ δὲ καὶ τῆς γερουσίας τοῦ τε δήμου κατηγόρησεν ὡς οὐκ
ὀρθῶς αὐτὸν ψεγόντων. "ἐμοὶ μὲν γάρ" ἔφη "αὐτοκράτορι ὄντι 2
καὶ τοῦτο ποιεῖν ἔξεστιν, ὑμεῖς δὲ δὴ οὐ μόνον ἀδικεῖτε ἀλλὰ καὶ
ἀσεβεῖτε πρὸς τὸν ἄρξαντά ποτε ὑμῶν οὕτω διακείμενοι." κἀκ
τούτου καθ' ἕκαστον τῶν ἀπολωλότων ἐπεξιὼν ἀπέφαινεν, ὥς γε
ἐδόκει, τοὺς βουλευτὰς αἰτίους τοῦ ὀλέθρου τοῖς πλείστοις αὐτῶν
γεγονότας, τοὺς μὲν ὅτι κατηγόρησάν σφων, τοὺς δὲ ὅτι κατεμαρ-
τύρησαν, πάντας δὲ ὅτι κατεψηφίσαντο. καὶ ταῦτά τε ὡς ἐξ αὐτῶν 3
ἐκείνων τῶν γραμμάτων ἃ καταπεπρηκέναι ποτὲ ἔφη ἐπανέγνω διὰ
τῶν ἀπελευθέρων, καὶ προσεπεῖπεν ὅτι εἰ καί τι ὁ Τιβέριος ἠδική-
κει, οὐκ ὠφείλετε αὐτὸν ζῶντα τετιμηκέναι, οὐ μὰ Δί' οὐκ ἐφ' οἷς
καὶ εἴπατε πολλάκις καὶ ἐψηφίσασθε μεταβάλλεσθαι. ἀλλ' ὑμεῖς 4
καὶ ἐκεῖνον ἐμπλήκτως μετεχειρίσασθε, καὶ τὸν Σηιανὸν φυσήσαντες
καὶ διαφθείραντες ἀπεκτείνατε, ὥστε δεῖ καὶ ἐμὲ μηδὲν χρηστὸν
παρ' ὑμῶν προσδέχεσθαι. τοιαῦτ' ἄττα εἰπὼν αὐτὸν δὴ τὸν Τιβέ-
ριον τῷ λόγῳ παρήγαγε, λέγοντά οἱ ὅτι καὶ καλῶς καὶ ἀληθῶς 5
πάντα ταῦτα εἴρηκας, καὶ διὰ τοῦτο μήτε φιλήσῃς τινὰ αὐτῶν μήτε
φείσῃ τινός. πάντες τε γὰρ μισοῦσί σε καὶ πάντες ἀποθανεῖν εὔ-
χονται· καὶ φονεύσουσί γε, ἂν δυνηθῶσιν. μήτ' οὖν ὅπως τι χαρίσῃ
πράξας αὐτοῖς ἐννόει, μήτ' ἂν τι θρυλῶσι φρόντιζε, ἀλλὰ τό τε ἡδὺ 6
καὶ τὸ ἀσφαλὲς τὸ σεαυτοῦ μόνον ὡς καὶ δικαιότατον προσκόπει.

15 5 1 ἐφ' ᾧ? an ἀφ' οὗ?* 6 5 πατ. γε?* 16 5 4 δυνη-θῶσι, σέ. μήτ'*

οὕτω μὲν γὰρ οὔτε τι πείσῃ κακὸν καὶ πάντων τῶν ἡδίστων ἀπο-
λαύσεις, καὶ προσέτι καὶ τιμηθήσῃ ὑπ᾽ αὐτῶν, ἄντ᾽ ἐθέλωσιν ἄντε
7 καὶ μή· ἐκείνως δὲ ἔργῳ μὲν οὐδὲν λήψῃ, λόγῳ δὲ δὴ δόξαν κενὴν
λαβὼν οὔτε τι πλέον ἕξεις καὶ ἐπιβουλευθεὶς ἀκλεῶς τελευτήσεις.
οὐδεὶς γὰρ ἀνθρώπων ἑκὼν ἄρχεται, ἀλλ᾽ ἐφ᾽ ὅσον μὲν φοβεῖται,
θεραπεύει τὸν ἰσχυρότερον, ὅταν δὲ δὴ θαρσήσῃ, τιμωρεῖται τὸν
8 ἀσθενέστερον. Γάιος μὲν ταῦτά τ᾽ εἰπὼν καὶ τὰ τῆς ἀσεβείας
ἐγκλήματα ἐπαναγαγών, ἔς τε στήλην αὐτὰ χαλκῆν εὐθὺς ἐγγραφῆ-
ναι ἐκέλευσε, καὶ ἐκ τοῦ βουλευτηρίου σπουδῇ ἐξεπήδησεν, ἔς τε τὸ
προάστειον αὐθημερὸν ἐξώρμησεν· ἡ δὲ δὴ γερουσία καὶ ὁ δῆμος
ἐν δέει μεγάλῳ ἐγένοντο, τῶν τε κατηγοριῶν ἅμα ἃς κατὰ τοῦ
Τιβερίου πολλάκις ἐπεποίηντο ἀναμιμνησκόμενοι, καὶ οἷα ἀνθ᾽ οἵων
9 ἠκηκόεσαν αὐτοῦ λέγοντος ἐκλογιζόμενοι. καὶ τότε μὲν ὑπό τε τῆς
ἐκπλήξεως καὶ ὑπὸ τῆς ἀθυμίας οὔτε φθέγξασθαι οὔτε τι χρημα-
τίσαι ἠδυνήθησαν· τῇ δ᾽ ὑστεραίᾳ αὖθις ἀθροισθέντες ἐπαίνους
τε αὐτοῦ πολλοὺς ὡς καὶ ἀληθεστάτου καὶ εὐσεβεστάτου ὄντος
10 ἐποιήσαντο, χάριν οἱ μεγάλην ἔχοντες ὅτι μὴ προσαπώλοντο· καὶ
διὰ τοῦτο καὶ τῇ φιλανθρωπίᾳ αὐτοῦ βουθυτεῖν κατ᾽ ἔτος ἔν τε
ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ταῦτα ἀνεγνώκει καὶ ἐν ταῖς τῷ παλατίῳ
προσηκούσαις, εἰκόνος τε αὐτοῦ χρυσῆς ἐς τὸ Καπιτώλιον ἀναγομέ-
νης καὶ ὕμνων ἐπ᾽ αὐτῇ διὰ τῶν εὐγενεστάτων παίδων ᾀδομένων,
11 ἐψηφίσαντο. τά τε ἐπινίκια τὰ σμικρότερα ὡς καὶ πολεμίους τινὰς
νενικηκότι πέμψαι αὐτῷ ἔδωκαν.

. καὶ οἱ μὲν τότε ταῦτ᾽ ἔγνωσαν, καὶ μετὰ τοῦτο κατὰ πᾶσαν
17 ὡς εἰπεῖν ἀφορμὴν πάντως τι αὐτῷ προσετίθεσαν· Γάιος δὲ ἐκείνης
μὲν τῆς πομπῆς οὐδὲν προετίμησεν (οὐδὲ γὰρ οὐδὲ μέγα τι ἐνόμιζεν
εἶναι ἵππῳ δι᾽ ἠπείρου διελάσαι), διὰ δὲ τῆς θαλάσσης τρόπον τινὰ
διιππεῦσαι ἐπεθύμησε, γεφυρώσας τὸ μεταξὺ τῶν τε Ποτεόλων
καὶ τῶν Βαύλων. τὸ γὰρ χωρίον τοῦτο καταντιπέραν τῆς πόλεως
2 ἐστί, διέχον αὐτῆς σταδίους ἓξ καὶ εἴκοσιν. πλοῖα δὲ ἐς τὴν γέφυ-
ραν τὰ μὲν ἠθροίσθη τὰ δὲ καὶ κατεσκευάσθη· οὐ γὰρ ἐξήρκεσε
τὰ ξυλλεγῆναι δυνηθέντα ὡς ἐν βραχυτάτῳ, καίτοι πάντα ὅσα ἐνε-
δέχετο συναχθέντα, ἀφ᾽ οὗπερ καὶ λιμὸς ἔν τε τῇ Ἰταλίᾳ καὶ ἐν
3 τῇ Ῥώμῃ μάλιστα ἰσχυρὸς ἐγένετο. ἐζεύχθη δὲ οὐχ ἁπλῶς δίοδός
τις, ἀλλὰ καὶ ἀναπαῦλαι ἐν αὐτῇ καὶ καταλύσεις, ὥστε καὶ ὕδωρ
αὐτὰς πότιμον ἐπίρρυτον ἔχειν, ἐποιήθησαν. ἐπειδή τε ἕτοιμα ἦν,
τόν τε θώρακα τὸν Ἀλεξάνδρου, ὥς γε ἔλεγε, καὶ ἐπ᾽ αὐτῷ χλαμύδα
σηρικὴν ἁλουργῆ, πολὺ μὲν χρυσίον πολλοὺς δὲ καὶ λίθους Ἰνδικοὺς

11 3 τότε τε ι.?*

Digitized by Google

ἔχουσαν, ἐπειδὴ ξίφος τε παρεζώσατο καὶ ἀσπίδα ἔλαβε καὶ δρυῒ
ἐστεφανώσατο, κἀκ τούτου τῷ τε Ποσειδῶνι καὶ ἄλλοις τισὶ θεοῖς 4
φθόνῳ τε θύσας, μὴ καὶ βασκανία τις αὐτῷ, ὡς ἔφασκε, γένηται,
ἔς τε τὸ ζεῦγμα ἀπὸ τῶν Βαύλων ἐσέβαλε, παμπληθεῖς καὶ ἱππέας
καὶ πεζοὺς ὡπλισμένους ἐπαγόμενος, καὶ σπουδῇ καθάπερ ἐπὶ πο-
λεμίους τινὰς ἐς τὴν πόλιν ἐσέπεσεν. κἀνταῦθα τῆς ὑστεραίας ἀνα- 5
παυσάμενος ὥσπερ ἐκ μάχης, ἀνεκομίσθη διὰ τῆς αὐτῆς γεφύρας
ἐφ' ἅρματος, χιτῶνα χρυσόπαστον ἐνδύς· ἦγον δὲ αὐτὸν οἱ ἀθληταὶ
ἵπποι οἱ ἀξιονικότατοι. καὶ ἄλλα τε αὐτῷ πολλὰ ὡς καὶ λάφυρα
συνηκολούθησε, καὶ Δαρεῖος ἀνὴρ Ἀρσακίδης, ἐν τοῖς ὁμηρεύουσι
τότε τῶν Πάρθων ὤν· οἵ τε φίλοι καὶ οἱ ἑταῖροι αὐτοῦ ἐπὶ ὀχη- 6
μάτων ἐν ἐσθῆσιν ἀνθιναῖς ἐφείποντο, καὶ ὁ στρατὸς καὶ ὅ γε
λοιπὸς ὅμιλος, ἰδίως πως ἕκαστοι κεκοσμημένοι. καὶ ἔδει γὰρ αὐτόν,
οἷα ἔν τε στρατιᾷ τοιαύτῃ καὶ ἐπὶ νίκῃ τηλικαύτῃ, καὶ δημηγορῆσαί
τι, ἀνέβη τε ἐπὶ βῆμα ἐπὶ πλοίων καὶ αὐτὸ κατὰ μέσην που τὴν
γέφυραν πεποιημένον, καὶ πρῶτον μὲν ἑαυτὸν ὡς καὶ μεγάλων τινῶν 7
ἔργων ἐπιχειρητὴν ἀπεσέμνυνεν, ἔπειτα δὲ τοὺς στρατιώτας ὡς καὶ
πεπονηκότας καὶ κεκινδυνευκότας ἐπῄνεσεν, ἄλλα τε καὶ αὐτὸ τοῦτο
εἰπών, ὅτι πεζῇ διὰ τῆς θαλάσσης διέδραμον. καὶ χρήματά τε 8
διὰ τοῦτο αὐτοῖς ἔδωκε, καὶ μετὰ τοῦτο αὐτός τε ἐπὶ τῆς γεφύρας
ὥσπερ ἐν νήσῳ τινί, καὶ ἐκεῖνοι ἐν ἑτέροις πλοίοις περιορμοῦντες,
τό τε λοιπὸν τῆς ἡμέρας καὶ τὴν νύκτα πᾶσαν εἱστιάθησαν, πολ-
λοῦ μὲν αὐτόθεν φωτὸς πολλοῦ δὲ καὶ ἐκ τῶν ὀρῶν ἐπιλάμψαντος
σφίσιν. τοῦ γὰρ χωρίου μηνοειδοῦς ὄντος πῦρ πανταχόθεν, καθάπερ 9
ἐν θεάτρῳ τινί, ἐδείχθη, ὥστε μηδεμίαν αἴσθησιν τοῦ σκότου γε-
νέσθαι· καὶ γὰρ τὴν νύκτα ἡμέραν, ὥσπερ που τὴν θάλασσαν
γῆν, ποιῆσαι ἠθέλησεν. ἐμπλησθεὶς δὲ δὴ καὶ ὑπερκορὴς καὶ σίτου
καὶ μέθης γενόμενος συχνοὺς μὲν τῶν ἑταίρων ἐς τὴν θάλασσαν
ἀπὸ τῆς γεφύρας ἔρριψε, συχνοὺς δὲ καὶ τῶν ἄλλων ἐν πλοίοις 10
ἐμβόλους ἔχουσι περιπλεύσας κατέδυσεν, ὥστε καὶ ἀπολέσθαι τινάς·
οἱ γὰρ πλείους καίπερ μεθύοντες ἐσώθησαν. αἴτιον δὲ ὅτι καὶ
λειοτάτη καὶ στασιμωτάτη ἡ θάλασσα, καὶ ἐν ᾧ ἡ γέφυρα ἐζεύχθη
καὶ ἐν ᾧ τὰ ἄλλα ἐποιήθη, ἐγένετο. καί τι καὶ ἀπὸ τούτου ὠγκώθη, 11
λέγων ὅτι καὶ ὁ Ποσειδῶν αὐτὸν ἐφοβήθη, ἐπεὶ ἔς γε τὸν Δαρεῖον
καὶ τὸν Ξέρξην οὐδὲν ὅ τι οὐκ ἀπέσκωπτεν, ὡς καὶ πολλαπλάσιόν
σφων μέτρον τῆς θαλάσσης ζεύξας.

τῆς μὲν δὴ γεφύρας ἐκείνης τοῦτο τὸ τέλος ἐγένετο, καὶ αἰτίαν 18
καὶ αὐτὴ θανάτου πολλοῖς παρέσχεν· ἐξαναλωθεὶς γὰρ ἐς αὐτὴν

17 5 4 οἱ om   δὲ*   8 2 γε*   9 2 σκότους

πολλῷ πλείοσι διὰ τὰς οὐσίας ἐπεβούλευσεν. ἐδίκαζε δὲ καὶ ἰδίᾳ
2 καὶ μετὰ πάσης τῆς γερουσίας. καί τινα καὶ ἐκείνη καθ᾿ ἑαυτὴν
ἔκρινεν· οὐ μέντοι καὶ αὐτοτελὴς ἦν, ἀλλ᾿ ἐφέσιμοι δίκαι ἀπ᾿ αὐτῆς
ἐγίγνοντο συχναί. καὶ τὰ μὲν τῇ βουλῇ δόξαντα ἄλλως ἐφανεροῦτο,
τῶν δὲ ὑπὸ τοῦ Γαΐου καταψηφισθέντων τὰ ὀνόματα ἐξετίθετο,
3 ὥσπερ φοβουμένου αὐτοῦ μὴ διαλάθωσιν. καὶ οὗτοί τε ἐκολάζοντο,
οἱ μὲν ἐν τῷ δεσμωτηρίῳ οἱ δὲ καὶ ἀπὸ τοῦ Καπιτωλίου κατα-
κρημνιζόμενοι, καὶ ἕτεροι σφᾶς αὐτοὺς προαπεκτίννυσαν. οὐδὲ γὰρ
οὐδὲ τοῖς ἐξελαυνομένοις ἀσφάλεια ἦν, ἀλλὰ καὶ ἐκείνων πολλοὶ
ἤτοι κατὰ τὴν ὁδὸν ἢ καὶ ἐν τῇ φυγῇ διεφθείροντο. καὶ τὰ μὲν
τῶν ἄλλων οὐδὲν δεῖ λεπτολογοῦντα μάτην τοὺς ἀναγνωσομένους
4 διοχλεῖν· Καλουίσιος δὲ δὴ Σαβῖνος ἔν τε τοῖς πρώτοις τῆς βουλῆς
ὢν καὶ τότε ἐκ τῆς ἐν τῇ Παννονίᾳ ἀρχῆς ἀφιγμένος, ἥ τε γυνὴ
αὐτοῦ Κορνηλία γραφέντες (καὶ γὰρ ἐκείνη ὡς φυλακάς τε ἐφοδεύ-
σασα καὶ τοὺς στρατιώτας ἀσκοῦντας ἰδοῦσα αἰτίαν ἔσχεν) οὐχ
5 ὑπέμειναν τὴν κρίσιν, ἀλλ᾿ ἑαυτοὺς προανάλωσαν. τὸ δ᾿ αὐτὸ τοῦτο
καὶ Τίτιος Ῥοῦφος ἐποίησεν, ἔγκλημα λαβὼν εἰρηκέναι ὅτι ἡ γε-
ρουσία ἄλλα μὲν φρονεῖ ἄλλα δ᾿ ἀποφαίνεται. Ἰούνιός τέ τις
Πρίσκος στρατηγὸς ᾐτιάθη μὲν ἐπ᾿ ἄλλοις τισίν, ἀπέθανε δὲ ὡς
πλούσιος. καὶ ἐπ᾿ αὐτῷ ὁ Γάιος, μαθὼν ὅτι οὐδὲν ἄξιον τοῦ θα-
νάτου ἐκέκτητο, θαυμαστὸν λόγον ἐφθέγξατο, εἰπὼν ὅτι ἠπάτησέ
με καὶ μάτην ἀπώλετο· ζῆν γὰρ ἐδύνατο.
19 ἐν τούτοις τοῖς τότε κριθεῖσι καὶ ὁ Ἄφρος ὁ Δομίτιος καὶ κιν-
δύνῳ παραδόξῳ καὶ σωτηρίᾳ θαυμασιωτέρᾳ ἐχρήσατο. ἤχθετο μὲν
γὰρ αὐτῷ καὶ ἄλλως ὁ Γάιος, ὅτι ἐπὶ τοῦ Τιβερίου γυναικός τινος
2 τῇ Ἀγριππίνῃ τῇ μητρὶ αὐτοῦ προσηκούσης κατηγορήκει· ἐφ᾿ ᾧ
δὴ ἐκείνη συναντήσασά ποτε αὐτῷ, καὶ μαθοῦσα ὅτι ἐξέστη τῆς
ὁδοῦ δι᾿ αἰσχύνην, προσεκαλέσατό τε αὐτὸν καὶ ἔφη "θάρσει, Δο-
μίτιε· οὐ γάρ σύ μοι αἴτιος εἶ, ἀλλ᾿ Ἀγαμέμνων." τότε δὲ ἐπειδὴ
εἰκόνα τινὰ αὐτοῦ στήσας ἐπίγραμμα αὐτῇ ἐπέγραψε δηλοῦν ὅτι
3 ἕβδομον καὶ εἰκοστὸν ἄγων ἔτος δεύτερον ὑπατεύοι, ἠγανάκτησεν
ὡς καὶ προφέροντός οἱ αὐτοῦ τό τε μειρακιῶδες καὶ τὸ παράνομον,
καὶ εὐθὺς ἐπὶ τούτῳ, ἐφ᾿ ᾧ καὶ τιμηθήσεσθαι προσεδόκησεν, ἔς τε
τὸ συνέδριον αὐτὸν ἐσήγαγε καὶ λόγον κατ᾿ αὐτοῦ μακρὸν ἀνέγνω·
ἄλλως τε γὰρ προέχειν ἁπάντων τῶν ῥητόρων ἠξίου, καὶ ἐκεῖνον
4 δεινότατον εἰπεῖν εἰδὼς ὄντα ὑπερβαλεῖν ἐσπούδασεν. πάντως τ᾿
ἂν ἀπέκτεινεν αὐτόν, εἰ καὶ ἐφ᾿ ὁποσονοῦν ἀντεπεφιλοτίμητο. νῦν
δὲ ἀντεῖπε μὲν οὐδὲν οὐδ᾿ ἀπελογήσατο, θαυμάζειν δὲ δὴ καὶ κα-

18 4 3 φύλακάς* 19 2 5 δηλῶν*

Digitized by Google

**ταπεπλῆχθαι τὴν δεινότητα τοῦ Γαΐου προσποιησάμενος, τήν τε**
**κατηγορίαν καθ' ἓν ἕκαστον ἐπιλέγων, ὥσπερ τις ἀκροατὴς ἀλλ'**
**οὐχ ὑπεύθυνος ὤν, ἐπήνει, καὶ ἐπειδὴ ὁ λόγος αὐτῷ ἐδόθη, πρὸς** 5
ἀντιβολίαν καὶ ὀλοφυρμὸν ἐτράπετο, καὶ τέλος ἔς τε τὴν γῆν κατέ-
πεσε καὶ χαμαὶ κείμενος ἱκέτευσεν ὡς καὶ τὸν ῥήτορα αὐτοῦ μᾶλλον
ἢ τὸν Καίσαρα φοβούμενος. καὶ οὕτως ἐκεῖνος, ὁρῶν τε ταῦτα
καὶ ἀκούων, διεχύθη, πιστεύσας ὄντως τῇ τῶν λόγων παρασκευῇ
κεκρατηκέναι αὐτοῦ· καὶ διά τε τοῦτο καὶ διὰ Κάλλιστον τὸν ἀπε- 6
λεύθερον, ὃν αὐτός τε ἐτίμα καὶ ὁ Δομίτιος ἐτεθεραπεύκει, ἐπαύ-
σατο ὀργιζόμενος. καὶ τῷ γε Καλλίστῳ αἰτιασαμένῳ αὐτὸν ὕστερον
ὅτι καὶ τὴν ἀρχὴν αὐτοῦ κατηγόρησεν, ἀπεκρίνατο ὅτι οὐκ ἔδει με
τοιοῦτον λόγον ἀποκεκρύφθαι. Δομίτιος μὲν δὴ καταγνωσθεὶς μη- 7
κέτι δεινὸς εἶναι λέγειν ἐσώθη· ὁ δὲ δὴ Σενέκας ὁ Ἄννιος ὁ Λούκιος,
ὁ πάντας μὲν τοὺς καθ' ἑαυτὸν Ῥωμαίους πολλοὺς δὲ καὶ ἄλλους
σοφίᾳ ὑπεράρας, διεφθάρη παρ' ὀλίγον μήτ' ἀδικήσας τι μήτε
δόξας, ὅτι δίκην τινὰ ἐν τῷ συνεδρίῳ παρόντος αὐτοῦ καλῶς εἶπεν.
τοῦτον μὲν οὖν ἀποθανεῖν κελεύσας ἀφῆκε, γυναικί τινι ὧν ἐχρῆτο 8
πιστεύσας ὅτι φθόης τε ἔχοι κακῶς καὶ οὐκ ἐς μακρὰν τελευτήσοι·
τὸν δὲ δὴ Δομίτιον καὶ ὕπατον εὐθὺς ἀπέδειξε, τοὺς τότε ἄρχοντας 20
καταλύσας, ὅτι τε ἐς τὰ γενέθλια αὐτοῦ ἱερομηνίαν οὐκ ἐπήγγειλαν,
καίτοι τῶν στρατηγῶν ἱπποδρομίαν ἐν αὐτῷ ποιησάντων καὶ θηρία
ἀποκτεινάντων, ὅπερ που καθ' ἕκαστον ἔτος ἐγίγνετο, καὶ ὅτι ἐπὶ
ταῖς τοῦ Αὐγούστου νίκαις ἃς τὸν Ἀντώνιον ἐνενικήκει ἑορτήν,
ὥσπερ εἴθιστο, ἤγαγον. ἵνα γὰρ συκοφαντήσῃ αὐτούς, τοῦ Ἀντω- 2
νίου μᾶλλον ἢ τοῦ Αὐγούστου ἀπόγονος δοκεῖν ἠθέλησεν εἶναι· καὶ
προεῖπέ γε οἷς καὶ τἆλλα ἀνεκοίνου, ὅτι πάντως ὁπότερον ἄν τι
ποιήσωσιν ἁμαρτήσουσιν, ἄντε ἐπὶ τῇ τοῦ Ἀντωνίου συμφορᾷ βου-
θυτήσωσιν, ἄντε ἐπὶ τῇ τοῦ Αὐγούστου νίκῃ ἄθυτοι γένωνται.
ἐκείνους μὲν δὴ διὰ ταῦτα αὐθημερὸν τῆς ἀρχῆς ἔπαυσε, τὰς ῥάβ- 3
δους σφῶν προσυντρίψας, ἐφ' ᾧ δὴ ὁ ἕτερος αὐτῶν ἀδημονήσας
ἑαυτὸν ἔσφαξεν· τὸν δὲ δὴ Δομίτιον συνάρχοντα αὐτοῦ λόγῳ μὲν
ὁ δῆμος ἔργῳ δ' αὐτὸς εἵλετο. ἀπέδωκε μὲν γὰρ τὰς ἀρχαιρεσίας
αὐτοῖς· ἅτε δὲ ἐκείνων τε ἀργοτέρων ὑπὸ τοῦ πολλοῦ χρόνου μηδὲν 4
ἐλευθέρως κεχρηματικέναι ἐς τὸ δρᾶν τι τῶν προσηκόντων σφίσιν
ὄντων, καὶ τῶν σπουδαρχιώντων μάλιστα μὲν μὴ πλειόνων ἢ ὅσους
αἱρεῖσθαι ἔδει ἐπαγγελλόντων, εἰ δέ ποτε καὶ ὑπὲρ τὸν ἀριθμὸν
γένοιντο, διομολογουμένων πρὸς ἀλλήλους, τὸ μὲν σχῆμα τῆς δη-
μοκρατίας ἐσώζετο, ἔργον δ' οὐδὲν αὐτῆς ἐγίγνετο. καὶ διὰ τοῦτο 5

7 2 ὁ ante Δ. om* 8 2 ἔχοιτο* 20 1 3 αὐτοῖς? 8 3 Δομ. τὸν σ.*

Digitized by Google

ὑπ' αὐτοῦ αὖθις τοῦ Γαΐου κατελύθησαν. κἀκ τούτου τὰ μὲν ἄλλα καθάπερ καὶ ἐπὶ τοῦ Τιβερίου καθίστατο, στρατηγοὶ δὲ τοτὲ μὲν πεντεκαίδεκα, ἔστι δ' ὅτε ἑνὶ πλείους ἢ καὶ ἐλάττους, ὥς που καὶ ἔτυχον, ᾑροῦντο.

6 περὶ μὲν οὖν τὰς ἀρχαιρεσίας ταῦτα ἔπραξεν, οὕτω δὲ δὴ τὸ
σύμπαν καὶ βάσκανος καὶ ὕποπτος πρὸς πάντα ὁμοίως ἦν ὥστε
καὶ Καρίναν Σεκοῦνδον ῥήτορα φυγαδεῦσαί ποτε, ὅτι λόγον τινὰ
7 ἐν γυμνασίᾳ κατὰ τυράννων εἶπεν. ἐπειδή τε Λούκιος Πίσων ὁ τῆς
τε Πλαγκίνης καὶ τοῦ Γναίου τοῦ Πίσωνος υἱὸς ἄρξας τῆς Ἀφρικῆς ἔτυχεν, ἐφοβήθη μὴ νεωτερίσῃ τι ὑπὸ μεγαλαυχίας, ἄλλως τε καὶ ὅτι δύναμιν πολλὴν καὶ πολιτικὴν καὶ ξενικὴν ἕξειν ἔμελλε, καὶ δίχα τὸ ἔθνος νείμας ἑτέρῳ τό τε στρατιωτικὸν καὶ τοὺς νομάδας τοὺς περὶ αὐτὸ προσέταξεν· καὶ ἐξ ἐκείνου καὶ δεῦρο τοῦτο γίγνεται.

21 καὶ ἤδη γὰρ τά τε ἐν τῇ Ῥώμῃ καὶ τὰ ἐν τῇ ἄλλῃ Ἰταλίᾳ
χρήματα πάντα ὡς εἰπεῖν, ὅθεν τι καὶ ὁπωσοῦν οἷόν τε ἦν αὐτῷ
λαβεῖν, ἀναλώκει, καὶ οὔτε ἐνταῦθα πόρος τις ἀξιόχρεως ἢ καὶ δυ-
νατὸς εὑρίσκετο, καὶ αἱ δαπάναι ὑπερήπειγον αὐτόν, ἐς τὴν Γαλα-
2 τίαν ἀφώρμησε, πρόφασιν μὲν τοὺς Κελτοὺς τοὺς πολεμίους ὡς
καὶ παρακινοῦντάς τι ποιησάμενος, ἔργῳ δὲ ὅπως καὶ τὰ ἐκείνων
ἀνθοῦντα τοῖς πλούτοις καὶ τὰ τῶν Ἰβήρων ἐκχρηματίσηται. οὐ
μέντοι καὶ ἄντικρυς τὴν ἔξοδον προαπήγγειλεν, ἀλλ' ἐς προάστειόν
τι ἐλθὼν εἶτ' ἐξαίφνης ἀπῆρε, πολλοὺς μὲν ὀρχηστὰς πολλοὺς δὲ
3 μονομάχους ἵππους γυναῖκας τὴν ἄλλην τρυφὴν ἐπαγόμενος. ἐλ-
θὼν δὲ ἐκεῖσε τῶν μὲν πολεμίων οὐδένα ἐκάκωσεν (εὐθύς τε γὰρ
ὀλίγον ὑπὲρ τοῦ Ῥήνου προχωρήσας ὑπέστρεψε, καὶ μετὰ τοῦτο
ὁρμήσας ὡς καὶ ἐς τὴν Βρεττανίαν στρατεύσων ἀπ' αὐτοῦ τοῦ
ὠκεανοῦ ἀνεκομίσθη, καὶ τοῖς ὑποστρατήγοις τοῖς κατορθοῦσί τι
πάνυ ἤχθετο), τοὺς δ' ὑπηκόους τούς τε συμμάχους καὶ τοὺς πο-
4 λίτας πλεῖστα καὶ μέγιστα ἐκακούργησεν. τοῦτο μὲν γὰρ τούς τι
ἔχοντας ἐπὶ πάσῃ προφάσει ἐσύλα, τοῦτο δὲ καὶ δῶρα οἵ τε ἰδιῶται
καὶ αἱ πόλεις ἑκοῦσαι δῆθεν μεγάλα αὐτῷ ἦγον. ἄλλους ὡς νεω-
τερίζοντας, ἄλλους ὡς ἐπιβουλεύοντάς οἱ ἐφόνευεν. καὶ ἦν δημόσιον
5 ἔγκλημα πᾶσί σφισι τὸ πλουτεῖν. καὶ αὐτῶν τὰ κτήματα αὐτὸς
πιπράσκων πολλῷ καὶ ἐκ τούτου πλέον ἠργυρολόγει· πάντες γὰρ
ἠναγκάζοντο παντοίως τε καὶ πολύ γε ὑπὲρ τὴν ἀξίαν ὠνεῖσθαι,
δι' ἃ εἴρηκα. ἀφ' οὗπερ καὶ τὰ τῆς μοναρχίας κειμήλια τὰ κάλ-
λιστα καὶ τιμιώτατα μεταπεμψάμενος ἀπεκήρυξε, τὴν δόξαν τῶν
6 ποτὲ χρησαμένων αὐτοῖς συμπωλῶν σφίσιν. ἐπέλεγε γοῦν ἐφ' ἑκάστῳ

7 2 τοῦ post Γ. om*   21 4 1 ὡς om   5 4 πάντως?

Digitized by Google

"τοῦτό μου ὁ πατὴρ ἐκτήσατο, τοῦτο ἡ μήτηρ, τοῦτο ὁ πάππος,
τοῦτο ὁ πρόπαππος· Ἀντωνίου τοῦτο Αἰγύπτιον, Αὐγούστου τὸ
νικητήριον." κἀν τούτῳ τήν τε ἀνάγκην ἅμα τῆς πράσεως αὐτῶν
ἐνεδείκνυτο, ὥστε μηδένα ὑπομένειν ἀπορεῖν δοκεῖν, καὶ τὸ ἀξίωμά
σφισι συναπεδίδοτο.

οὐ μέντοι καὶ περιεποιεῖτό τι, ἀλλ' ἔς τε τἆλλα ἐδαπάνα ὥσπερ 22
εἰώθει (καὶ γὰρ θέας τινὰς ἐν τῷ Λουγδούνῳ ἐπετέλεσεν), καὶ ἐς
τὰ στρατεύματα· εἴκοσι γάρ, ὡς δέ τινές φασι, πέντε καὶ εἴκοσι
μυριάδας στρατιωτῶν ἤθροισεν. καὶ ὑπ' αὐτῶν ἑπτάκις αὐτοκράτωρ, 2
ὥς που καὶ ἔδοξεν αὐτῷ, μήτε μάχην τινὰ νικήσας μήτε πολέμιόν
τινα ἀποκτείνας ἐπωνομάσθη. ἐκείνων μὲν γὰρ ὀλίγους ποτὲ ἀπάτῃ
τινὶ συλλαβὼν ἔδησε, τοῦ δὲ δὴ οἰκείου πολὺ μέρος ἀνάλωσε, τοὺς
μὲν καθ' ἑκάστους κατακόπτων, τοὺς δὲ καὶ ἀθρόους ἅμα πάντας
φονεύσας. ἰδὼν γάρ ποτε ὄχλον εἴτε δεσμωτῶν εἴτε καὶ ἄλλων 3
τινῶν, προσέταξε τοῦτο δὴ τὸ λεγόμενον, ἀπὸ τοῦ φαλακροῦ μέχρι
τοῦ φαλακροῦ πάντας αὐτοὺς σφαγῆναι. κυβεύων δέ ποτε, καὶ
μαθὼν ὅτι οὐκ εἴη οἱ ἀργύριον, ᾔτησέ τε τὰς τῶν Γαλατῶν ἀπο-
γραφάς, καὶ ἐξ αὐτῶν τοὺς πλουσιωτάτους θανατωθῆναι κελεύσας
ἐπανῆλθέ τε πρὸς τοὺς συγκυβευτὰς καὶ ἔφη ὅτι ὑμεῖς περὶ ὀλίγων 4
δραχμῶν ἀγωνίζεσθε, ἐγὼ δὲ ἐς μυρίας καὶ πεντακισχιλίας μυριάδας
ἤθροισα. καὶ οὗτοι μὲν ἐν οὐδενὶ λόγῳ ἀπώλοντο· ἀμέλει εἷς τις
αὐτῶν Ἰούλιος Σακερδὼς ἄλλως μὲν εὖ χρημάτων ἥκων, οὐ μέντοι
καὶ ὑπερπλουτῶν ὥστε καὶ ἐπιβουλευθῆναι δι' αὐτά, ὅμως ἐξ ἐπω-
νυμίας ἀπεσφάγη· οὕτως ἀκρίτως πάντα ἐγίγνετο. τῶν δὲ ἄλλων 5
τοὺς μὲν πολλοὺς οὐδὲν δέομαι ὀνομαστὶ καταλέγειν, ὧν δὲ δὴ ἡ
ἱστορία τὴν μνήμην ἀπαιτεῖ, φράσω. τοῦτο μὲν γὰρ Γαιτούλικον
Λέντουλον, τά τε ἄλλα εὐδόκιμον ὄντα καὶ τῆς Γερμανίας δέκα
ἔτεσιν ἄρξαντα, ἀπέκτεινεν, ὅτι τοῖς στρατιώταις ᾠκείωτο· τοῦτο 6
δὲ τὸν Λέπιδον ἐκεῖνον τὸν ἐραστὴν τὸν ἐρώμενον, τὸν τῆς Δρου-
σίλλης ἄνδρα, τὸν καὶ ταῖς ἄλλαις αὐτοῦ ἀδελφαῖς τῇ τε Ἀγριππίνῃ
καὶ τῇ Λιβίλλῃ μετ' αὐτοῦ ἐκείνου συνόντα, ᾧ πέντε ἔτεσι θᾶσσον
τὰς ἀρχὰς παρὰ τοὺς νόμους αἰτῆσαι ἐπέτρεψεν, ὃν καὶ διάδοχον 7
τῆς ἡγεμονίας καταλείψειν ἐπηγγέλλετο, κατεφόνευσεν. καὶ τοῖς τε
στρατιώταις ἀργύριον ἐπὶ τούτῳ, καθάπερ πολεμίων τινῶν κεκρα-
τηκώς, ἔδωκε, καὶ ξιφίδια τρία τῷ Ἄρει τῷ τιμωρῷ ἐς τὴν Ῥώμην

6 5 εὐπορεῖν* 22 3 1 φονεύων Xiph. p. 130 ἰδὼν —] ὅτι Γάιος οὕτως ἦν ἀδιάκριτος περὶ τοὺς φόνους ὥστε ποτὲ προσενεχθέντων αὐτῷ πολλῶν κατηγορουμένων ἐφ' ᾧ ἐξετάσαι, στῆσαι μὲν αὐτοὺς ἐπὶ στίχον, εἰπεῖν δὲ τὸ ὡς γελοῖον ἐπὶ τοῦ παρόντος λεγόμενον, ἀπὸ τοῦ φαλακροῦ μέχρις ἐκείνου τοῦ κομῶντος πάντας φόνευσον. M p. 204 4 1 ὑμεῖς μὲν π.?* 3 ἐν om 6 4 Λιουίλλᾳ*

8 ἔπεμψεν. τάς τε ἀδελφὰς ἐπὶ τῇ συνουσίᾳ αὐτοῦ ἐς τὰς Ποντίας
νήσους κατέθετο, πολλὰ περὶ αὐτῶν καὶ ἀσεβῆ καὶ ἀσελγῆ τῷ συνεδρίῳ γράψας· καὶ τῇ γε Ἀγριππίνῃ τὰ ὀστᾶ αὐτοῦ ἐν ὑδρίᾳ
ἔδωκε, κελεύσας οἱ ἐν τοῖς κόλποις αὐτὴν διὰ πάσης τῆς ὁδοῦ
9 ἔχουσαν ἐς τὴν Ῥώμην ἀνενεγκεῖν. ἐπειδή τε συχνὰ αὐταῖς δι' ἐκεῖνον δῆλον ὅτι προεψήφιστο, ἀπηγόρευσε μηδενὶ τῶν συγγενῶν αὐτοῦ μηδεμίαν τιμὴν δίδοσθαι.

23 τότε μὲν δὴ ταῦτα, ὡς καὶ μεγάλην τινὰ ἐπιβουλὴν διαπεφευγώς, ἐπέστειλεν· πάνυ γὰρ δὴ καὶ ἄλλως προσεποιεῖτο ἐν δεινοῖς τε
2 εἶναι καὶ ταλαιπώρως διάγειν. ἐπεὶ δὲ μαθόντες αὐτὰ οἱ βουλευταὶ ἄλλα τέ τινα αὐτῷ καὶ τὰ ἐπινίκια τὰ σμικρότερα ἐψηφίσαντο, πρέσβεις τε ἐπ' αὐτοῖς ἄλλους κλήρῳ καὶ τὸν Κλαύδιον αἱρετὸν ἔπεμψαν, τοῦτό τε ἐδυσχέρανεν, ὥστε καὶ αὖθις ἀπειπεῖν μήτε ἐπαίνου τι μήτε τιμῆς ἐχόμενον τοῖς συγγενέσιν αὐτοῦ γίγνεσθαι,
3 καὶ ὅτι μὴ κατ' ἀξίαν τετιμῆσθαι ἐδόκει. πάντα γὰρ ἀεὶ τὰ διδόμενα αὐτῷ παρ' οὐδὲν ἐτίθετο, καὶ ἤχθετο μὲν εἰ μικρά τινα ψηφισθείη, ὡς καταφρονούμενος, ἤχθετο δὲ καὶ εἰ μείζω, ὡς καὶ τῆς τῶν λοιπῶν ἐξουσίας ἀφαιρούμενος. οὐδὲ γὰρ ἐβούλετο δοκεῖν τι τῶν τιμήν τινα αὐτῷ φερόντων ἐπ' αὐτοῖς ὡς καὶ κρείττοσιν αὐτοῦ οὖσι καὶ χαρίσασθαί οἱ ὡς καὶ ἥττονί σφων ὄντι δυναμένοις εἶναι·
4 καὶ διὰ τοῦτο πολλάκις τινὰ οὐχ ὡς καὶ αὔξησιν τῆς λαμπρότητος ἀλλ' ὡς καθαίρεσιν τῆς ἰσχύος αὐτῷ φέροντα διέβαλλεν. καὶ μέντοι καὶ ταῦθ' οὕτω φρονῶν ὠργίζετο αὐτοῖς, εἴ ποτε ἐλάττω σφᾶς τῆς ἀξίας ἐψηφίσθαι οἱ ἔδοξεν. οὕτω που ἔμπληκτος ἦν, καὶ οὐδεὶς
5 αὐτοῦ ῥᾳδίως τυχεῖν ἐδύνατο. ἐκείνους μὲν οὖν τοὺς πρέσβεις διὰ τοῦθ' ὡς καὶ κατασκόπους ὑπιδόμενος, οὔτε πάντας προσεδέξατο, ἀλλ' ὀλίγους ἐπιλεξάμενος τοὺς λοιπούς, πρὶν ἐς τὴν Γαλατίαν ἐλθεῖν, ἀπεπέμψατο, οὐδ' οὓς γε προσήκατο σεμνοῦ τινὸς ἠξίωσεν, ἀλλὰ καὶ τὸν Κλαύδιον ἀπέκτεινεν ἄν, εἰ μὴ κατεφρόνησεν αὐτοῦ τὰ μὲν τῇ φύσει τὰ δὲ καὶ ἐκ προνοίας πολλὴν νωθείαν προσποιουμένου.
6 ἑτέρους δὲ αὖθις πλείους τε πεμφθέντας (πρὸς γὰρ τοῖς ἄλλοις τὴν ὀλιγότητα τῶν προτέρων ᾐτιᾶτο) καὶ πολλά τι ἐψηφίσθαι οἱ ἀγγέλλοντας ἡδέως ὑπεδέξατο, καὶ προαπήντησέ τε αὐτοῖς, ὑφ' ὧν
7 καὶ αὐτῶν αὖθις ἐτιμήθη. καὶ τοῦτο μὲν ὕστερον ἐγένετο· τότε δὲ ἐκβαλὼν τὴν Παυλῖναν, προφάσει μὲν ὡς μὴ τίκτουσαν, τὸ δ' ἀληθὲς ὅτι διακορὴς αὐτῆς ἐγεγόνει, Μιλωνίαν Καισωνίαν ἔγημεν, ἣν πρότερον μὲν ἐμοίχευε, τότε δὲ καὶ γαμετὴν ποιήσασθαι ἠθέλησεν,

8 4 τῆς om* 9, 2 προσεψηφίσατο 23 3 1 δοκεῖ 5 ὡς] εἶναι ὡς 6 χαρ. σφῶν οἱ ὡς καὶ ἧττον σφῶν τι δ. 6 2 πολλὰ προσεψ.? 3 ὑφ'] καὶ χρήμασί σφας ἐτίμησεν, ἀφ'?*

Digitized by Google

ἐπειδὴ ἐν γαστρὶ ἔσχεν, ἵν᾽ αὐτῷ παιδίον τριακονθήμερον τέκῃ. οἱ 8
δὲ ἐν τῇ Ῥώμῃ ἐταράττοντο μὲν καὶ ἐκ τούτων, ἐταράττοντο δὲ
καὶ ὅτι δίκαι σφίσιν ἐπί τε τῇ πρὸς τὰς ἀδελφὰς αὐτοῦ καὶ ἐπὶ
τῇ πρὸς τοὺς πεφονευμένους φιλίᾳ πολλαὶ ἐπήγοντο, ὡς καὶ ἀγο-
ρανόμους στρατηγούς τέ τινας ἀναγκασθῆναι τὴν ἀρχὴν ἀπειπόντας
κριθῆναι. κἂν τούτῳ καὶ ὑπὸ καυμάτων ἐταλαιπώρησαν· τοσαύτη 9
γὰρ ὑπερβολὴ αὐτῶν ἐγένετο ὥστε καὶ παραπετάσματα ὑπὲρ τῆς
ἀγορᾶς ὑπερταθῆναι. ἐν τούτοις τοῖς τότε φεύγουσι καὶ ὁ Τιγελ-
λῖνος ὁ Σωφόνιος, ὡς καὶ τὴν Ἀγριππῖναν μεμοιχευκώς, ἐξέπεσεν.

οὐ μέντοι ταῦθ᾽ οὕτως αὐτοὺς ἐλύπει ὡς τὸ προσδοκᾶν ἐπὶ 24
πλεῖον τήν τε ὠμότητα τὴν τοῦ Γαΐου καὶ τὴν ἀσέλγειαν αὐξήσειν,
καὶ μάλισθ᾽ ὅτι ἐπυνθάνοντο τόν τε Ἀγρίππαν αὐτῷ καὶ τὸν Ἀν-
τίοχον τοὺς βασιλέας ὥσπερ τινὰς τυραννοδιδασκάλους συνεῖναι.
καὶ διὰ ταῦθ᾽ ὑπατεύοντος αὐτοῦ τὸ τρίτον οὐδεὶς οὔτε τῶν δη- 2 a.C.
μάρχων οὔτε τῶν στρατηγῶν ἀθροῖσαι τὴν γερουσίαν ἐτόλμησεν· *40*
συνάρχοντα γάρ, οὐτοι καὶ ἐπιτηδεύσας, ὥσπερ οἴονταί τινες, ἀλλὰ
τοῦ μὲν προαποδεδειγμένου τελευτήσαντος, ἑτέρου δὲ μηδενὸς δι᾽
ὀλίγου οὕτως ἐν τῇ ἐκδημίᾳ αὐτοῦ ἀντικαταστῆναι δυνηθέντος,
οὐδένα ἔσχεν. καὶ ἔδει μέν που τοὺς στρατηγούς, οἷς τὰ τῶν ὑπά- 3
των ἔργα ὁπόταν ἀποδημήσωσι μέλει, πάντα αὐτὰ ἐπιτετελεκέναι·
ὅπως δὲ δὴ μὴ καὶ ἀντὶ τοῦ αὐτοκράτορος δόξωσί τι πεποιηκέναι,
οὐδὲν τῶν καθηκόντων ἔπραξαν, ἀλλ᾽ ἐς τὸ Καπιτώλιον ἀθρόοι οἱ 4
βουλευταὶ ἀναβάντες τάς τε θυσίας ἔθυσαν καὶ τὸν τοῦ Γαΐου
δίφρον τὸν ἐν τῷ ναῷ κείμενον προσεκύνησαν, καὶ ἔτι καὶ ἀργύριον
κατὰ τὸ ἐπὶ τοῦ Αὐγούστου ἔθος ἰσχῦσαν, ὡς καὶ αὐτῷ ἐκείνῳ
διδόντες, κατέθεσαν. καὶ τοῦτο μὲν καὶ τῷ ἑξῆς ἔτει ὁμοίως ἐγέ- 5
νετο, τότε δὲ συνῆλθον μὲν μετὰ ταῦτα ἐς τὸ συνέδριον μηδενός
σφας ἀθροίσαντος, ἔπραξαν δὲ οὐδέν, ἀλλ᾽ ὅλην τὴν ἡμέραν ἔν τε
τοῖς ἐπαίνοις αὐτοῦ καὶ ἐν ταῖς ὑπὲρ αὐτοῦ εὐχαῖς κατέτριψαν·
ἐπειδὴ γὰρ οὔτε ἐφίλουν αὐτὸν οὔτε σώζεσθαι ἐβούλοντο, ἐπὶ πλεῖον 6
ἀμφότερα, ὡς καὶ τὸ συνειδός σφων διὰ τοῦτο ἐπηλυγασόμενοι,
προσεποιήσαντο. καὶ τῇ τρίτῃ δὲ ἡμέρᾳ τῇ τὰς εὐχὰς ἐχούσῃ συ-
νῆλθον μέν, πάντων τῶν στρατηγῶν ἐκ κοινοῦ προγράμματος τὴν
σύνοδόν σφισιν ἐπαγγειλάντων, ἐχρημάτισαν δὲ οὔτε τότε οὔτε αὖθις
οὐδέν, μέχρις οὗ ὁ Γάιος δωδεκάτῃ ἡμέρᾳ τὴν ἀρχὴν ἀπειπὼν ἠγ-
γέλθη. τότε γὰρ παραλαβόντες αὐτὴν οἱ ἐς τὸ ἔπειτα κεχειροτονη- 7
μένοι διῴκουν τὰ προσήκοντα σφίσι, καὶ ἐψηφίσθη ἄλλα τε καὶ
ἵνα τοῖς τοῦ Τιβερίου καὶ τοῖς τῆς Δρουσίλλης γενεσίοις τὰ αὐτὰ

**24** 2 5 ἐκκλησίᾳ

Digitized by Google

ἅπερ καὶ τοῖς τοῦ Αὐγούστου γίγνηται. καί τινα καὶ οἱ ἐκ τῆς
ὀρχήστρας πανήγυρίν τε ἐπετέλεσαν καὶ θέαν παρέσχοντο, καὶ εἰκόνα
8 τοῦ τε Γαΐου καὶ τῆς Δρουσίλλης στήσαντες ὡσίωσαν. ταῦτα δὲ
ἐξ ἐπιστολῆς που τῆς τοῦ Γαΐου ἐπράχθη· καὶ γὰρ τἆλλα ὅσα
χρηματίζεσθαι ἐβούλετο, ὀλίγα μὲν πᾶσι τοῖς βουλευταῖς, τὰ δὲ δὴ
πλείω τοῖς ὑπάτοις γράφων, καὶ ἐκεῖνα ἔστιν ὅτε ἐν τῷ συνεδρίῳ
ἀναγινώσκεσθαι ἐκέλευεν.
25 καὶ οἱ μὲν ταῦτα ἔπραττον, Γάιος δὲ ἐν τούτῳ τόν τε Πτολε-
μαῖον τὸν τοῦ Ἰόβα παῖδα μεταπέμψας, καὶ μαθὼν ὅτι πλουτεῖ,
ἀπέκτεινε, καὶ ἄλλους πολλοὺς μετ' αὐτοῦ· ὅτε καὶ πρὸς τὸν ὠκεα-
νὸν ἐλθὼν ὡς καὶ ἐν τῇ Βρεττανίᾳ στρατεύσων, καὶ πάντας τοὺς
2 στρατιώτας ἐν τῇ ἠόνι παρατάξας, τριήρους τε ἐπέβη καὶ ὀλίγον
ἀπὸ τῆς γῆς ἀπάρας ἀνέπλευσε, καὶ μετὰ τοῦτο ἐπὶ βήματος ὑψη-
λοῦ ἱζήσας καὶ σύνθημα τοῖς στρατιώταις ὡς ἐς μάχην δούς, τοῖς
τε σαλπιγκταῖς ἐξοτρύνας αὐτούς, εἶτ' ἐξαίφνης ἐκέλευσέ σφισι τὰ
3 κογχύλια συλλέξασθαι. λαβών τε τὰ σκῦλα ταῦτα (καὶ γὰρ λαφύ-
ρων δῆλον ὅτι πρὸς τὴν τῶν ἐπινικίων πομπὴν ἐδεῖτο) μέγα τε
ἐφρόνησεν ὡς καὶ τὸν ὠκεανὸν αὐτὸν δεδουλωμένος, καὶ τοῖς στρα-
τιώταις πολλὰ ἐδωρήσατο. καὶ ὁ μὲν ἐς τὴν Ῥώμην τὰ κογχύλια
4 ἀνεκόμισεν, ἵνα καὶ ἐκείνοις τὰ λάφυρα δείξῃ· ἡ δὲ βουλὴ οὐθ'
ὅπως ἐπὶ τούτοις ἡσυχάζοι εἶχεν, ὅτι μεγαλοφρονούμενον αὐτὸν
ἐπυνθάνετο, οὐθ' ὅπως αὐτὸν ἐπαινέσειεν· ἄν γάρ τις ἐπὶ μηδεμιᾷ
ἢ μικρᾷ τινὶ ἀνδραγαθίᾳ ἤτοι ἐπαίνους μεγάλους ἢ καὶ τιμὰς ἐξαι-
σίους ποιῆται, διαμωκᾶσθαί τε καὶ διασιλλοῦν αὐτὴν ὑποπτεύεται.
5 ὅμως ἐσελθὼν ἐς τὴν πόλιν τὴν μὲν βουλὴν ὀλίγου ἐδέησεν ἀπο-
λέσαι πᾶσαν, ὅτι μὴ τὰ ὑπὲρ ἄνθρωπον αὐτῷ ἐψηφίσατο, τὸν δὲ
δῆμον ἀθροίσας πολὺ μὲν ἀργύριον ἐκ μετεώρου τινὸς πολὺ δὲ
χρυσίον ἔρριψεν, καὶ πολλοὶ δὲ ἀπώλοντο διαρπάζοντες· σιδήρια
γὰρ μικρὰ ἄττα αὐτοῖς, ὥς φασί τινες, ἀνεμέμικτο.
6 Βετιλλῖνον δὲ Κάσσιον ἀποσφαγῆναι κελεύσας, καὶ τὸν πατέρα

25 1 3 πρὸς] ἐς:* cf. 60 21 3 8 1 τοῦτον δὲ τὸν τρόπον βιοὺς
πάντως ἐπιβουλευθήσεσθαι ἔμελλε. καὶ ἐφώρασε τὴν ἐπίθεσιν, καὶ συλλαβὼν
Ἀνίκιον Κερεάλιον καὶ τὸν υἱὸν αὐτοῦ Σέξτον Παπίνιον ἐβασάνισε· καὶ
ἐπεὶ μηδὲν ἐξελάλησεν, ἀνέπεισε τὸν Παπίνιον, σωτηρίαν αὐτῷ καὶ ἄδειαν
ὑποσχόμενος, κατειπεῖν τινῶν ἢ ἀληθῶς ἢ ψευδῶς, καὶ ἐκεῖνον αὐτίκα καὶ
τοὺς ἄλλους ἐν ὀφθαλμοῖς αὐτοῦ ἀπέκτεινεν. ἑνὸς δὲ τῶν κτεινομένων καὶ
τὸν πατέρα παρεῖναι κατηνάγκασε τοῦ υἱοῦ φονευομένου· πυθόμενόν τε
εἰ μύσαι αὐτῷ ἐπιτρέπει, καὶ ἐκεῖνον σφαγῆναι προσέταξεν. ὁ δὲ κινδυ-
νεύων προσεποιήσατο ἐκ τῶν ἐπιβεβουλευκότων εἶναι, καὶ τοὺς λοιποὺς
πάντας ἐκφῆναι ὑπέσχετο, καὶ ὠνόμασε τούς τε ἑταίρους τοὺς τοῦ Γαΐου
καὶ τοὺς συνεργοὺς τῆς ἀσελγείας καὶ τῆς ὠμότητος. καὶ πολλοὺς ἂν ἀπώ-
λεσεν, εἰ μὴ καὶ τοὺς ἐπάρχους καὶ τὸν Κάλλιστον καὶ τὴν Καισωνίαν
προσδιαβαλὼν ἠπιστήθη. καὶ ὁ μὲν ἀπέθανεν, τῷ δὲ Γαΐῳ τὸν ὄλεθρον

Digitized by Google

αὐτοῦ Καπίτωνα παρεῖναι φονευομένῳ αὐτῷ κατηνάγκασε μήτ'
ἀδικοῦντά τι μήτ' ἐσηγγελμένον. πυθομένου τε αὐτοῦ εἰ μῦσαί γέ
οἱ ἐπιτρέπει, προσέταξε καὶ ἐκεῖνον σφαγῆναι.
ἦν δέ τις Πρωτογένης πρὸς πάντα αὐτῷ τὰ χαλεπώτατα ὑπηρε- 26
τῶν, ὥστε καὶ βιβλία ἀεὶ δύο περιφέρειν καὶ αὐτῶν τὸ μὲν ξίφος
τὸ δὲ ἐγχειρίδιον ὀνομάζειν. οὗτος ἐσῆλθέ ποτε ἐς τὸ συνέδριον
ὡς καὶ κατ' ἄλλο τι, καὶ πάντων, οἷα εἰκός, προσειπόντων τε αὐτὸν 2
καὶ δεξιουμένων δριμύ τέ τι Σκριβωνίῳ Πρόκλῳ ἐνεῖδε καὶ ἔφη
"καὶ σύ με ἀσπάζῃ, μισῶν οὕτω τὸν αὐτοκράτορα;" ἀκούσαντες
δὲ τοῦτο οἱ παρόντες περιέσχον τε τὸν συμβουλευτὴν καὶ διέσπασαν.
ὅτι οἱ βουλευταὶ καὶ πανηγύρεις τινὰς τῷ Γαΐῳ ἐψηφίσαντο, 3
καὶ ὅπως βήματί τε ὑψηλῷ ἐν τῷ βουλευτηρίῳ, ὥστε μηδένα ἐξι-
κνεῖσθαι, καὶ φρουρᾷ στρατιωτικῇ καὶ ἐκεῖ χρῷτο· καὶ τοὺς ἀν-
δριάντας αὐτοῦ φρουρεῖσθαι ἔγνωσαν. ἐπ' οὖν τούτοις ὁ Γάιος 4
ἡσθεὶς τὴν ὀργήν σφισιν ἀφῆκε καὶ χρηστά τινα προσενεανιεύσατο·
Πομπώνιον γὰρ ἐπιβουλεῦσαι λεχθέντα οἱ ἀπέλυσεν, ἐπειδὴ ὑπὸ

αὐτὸ τοῦτο παρεσκεύασεν. ἰδίᾳ γὰρ τοὺς ἐπάρχους τε καὶ τὸν Κάλλιστον προσκαλεσάμενος "εἷς εἰμί" ἔφη, "τρεῖς δὲ ὑμεῖς, καὶ γυμνὸς μὲν ἐγώ, ὡπλισμένοι δ' ὑμεῖς· εἰ οὖν μισεῖτέ με καὶ ἀποκτείνειν θέλετε, φονεύσατε." ἐξ ἐκείνου δὲ μισεῖσθαι νομίσας καὶ ἄχθεσθαι τοῖς πραττομένοις ἐκείνους, ὑπώπτευέ σφας, καὶ τὸ ξίφος κἀν τῇ πόλει παρεζώννυτο, καὶ συνέβαλλεν αὐτοὺς ἀλλήλοις ὅπως μὴ συμφωνῶσι, κατὰ μόνας ἑκάστῳ ὡς πιστοτάτῳ διαλεγόμενος περὶ τῶν λοιπῶν, μέχρις οὗ συνέντες τὸ ἐπιχείρημα προήκαντο αὐτὸν τοῖς ἐπιβουλεύουσιν. Z p. 454. ὅτι ὁ αὐτὸς Γάιος συλλαβὼν Κεριάλιον καὶ τὸν υἱὸν αὐτοῦ Παπίνιον βουλευτὰς ἐτιμωρήσατο, ὥστε ἐξειπεῖν τὰς κατ' αὐτοῦ γινομένας ἐπιβουλάς. καὶ ὁ μὲν Κεριάλιος παντελῶς οὐδὲν εἶπεν ... παραχρῆμα δὲ ἐπ' ὄψεσιν αὐτοῦ ἀνηρέθησαν. ἐν οἷς ἦν καὶ Βάσσος· καὶ παρεσκεύασε τὸν πατέρα αὐτοῦ μὴ ψευδῶς κατηγορηθέντα μηδὲ ἔγκλημα ἔχοντα παρεῖναι, ἵνα θεάσηται τὴν ἀναίρεσιν τοῦ παιδός. πυθομένου δὲ τοῦ γέροντος εἰ ἔξεστιν αὐτῷ μύσαι τοὺς ὀφθαλμούς, ἐκέλευσε μετὰ τὸ φονευθῆναι τούτους κἀκεῖνον φονευθῆναι. ὁ δὲ προσποιησάμενος ἔλεγε δικαίαν εἶναι τὴν κρίσιν τοῦ βασιλέως· ὡς ἀληθῶς γὰρ καὶ ἐκείνους καὶ ἑαυτὸν τῶν φονέων εἶναι, καὶ πολλοὺς ἄλλους εἶναι τοὺς συνειδότας ἡμῖν. καὶ ἀπαιτηθεὶς εἰπεῖν εἶπε πάντας τοὺς πλησίον αὐτοῦ καὶ τοῖς κακοῖς τούτοις ὑπουργοῦντας. καὶ ἔδρασεν ἂν τὰ μέγιστα, εἰ μὴ προαχθεὶς καὶ τοὺς πάνυ γνησίους αὐτοῦ ὠνόμασεν· οὕτω γὰρ ἠπιστήθη καὶ περὶ τῶν ἄλλων. ἐκεῖνος δὲ ἀνηρέθη. M p. 204. ὅτι ὁ αὐτὸς Γάιος τόν τε ἔπαρχον καλέσας καὶ ἄλλους δύο εἰσῆλθεν ἐν χιτωνίσκῳ, καὶ λέγει αὐτοῖς "ἰδοὺ ὑμεῖς τρεῖς ἐστὲ ὡπλισμένοι, ἐγὼ δὲ μόνος καὶ γυμνός· ἐὰν μισῆτέ με, φονεύσατέ με." ὡς δὲ ἐκεῖνοι εἰς τοὺς πόδας αὐτοῦ προσέπεσον καὶ παρεκάλουν μηδὲν τοιοῦτον περὶ αὐτῶν ἐννοεῖν, ἀνεχώρησε δῆθεν πεπεισμένος· πλὴν καὶ αὐτὸς ὕποπτος περὶ τὴν φιλίαν αὐτῶν διέκειτο, κἀκεῖνοι ἐδέδισαν. ἐκεῖνος δὲ συνέκρουεν αὐτοὺς ἀλλήλοις. M p. 205. ὅτι ὁ αὐτὸς ἐκέλευσε τὴν σύγκλητον συναχθῆναι, καὶ δῆθεν ἀμνηστίαν αὐτοῖς δέδωκεν, εἰπὼν ὀλίγους πάνυ ἔχειν οἷς ἔτι ὠργίζετο. καὶ πᾶσι τούτοις διπλῆν ἐδίδου τὴν φροντίδα· ἕκαστος γὰρ περὶ ἑαυτοῦ ἐνενόει. ib. 26 3 1 ὅτι οἱ βουλ. — 5 2 δεινῶς V p. 669. codices enim cum Xiphilino: ἡσθέντος τε ἐπὶ τούτῳ τοῦ Γαΐου καὶ φήσαντος αὐτοῖς κατηλλάχθαι, ἐψηφίσαντο ὅπως καὶ βήματι ὑψηλῷ καὶ ἐν αὐτῷ τῷ βουλ. — χρῷτο. ἀνακαλούντων δὲ αὐτὸν τῶν μὲν ἥρωα τῶν δὲ θεόν, δεινῶς 4 2 χρήματά* 3 ἐπιβουλευθῆναι



Digitized by Google

φίλον προεδόθη, καὶ τὴν ἑταίραν αὐτοῦ, ὅτι βασανισθεῖσα οὐδὲν
ἐξεῖπεν, οὔτε τι κακὸν ἔδρασε καὶ προσέτι καὶ χρήμασιν ἐτίμησεν.
5 ἐπαινούμενος οὖν διὰ ταῦτα τὰ μὲν φόβῳ τὰ δὲ καὶ ἐπ' ἀληθείας,
καὶ τῶν μὲν ἥρωα τῶν δὲ θεὸν αὐτὸν ἀνακαλούντων, δεινῶς ἐξε-
φρόνησεν. ἠξίου μὲν γὰρ καὶ πρότερον ὑπὲρ ἄνθρωπον νομίζεσθαι,
καὶ τῇ σελήνῃ συγγίγνεσθαι καὶ ὑπὸ τῆς νίκης στεφανοῦσθαι ἔλεγε,
Ζεύς τε εἶναι ἐπλάττετο, καὶ κατὰ τοῦτο καὶ γυναιξὶν ἄλλαις τε
6 πολλαῖς καὶ ταῖς ἀδελφαῖς μάλιστα συνεῖναι προεφασίσατο. καὶ
Ποσειδῶν αὖθις, ὅτι τοσοῦτον θαλάσσης μέτρον ἔζευξε, τόν τε
Ἡρακλέα τόν τε Διόνυσον τόν τε Ἀπόλλω τούς τε ἄλλους, οὐχ ὅτι
τοὺς ἄρρενας ἀλλὰ καὶ τὰς θηλείας, ὑπεκρίνετο, Ἥρα τε καὶ Ἄρ-
τεμις καὶ Ἀφροδίτη πολλάκις ἐγίγνετο. πρὸς γὰρ δὴ τὴν τῶν ονο-
μάτων μετάθεσιν καὶ τὸ ἄλλο σχῆμα πᾶν τὸ προσῆκόν σφισιν ἐλάμ-
7 βανεν, ὥστε ἐοικέναι ἂν δοκεῖν. τοτὲ μὲν γὰρ θηλυδριώδης ἑωρᾶτο
καὶ κρατῆρα καὶ θύρσον εἶχε, τοτὲ δὲ ἀρρενωπός, καὶ ῥόπαλον καὶ
λεοντῆν ἢ καὶ κράνος ἀσπίδα τε ἐφόρει. λειογένειος αὖ καὶ μετὰ
τοῦτο πωγωνίας ἐφαντάζετο, τρίαινάν τε ἔστιν ὅτε ἐκράτει, καὶ κε-
ραυνὸν αὖθις ἀνέτεινεν. παρθένῳ τε κυνηγετικῇ ἢ καὶ πολεμικῇ
8 ὡμοιοῦτο, καὶ μετ' οὐ πολὺ ἐγυναίκιζεν. οὕτω που καὶ τῷ ῥυθμῷ
τῆς στολῆς καὶ τοῖς προσθέτοις τοῖς τε περιθέτοις ἀκριβῶς ἐποι-
κίλλετο, καὶ πάντα μᾶλλον δοκεῖν ἢ ἄνθρωπος αὐτοκράτωρ τε εἶναι
ἤθελεν. καί ποτέ τις ἀνὴρ Γαλάτης ἰδὼν αὐτὸν ἐπὶ βήματος ὑψη-
λοῦ ἐν Διὸς εἴδει χρηματίζοντα ἐγέλασεν· ὁ δὲ Γάιος ἐκάλεσέ τε
9 αὐτὸν καὶ ἀνήρετο "τί σοι δοκῶ εἶναι;" καὶ ὃς ἀπεκρίνατο (ἐρῶ
γὰρ αὐτὸ τὸ λεχθέν) ὅτι μέγα παραλήρημα. καὶ οὐδὲν μέντοι δει-
νὸν ἔπαθεν· σκυτοτόμος γὰρ ἦν. οὕτω που ῥᾷον τὰς τῶν τυχόν-
των ἢ τὰς τῶν ἐν ἀξιώσει τινὶ ὄντων παρρησίας οἱ τοιοῦτοι φέ-
10 ρουσιν. ταῦτα μὲν οὖν τὰ σχήματα, ὁπότε τις θεὸς ἐπλάττετο εἶναι,
ἐλάμβανε, καὶ αὐτῷ καὶ ἱκετεῖαι καὶ εὐχαὶ θυσίαι τε κατὰ τὸ πρόσ-
φορον προσήγοντο· ἄλλως δὲ δὴ ἔν τε τῇ σηρικῇ καὶ ἐν τῇ νικητη-
27 ρίᾳ σκευῇ ὡς πλήθει ἐδημοσίευεν. ἐφίλει τε ὀλιγίστους· τοῖς γὰρ
πλείστοις καὶ τῶν βουλευτῶν ἢ τὴν χεῖρα ἢ τὸν πόδα προσκυνεῖν
ὤρεγε, καὶ διὰ τοῦθ' οἱ φιληθέντες ὑπ' αὐτοῦ χάριν αὐτῷ καὶ ἐν
τῇ γερουσίᾳ ἐγίνωσκον, καίτοι τοὺς ὀρχηστὰς καθ' ἡμέραν φιλοῦντι
2 πάντων ὁρώντων. καὶ ταῦτα μέντοι, ὅσα ὡς θεῷ αὐτῷ ἐγίγνετο,
οὐχ ὅτι οἱ πολλοὶ καὶ ἀεί τινα κολακεύειν εἰωθότες ἐποίουν, ἀλλὰ
καὶ οἱ πάνυ δοκοῦντές τι εἶναι. ὁ γοῦν Οὐιτέλλιος ὁ Λούκιος οὔτ'
ἀγενὴς οὔτ' ἄφρων ὤν, ἀλλὰ καὶ ἐκ τῆς ἐν τῇ Συρίᾳ ἀρχῆς ὀνο-

5 5 πολλαῖς ἄλλαις τε?* 6 1 καὶ Π. — 4 ὑπεκρίνετο V p. 670.
10 2 αὐτῶν 27 2 1 καὶ — 3 εἶναι V

Digitized by Google

μαστὸς γενόμενος (τά τε γὰρ ἄλλα λαμπρῶς ἡγεμόνευσε, καὶ τὸν 3
Ἀρτάβανον καὶ ἐκείνῃ ἐπιβουλεύοντα, ἐπειδὴ μηδεμίαν τιμωρίαν
ἐπὶ τῇ Ἀρμενίᾳ ἐδεδώκει, κατέπληξέ τε ἀπαντήσας αὐτῷ ἐξαπιναίως
περὶ τὸν Εὐφράτην ἤδη ὄντι, καὶ ἔς τε λόγους αὐτὸν ὑπηγάγετο
καὶ θῦσαι ταῖς τοῦ Αὐγούστου τοῦ τε Γαΐου εἰκόσιν ἠνάγκασε,
σπονδάς τε αὐτῷ πρὸς τὸ τῶν Ῥωμαίων σύμφορον δοὺς καὶ προσ-
έτι καὶ παῖδας αὐτοῦ ὁμήρους λαβών) — οὗτος οὖν ὁ Οὐιτέλλιος 4
μετεπέμφθη μὲν ὑπὸ τοῦ Γαΐου ὡς καὶ ἀπολούμενος (ἐφ' οἷς γὰρ
οἱ Πάρθοι τὸν βασιλέα σφῶν ἐξήλασαν, ἐπὶ τούτοις ἐκεῖνος αἰτίαν
ἔσχε, μισηθείς τε ὑπὸ τοῦ φθόνου καὶ ἐπιβουλευθεὶς ὑπὸ τοῦ φό-
βου· τῷ τε γὰρ κρείττονι ἑαυτοῦ ὁ Γάιος ἤχθετο, καὶ τὸ εὖ
φερόμενον ὡς καὶ ἐπιθησόμενόν οἱ ὑπώπτευεν), ἐσώθη δὲ σχημα- 5
τίσας πως ἑαυτὸν ὥστε καὶ ἐλάττων αὐτῷ τῆς δόξης φανῆναι, καὶ
πρός τε τοὺς πόδας αὐτοῦ προσπεσὼν καὶ δάκρυσι κλαύσας, κἂν
τούτῳ καὶ θειάσας αὐτὸν πολλὰ καὶ προσκυνήσας, καὶ τέλος εὐξά-
μενος, ἂν περισωθῇ, θύσειν αὐτῷ ἐκείνῳ. ἐκ γὰρ τούτων οὕτως 6
αὐτὸν ἐτιθάσευσε καὶ ἱλεώσατο ὥστε μὴ μόνον περιγενέσθαι, ἀλλὰ
καὶ ἐν τοῖς πάνυ φίλοις αὐτοῦ νομισθῆναι. καί ποτε τοῦ Γαΐου
συγγίγνεσθαί τε τῇ σελήνῃ λέγοντος, καὶ ἐρωτήσαντος αὐτὸν εἰ ὁρῴη
τὴν θεὸν συνοῦσαν αὐτῷ, κάτω τε ὡς καὶ τεθηπὼς ἔβλεπεν ὑπο-
τρέμων, καὶ σμικρόν τι φθεγξάμενος "ὑμῖν" ἔφη "τοῖς θεοῖς, δέσ-
ποτα, μόνοις ἀλλήλους ὁρᾶν ἔξεστιν."
Οὐιτέλλιος μὲν οὖν ἐκεῖθεν ἀρξάμενος πάντας καὶ μετὰ τοῦτο
τοὺς ἄλλους κολακείᾳ ὑπερεβάλετο, Γάιος δὲ ἐν τῇ Ἀσίᾳ τῷ ἔθνει 28
τέμενός τι ἑαυτῷ ἐν Μιλήτῳ τεμενίσαι ἐκέλευσεν· ταύτην γὰρ τὴν
πόλιν ἐπελέξατο, λόγῳ μὲν εἰπὼν ὅτι τὴν μὲν Ἔφεσον ἡ Ἄρτεμις
τὴν δὲ Πέργαμον ὁ Αὔγουστος τὴν δὲ Σμύρναν ὁ Τιβέριος προ-
κατειλήφασι, τὸ δὲ ἀληθὲς ὅτι τὸν νεὼν ὃν οἱ Μιλήσιοι τῷ Ἀπόλ-
λωνι καὶ μέγαν καὶ ὑπερκαλλῆ ἐποίουν ἰδιώσασθαι ἐπεθύμησεν.
τότε δὲ ἐπὶ πλέον ἐξήχθη, ὥστε καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ ναὸν ἑαυ- 2
τοῦ, τὸν μὲν ὑπὸ τῆς βουλῆς ψηφισθέντα τὸν δὲ ἰδίᾳ ἐν τῷ πα-
λατίῳ, ποιήσασθαι. ἐτεκτήνατο μὲν γὰρ καὶ ἐν τῷ Καπιτωλίῳ κα-
τάλυσίν τινα, ἵν', ὡς ἔλεγε, τῷ Διὶ συνοικοίη· ἀπαξιώσας δὲ δὴ τὰ 3
δευτερεῖα ἐν τῇ συνοικήσει αὐτοῦ φέρεσθαι, καὶ προσεγκαλέσας οἱ
ὅτι τὸ Καπιτώλιον προκατέλαβεν, οὕτω δὴ ἕτερόν τε νεὼν ἐν τῷ
παλατίῳ σπουδῇ ᾠκοδομήσατο, καὶ ἄγαλμα ἐς αὐτὸν ἠθέλησε τὸ
τοῦ Διὸς τοῦ Ὀλυμπίου ἐς τὸ ἑαυτοῦ εἶδος μεταρρυθμίσαι. μὴ 4

4 5 τῷ τε — 5 1 ὑπώπτευεν V, ubi ὑπωπτεύετο* 28 1 1 Γάιος — 2 3 ποιήσασθαι V: codices Γάιος δὲ ἐπὶ πλέον ἐξαχθεὶς καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ ναὸν ἑαυτοῦ κατεσκευάκει. 2 1 ναούς? 3 3 γε



Digitized by Google

δυνηθεὶς δέ (τό τε γὰρ πλοῖον τὸ πρὸς τὴν κομιδὴν αὐτοῦ ναυπη-
γηθὲν κεραυνοῖς ἐφθάρη, καὶ γέλως, ὁσάκις τινὲς ὡς καὶ τοῦ ἕδους
ἐφαψόμενοι προσῆλθον, πολὺς ἐξηκούετο) ἐκείνῳ μὲν ἐπηπείλει, αὐ-
5 τὸς δὲ ἕτερον ἐνέστησεν. τό τε διοσκόρειον τὸ ἐν τῇ ἀγορᾷ τῇ Ῥω-
μαίᾳ ὃν διατεμὼν διὰ μέσου τῶν ἀγαλμάτων ἔσοδον δι' αὐτοῦ ἐς
τὸ παλάτιον ἐποιήσατο, ὅπως καὶ πυλωροὺς τοὺς Διοσκόρους, ὥς
γε καὶ ἔλεγεν, ἔχῃ. διάλιόν τε αὐτὸν ὀνομάσας, τήν τε Καισωνίαν
τὴν γυναῖκα καὶ τὸν Κλαύδιον ἄλλους τε τοὺς πλουσιωτάτους ἱε-
ρέας προσέθετο, πεντήκοντα καὶ διακοσίας ἐπὶ τούτῳ παρ' ἑκάστου
6 μυριάδας λαβών. καὶ αὐτὸς ἑαυτῷ ἱερᾶτο, καὶ τὸν ἵππον συνιερέα
ἀπέφαινεν· καὶ ὄρνιθες αὐτῷ ἁπαλοί τέ τινες καὶ πολυτίμητοι καθ'
ἑκάστην ἡμέραν ἐθύοντο. ταῖς τε βρονταῖς ἐκ μηχανῆς τινὸς ἀντε-
βρόντα καὶ ταῖς ἀστραπαῖς ἀντήστραπτεν· καὶ ὁπότε κεραυνὸς κα-
ταπέσοι, λίθον ἀντηκόντιζεν, ἐπιλέγων ἐφ' ἑκάστῳ τὸ τοῦ Ὁμήρου
7 "ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ." ἐπειδή τε ἡ Καισωνία θυγάτριον μετὰ
τριάκοντα ἡμέρας τῶν γάμων ἔτεκε, τοῦτό τε αὐτὸ δαιμονίως προσ-
εποιεῖτο, σεμνυνόμενος ὅτι ἐν τοσαύταις ἡμέραις καὶ πατὴρ καὶ ἀνὴρ
ἐγεγόνει, καὶ Δρουσίλλαν αὐτὴν ὀνομάσας ἔς τε τὸ Καπιτώλιον ἀνή-
γαγε καὶ ἐς τὰ τοῦ Διὸς γόνατα ὡς καὶ παῖδα αὐτοῦ οὖσαν ἀνέ-
θηκε, καὶ τῇ Ἀθηνᾷ τιθηνεῖσθαι παρηγγύησεν.
8 οὗτος οὖν ὁ θεὸς καὶ οὗτος ὁ Ζεύς (καὶ γὰρ ἐκαλεῖτο τὰ τε-
λευταῖα οὕτως, ὥστε καὶ ἐς γράμματα φέρεσθαι) ταῦτά τε ἅμα
ἔπραττε καὶ χρήματα αἴσχιστα καὶ δεινότατα συνελέγετο. ἵνα γάρ
τις τά τε ὤνια καὶ τὰ καπηλεῖα τάς τε ὥρνας καὶ τὰ δικαστήρια,
τούς τε χειροτέχνας καὶ τὰ ἀνδράποδα τὰ μισθοφοροῦντα. τά τε
ἄλλα τὰ τοιαῦτα, ἐξ ὧν οὐδὲν ὅ τι οὐκ ἠργυρίζετο, παραλείπῃ,
9 ἀλλὰ τά γε οἰκήματα τὰ ἐν αὐτῷ τῷ παλατίῳ ἀποδειχθέντα,
καὶ τὰς γυναῖκας τὰς τῶν πρώτων τούς τε παῖδας τοὺς τῶν
σεμνοτάτων, οὓς ἐς αὐτὰ καθίζων ὕβριζεν, ἐκκαρπούμενος ἐπ'
αὐτοῖς πάντας ἁπλῶς, τοὺς μὲν ἐθελοντὰς τοὺς δὲ καὶ ἄκοντας,
ὅπως μὴ καὶ δυσχεραίνειν τι νομισθῶσι, πῶς ἄν τις σιωπήσειεν;
10 οὐ μὴν ἀλλὰ τούτοις μὲν οὐ σφόδρα τὸ πλῆθος ἤχθετο, ἀλλὰ καὶ
ἔχαιρον ὁμοῦ οἵ τῇ τε ἀσελγείᾳ αὐτοῦ, καὶ ὅτι ἔς τε τὸ χρυσίον
καὶ τὸ ἀργύριον τὸ συλλεγόμενον ἀπ' αὐτῶν ἐμβάλλων ἑκάστοτε
11 ἑαυτὸν ἐκαλινδεῖτο· ὡς μέντοι καὶ περὶ τῶν τελῶν πικρῶς τινὰ δια-
νομοθετήσας ἐς λεύκωμα αὐτὰ βραχυτάτοις γράμμασιν ἐσέγραψε
καὶ ἀφ' ὑψηλοῦ τινὸς ἀπεκρέμασεν, ὅπως ὡς ἥκιστα ἀναγινώσκοιτο,

7 1 ἐπειδή — 6 παρηγγύησεν V p. 673, unde etiam quae inferuntur, 8 1 οὗτος — 11 6 συνεβόησαν, aucta sunt et suppleta. 9 5 τι] οἵ?* 10 2 οἵ] τι?

Digitized by Google

κἀκ τούτου πολλοὶ τοῖς ἐπιτιμίοις, ἀγνοοῦντες τὸ κεκωλυμένον ἢ
κεκελευσμένον, περιπίπτωσιν, ἔς τε τὸν ἱππόδρομον εὐθὺς σπουδῇ
συνέδραμον καὶ δεινὰ συνεβόησαν.
ὡς οὖν πάντα τρόπον ἐξεμαίνετο, ἐπεβούλευσαν αὐτῷ Κάσσιός 29
τε Χαιρέας καὶ Κορνήλιος Σαβῖνος, καίτοι χιλιαρχίας ἐν τῷ δορυ- a.C. 41
φορικῷ ἔχοντες. συνώμοσαν μὲν γὰρ πλείονες καὶ συνῄδεσαν τὸ
πραττόμενον, ἐν οἷς ἦν ὅ τε Κάλλιστος καὶ ὁ ἔπαρχος· οἱ δὲ αὐτό-
χειρες αὐτοῦ γενόμενοι ἐκεῖνοι ἦσαν. ἄλλως τε γὰρ ἀρχαιότροπός 2
τις ἀνὴρ ὁ Χαιρέας ἦν, καί τινα καὶ ἰδίαν τῆς ὀργῆς αἰτίαν ἔσχεν·
γύννιν τε γὰρ αὐτὸν καίπερ ἐρρωμενέστατον ἀνδρῶν ὄντα ὁ Γάιος
ἐπεκάλει, καὶ τὸ σύνθημα αὐτῷ, ὁπότε ἐς ἐκεῖνον καθήκοι, πόθον
ἢ Ἀφροδίτην ἢ ἕτερόν τι τοιοῦτον ἐδίδου. θεοπρόπιον δέ τι τῷ 3
Γαΐῳ ὀλίγον ἔμπροσθεν ἐγεγόνει φυλάττεσθαι Κάσσιον· καὶ ὁ μὲν
ἐς Γάιον Κάσσιον τὸν τότε τῆς Ἀσίας ἄρχοντα, ἐπειδὴ τὸ γένος
ἀπὸ τοῦ Κασσίου ἐκείνου τοῦ τὸν Καίσαρα ἀποκτείναντος εἶχεν,
ὑποπτεύσας μετεπέμψατο αὐτὸν δεδεμένον, προέλεγε δ' ἄρα αὐτῷ
τὸ δαιμόνιον τοῦτον τὸν Κάσσιον τὸν Χαιρέαν. Ἀπολλώνιός τέ τις 4
Αἰγύπτιος οἴκοι τε τὸ συμβὰν αὐτῷ προεῖπε, καὶ πεμφθεὶς διὰ
τοῦτ' ἐς τὴν Ῥώμην προσήχθη τε αὐτῷ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ
τελευτήσειν ἔμελλε, καὶ ἀναβληθεὶς ὡς καὶ μετ' ὀλίγον κολασθησό-
μενος ἐσώθη. ἐπράχθη δὲ ὧδε. ἑορτήν τινα ἐν τῷ παλατίῳ ἦγε 5
καὶ θέαν ἐπετέλει, κἀν τούτῳ καὶ αὐτὸς καὶ ἤσθιε καὶ ἔπινε καὶ
τοὺς ἄλλους εἱστία, ὅτε δὴ καὶ Πομπώνιος Σεκοῦνδος ὁ τότε ὑπα-
τεύων ἐνεφορεῖτό τε ἅμα τῶν σιτίων, παρὰ τοῖς ποσὶν αὐτοῦ κα-
θήμενος, καὶ ἐπικύπτων συνεχῶς αὐτοὺς κατεφίλει. ὡς δὲ καὶ αὐ- 6
τὸς ὁ Γάιος καὶ ὀρχήσασθαι καὶ τραγῳδίαν ὑποκρίνασθαι ἠθέλη-
σεν, οὐκέθ' οἱ περὶ τὸν Χαιρέαν ὑπέμειναν, ἀλλὰ τηρήσαντες αὐτὸν
ἐκ τοῦ θεάτρου ἐξελθόντα ἵνα τοὺς παῖδας θεάσηται, οὓς ἐκ τῆς
Ἑλλάδος καὶ τῆς Ἰωνίας τῶν πάνυ εὐγενῶν ἐπὶ τῷ τὸν ὕμνον τὸν
ἐς ἑαυτὸν πεποιημένον ᾆσαι μετεπέμψατο δῆθεν, ἀπέκτειναν ἐν στε-
νωπῷ τινὶ ἀπολαβόντες. καὶ αὐτοῦ συμπεσόντος οὐδεὶς τῶν πα- 7
ρόντων ἀπέσχετο, ἀλλὰ καὶ νεκρὸν αὐτὸν ὄντα ὠμῶς ἐτίτρωσκον·
καί τινες καὶ τῶν σαρκῶν αὐτοῦ ἐγεύσαντο. τήν τε γυναῖκα καὶ
τὴν θυγατέρα εὐθὺς ἔσφαξαν.
Γάιος μὲν δὴ ταῦτα ἐν ἔτεσι τρισὶ καὶ μησὶν ἐννέα ἡμέραις τε 30
ὀκτὼ καὶ εἴκοσι πράξας τοῖς ἔργοις αὐτοῖς ὡς οὐκ ἦν θεὸς ἔμαθεν.
ἐμνημόνευόν τε οἱ παρόντες τοῦ λεχθέντος ποτὲ ὑπ' αὐτοῦ πρὸς

29 6 1 ante ὡς Z p. 458: ὁ γὰρ Χαιρέας καὶ ὁ Σαβῖνος ἐπὶ τοῖς γινομένοις αἰσχροῖς ἀλγοῦντες ὅμως ἐκαρτέρουν ἐπὶ πέντε ἡμέρας. et post 2 ἠθέλησεν: καὶ διὰ τοῦτο ἑτέρας τρεῖς ἡμέρας προήγγειλε. 30 1 3 Z p. 459: ὡς δὲ ὁ θάνατος αὐτοῦ διηγγέλθη, πλὴν ὀλίγων τῶν συνησελγηκότων αὐτῷ,

Digitized by Google

τὸν δῆμον "εἴθε ἕνα αὐχένα εἴχετε," ἐπιδεικνύντες αὐτῷ ὅτι ἐκεῖ-
2 νος μὲν αὐχένα ἕνα, σφεῖς δὲ δὴ χεῖρας πολλὰς ἔχοιεν. ἐπεὶ δὲ τὸ
δορυφορικὸν ἐταράττετο καὶ διαθέοντες ἐπυνθάνοντο τίς Γάιον
ἔσφαξεν, Οὐαλέριος Ἀσιατικὸς ἀνὴρ ὑπατευκὼς θαυμαστὸν δή τινα
τρόπον αὐτοὺς ἡσύχασεν, ἀνελθὼν ἐς περιφανές τι χωρίον καὶ ἐκ-
βοήσας "εἴθε ἐγὼ αὐτὸν ἀπεκτόνειν." καταπλαγέντες γὰρ ἐπαύ-
σαντο τοῦ θορύβου.

Ξ τοῦ δὲ Γαΐου, ὡς εἴπομεν, ἀπαλλάξαντος φυλακὰς ἑκασταχόσε
τῆς πόλεως οἱ ὕπατοι διαπέμψαντες τήν τε βουλὴν ἐς τὸ Καπιτώ-
λιον ἤθροισαν, καὶ πολλαὶ καὶ ποικίλαι γνῶμαι ἐλέχθησαν· τοῖς
μὲν γὰρ δημοκρατεῖσθαι τοῖς δὲ μοναρχεῖσθαι ἐδόκει, καὶ οἱ μὲν
2 τὸν οἱ δὲ τὸν ᾑροῦντο. καὶ διὰ τοῦτο τὴν ἡμέραν τὴν λοιπὴν καὶ
τὴν νύκτα πᾶσαν κατέτριψαν μηδὲν τελειώσαντες. κἀν τούτῳ στρα-
τιῶταί τινες ἐς τὸ παλάτιον, ὅπως τι συλήσωσιν, ἐσελθόντες εὗρον
τὸν Κλαύδιον ἐν γωνίᾳ που σκοτεινῇ κατακεκρυμμένον (συνῆν τε
3 γὰρ τῷ Γαΐῳ, καὶ τότε τὴν ταραχὴν φοβηθεὶς ὑπέπτηξεν), καὶ αὐ-
τὸν τὸ μὲν πρῶτον ὡς καὶ ἄλλον τινὰ ὄντα ἢ ἔχοντά τι ἐξείλκυσαν,
ἔπειτα δὲ γνωρίσαντες αὐτοκράτορα προσηγόρευσαν καὶ ἐς τὸ στρα-
τόπεδον αὐτὸν ἤγαγον, κἀκ τούτου μετὰ τῶν ἄλλων, οἷα τοῦ τε
βασιλικοῦ γένους ὄντι καὶ ἐπιεικεῖ νομιζομένῳ, πᾶν τὸ κράτος αὐτῷ
4 ἔδωκαν. οἱ δ' ὕπατοι τέως μὲν ἄλλους τε καὶ δημάρχους πέμπον-
τες ἀπηγόρευον αὐτῷ μηδὲν τοιοῦτο ποιεῖν, ἀλλ' ἐπί τε τῷ δήμῳ
καὶ τῇ βουλῇ καὶ τοῖς νόμοις γενέσθαι· ἐπεὶ δὲ αὐτοὺς οἱ συνόντες
σφίσι στρατιῶται ἐγκατέλιπον, τότε δὴ καὶ αὐτοὶ ὡμολόγησαν, καὶ
τὰ λοιπὰ ὅσα ἐς τὴν αὐταρχίαν ἥκοντα ἦν αὐτῷ ἐψηφίσαντο.

2 οὕτω μὲν Τιβέριος Κλαύδιος Νέρων Γερμανικός, ὁ τοῦ Δρού-
σου τοῦ τῆς Λιουίας παιδὸς υἱός, τὴν αὐτοκράτορα ἀρχὴν ἔλαβε,
μὴ πρὶν ἐν ἡγεμονίᾳ τινὶ τὸ παράπαν ἐξητασμένος, πλὴν ὅτι μόνον
ὑπάτευσεν· ἦγε δὲ πεντηκοστὸν ἔτος τῆς ἡλικίας. οὗτος τὴν μὲν
ψυχὴν οὐ φαῦλος ἐγένετο, ἀλλὰ καὶ ἐν παιδείᾳ ἤσκητο, ὥστε
καὶ συγγράψαι τινά, τὸ δὲ δὴ σῶμα νοσώδης, ὥστε καὶ τῇ κε-
2 φαλῇ καὶ ταῖς χερσὶν ὑποτρέμειν. καὶ διὰ τοῦτο καὶ τῷ φω-
νήματι ἐσφάλλετο, καὶ οὐ πάντα ὅσα ἐς τὸ συνέδριον ἐσέφερεν αὐ-
τὸς ἀνεγίνωσκεν, ἀλλὰ τῷ ταμίᾳ, τήν γε πρώτην καὶ παρὼν ὥς γε
πλήθει, ἀναλέγεσθαι ἐδίδου. ὅσα δ' οὖν αὐτὸς ἀνεγίνωσκε, καθή-
3 μενος ὡς τὸ πολὺ ἐπελέγετο. καὶ μέντοι καὶ δίφρῳ καταστέγῳ

πάντες ἔχαιρον, μεμνημένοι καὶ τοῦ λ. 1 1 1 φύλακας* 3 1 Γαΐῳ τοῦ θεάτρου ἐξερχομένῳ Z 4 1 Z post ἔδωκαν: εἰ γὰρ καὶ ἀνεδύετο καὶ ἀντέλεγεν, ἀλλ' ὅσον ἐξίστατο καὶ ἀντέκειτο, τοσοῦτον μᾶλλον ἀντεφιλονείκουν οἱ στρατιῶται μὴ παρ' ἑτέρων λαβεῖν αὐτοκράτορα ἀλλ' αὐτοὶ δοῦναι πᾶσιν. διὸ καὶ ἄκων, ὡς ἐδόκει, ὑπέκυψεν. τέως ἄλλους μὲν καὶ*

Digitized by Google

πρῶτος Ῥωμαίων ἐχρήσατο, καὶ ἐξ ἐκείνου καὶ νῦν οὐχ ὅτι οἱ αὐ-
τοκράτορες ἀλλὰ καὶ ἡμεῖς οἱ ὑπατευκότες διφροφορούμεθα· πρό-
τερον δ' ἄρα ὅ τε Αὔγουστος καὶ ὁ Τιβέριος ἄλλοι τέ τινες ἐν
σκιμποδίοις, ὁποίοις αἱ γυναῖκες ἔτι καὶ νῦν νομίζουσιν ἔστιν ὅτε,
ἐφέροντο. οὐ μέντοι καὶ διὰ ταῦθ' οὕτως, ὅσον ὑπό τε τῶν ἐξε- 4
λευθέρων καὶ ὑπὸ τῶν γυναικῶν αἷς συνῆν, ἐκακύνετο. περιφανέ-
στατα γὰρ τῶν ὁμοίων ἐδουλοκρατήθη τε ἅμα καὶ ἐγυναικοκρατήθη·
ἅτε γὰρ ἐκ παίδων ἔν τε νοσηλείᾳ καὶ ἐν φόβῳ πολλῷ τραφείς,
καὶ διὰ τοῦτο ἐπὶ πλεῖον τῆς ἀληθείας εὐήθειαν προσποιησάμενος,
ὅπερ που καὶ αὐτὸς ἐν τῇ βουλῇ ὡμολόγησε, καὶ πολὺν μὲν χρόνον 5
τῇ τήθῃ Λιβίᾳ πολὺν δὲ καὶ τῇ μητρὶ Ἀντωνίᾳ τοῖς τε ἀπελευθέ-
ροις συνδιαιτηθείς, καὶ προσέτι καὶ ἐν συνουσίαις γυναικῶν πλείοσι
γενόμενος, οὐδὲν ἐλευθεροπρεπὲς ἐκέκτητο, ἀλλὰ καίπερ καὶ τῶν
Ῥωμαίων ἁπάντων καὶ τῶν ὑπηκόων αὐτῶν κρατῶν ἐδεδούλωτο.
ἐπετίθεντο δ' αὐτῷ ἔν τε τοῖς πότοις μάλιστα καὶ ἐν ταῖς μίξεσιν· 6
πάνυ γὰρ ἀπλήστως ἀμφοτέροις σφίσι προσέκειτο, καὶ ἦν ἐν τῷ
καιρῷ τούτῳ εὐαλωτότατος. πρὸς δὲ καὶ δειλίαν εἶχεν, ὑφ' ἧς
πολλάκις ἐκπληττόμενος οὐδὲν τῶν προσηκόντων ἐξελογίζετο. καὶ
αὐτοῦ καὶ τοῦτο προσλαμβάνοντες οὐκ ἐλάχιστα κατειργάζοντο·
ἐκεῖνόν τε γὰρ ἐκφοβοῦντες ἐξεκαρποῦντο, καὶ τοῖς ἄλλοις τοσοῦτο 7
δέος ἐνέβαλλον ὥσθ', ἵνα συλλαβὼν εἴπω, πολλοὶ ἐπὶ δεῖπνον ἐν
τῇ αὐτῇ ἡμέρᾳ ὑπό τε τοῦ Κλαυδίου καὶ ὑπ' αὐτῶν καλούμενοι
τὸν μὲν ὡς καὶ κατ' ἄλλο τι παρίεντο, πρὸς δὲ ἐκείνους ἐφοίτων.

τοιοῦτος οὖν δή τις, ὥς γε συνελόντι εἰπεῖν, ὢν οὐκ ὀλίγα καὶ 3
τῶν δεόντων ἔπραττεν, ὁπότε ἔξω τε τῶν προειρημένων παθῶν
ἐγίγνετο καὶ ἑαυτοῦ ἐκράτει. λέξω δὲ καὶ καθ' ἕκαστον ὧν ἐποίησεν.

τὰ μὲν ψηφισθέντα οἱ εὐθὺς πάντα, πλὴν τῆς τοῦ πατρὸς 2
ἐπωνυμίας, ἐδέξατο (ταύτην γὰρ μετὰ ταῦτα προσέθετο), οὐ μέντοι
καὶ παραυτίκα ἀλλ' ὀψὲ καὶ τριακοστῇ ἡμέρᾳ ἐς τὴν βουλὴν ἐσῆλθεν.
τόν τε γὰρ Γάιον οὕτως ὁρῶν ἀπολωλότα, καὶ πυνθανόμενός τινας
ὡς καὶ βελτίονας ἑαυτοῦ πρὸς τὴν ἀρχὴν ὑπ' αὐτῆς προβεβλῆσθαι,
οὐκ ἐθάρσει, ἀλλὰ τά τε ἄλλα ἀκριβῶς ἐφυλάττετο, καὶ πάντας 3
τοὺς προσιόντας οἱ καὶ ἄνδρας καὶ γυναῖκας ἐρευνᾶσθαι ἐποίει μή
τι ξιφίδιον ἔχωσιν, ἔν τε τοῖς συμποσίοις πάντως τινὰς στρατιώτας
συνόντας εἶχεν. καὶ τοῦτο μὲν ἐξ ἐκείνου καταδειχθὲν καὶ δεῦρο
ἀεὶ γίγνεται, ἡ δὲ δὴ ἔρευνα ἡ διὰ πάντων ἐπὶ Οὐεσπασιανοῦ
ἐπαύσατο. τὸν μὲν οὖν Χαιρέαν καί τινας ἄλλους, καίπερ πάνυ 4
ἐπὶ τῷ τοῦ Γαΐου θανάτῳ ἡσθείς, ὅμως ἀπέκτεινεν· οὐ γὰρ ὅτι

2 7 1 καὶ ἐκεῖνόν τε* 3 3 5 ἐπὶ] διά

τὴν ἀρχὴν διὰ τὴν ἐκείνου πρᾶξιν εἰλήφει χάριν αὐτῷ ᾔδει, ἀλλ'
ὅτι ἐτόλμησεν αὐτοκράτορα ἀποσφάξαι ἐδυσχέραινεν, πόρρωθεν τὸ
καθ' ἑαυτὸν ἐς ἀσφάλειαν προορώμενος. ἔπραξε δὲ τοῦτο οὐχ ὡς
5 καὶ τῷ Γαΐῳ τιμωρῶν, ἀλλ' ὡς ἑαυτῷ ἐπιβουλεύσαντα λαβών. καί
οἱ ὁ Σαβῖνος ἑκὼν συναπέθανε, μὴ ἀξιώσας κολασθέντος αὐτοῦ
περιεῖναι. τοῖς γε μὴν ἄλλοις, οἳ τὴν δημοκρατίαν ἐκφανῶς ἐσπού-
δασαν ἢ καὶ ἐπίδοξοι λήψεσθαι τὸ κράτος ἐγένοντο, οὐχ ὅσον οὐκ
ἐμνησικάκησεν, ἀλλὰ καὶ τιμὰς καὶ ἀρχὰς ἔδωκεν· ἐκδηλότατα γὰρ
καὶ ἐν τοῖς πάντων πώποτε οὐ τῷ λόγῳ μόνον τὴν ἄδειάν σφισι,
κατὰ τὸν τῶν Ἀθηναίων ζῆλον ὡς ἔλεγεν, ὑπέσχετο, ἀλλὰ καὶ τῷ
6 ἔργῳ παρέσχεν. τό τε ἔγκλημα τῆς ἀσεβείας ὁμοίως οὐκ ἐν τοῖς
γράμμασι μόνοις ἀλλὰ καὶ ἐν ταῖς πράξεσιν ἔπαυσε, καὶ οὐδένα
διὰ τοιοῦτό τι οὔτε ἐπὶ τοῖς προτέροις οὔτε ἐπὶ τοῖς ἔπειτα ἐκό-
7 λασεν. τούς γε μὴν ἀδικήσαντάς τι ἢ καὶ προπηλακίσαντας αὐτὸν
ἰδιώτην ὄντα (πολλοὶ δὲ ταῦτα ἄλλως τε ὡς μηδενὸς λόγου ἄξιον,
καὶ οἱ μὲν τῷ Τιβερίῳ οἱ δὲ τῷ Γαΐῳ χαριζόμενοι, ἐπεποιήκεσαν)
πλαστῷ μὲν ἐγκλήματι οὐδενὶ μετῄει, εἰ μέντοι τι ἄλλο κακουρ-
4 γοῦντας εὕρισκε, καὶ δι' ἐκεῖνα ἐτιμωρεῖτο. τά τε τέλη τὰ ἐπὶ τοῦ
Γαΐου ἐσαχθέντα, καὶ τἆλλα ὅσα ἐπηγορίαν τινὰ τῶν πραχθέντων
ὑπ' αὐτοῦ εἶχε, κατέλυσε μέν, οὐκ ἀθρόα δέ, ἀλλ' ὡς ἑκάστῳ πῃ
προσέτυχεν. καὶ τοὺς ἐκπεσόντας ἀδίκως ὑπ' αὐτοῦ, τούς τε ἄλλους
καὶ τὰς ἀδελφάς, τήν τε Ἀγριππῖναν καὶ τὴν Ἰουλίαν, καταγαγὼν
2 τὰς οὐσίας σφίσιν ἀπέδωκεν. τῶν τε ἐκ τοῦ οἰκήματος (πλεῖστοι
δὲ ἐδέδεντο) τοὺς μὲν ἐπ' ἀσεβείᾳ τοιούτοις τέ τισιν ἐγκλήμασιν
ἑτέροις ἐμπεπτωκότας ἀπήλλαξε, τοὺς δ' ὄντως ἀδικοῦντας ἐκόλασεν·
σφόδρα γὰρ ἀκριβῶς σφᾶς ἐξήτασεν, ὅπως μήθ' οἱ κακουργήσαν-
τές τι διὰ τοὺς συκοφαντουμένους ἀφεθῶσι, μήθ' οὗτοι δι' ἐκείνους
3 παραπόλωνται. καὶ καθ' ἑκάστην γε ὡς εἰπεῖν ἡμέραν, ἤτοι γε
μετὰ πάσης τῆς γερουσίας ἢ καὶ ἰδίᾳ, τὸ μὲν πλεῖστον ἐν τῇ ἀγο-
ρᾷ, ἤδη δὲ καὶ ἄλλοθι, ἐπὶ βήματος ἐδίκαζεν· καὶ γὰρ τὸ κατὰ
τοὺς συνέδρους, ἐκλειφθὲν ἐξ οὗ ὁ Τιβέριος ἐς τὴν νῆσον ἐξεχώ-
4 ρησεν, ἀνενεώσατο. πολλάκις δὲ καὶ τοῖς ὑπάτοις τοῖς τε στρατη-
γοῖς, καὶ μάλιστα τοῖς τὴν διοίκησιν ἔχουσι, συνεξητάζετο, καὶ
ὀλίγα παντελῶς τοῖς ἄλλοις δικαστηρίοις ἐπέτρεπεν. τά τε φάρμακα
ἃ πολλὰ ἐν τοῦ Γαΐου εὑρέθη, καὶ τὰ βιβλία τὰ τοῦ Πρωτογένους,
5 ὃν καὶ ἀπέκτεινε, τά τε γράμματα ἃ ἐπλάσσετο μὲν ὁ Γάιος κε-
καυκέναι εὑρέθη δὲ ἐν τῷ βασιλικῷ ὄντα, τοῖς τε βουλευταῖς ἐπέ-
δειξε, καὶ ἔδωκε καὶ αὐτοῖς ἐκείνοις τοῖς τε γράψασιν αὐτὰ καὶ
καθ' ὧν ἐγέγραπτο ἀναγνῶναι, καὶ μετὰ τοῦτο κατέφλεξεν. ἀλλὰ
καὶ τῆς γερουσίας ἀτιμῶσαι τὸν Γάιον ἐθελησάσης ψηφισθῆναι

Digitized by Google

μὲν αὐτὸς ἐκώλυσεν, ἰδίᾳ δὲ τὰς εἰκόνας αὐτοῦ νυκτὸς ἁπάσας
ἠφάνισεν. καὶ διὰ ταῦτα τὸ μὲν ὄνομα αὐτοῦ οὐκ ἔστιν ἐν τῷ κα- 6
ταλόγῳ τῶν αὐτοκρατόρων ὧν μνήμην ἐπί τε τοῖς ὅρκοις καὶ ἐπὶ
ταῖς εὐχαῖς ποιούμεθα, ὥσπερ οὐδὲ τὸ τοῦ Τιβερίου, οὐ μέντοι καὶ
ἐκ δόγματος ἀτιμίαν οὐδέτερός σφων ὦφλεν.

τὰ μὲν δὴ οὖν ὑπό τε τοῦ Γαΐου καὶ ὑφ' ἑτέρων δι' ἐκεῖνον 5
οὐκ ὀρθῶς γενόμενα ἀνέτρεψε, τῷ δὲ δὴ Δρούσῳ τῷ πατρὶ τῇ τε
Ἀντωνίᾳ τῇ μητρὶ ἱπποδρομίαν ἐς τὰ γενέσια ἔδωκε, τὰς πανηγύ-
ρεις τὰς ἐς ταὐτὸν αὐταῖς συμβαινούσας μεταθεὶς ἐς ἑτέρας ἡμέ-
ρας, ὅπως μὴ ἅμα ποιῶνται. τήν τε τήθην τὴν Λιουίαν οὐ μόνον 2
ἵππων ἀγῶσιν ἐτίμησεν ἀλλὰ καὶ ἀπηθανάτισεν, ἄγαλμά τέ τι αὐ-
τῆς ἐν τῷ αὐγουστείῳ ἱδρύσας καὶ τὰς θυσίας ταῖς ἀειπαρθένοις
ἱεροποιεῖν προστάξας, ταῖς τε γυναιξὶν ὅρκον τὸ ὄνομα αὐτῆς
ποιεῖσθαι κελεύσας. οὕτω δὲ δὴ τοὺς πατέρας ἀποσεμνύνας αὐτὸς 3
οὐδὲν ἔξω τῶν ὀνομάτων τῶν ἐς τὴν ἀρχὴν φερόντων ἐδέξατο· ἐν
γὰρ δὴ τῇ τοῦ Αὐγούστου νουμηνίᾳ, ἐν ᾗ ἐγεγέννητο, ἠγωνίζοντο
μὲν ἵπποι, οὐ δι' ἐκεῖνον δὲ ἀλλ' ὅτι ὁ τοῦ Ἄρεος ναὸς ἐν ταύτῃ
καθιέρωτο καὶ διὰ τοῦτο ἐτησίοις ἀγῶσιν ἐτετίμητο. ἔν τε οὖν 4
τούτοις ἐμετρίαζε, καὶ προσαπηγόρευσε μήτε προσκυνεῖν τινὰ αὐτὸν
μήτε θυσίαν οἱ μηδεμίαν ποιεῖν. τά τε ἐπιβοήματα τὰ πολλὰ καὶ
ὑπέρογκα ἔπαυσεν· καὶ εἰκόνα μίαν, καὶ ταύτην ἀργυρᾶν, ἀνδριάν-
τας τε δύο χαλκοῦ τε καὶ λίθου ψηφισθέντας αὐτῷ τὰ πρῶτα
ἔλαβεν. μάταια γὰρ πάντα τὰ τοιαῦτα ἀναλώματα εἶναι, καὶ 5
προσέτι πολλὴν μὲν ζημίαν πολὺν δὲ καὶ ὄχλον τῇ γε πόλει παρέ-
χειν ἔλεγεν· πάντες μὲν γὰρ οἱ ναοὶ πάντα δὲ καὶ τὰ ἄλλα ἔργα
καὶ ἀνδριάντων καὶ ἀναθημάτων ἐπεπλήρωτο, ὥστε καὶ περὶ ἐκεί-
νων βουλεύσεσθαι ἔφη ἃ δεῖ πρᾶξαι. τοῖς τε στρατηγοῖς τοὺς 6
ἀγῶνας τοὺς ὁπλομαχικοὺς ἀπηγόρευσε μὴ ποιεῖν, καὶ εἰ δή τις
ἄλλος αὐτοὺς ὁπουδήποτε ἐπιτελοίη, ἀλλὰ μήτοι γε ὡς καὶ ὑπὲρ
τῆς ἑαυτοῦ σωτηρίας γιγνομένων σφῶν ἢ γράφεσθαι ἢ καὶ λέγεσθαι
ἐκέλευσεν. καὶ οὕτω γε πάντα ταῦτα κρίσει καὶ οὐκ ἐπιτηδεύσει
ἔπραττεν ὥστε καὶ ἄλλα ὁμοίως ἔνεμεν. τὰς γοῦν θυγατέρας ἐν 7
τῷ ἔτει τούτῳ τὴν μὲν ἐγγυήσας Λουκίῳ Ἰουνίῳ Σιλανῷ τὴν δὲ
ἐκδοὺς Γναίῳ Πομπηίῳ Μάγνῳ οὐδὲν ἐξαίρετον ἔπραξεν, ἀλλὰ
καὶ αὐτὸς ἐν ταῖς ἡμέραις ἐκείναις ἐδίκασε καὶ ἡ βουλὴ ἠθροίσθη.
τούς τε γαμβροὺς τότε τε ἐν τοῖς εἴκοσιν ἀνδράσιν ἄρξαι καὶ μετὰ 8
τοῦτο πολιαρχῆσαι ἐν ταῖς ἀνοχαῖς ἐκέλευσε, καὶ ὀψέ ποτε πέντε
ἔτεσι θᾶσσον τὰς ἄλλας ἀρχὰς αἰτῆσαί σφισιν ἐπέτρεψεν. τούτου
δὲ δὴ τοῦ Πομπηίου ὁ Γάιος τὴν τοῦ Μάγνου ἐπίκλησιν περιέκοψεν.
ὀλίγου μὲν γὰρ καὶ ἀπέσφαξεν αὐτὸν ὅτι οὕτως ὠνομάζετο· ἀλλὰ 9

*τοῦτο μὲν καταφρονήσας ὡς καὶ παιδίου ἔτ' αὐτοῦ ὄντος οὐκ
ἐποίησε, τὴν δὲ δὴ πρόσρησιν κατέλυσεν, εἰπὼν μὴ εἶναί οἱ ἀσφα-
λὲς Μάγνον τινὰ προσαγορεύεσθαι. ὅ γε μὴν Κλαύδιος καὶ ἐκεῖνο
αὐτῷ τὸ πρόσρημα ἀπέδωκε καὶ τὴν θυγατέρα προσσυνῴκισεν.*
6 *ταῦτά τε οὖν ἐπιεικῶς ἔπραττε, καὶ τῶν ὑπάτων ἐν τῷ συνε-
δρίῳ καταβάντων ποτὲ ἀπὸ τῶν δίφρων ἵνα διαλεχθῶσιν αὐτῷ,
προσεξανέστη τε καὶ ἀντιπροσῆλθε σφίσιν, ἐπεὶ ἔν γε τῇ Νέᾳ πόλει*
2 *καὶ παντάπασιν ἰδιωτικῶς ἔζη· τά τε γὰρ ἄλλα ἑλληνικῶς καὶ αὐ-
τὸς καὶ οἱ συνόντες οἱ διῃτᾶτο, καὶ ἐν μὲν ταῖς τῆς μουσικῆς θεω-
ρίαις ἱμάτιον καὶ κρηπῖδας, ἐν δὲ δὴ τῷ γυμνικῷ ἀγῶνι πορφυρίδα*
3 *καὶ στέφανον χρυσοῦν ἐλάμβανεν. καὶ μέντοι καὶ περὶ τὰ χρήματα
θαυμαστὸς ἐγένετο. ἀπηγόρευσε μὲν γὰρ ἀργύριον, ὅπερ ἐπί τε
τοῦ Αὐγούστου καὶ ἐπὶ τοῦ Γαΐου ἐγίγνετο, προσφέρειν, ἀπεῖπε δὲ
μηδὲ κληρονόμιον αὐτόν, ὅστις ἂν συγγενεῖς ὁποιουσδήποτε κεκτῆται,
καταλείπειν, ἀλλὰ καὶ τῶν προσυληθέντων ἐπί τε τοῦ Τιβερίου
καὶ ἐπὶ τοῦ Γαΐου τὰ μὲν αὐτοῖς τοῖς ἔτι περιοῦσι τὰ δὲ τοῖς*
4 *τέκνοις αὐτῶν ἀπέδωκεν. εἰθισμένου τε, εἰ καὶ ὁτιοῦν περὶ τὰς
πανηγύρεις ἔξω τοῦ νενομισμένου πραχθείη, αὖθις αὐτάς, καθάπερ
εἴρηταί μοι, γίγνεσθαι, καὶ πολλάκις τοῦτον καὶ τρίτον καὶ τέταρ-
τον πέμπτον τε, καὶ δέκατον ἔστιν ὅτε, τὸ μέν τι κατὰ τύχην τὸ
δὲ δὴ πλεῖστον ἐκ παρασκευῆς τῶν ὠφελουμένων ἀπ' αὐτοῦ, συμ-*
5 *βαίνοντος, νόμῳ μὲν ἔταξε μίαν ἡμέραν τοὺς ἀγῶνας τῶν ἵππων
δεύτερον γίγνεσθαι, ἔργῳ δὲ καὶ τοῦτο ὡς πλήθει ἐπέσχεν· οὐδὲν
γὰρ ἔτι ῥᾳδίως, ἅτε μηδὲν μέγα ἀποκερδαίνοντες, οἱ τεχνώμενοι*
6 *αὐτὸ ἐπλημμέλουν. τούς τε Ἰουδαίους πλεονάσαντας αὖθις, ὥστε
χαλεπῶς ἂν ἄνευ ταραχῆς ὑπὸ τοῦ ὄχλου σφῶν τῆς πόλεως εἰρχθῆ-
ναι, οὐκ ἐξήλασε μέν, τῷ δὲ δὴ πατρίῳ βίῳ χρωμένους ἐκέλευσε
μὴ συναθροίζεσθαι. τάς τε ἑταιρείας ἐπαναχθείσας ὑπὸ τοῦ Γαΐου*
7 *διέλυσεν. καὶ ὁρῶν μηδὲν ὄφελος ὂν ἀπαγορεύεσθαί τινα τῷ πλήθει
μὴ ποιεῖν, ἂν μὴ καὶ ὁ καθ' ἡμέραν αὐτῶν βίος μεταρρυθμισθῇ,
τά τε καπηλεῖα ἐς ἃ συνιόντες ἔπινον κατέλυσεν, καὶ προσέταξε
μήτε κρέας που ἑφθὸν μήθ' ὕδωρ θερμὸν πιπράσκεσθαι, καί τινας*
8 *ἐπὶ τούτῳ μὴ πειθαρχήσαντας ἐκόλασεν. ἀπέδωκε μὲν οὖν καὶ
ταῖς πόλεσι τοὺς ἀνδριάντας οὓς ὁ Γάιος ἐξ αὐτῶν μετεπέμπετο,
ἀπέδωκε δὲ καὶ τοῖς Διοσκόροις τὸν νεὼν τῷ τε Πομπηίῳ τὴν τοῦ
θεάτρου μνήμην· καὶ αὐτῷ καὶ τὸ τοῦ Τιβερίου ὄνομα ἐν τῇ σκηνῇ*
9 *προσθεὶς ἔγραψεν, ἐπειδὴ καυθεῖσαν αὐτὴν ἀπῳκοδομήκει. τὸ γὰρ
ἑαυτοῦ ἐκείνῃ μέν, οὐχ ὅτι κατεσκεύασεν ἀλλ' ὅτι καὶ καθιέρωσεν*

6 3 2 *ἀργύριόν οἱ?** 4 1 *εἰθισμένου τε*] *οἷς μὲν οὔτε* 2 *πρα-
χθὲν* 5 3 *γάρ τι** 8 2 *μετεπέπεμπτο?** 9 2 *καὶ* om?

Digitized by Google

αὐτήν, ἄλλῳ δὲ οὐδενὶ ἐνεκόλαψεν. οὐ μὴν οὐδὲ τῇ στολῇ τῇ
ἐπινικίῳ παρὰ πᾶσαν τὴν πανήγυριν, καίτοι ψηφισθέν, ἐχρήσατο,
ἀλλ' ἔθυσεν ἐν αὐτῇ μόνον, τὰ δὲ ἄλλα ἐν τῷ περιπορφύρῳ ἱματίῳ
διῴκησεν. ἐσήγαγε δὲ ἐς τὴν ὀρχήστραν ἄλλους τε καὶ ἱππέας καὶ 7
γυναῖκας τῶν ὁμοίων, οἵπερ που καὶ ἐπὶ τοῦ Γαΐου τοῦτο ποιεῖν
εἰώθεσαν, οὐχ ὅτι καὶ ἔχαιρέ σφίσιν, ἀλλ' ἐς ἔλεγχον τῶν γεγονό-
των· αὖθις γοῦν οὐδεὶς αὐτῶν ἐν τῇ σκηνῇ ἐπί γε τοῦ Κλαυδίου
ἐξητάσθη. τήν τε πυρρίχην ἣν οἱ παῖδες οἱ ὑπὸ τοῦ Γαΐου μετα- 2
πεμφθέντες ἤσκουν, ἐκεῖνοι μὲν ἅπαξ ὠρχήσαντο, καὶ ἐπὶ τούτῳ
πολιτείᾳ τιμηθέντες ἀπεπέμφθησαν, ἄλλοι δὲ αὖθις ἐκ τῆς θερα-
πείας ἐπεδείχθησαν. ἐν μὲν δὴ τῷ θεάτρῳ ταῦτ' ἐγένετο, ἐν δὲ 3
τῷ ἱπποδρόμῳ κάμηλοί τε ἅπαξ καὶ ἵπποι δωδεκάκις ἠγωνίσαντο,
ἄρκτοι τε τριακόσιαι καὶ Λιβυκὰ θηρία ἴσα αὐταῖς ἐσφάγη. καὶ
ἑώρων μέν που πρότερον ἐν αὐτῷ ἰδίᾳ καὶ κατὰ σφᾶς ὡς ἕκαστοι,
τό τε βουλευὸν καὶ τὸ ἱππεῦον καὶ ὁ ὅμιλος, ἀφ' οὗπερ τοῦτ' ἐνο-
μίσθη, οὐ μέντοι καὶ τεταγμένα σφίσι χωρία ἀπεδέδεικτο· ἀλλὰ 4
τότε ὁ Κλαύδιος τήν τε ἕδραν τὴν νῦν οὖσαν τοῖς βουλευταῖς ἀπέ-
κρινεν, καὶ προσέτι τοῖς ἐθέλουσί σφων ἑτέρωθί που καὶ ἔν γε
ἰδιωτικῇ ἐσθῆτι θεάσασθαι ἐπέτρεψεν. ποιήσας δὲ ταῦτα τήν τε
γερουσίαν μετὰ τῶν γυναικῶν καὶ τοὺς ἱππέας τάς τε φυλὰς εἱ-
στίασεν. καὶ μετὰ τοῦτο τῷ τε Ἀντιόχῳ τὴν Κομμαγηνὴν ἀπέδω- 8
κεν (ὁ γὰρ Γάιος, καίπερ αὐτός οἱ δοὺς αὐτήν, ἀφῄρητο), καὶ τὸν
Μιθριδάτην τὸν Ἴβηρα, ὃν ὁ Γάιος μεταπεμψάμενος ἐδεδέκει, οἴ-
καδε πρὸς ἀνάληψιν τῆς ἀρχῆς ἀπέπεμψεν. ἄλλῳ τέ τινι Μιθρι- 2
δάτῃ, τὸ γένος ἀπ' ἐκείνου τοῦ πάνυ ἔχοντι, τὸν Βόσπορον ἐχαρίσατο,
καὶ τῷ Πολέμωνι χώραν τινὰ ἀντ' αὐτοῦ τῆς Κιλικίας ἀντέδωκεν.
τῷ γὰρ Ἀγρίππᾳ τῷ Παλαιστίνῳ συμπράξαντί οἱ τὴν ἡγεμονίαν
(ἔτυχε γὰρ ἐν τῇ Ῥώμῃ ὤν) τήν τε ἀρχὴν προσεπηύξησε καὶ τιμὰς
ὑπατικὰς ἔνειμεν. τῷ τε ἀδελφῷ αὐτοῦ Ἡρώδῃ τό τε στρατηγικὸν 3
ἀξίωμα καὶ δυναστείαν τινὰ ἔδωκεν, καὶ ἔς τε τὸ συνέδριον ἐσελ-
θεῖν σφίσι καὶ χάριν οἱ ἑλληνιστὶ γνῶναι ἐπέτρεψεν.

ταῦτα μὲν οὖν αὐτοῦ τε τοῦ Κλαυδίου ἔργα ἦν καὶ ὑφ' ἁπάν- 4
των ἐπῃνεῖτο· ἐπράχθη δὲ καὶ ἄλλ' ἄττα τότε, οὐχ ὁμοιότροπα,
ὑπό τε τῶν ἐξελευθέρων αὐτοῦ καὶ ὑπὸ τῆς γυναικὸς Οὐαλερίας

9 5 ἔθυσεν] εὐθὺς* 8 1 3 ὅτι Μιθριδάτης ὁ τῶν Ἰβήρων βασιλεὺς συμβαλὼν Ῥωμαϊκῷ στρατεύματι καὶ ἡττηθείς, ἀπογνούς τε ἑαυτοῦ, ἐδεήθη λόγον αὐτῷ δοθῆναι ἵνα μήτε βιαίως ἀποθάνῃ μήτε ἐν ἐπινικίοις εἰσαχθῇ. οὕτως δὲ γενομένου ὁ Κλαύδιος ἐν Ῥώμῃ ἐπὶ βήματος αὐτὸν ἐδέξατο καὶ ἀπειλητικῶς αὐτῷ διελέγετο· ὁ δὲ ἄλλα τέ τινα μετὰ παρρησίας ἀπεκρίνατο καὶ τοῦτο προσεπήγαγεν ὅτι ἐγὼ οὐκ ἠνέχθην πρός σε ἀλλ' ἀφῖγμαι· εἰ δὲ ἀπιστεῖς, ἄφες με καὶ ζήτει. M p. 208

Digitized by Google

5 Μεσσαλίνης. αὕτη μὲν γὰρ τὴν Ἰουλίαν τὴν ἀδελφιδῆν αὐτοῦ, ὀργισθεῖσά τε ἅμα ὅτι μήτε ἐτιμᾶτο ὑπ' αὐτῆς μήτε ἐκολακεύετο, καὶ ζηλοτυπήσασα ὅτι περικαλλής τε ἦν καὶ μόνη τῷ Κλαυδίῳ πολλάκις συνεγίγνετο, ἐξώρισεν, ἐγκλήματα αὐτῇ ἄλλα τε καὶ μοιχείας παρασκευάσασα, ἐφ' ᾗ καὶ ὁ Σενέκας ὁ Ἄννιος ἔφυγεν, καὶ
6 ὕστερόν γε οὐ πολλῷ καὶ ἀπέκτεινεν αὐτήν. ἐκεῖνοι δὲ καὶ τὰς τιμὰς αὐτὸν τὰς ἐπινικίους ἐπὶ τοῖς ἐν τῇ Μαυριτανίᾳ πραχθεῖσι δέξασθαι ἔπεισαν, οὐχ ὅτι τι κατορθώσαντα, ἀλλ' οὐδ' ἐν τῇ ἀρχῇ
7 πω ὄντα ὅτε διεπολεμήθη. καίτοι καὶ τούτῳ τῷ ἔτει ὅ τε Γάλβας ὁ Σουλπίκιος Μαυρουσίους ἐκράτησε, καὶ Πούπλιος Γαβίνιος Χάττους νικήσας τά τε ἄλλα εὐδοκίμησε, καὶ ἀετὸν στρατιωτικὸν ὃς μόνος ἔτι παρ' αὐτοῖς ἐκ τῆς τοῦ Ὀάρου συμφορᾶς ἦν ἐκομίσατο, ὥς καὶ ἀληθὲς ὄνομα αὐτοκράτορος ἀπ' ἀμφοτέρων σφῶν τὸν Κλαύδιον λαβεῖν.

9 τῷ δὲ ἐχομένῳ οἱ αὐτοὶ αὖθις Μαῦροι πολεμήσαντες κατεστρά-
a.C. 42 φησαν. Σουητώνιος μὲν γὰρ Παυλῖνος, ἐκ τῶν ἐστρατηγηκότων ὤν, τὴν χώραν αὐτῶν μέχρι τοῦ Ἄτλαντος ἀντικατέδραμεν, Γναῖος δὲ Ὁσίδιος Γέτας ἐκ τῶν ὁμοίων μετ' ἐκεῖνον στρατεύσας ἐπὶ τὸν Σάλαβον τὸν στρατηγόν σφων εὐθὺς ὥρμησε, καὶ ἐνίκησεν αὐτὸν
2 καὶ ἅπαξ καὶ δεύτερον. ἐπειδή τε ἐκεῖνος, καταλιπών τινας πρὸς τοῖς μεθορίοις εἴργειν τοὺς ἐπιδιώξοντας, πρὸς τὰ ψαμμώδη ἀπέφυγεν, ἐτόλμησεν ἐπισπέσθαι οἱ, καὶ ἀντικαταστήσας πρὸς τοὺς ἐφεδρεύοντας μέρος τοῦ στρατοῦ προῄει, συσκευασάμενος ὕδωρ
3 ὅσον ἐνεδέχετο. ὡς δὲ τοῦτό τε ἐπέλειπε καὶ ἄλλο οὐχ εὑρίσκετο, ἐν παντὶ κακοῦ ἐγένετο· οἱ μὲν γὰρ βάρβαροι ἄλλως τε ἐπὶ μακρότατον πρὸς τὸ δίψος ὑπὸ τοῦ ἔθους ἀντέχοντες, καὶ πάντως τι ὕδωρ ἐμπειρίᾳ τῶν χωρίων ποριζόμενοι, διεγίγνοντο, τοῖς δὲ δὴ Ῥωμαίοις ἐκ τῶν ἐναντίων ἀδύνατον μὲν προχωρῆσαι χαλεπὸν δὲ
4 καὶ ὑποστρέψαι ἦν. ἀποροῦντα οὖν αὐτὸν ὅ τι χρὴ πρᾶξαι, ἀνέπεισέ τις τῶν ἐπιχωρίων τῶν ἐνσπόνδων ἐπῳδαῖς τέ τισι καὶ μαγγανείαις χρήσασθαι, λέγων πολλάκις σφίσιν ἐκ τοῦ τοιούτου πολὺ ὕδωρ δεδόσθαι· καὶ αὐτῷ παραχρῆμα τοσοῦτον ἐκ τοῦ οὐρανοῦ ἐρρύη ὥστε καὶ τὸ δίψος ἐξακέσασθαι καὶ τοὺς πολεμίους προσ-
5 καταπλῆξαι, νομίσαντας τὸ θεῖόν οἱ ἐπικουρεῖν. καὶ οἱ μὲν ἐκ τούτου ἐθελονταί τε ὡμολόγησαν καὶ κατελύσαντο· πραχθέντων δὲ τούτων ὁ Κλαύδιος διχῇ τοὺς Μαύρους τοὺς ὑπηκόους ἔνειμεν, ἔς τε τὰ περὶ Τέγγιν καὶ ἐς τὰ περὶ Καισάρειαν, ἀφ' ὧνπερ καὶ ὀνο-
6 μάζονται, καὶ δύο ἄρχουσιν ἱππεῦσι προσέταξεν. κἂν τῷ αὐτῷ

7 2 M.] Χάιτους* X.] Μαυρουσίους*

Digitized by Google

τούτῳ χρόνῳ καὶ τῆς Νουμιδίας τινὰ ἐπολεμήθη τε ὑπὸ τῶν προ-
σοίκων βαρβάρων, καὶ ἔπειτα κρατηθέντων αὐτῶν μάχαις κατέστη.
ὑπάτευε δὲ ὁ Κλαύδιος μετὰ Γαΐου Λάργου, καὶ ἐκείνῳ μὲν 10
δι' ἔτους ἄρξαι ἐφῆκεν, αὐτὸς δὲ δύο μησὶ καὶ τότε τὴν ἀρχὴν
ἔσχεν. καὶ περί τε τῶν τοῦ Αὐγούστου πράξεων τούς τε ἄλλους
ὥρκωσε καὶ αὐτὸς ἐπιστώθη (περὶ γὰρ τῶν ἑαυτοῦ οὐδενὶ τὸ πα-
ράπαν τοῦτο ποιῆσαι ἐπέτρεψεν), καὶ ἐξιὼν ἐκ τῆς ἀρχῆς αὖθις
ὤμοσεν ὥσπερ οἱ ἄλλοι. καὶ ταῦτα μὲν ἀεὶ ὁσάκις ὑπάτευσεν ἐγέ- 2
νετο· τότε δὲ λόγους τινὰς ἐν τῇ νουμηνίᾳ τοῦ τε Αὐγούστου καὶ
τοῦ Τιβερίου κατὰ δόγμα ἀναγινωσκομένους, ὥστε καὶ μέχρι τῆς
ἑσπέρας τοὺς βουλευτὰς παρατείνεσθαι, ἔπαυσεν, ἀρκοῦν εἶναι φή-
σας ἐν ταῖς στήλαις αὐτοὺς ἐγγεγράφθαι. ἐπεί τέ τινες τῶν στρα- 3
τηγῶν τῶν τὴν διοίκησιν ἐγκεχειρισμένων αἰτίαν ἔλαβον, οὐκ ἐπε-
ξῆλθε μέν σφισι, πιπράσκουσι δέ τινα καὶ μισθοῦσιν ἐπιφοιτήσας
πάνθ' ὅσα ἐνόμιζε μὴ καλῶς γίγνεσθαι διώρθωσεν· καὶ τοῦτο καὶ
αὖθις πολλάκις ἐποίησεν. ἀνωμάλως δὲ δὴ οἱ στρατηγοὶ ἀπεδεί- 4
κνυντο· καὶ γὰρ τεσσαρεσκαίδεκα καὶ ὀκτωκαίδεκα, διὰ μέσου τε,
ὥς που καὶ συνέπεσεν, ἐγίγνοντο. τοῦτό τε οὖν περὶ τὴν διοίκησιν
ἔπραξεν, καὶ τρεῖς ἄνδρας τῶν ἐστρατηγηκότων πράκτορας τῶν τῷ
δημοσίῳ ὀφειλομένων κατέστησε, καὶ ῥαβδούχους καὶ τὴν ἄλλην
ὑπηρεσίαν αὐτοῖς δούς. λιμοῦ τε ἰσχυροῦ γενομένου, οὐ μόνον τῆς 11
ἐν τῷ τότε παρόντι ἀφθονίας τῶν τροφῶν ἀλλὰ καὶ τῆς ἐς πάντα
τὸν μετὰ ταῦτα αἰῶνα πρόνοιαν ἐποιήσατο. ἐπεσάκτου γὰρ παντὸς 2
ὡς εἰπεῖν τοῦ σίτου τοῖς Ῥωμαίοις ὄντος, ἡ χώρα ἡ πρὸς ταῖς τοῦ
Τιβέριδος ἐκβολαῖς, οὔτε κατάρσεις ἀσφαλεῖς οὔτε λιμένας ἐπιτη-
δείους ἔχουσα, ἀνωφελές σφισι τὸ κράτος τῆς θαλάσσης ἐποίει·
ἔξω γὰρ τῶν τῇ τε ὥρᾳ ἐσκομισθέντων καὶ ἐς τὰς ἀποθήκας ἀνα-
χθέντων οὐδὲν τὴν χειμερινὴν ἐσεφοίτα, ἀλλ' εἴ τις παρεκινδύνευσε,
κακῶς ἀπήλλασσεν. τοῦτ' οὖν συνιδὼν λιμένα τε κατασκευάσαι 3
ἐπεχείρησεν, οὐδ' ἀπετράπη καίπερ τῶν ἀρχιτεκτόνων εἰπόντων
αὐτῷ, πυθομένῳ πόσον τὸ ἀνάλωμα ἔσοιτο, ὅτι οὐ θέλεις αὐτὸν
ποιῆσαι· οὕτως ὑπὸ τοῦ πλήθους τοῦ δαπανήματος ἀναχαιτισθῆναι
αὐτόν, εἰ προπύθοιτο αὐτό, ἤλπισαν· ἀλλὰ καὶ ἐνεθυμήθη πρᾶγμα
καὶ τοῦ φρονήματος καὶ τοῦ μεγέθους τοῦ τῆς Ῥώμης ἄξιον καὶ
ἐπετέλεσεν. τοῦτο μὲν γὰρ ἐξορύξας τῆς ἠπείρου χωρίον οὐ σμικρόν, 4
τὸ πέριξ πᾶν ἐκρηπίδωσε καὶ τὴν θάλασσαν ἐς αὐτὸ ἐσεδέξατο·
τοῦτο δὲ ἐν αὐτῷ τῷ πελάγει χώματα ἑκατέρωθεν αὐτοῦ μεγάλα
χώσας θάλασσαν ἐνταῦθα πολλὴν περιέβαλε, καὶ νῆσον ἐν αὐτῇ

11 2 5 γάρ] τε γάρ* 4 4 ἐπ'

Digitized by Google

5 πύργον τε ἐπ' ἐκείνῃ φρυκτωρίαν ἔχοντα κατεστήσατο. ὁ μὲν οὖν λιμὴν ὁ καὶ νῦν οὕτω κατά γε τὸ ἐπιχώριον ὀνομαζόμενος ὑπ' ἐκείνου τότε ἐποιήθη· τὴν δὲ δὴ λίμνην τὴν Φουκίνην τὴν τῶν Μαρσῶν ἠθέλησε μὲν ἐς τὸν Λεῖριν ἐξαγαγεῖν, ὅπως ἥ τε χώρα ἡ περὶ αὐτὴν γεωργῆται καὶ ὁ ποταμὸς ναυσίπορος μᾶλλον γένηται, μάτην δὲ δὴ ἐδαπανήθη.

6 ἐνομοθέτησε μὲν οὖν καὶ ἄλλα τινά, ὧν οὐδεμία μοι ἄλλη ἀνάγκη μνημονεῦσαι ἐστίν, κατέδειξε δὲ καὶ τάδε, τούς τε κληρωτοὺς ἄρχοντας πρὸ τῆς τοῦ Ἀπριλίου νουμηνίας, ἐπειδή περ ἐπὶ πολὺ ἐν τῷ ἄστει ἐνεχρόνιζον, ἀφορμᾶσθαι, καὶ τοὺς αἱρετοὺς μη-
7 δεμίαν οἱ χάριν ἐν τῷ συνεδρίῳ γινώσκειν, ὅπερ κατά τι ἔθος ἐποίουν, εἰπὼν ὅτι οὐχ οὗτοι ἐμοὶ χάριν ἔχειν ὀφείλουσιν ὥσπερ ἐσπουδαρχηκότες, ἀλλ' ἐγὼ τούτοις ὅτι μοι τὴν ἡγεμονίαν προθύμως συνδιαφέρουσιν· καὶ ἄν γε καὶ καλῶς ἄρξωσι, πολὺ μᾶλλον
8 αὐτοὺς ἐπαινέσω. τοῖς μὲν οὖν ὑπ' ἀσθενείας βίου μὴ δυναμένοις βουλεύειν ἐφίει παρίεσθαι, ἔκ τε τῶν ἱππέων τινὰς ἐς τὰς δημαρχίας ἐσεδέχετο· τοὺς δ' ἄλλους καὶ πάνυ πάντας ἐπηνάγκαζεν ἐς τὸ βουλευτήριον, ὁσάκις ἂν ἐπαγγελθῇ σφίσι, συμφοιτᾶν. καὶ ἐπὶ μὲν τούτῳ οὕτως ἰσχυρῶς τοῖς μὴ πειθαρχοῦσιν ἐπετίμα ὥστε
12 τινὰς ἑαυτοὺς ἀναχρήσασθαι, ἐς δὲ δὴ τὰ ἄλλα κοινὸς καὶ ἐπιεικὴς ἦν πρὸς αὐτούς, κάμνοντάς τε ἐπεσκέπτετο, καὶ ἑορτάζουσί
2 σφισι συνεγίγνετο. δημάρχου τέ τινος πληγὰς δημοσίᾳ δούλῳ αὐτοῦ δόντος αὐτὸν μὲν οὐδὲν κακὸν εἰργάσατο, τοὺς δ' ὑπηρέτας αὐτοῦ ἀφελόμενος ἔπειτα καὶ ἐκείνους οὐ πολλῷ ὕστερον ἀπέδωκεν. δοῦλόν τε ἕτερον αὐτοῦ, ὅτι τινὰ τῶν ἐπιφανῶν ὕβρισεν, ἐς τὴν
3 ἀγορὰν πέμψας ἀπεμαστίγωσεν. κἀν τῷ συνεδρίῳ αὐτὸς μὲν ἐξανίστατο, εἴ ποτε ἐπὶ πολὺ οἱ ἄλλοι ἑστήκεσαν· καθήμενος γάρ, ὥσπερ εἶπον, ὑπὸ τῆς ἀρρωστίας πολλάκις ἀνεγίνωσκέ τινα αἰτούμενος· Λουκίῳ δὲ δὴ Σύλλᾳ καὶ ἐς τὸ τῶν στρατηγῶν βάθρον, ὅτι μὴ δυνηθείς ποτε ὑπὸ γήρως ἐκ τῆς ἑαυτοῦ ἕδρας ἐπακοῦσαί
4 τινα ἀνέστη, καθίζεσθαι ἐπέτρεψεν. ἔν τε τῇ ἡμέρᾳ ἐν ᾗ αὐτοκράτωρ τῷ προτέρῳ ἔτει ἀπεδείχθη, αὐτὸς μὲν οὐδὲν ἐξαίρετον ἔπραξε, πλὴν ὅτι τοῖς δορυφόροις πέντε καὶ εἴκοσι δραχμὰς ἔδωκε, καὶ τοῦτο ἔπειτα κατ' ἔτος ἐποίησεν· τῶν μέντοι στρατηγῶν τινὲς ἐθελονταὶ καὶ ἀπ' οὐδενὸς ψηφίσματος ἐκείνην τε τὴν ἡμέραν καὶ
5 τὰ γενέθλια τὰ τῆς Μεσσαλίνης δημοσίᾳ ἐτίμων. οὐ γάρ που καὶ πάντες αὐτὰ ἐποίουν, ἀλλ' ὅσοι ἐβούλοντο· τοσαύτην ἄδειαν εἶχον. οὕτω τε ὡς ἀληθῶς ἐς πάντα τὰ τοιαῦτα ἐμετρίαζεν ὥστε γεννη-

5 3 τότε] τε*  4 Τίβεριν  6 1 ἄλλη] ἄλλως?*  12 3 1 καὶ

θέντος αὐτῷ υἱέος, ὃς τότε μὲν Κλαύδιος Τιβέριος Γερμανικὸς
ὕστερον δὲ καὶ Βρεττανικὸς ἐπωνομάσθη, οὔτ' ἄλλο τι ἐπιφανὲς
ἔπραξεν οὔτ' Αὔγουστον αὐτὸν ἢ τὴν Μεσσαλῖναν Αὐγοῦσταν ἐπι-
κληθῆναι ἐφῆκεν.

ἐτίθει μὲν οὖν συνεχῶς μονομαχίας ἀγῶνας· πάνυ γὰρ σφισιν 13
ἔχαιρεν, ὥστε καὶ αἰτίαν ἐπὶ τούτῳ σχεῖν· ἀπώλλυντο δὲ θηρία
μὲν ἐλάχιστα ἄνθρωποι δὲ πολλοί, οἱ μὲν ἀλλήλοις μαχόμενοι οἱ
δὲ καὶ ὑπ' ἐκείνων ἀναλούμενοι. τοὺς γὰρ δούλους τούς τ' ἀπε- 2
λευθέρους τοὺς ἐπί τε τοῦ Τιβερίου καὶ ἐπὶ τοῦ Γαΐου τοῖς δεσπό-
ταις σφῶν ἐπιβουλεύσαντας, τούς τε τὴν ἄλλως συκοφαντήσαντάς
τινας ἢ καὶ καταψευδομαρτυρήσαντας τινῶν, δεινῶς ἐμίσει, καὶ
αὐτῶν τοὺς μὲν πλείους οὕτως ἀνήλισκε, τοὺς δὲ ἕτερόν τινα τρό-
πον ἐκόλαζε, πολλοὺς δὲ καὶ τοῖς δεσπόταις αὐτοῖς ἐπὶ τιμωρίᾳ
παρεδίδου. τοσοῦτο δ' οὖν τὸ πλῆθος τῶν ἐν τῷ κοινῷ θνησκόν- 3
των ἐγίγνετο ὥστε καὶ τὸν τοῦ Αὐγούστου ἀνδριάντα τὸν ἐν τῷ
χωρίῳ ἐκείνῳ ἱδρυμένον ἑτέρωσέ ποι μετενεχθῆναι τοῦ δὴ μήτ'
ἐφορᾶν αὐτὸν τοὺς φόνους νομίζεσθαι μήτε ἀεὶ κατακαλύπτεσθαι.
καὶ ἐπὶ μὲν τούτῳ γέλωτα ὠφλίσκανεν, εἰ δὴ ὅσα τὸν χαλκὸν τὸν
ἀναίσθητον δοκεῖν ὁρᾶν οὐκ ἠξίου, τούτων αὐτὸς διεπίμπλατο· τά 4
τε γὰρ ἄλλα καὶ τοὺς διὰ μέσου τῆς θέας παρὰ τὸν τοῦ ἀρίστου
καιρὸν κατακοπτομένους ἥδιστα ἐθεώρει, καίτοι λέοντα δεδιδαγμέ-
νον ἀνθρώπους ἐσθίειν καὶ πάνυ γε διὰ τοῦτο τῷ πλήθει ἀρέσκοντα
ἀποκτείνας ὡς οὐ προσῆκον ὂν τοιοῦτό τι θέαμα ὁρᾶν Ῥωμαίους·
ὅτι δὲ δή σφισι κοινῶς τε ἐν τῇ θέᾳ συνῆν καὶ παρεῖχεν ὅσα 5
ἐβούλοντο, καὶ κήρυξι μὲν ἐλάχιστα ἐχρῆτο, τὰ δὲ δὴ πλείω ἐς
σανίδας γράφων διεδήλου, σφόδρα ἐπῃνεῖτο.

ἐθισθεὶς δ' οὖν αἵματος καὶ φόνων ἀναπίμπλασθαι προπετέ- 14
στερον καὶ ταῖς ἄλλαις σφαγαῖς ἐχρήσατο. αἴτιοι δὲ τούτου οἵ τε
καισάρειοι καὶ ἡ Μεσσαλῖνα ἐγένετο· ὁπότε γάρ ἀποκτεῖναί τινα
ἐθελήσειαν, ἐξεφόβουν αὐτόν, κἀκ τούτου πάνθ' ὅσα ἐβούλοντο
ποιεῖν ἐπετρέποντο. καὶ πολλάκις γε ἐξαπιναίως ἐκπλαγεὶς καὶ κε- 2
λεύσας τινὰ ἐκ τοῦ παραχρῆμα περιδεοῦς ἀπολέσθαι, ἔπειτ' ἀνε-
νεγκὼν καὶ ἀναφρονήσας ἐπεζήτει τε αὐτόν, καὶ μαθὼν τὸ γεγονὸς
ἐλυπεῖτό τε καὶ μετεγίνωσκεν. ἤρξατο δὲ τῶν φόνων τούτων ἀπὸ
Γαΐου Ἀππίου Σιλανοῦ. τοῦτον γὰρ εὐγενέστατόν τε ὄντα καὶ τῆς 3
Ἰβηρίας τότε ἄρχοντα μεταπεμψάμενος ὥς τι αὐτοῦ δεόμενος, καὶ
τήν τε μητέρα οἱ τὴν τῆς Μεσσαλίνης συνοικίσας, καὶ αὐτὸν ἔν
τε τοῖς φιλτάτοις καὶ ἐν τοῖς συγγενεστάτοις χρόνον τινὰ τιμήσας,

13 2 1 τ' om     14 2 1 τε*

ἔπειτ' ἐξαίφνης ἔσφαξεν, ὅτι τῇ τε Μεσσαλίνῃ προσέκρουσεν οὐκ ἐθελήσας αὐτῇ συγγενέσθαι πορνικωτάτῃ τε καὶ ἀσελγεστάτῃ οὔσῃ,
4 καὶ τῷ Ναρκίσσῳ τῷ ἀπελευθέρῳ αὐτοῦ δι' ἐκείνην. καὶ οὐ γὰρ εἶχον οὔτε ἀληθὲς οὔτε πιθανόν τι κατ' αὐτοῦ εἰπεῖν, συνέπλασεν ὄναρ ὁ Νάρκισσος ὡς σφαττόμενον τὸν Κλαύδιον ὑπὸ τοῦ Σιλανοῦ αὐτοχειρίᾳ ἰδών, καὶ αὐτός τε εὐθὺς ὑπὸ τὴν ἕω ἐν τῇ εὐνῇ οἱ ἔτ' ὄντι τὸ ὄναρ ὑπότρομος διηγήσατο, καὶ ἡ Μεσσαλῖνα παραλαβοῦσα ἐδείνωσεν.

15 καὶ ὁ μὲν οὕτως ἐξ ἐνυπνίου παραπώλετο, τελευτήσαντος δ' αὐτοῦ οὐκέτι χρηστὴν ἐλπίδα οἱ Ῥωμαῖοι τοῦ Κλαυδίου ἔσχον, ἀλλ' εὐθὺς αὐτῷ ἄλλοι τε καὶ Ἄννιος Οὐινικιανὸς ἐπεβούλευσεν. οὗτός τε γὰρ ἐκ τῶν ἐς τὴν ἡγεμονίαν μετὰ τὸν τοῦ Γαΐου θάνατον
2 προβληθέντων ἦν, καί τι καὶ ἐκ τούτου δεδιὼς ἐνεωτέρισεν· ἐπειδή τε οὐδεμίαν ἰσχὺν ἐκέκτητο, ἔπεμψε πρὸς Φούριον Κάμιλλον Σκριβωνιανὸν τῆς τε Δελματίας ἄρχοντα καὶ δύναμιν συχνὴν πολιτικὴν καὶ ξενικὴν ἔχοντα, καὶ προσανέπεισεν αὐτὸν καὶ καθ' ἑαυτὸν διανοούμενον ἐπαναστῆναι, ἄλλως τε καὶ ὅτι ἐπίδοξος αὐταρχήσειν
3 ἐγεγόνει. πράξαντος δὲ αὐτοῦ τοῦτο συχνοὶ μὲν καὶ βουλευταὶ καὶ ἱππεῖς πρὸς αὐτὸν ὥρμησαν... οἱ γὰρ στρατιῶται, τοῦ Καμίλλου τό τε τοῦ δήμου σφίσιν ὄνομα προτείνοντος καὶ τὴν ἀρχαίαν ἐλευθερίαν ἀποδώσειν ὑπισχνουμένου, ὑπώπτευσαν πράγματα αὖθις καὶ στάσεις ἕξειν, καὶ οὐκέτ' αὐτῷ ἐπείσθησαν. καὶ ὁ μὲν ἐκ τούτου φοβηθείς σφας ἔφυγε, καὶ ἐς τὴν Ἴσσαν τὴν νῆσον ἐλθὼν ἐν-
4 ταῦθα ἑκούσιος ἀπέθανεν· Κλαύδιος δὲ τέως μὲν πάνυ κατέδεισεν, ὥστε καὶ ἐθελοντὴς ἑτοίμως ἔχειν τοῦ κράτους αὐτῷ ἐκστῆναι, τότε δὲ ἀναθαρσήσας τοὺς μὲν στρατιώτας ἄλλοις τέ τισιν ἠμείψατο καὶ τῷ τὰ πολιτικὰ αὐτῶν στρατόπεδα, τό τε ἕβδομον καὶ τὸ ἑνδέκατον, καὶ Κλαυδίεια καὶ πιστὰ καὶ εὐσεβῆ καὶ πρὸς τῆς βουλῆς ἐπονομασθῆναι, τοὺς δὲ συνεπιβουλεύσαντας αὐτῷ ἀνεζήτησεν, καὶ πολλοὺς ἐπὶ τούτῳ ἄλλους τε καὶ στρατηγόν τινα, προαπειπόντα
5 τὴν ἀρχήν, ἀπέκτεινεν. συχνοὶ δὲ καὶ ἑαυτούς, ἄλλοι τε καὶ ὁ Οὐινικιανός, κατεχρήσαντο. τῆς γὰρ ἀφορμῆς ταύτης ἥ τε Μεσσαλῖνα καὶ ὁ Νάρκισσος, ὅσοι τε συνεξελεύθεροι αὐτοῦ, λαβόμενοι οὐδὲν ὅ τι τῶν δεινοτάτων οὐκ ἐποίησαν. τά τε γὰρ ἄλλα καὶ τοῖς δούλοις τοῖς τε ἀπελευθέροις μηνυταῖς κατὰ τῶν δεσποτῶν
6 αὐτῶν ἐχρῶντο. καὶ τούτους τε καὶ ἑτέρους καὶ πάνυ εὐγενεῖς, οὐχ ὅτι ξένους ἀλλὰ καὶ πολίτας, οὐχ ὅτι δημότας ἀλλὰ καὶ ἐκ τῶν ἱππέων τῶν τε βουλευτῶν τινάς, ἐβασάνιζον, καίτοι τοῦ Κλαυδίου

15 5 2 γε    6 1 καὶ ante τούτους om*

Digitized by Google

κατ' ἀρχὰς εὐθὺς τῆς ἡγεμονίας ὀμόσαντος μηδένα βασανιεῖν ἐλεύ-
θερον. ἄνδρες τε οὖν ἐν τούτῳ πολλοὶ καὶ γυναῖκες, καὶ ἐν αὐτῷ 16
γε εἰσὶν αἱ τῷ δεσμωτηρίῳ, ἐκολάσθησαν. μέλλουσαί τε ἀποθνή-
σκειν ἐπὶ βῆμα καὶ αὗται ἀνήγοντο δεδεμέναι ὥσπερ αἰχμάλωτοι,
καὶ τὰ σώματα καὶ ἐκείνων ἐς τοὺς ἀναβασμοὺς ἐρριπτεῖτο· τῶν
γὰρ ἔξω που θανατωθέντων αἱ κεφαλαὶ μόναι ἐνταῦθα προετίθεντο.
ἤδη δ' οὖν τινὲς καὶ τῶν πάνυ ὑπαιτίων, οἱ μὲν χάρισιν οἱ δὲ καὶ 2
χρήμασιν, ὑπό τε τῆς Μεσσαλίνης καὶ ὑπὸ τῶν περὶ τὸν Νάρκισ-
σον καισαρείων περιεγένοντο. καὶ οἵ γε παῖδες τῶν ἀπολλυμένων
τὴν μὲν ἄδειαν πάντες, εἰσὶ δὲ οἳ καὶ χρήματα ἐλάμβανον. ἐκρί- 3
νοντο δὲ ἐν τῷ συνεδρίῳ, τοῦ τε Κλαυδίου τῶν ἐπάρχων τε καὶ
τῶν ἐξελευθέρων αὐτοῦ παρόντων· τὴν μὲν γὰρ ἐσήγησιν ἐν μέσῳ
τῶν ὑπάτων ἐπὶ δίφρου ἀρχικοῦ ἢ καὶ ἐπὶ βάθρου καθήμενος
ἐποιεῖτο, μετὰ δὲ τοῦτο αὐτός τε ἐπὶ τὴν συνήθη ἕδραν μετήρχετο,
καὶ ἐκείνοις οἱ δίφροι ἐτίθεντο. καὶ ταῦτα μὲν καὶ ἐπὶ τῶν ἄλλων 4
τῶν μεγίστων ὁμοίως ἐγίγνετο· τότε δὲ Γάλαισός τις ἀπελεύθερος
τοῦ Καμίλλου πολλὰ μὲν καὶ ἄλλα ἐσαχθεὶς ἐς τὸ βουλευτήριον
ἐπαρρησιάσατο, ἓν δὲ δὴ καὶ τόδε μνήμης ἄξιον. τοῦ γὰρ Ναρ- 5
κίσσου παρελθόντος ἐς τὸ μέσον καὶ εἰπόντος αὐτῷ "τί ἂν ἐποίη-
σας, Γάλαισε, εἰ Κάμιλλος ἐμεμονάρχήκει;" ἀπεκρίνατο ὅτι ἑστήκειν
ἂν ὄπισθεν αὐτοῦ καὶ ἐσιώπων. αὐτός τε οὖν ἐπὶ τούτῳ καὶ Ἀρρία
αὖ ἐφ' ἑτέρῳ ὀνομαστοὶ ἐγένοντο. αὕτη γὰρ γυνὴ Καικίνου Παίτου 6
οὖσα οὔτ' ἠθέλησε θανατωθέντος αὐτοῦ ζῆσαι, καίπερ καὶ ἐν τιμῇ
τινὶ εἶναι δυναμένη (τῇ γὰρ Μεσσαλίνῃ σφόδρα ᾠκείωτο), καὶ
προσέτι καὶ τὸν ἄνδρα ἀποδειλιῶντα ἐπέρρωσεν· τὸ γὰρ ξίφος λα-
βοῦσα ἑαυτήν τε ἔτρωσε, καὶ ἐκείνῳ ὤρεξεν εἰποῦσα "ἰδού, Παῖτε,
οὐκ ἀλγῶ." καὶ οἱ μὲν ἐπῃνοῦντο· ἤδη γὰρ ὑπὸ τῆς συνεχείας 7
τῶν κακῶν ἐς τοῦτο τὰ πράγματα προεληλύθει ὥστ' ἀρετὴν μηκέτ'
ἄλλο μηδὲν ἢ τὸ γενναίως ἀποθανεῖν νομίζεσθαι· Κλαύδιος δὲ
οὕτω που πρὸς τὴν τιμωρίαν τήν τε ἐκείνων καὶ τὴν τῶν ἄλλων
ἔσχεν ὥστε καὶ σύνθημα τοῖς στρατιώταις τὸ ἔπος τοῦτο συνεχῶς
διδόναι, τὸ ὅτι χρὴ ἄνδρ' ἀπαμύνασθαι ὅτε τις πρότερος χαλεπήνῃ.
καὶ ἄλλα δὲ πολλὰ καὶ πρὸς ἐκείνους καὶ πρὸς τὴν βουλὴν τοιου- 8
τότροπα ἑλληνιστὶ παρεφθέγγετο, ὥστε καὶ γέλωτα παρὰ τοῖς δυ-
ναμένοις ἔστιν ἃ αὐτῶν συνεῖναι ὀφλισκάνειν.

τότε μὲν δὴ ταῦτά τε ἐγένετο, καὶ οἱ δήμαρχοι τελευτήσαντός
σφων ἑνὸς αὐτοὶ τὴν γερουσίαν ἐς τὸ τὸν δημαρχήσοντα ἀντικα-
ταστῆσαι, καίτοι τῶν ὑπάτων παρόντων, ἤθροισαν. μετὰ δὲ τοῦτο 17
ὁ Κλαύδιος ὑπατεύσας αὖθις τὸ τρίτον πολλὰς μὲν θυσίας πολλὰς a.C. 43

16 6 ι *H.*] ὑπάτου   5 παῖ vel παῖε   8 5 τὸ om

δὲ καὶ ἱερομηνίας ἔπαυσεν· τό τε γὰρ πλεῖστον τοῦ ἔτους ἐς αὐτὰς
2 ἀνηλίσκετο, καὶ τῷ δημοσίῳ ζημία οὐκ ἐλαχίστη ἐγίγνετο. ταύτας
τε οὖν συνέτεμε, καὶ τἆλλα ὅσα ἐνεδέχετο συνέστειλεν. καὶ τὰ μὲν
ὑπὸ τοῦ Γαΐου μήτε ἐν δίκῃ μήτε ἐν λόγῳ τινὶ δοθέντα τισὶν ἀπῄ-
τησεν, τοῖς δὲ ὁδοποιοῖς ἀπέδωκεν ὅσα ἐπ' αὐτοῦ διὰ τὸν Κορβού-
3 λωνα ἐζημίωντο. πρὸς δ' ἔτι τοῖς ἄρχουσι τοῖς κληρωτοῖς, βραδέως
ἔτι καὶ τότε ἐκ τῆς πόλεως ἐξορμωμένοις, προεῖπε πρὶν μεσοῦν τὸν
Ἀπρίλιον ἀπαίρειν. τούς τε Λυκίους στασιάσαντας, ὥστε καὶ Ῥω-
μαίους τινὰς ἀποκτεῖναι, ἐδουλώσατό τε καὶ ἐς τὸν τῆς Παμφυλίας
4 νομὸν ἐσέγραψεν. ἐν δὲ δὴ τῇ διαγνώσει ταύτῃ (ἐποιεῖτο δὲ αὐτὴν
ἐν τῷ βουλευτηρίῳ) ἐπύθετο τῇ Λατίνων γλώσσῃ τῶν πρεσβευτῶν
τινός, Λυκίου μὲν τὸ ἀρχαῖον ὄντος Ῥωμαίου δὲ γεγονότος· καὶ
αὐτόν, ἐπειδὴ μὴ συνῆκε τὸ λεχθέν, τὴν πολιτείαν ἀφείλετο, εἰπὼν
μὴ δεῖν Ῥωμαῖον εἶναι τὸν μὴ καὶ τὴν διάλεξίν σφων ἐπιστάμενον.
5 συχνοὺς δὲ δὴ καὶ ἄλλους ἀναξίους τῆς πολιτείας ἀπήλασεν, καὶ
ἑτέροις αὐτὴν καὶ πάνυ ἀνέδην, τοῖς μὲν κατ' ἄνδρα τοῖς δὲ καὶ
ἀθρόοις, ἐδίδου. ἐπειδὴ γὰρ ἐν πᾶσιν ὡς εἰπεῖν οἱ Ῥωμαῖοι τῶν
ξένων προετετίμηντο, πολλοὶ αὐτὴν παρά τε ἐκείνου αὐτοῦ ᾐτοῦντο
6 καὶ παρὰ τῆς Μεσσαλίνης τῶν τε καισαρείων ὠνοῦντο· καὶ διὰ
τοῦτο μεγάλων τὸ πρῶτον χρημάτων πραθεῖσα, ἔπειθ' οὕτως ὑπὸ
τῆς εὐχερείας ἐπευωνίσθη ὥστε καὶ λογοποιηθῆναι ὅτι κἂν ὑάλινά
τις σκεύη συντετριμμένα δῷ τινὶ πολίτης ἔσται. ἐπὶ μὲν οὖν τούτῳ
7 διεσκώπτετο, ἐπὶ δ' ἐκείνῳ ἐπῃνεῖτο ὅτι πολλῶν συκοφαντουμένων,
τῶν μὲν ὅτι τῇ τοῦ Κλαυδίου προσρήσει οὐκ ἐχρῶντο, τῶν δὲ ὅτι
μηδὲν αὐτῷ τελευτῶντες κατέλειπον, ὡς καὶ ἀναγκαῖον ὂν τοῖς τῆς
πολιτείας παρ' αὐτοῦ τυχοῦσιν ἑκάτερον ποιεῖν, ἀπηγόρευσε μηδένα
8 ἐπ' αὐτοῖς εὐθύνεσθαι. ἡ δ' οὖν Μεσσαλῖνα οἵ τε ἀπελεύθεροι
αὐτοῦ οὕτως οὐ τὴν πολιτείαν μόνον, οὐδὲ τὰς στρατείας καὶ τὰς
ἐπιτροπείας τάς τε ἡγεμονίας, ἀλλὰ καὶ τἆλλα πάντα ἀφειδῶς ἐπώ-
λουν καὶ ἐκαπήλευον ὥστε σπανίσαι πάντα τὰ ὤνια, κἀκ τούτου
καὶ τὸν Κλαύδιον ἀναγκασθῆναι ἔς τε τὸ ἄρειον πεδίον συναγαγεῖν
τὸ πλῆθος, κἀνταῦθα ἀπὸ βήματος τὰς τιμὰς αὐτῶν διατάξαι.
9 αὐτὸς μὲν οὖν ὁπλομαχίας ἀγῶνα ἐν τῷ στρατοπέδῳ, χλαμύδα
ἐνδύς, ἔθηκεν· τὰ δὲ δὴ γενέθλια τὰ τοῦ υἱέος αὐτοῦ οἱ στρατηγοὶ
ἐθελονταὶ θέας τέ τινος ποιήσει καὶ δείπνων ἑώρτασαν. καὶ τοῦτο
καὶ αὖθις, ὅσοις γε καὶ ἔδοξεν αὐτῶν, ἐπράχθη.

18 Μεσσαλῖνα δὲ ἐν τούτῳ αὐτή τε ἠσέλγαινε καὶ τὰς ἄλλας γυ-
ναῖκας ἀκολασταίνειν ὁμοίως ἠνάγκαζε, καὶ πολλάς γε καὶ ἐν αὐτῷ
τῷ παλατίῳ, τῶν ἀνδρῶν παρόντων καὶ ὁρώντων, μοιχεύεσθαι
2 ἐποίει. καὶ ἐκείνους μὲν καὶ ἐφίλει καὶ ἠγάπα, τιμαῖς τε καὶ ἀρχαῖς

Digitized by Google

ἤγαλλεν, τοὺς δ' ἄλλους τοὺς μὴ συγκαθιέντας σφᾶς ἐς τοῦτο καὶ
ἐμίσει καὶ ἀπώλλυεν. καὶ ταῦτα μέντοι τοιαῦτά τε ὄντα καὶ ἀνα-
φανδὸν οὕτω γιγνόμενα τὸν Κλαύδιον ἐπὶ πλεῖστον ἔλαθεν· ἐκείνῳ 3
τε γὰρ θεραπαινίδιά τινα συμπαρακατέκλινε, καὶ τούς τι δυναμέ-
νους οἱ μηνῦσαι τοὺς μὲν εὐεργεσίαις τοὺς δὲ καὶ τιμωρίαις προ-
κατελάμβανεν, ὥσπερ καὶ τότε καὶ Κατώνιον Ἰοῦστον τοῦ τε δο-
ρυφορικοῦ ἄρχοντα καὶ δηλῶσαί τι αὐτῷ περὶ τούτων ἐθελήσαντα
προδιέφθειρεν. τήν τε Ἰουλίαν τὴν τοῦ Δρούσου μὲν τοῦ Τιβερίου 4
παιδὸς θυγατέρα, τοῦ δὲ δὴ Νέρωνος τοῦ Γερμανικοῦ γυναῖκα
γενομένην, ζηλοτυπήσασα ὥσπερ καὶ τὴν ἑτέραν ἀπέσφαξεν. καί
τις ἐν τούτῳ τῶν ἱππέων, ὡς καὶ ἐπιβουλεύσας τῷ Κλαυδίῳ, κατὰ
τοῦ Καπιτωλίου ὑπό τε τῶν δημάρχων καὶ ὑπὸ τῶν ὑπάτων
κατεκρημνίσθη.

ἐν μὲν δὴ τῇ πόλει ταῦτ' ἐγίγνετο, κατὰ δὲ τὸν αὐτὸν τοῦτον 19
χρόνον Αὖλος Πλαύτιος βουλευτὴς λογιμώτατος ἐς τὴν Βρεττανίαν
ἐστράτευσεν· Βέρικος γάρ τις ἐκπεσὼν ἐκ τῆς νήσου κατὰ στάσιν
ἔπεισε τὸν Κλαύδιον δύναμιν ἐς αὐτὴν πέμψαι. καὶ οὕτως ὁ Πλαύ- 2
τιος στρατηγήσας τὸ μὲν στράτευμα χαλεπῶς ἐκ τῆς Γαλατίας
ἐξήγαγεν· ὡς γὰρ ἔξω τῆς οἰκουμένης στρατεύσοντες ἠγανάκτουν,
καὶ οὐ πρότερόν γε αὐτῷ ἐπείσθησαν πρὶν τὸν Νάρκισσον ὑπὸ τοῦ
Κλαυδίου πεμφθέντα ἀναβῆναί τε ἐπὶ τὸ τοῦ Πλαυτίου βῆμα καὶ
δημηγορῆσαί τι ἐθελῆσαι· τότε γὰρ πολλῷ που μᾶλλον ἐπ' αὐτῷ 3
ἀχθεσθέντες οὔτε τι ἐκείνῳ εἰπεῖν ἐπέτρεψαν, συμβοήσαντες ἐξαίφνης
τοῦτο δὴ τὸ θρυλούμενον "ἰὼ σατουρνάλια," ἐπειδή περ ἐν τοῖς
κρονίοις οἱ δοῦλοι τὸ τῶν δεσποτῶν σχῆμα μεταλαμβάνοντες ἑορτά-
ζουσι, καὶ τῷ Πλαυτίῳ εὐθὺς συνέσποντο ἑκούσιοι. τὴν μὲν οὖν
ὁρμὴν χρονίαν διὰ ταῦτ' ἐποιήσαντο, τριχῇ δὲ δὴ νεμηθέντες ὅπως 4
μὴ καθ' ἓν περαιούμενοι κωλυθῶσί ποι προσσχεῖν, κἀν τῷ διάπλῳ
τὸ μέν τι δυσφορήσαντες ἐπειδὴ ἐπαλινδρόμησαν, τὸ δὲ ἀναθαρ-
σήσαντες ὅτι λαμπὰς ἀπὸ τῶν ἀνατολῶν ἀρθεῖσα πρὸς τὰς δυσμὰς
ᾗπερ ἔπλεον διέδραμε, κατῆραν ἐς τὴν νῆσον μηδενός σφισιν ἐναν-
τιωθέντος· οἱ γὰρ Βρεττανοὶ μὴ προσδοκήσαντες αὐτοὺς δι' ἅπερ 5
ἐπυνθάνοντο ἥξειν, οὐ προσυνελέγησαν. οὐ μὴν οὐδὲ τότε ἐς χεῖρας
αὐτοῖς ἦλθον, ἀλλ' ἔς τε τὰ ἕλη καὶ ἐς τὰς ὕλας κατέφυγον, ἐλπί-
σαντές σφας ἄλλως κατατρίψειν, ὥσθ', ὅπερ ἐπὶ τοῦ Καίσαρος
τοῦ Ἰουλίου ἐγεγόνει, διὰ κενῆς αὐτοὺς ἀναπλεῦσαι. ὁ οὖν Πλαύ- 20
τιος πολλὰ μὲν πράγματα ἀναζητῶν σφᾶς ἔσχεν, ἐπεὶ δὲ εὗρέ ποτε
(ἦσαν δὲ οὐκ αὐτόνομοι ἀλλ' ἄλλοι ἄλλοις βασιλεῦσι προστεταγμέ-

18 2 3 καὶ πάντα τρόπον ἀπ. Xiph. 4 5 ὑπὸ om* 19 2 1 οὗτος*
20 1 3 ἄλλοι om

νοι), πρῶτον μὲν Καταράτακον ἔπειτα Τογόδουμνον, Κυνοβελλίνου
2 παῖδας, ἐνίκησεν· αὐτὸς γὰρ ἐτεθνήκει. φυγόντων δὲ ἐκείνων προσ-
εποιήσατο ὁμολογίᾳ μέρος τι τῶν Βοδούνων, ὧν ἐπῆρχον Κατου-
ελλανοὶ ὄντες, κἀνταῦθα φρουρὰν καταλιπὼν πρόσω ᾔει. ὡς δ'
ἐπὶ ποταμῷ τινὶ ἐγένοντο ὃν οὐκ ᾤοντο οἱ βάρβαροι δυνήσεσθαι
τοὺς Ῥωμαίους ἄνευ γεφύρας διαβῆναι, καὶ διὰ τοῦτ' ἀμελέστερόν
πως ἐπὶ τῆς ὄχθης αὐτοῦ τῆς καταντιπέραν ηὐλίζοντο, πέμπει Κελ-
τούς, οἷς ἔθος ἦν καὶ διὰ τῶν ῥοωδεστάτων ῥᾳδίως αὐτοῖς ὅπλοις
3 διανήχεσθαι. καὶ ἐπειδὴ ἐκεῖνοι παρὰ δόξαν τοῖς ἐναντίοις προσ-
πεσόντες τῶν μὲν ἀνδρῶν οὐδένα ἔβαλλον, τοὺς δ' ἵππους τοὺς τὰ
ἅρματα αὐτῶν ἄγοντας ἐτίτρωσκον, κἀκ τούτου ταραττομένων
σφῶν οὐδ' οἱ ἐπιβάται ἀσφαλεῖς εἶναι ἐδύναντο, ἐπιδιέπεμψε τόν
τε Οὐεσπασιανὸν τὸν Φλάβιον τὸν καὶ τὴν αὐτοκράτορα μετὰ ταῦτα
ἀρχὴν λαβόντα, καὶ τὸν ἀδελφὸν αὐτοῦ Σαβῖνον ὑποστρατηγοῦντά
4 οἱ· καὶ οὕτω διελθόντες πῃ καὶ ἐκεῖνοι τὸν ποταμὸν συχνοὺς τῶν
βαρβάρων μὴ προσδεχομένους ἀπέκτειναν. οὐ μέντοι οἱ λοιποὶ
ἔφυγον, ἀλλὰ τῆς ὑστεραίας αὖθις συμβαλόντες σφίσιν ἀγχώμαλα
ἠγωνίσαντο, πρὶν δὴ Γναῖος Ὁσίδιος Γέτας κινδυνεύσας ἁλῶναι,
ἔπειθ' οὕτως αὐτῶν ἐκράτησεν ὥστε καὶ τιμὰς ἐπινικίους, καίπερ
5 οὐχ ὑπατευκώς, λαβεῖν. ἀναχωρησάντων δ' ἐντεῦθεν τῶν Βρεττα-
νῶν ἐπὶ τὸν Ταμέσαν ποταμόν, καθ' ὃ ἔς τε τὸν ὠκεανὸν ἐκβάλλει
πλημμύροντός τε αὐτοῦ λιμνάζει, καὶ ῥᾳδίως αὐτὸν διαβάντων ἅτε
καὶ τὰ στέριφα τά τε εὔπορα τοῦ χωρίου ἀκριβῶς εἰδότων, οἱ
6 Ῥωμαῖοι ἐπακολουθήσαντές σφισι ταύτῃ μὲν ἐσφάλησαν, διανηξα-
μένων δ' αὖθις τῶν Κελτῶν, καὶ τινῶν ἑτέρων διὰ γεφύρας ὀλίγον
ἄνω διελθόντων, πολλαχόθεν τε ἅμα αὐτοῖς προσέμιξαν καὶ πολλοὺς
αὐτῶν κατέκοψαν, τοὺς δὲ λοιποὺς ἀπερισκέπτως ἐπιδιώκοντες ἔς
τε ἕλη δυσδιέξοδα ἐσέπεσον καὶ συχνοὺς ἀπέβαλον.

21 διά τε οὖν τοῦτο, καὶ ὅτι καὶ τοῦ Τογοδούμνου φθαρέντος οἱ
Βρεττανοὶ οὐχ ὅσον ἐνέδοσαν, ἀλλὰ καὶ μᾶλλον πρὸς τὴν τιμωρίαν
αὐτοῦ ἐπισυνέστησαν, φοβηθεὶς ὁ Πλαύτιος οὐκέτι περαιτέρω προ-
εχώρησεν, ἀλλ' αὐτός τε τὰ παρόντα διὰ φυλακῆς ἐποιεῖτο καὶ τὸν
2 Κλαύδιον μετεπέμπετο· εἴρητο γὰρ αὐτῷ, εἴ τι βιαιότερον γίγνοιτο,
τοῦτο ποιῆσαι, καὶ παρασκευὴ γε ἐπὶ τῇ στρατείᾳ πολλὴ τῶν τε
ἄλλων καὶ ἐλεφάντων προσυνείλεκτο. ἐλθούσης δὲ τῆς ἀγγελίας ὁ
Κλαύδιος τὰ μὲν οἴκοι τῷ Οὐιτελλίῳ τῷ συνάρχοντι τά τε ἄλλα
καὶ τοὺς στρατιώτας ἐνεχείρισεν (καὶ γὰρ ἐξ ἴσου αὐτὸν ἑαυτῷ
3 ἑξάμηνον ὅλον ὑπατεῦσαι ἐποίησεν), αὐτὸς δὲ ἐξεστρατεύσατο. καὶ

4 1 ποι* 6 4 σφῶν?* τε* 21 2 2 τῆς στρατιᾶς

καταπλεύσας ἐς τὰ Ὤστια ἐκεῖθεν ἐς Μασσαλίαν παρεκομίσθη,
κἀντεῦθεν τὰ μὲν πεζῇ τὰ δὲ καὶ διὰ τῶν ποταμῶν πορευόμενος
πρός τε τὸν ὠκεανὸν ἀφίκετο, καὶ περαιωθεὶς ἐς τὴν Βρεττανίαν
συνέμιξε τοῖς στρατοπέδοις πρὸς τῷ Ταμέσᾳ ἀναμένουσιν αὐτόν.
καὶ παραλαβών σφας ἐκεῖνόν τε ἐπιδιέβη, καὶ τοῖς βαρβάροις πρὸς 4
τὴν ἔφοδον αὐτοῦ συνεστραμμένοις ἐς χεῖρας ἐλθὼν μάχῃ τε ἐνίκησε
καὶ τὸ Καμουλόδουνον τὸ τοῦ Κυνοβελλίνου βασίλειον εἷλεν. κἀκ
τούτου συχνοὺς τοὺς μὲν ὁμολογίᾳ τοὺς δὲ καὶ βίᾳ προσαγαγόμενος
αὐτοκράτωρ πολλάκις ἐπωνομάσθη παρὰ τὰ πάτρια (οὐ γάρ ἔστιν 5
οὐδενὶ πλέον ἢ ἅπαξ ἐκ τοῦ αὐτοῦ πολέμου τὴν ἐπίκλησιν ταύτην
λαβεῖν), καὶ τὰ ὅπλα αὐτῶν ἀφελόμενος ἐκείνους μὲν τῷ Πλαυτίῳ
προσέταξεν, ἐντειλάμενός οἱ καὶ τὰ λοιπὰ προσκαταστρέψασθαι,
αὐτὸς δὲ ἐς τὴν Ῥώμην ἠπείχθη, τὴν ἀγγελίαν τῆς νίκης διὰ τῶν
γαμβρῶν, τοῦ τε Μάγνου καὶ τοῦ Σιλανοῦ, προπέμψας. μαθοῦσα 22
δ' ἡ γερουσία τὰ κατειργασμένα Βρεττανικόν τε αὐτὸν ἐπεκάλεσε
καὶ τὰ ἐπινίκια αὐτῷ πέμψαι ἔδωκεν. πανήγυρίν τε ἐτησίαν καὶ
ἁψῖδας τροπαιοφόρους, τὴν μὲν ἐν τῇ πόλει τὴν δὲ ἐν τῇ Γαλατίᾳ,
ὅθεν ἐς τὴν Βρεττανίαν ἐξαναχθεὶς ἐπεραιώθη, γενέσθαι ἐψηφί-
σαντο· τῷ τε υἱεῖ αὐτοῦ τὴν αὐτὴν ἐπωνυμίαν ἐπέθεσαν, ὥστε καὶ 2
κυρίως τρόπον τινὰ Βρεττανικὸν αὐτὸν ὀνομασθῆναι, καὶ τῇ Μεσ-
σαλίνῃ τὴν προεδρίαν ἣν καὶ ἡ Λιβία ἐσχήκει καὶ τὸ καρπέντῳ
χρῆσθαι ἔδοσαν.

ἐκείνους μὲν δὴ τούτοις ἐτίμησαν, τῇ δὲ δὴ τοῦ Γαΐου μνήμῃ 3
ἀχθόμενοι τὸ νόμισμα τὸ χαλκοῦν πᾶν, ὅσον τὴν εἰκόνα αὐτοῦ
ἐντετυπωμένην εἶχε, συγχωνευθῆναι ἔγνωσαν. καὶ ἐπράχθη μὲν
τοῦτο, οὐ μέντοι καὶ ἐς βέλτιόν τι ὁ χαλκὸς ἐχώρησεν, ἀλλ' ἀν-
δριάντας ἀπ' αὐτοῦ ἡ Μεσσαλῖνα τοῦ Μνηστῆρος τοῦ ὀρχηστοῦ
ἐποιήσατο. ἐπεὶ γὰρ τῷ Γαΐῳ ποτὲ ἐκεῖνος ἐκέχρητο, χάριν τινὰ 4
αὐτῷ ταύτην τῆς πρὸς ἑαυτὴν συνουσίας κατέθετο. σφόδρα γὰρ
ἤρα, καὶ ἐπεί γε μηδένα τρόπον μήθ' ὑπισχνουμένη τι μήτ' ἐκφο-
βοῦσα αὐτὸν συγγενέσθαι αὐτῇ ἀναπεῖσαι ἐδύνατο, διελέχθη τῷ
ἀνδρί, ἀξιοῦσα αὐτὸν πειθαρχεῖν οἱ ἀναγκασθῆναι ὡς καὶ ἐπ' ἄλλο
τι αὐτοῦ δεομένῃ· καὶ οὕτως εἰπόντος αὐτῷ τοῦ Κλαυδίου πάνθ' 5
ὅσα ἂν προστάττηται ὑπὸ τῆς Μεσσαλίνης ποιεῖν, συνῆν αὐτῇ ὡς
καὶ τοῦθ' ὑπ' ἐκείνου κεκελευσμένος. τὸ δ' αὐτὸ τοῦτο καὶ πρὸς
ἄλλους συχνοὺς ἔπραττεν· ὡς γὰρ εἰδότος τε τοῦ Κλαυδίου τὰ γι-
γνόμενα καὶ συγχωροῦντός οἱ ἀκολασταίνειν ἐμοιχεύετο.

4 4 προσαγόμενος* 5 1 ἔστιν ἐν οὐδενὶ 22 2 3 τῷ

Digitized by Google

23 τῆς μὲν οὖν Βρεττανίας οὕτω τότε ἑάλω τινά· μετὰ δὲ ταῦτα,
a.C. 44 Γαΐου τε Κρίσπου τὸ δεύτερον καὶ Τίτου Στατιλίου ὑπατευόντων,
ἦλθέ τε ἐς τὴν Ῥώμην ὁ Κλαύδιος ἓξ μῆνας ἀποδημήσας, ἀφ'
ὧν ἑκκαίδεκα μόνας ἐν τῇ Βρεττανίᾳ ἡμέρας ἐποίησε, καὶ τὰ νικη-
τήρια ἔπεμψε, τά τε ἄλλα κατὰ τὸ νομιζόμενον πράξας καὶ τοὺς
ἀναβασμοὺς τοὺς ἐν τῷ Καπιτωλίῳ τοῖς γόνασιν ἀναβάς, ἀναφε-
2 ρόντων αὐτὸν τῶν γαμβρῶν ἑκατέρωθεν. ἔνειμε δὲ τοῖς μὲν βου-
λευταῖς τοῖς συνεξετασθεῖσίν οἱ τὰς ἐπινικίους τιμάς, οὐχ ὅτι τοῖς
ὑπατευκόσιν, ὅπερ καὶ ἄλλως ἀφθονώτατα καὶ ἐπὶ τοῖς ἐλαχίστοις
ἐποίει, Ῥουφρίῳ δὲ δὴ Πωλίωνι τῷ ἐπάρχῳ εἰκόνα καὶ ἕδραν ἐν
3 τῷ βουλευτικῷ, ὁσάκις ἂν ἐς τὸ συνέδριον αὐτῷ συνεσίῃ· καὶ ἵνα
γε μὴ καινοτομεῖν τι δόξῃ, ἔφη καὶ τὸν Αὔγουστον ἐπὶ Ὀαλερίου
τινὸς Λίγυος τοῦτο πεποιηκέναι. τόν τε Λάκωνα τὸν πρότερον μὲν
τῶν νυκτοφυλάκων ἄρξαντα, τότε δὲ τῶν Γαλατῶν ἐπιτροπεύοντα,
τῷ τε αὐτῷ τούτῳ καὶ προσέτι ταῖς τῶν ὑπατευκότων τιμαῖς ἐσέ-
4 μνυνεν. διατελέσας δὲ ταῦτα τὴν πανήγυριν τὴν τῶν νικητηρίων
ἐποίησεν, ὑπάτου τινὰ ἐξουσίαν ἐς αὐτὴν λαβών. ἐγίγνετο δὲ ἐν
τοῖς δύο ἅμα θεάτροις· καὶ πολλάκις αὐτὸς μὲν ἀπελείπετο τῆς
5 θέας, ἕτεροι δὲ ἀντ' αὐτοῦ ἐπετέλουν αὐτήν. τῶν δὲ δὴ ἵππων
ἐπήγγειλε μὲν ἁμίλλας ὅσας ἂν ἡμέρα ἐνδέξηται, οὐ μέντοι καὶ
πλείους τῶν δέκα ἐγένοντο· ἄρκτοι τε γὰρ μεταξὺ τοῦ δρόμου αὐ-
τῶν ἐσφάγησαν καὶ ἀθληταὶ ἠγωνίσαντο, πυρρίχην τε Ἀσιανοὶ παῖ-
6 δες μετάπεμπτοι ὠρχήσαντο. καὶ ἄλλην δέ τινα πανήγυριν, ἐπὶ
τῇ νίκῃ καὶ αὐτήν, οἱ περὶ τὴν σκηνὴν τεχνῖται, συγχωρηθέν σφι-
σιν ὑπὸ τῆς βουλῆς, ἐποίησαν.

ταῦτα μὲν δὴ διὰ τὰ Βρεττανικὰ ἐπράχθη, καὶ ἵνα γε ἄλλοι
ῥᾶον ἐς ὁμολογίαν ἴωσιν, ἐψηφίσθη τὰς συμβάσεις ἁπάσας, ὅσας
ἂν ὁ Κλαύδιος ἢ καὶ οἱ ἀντιστράτηγοι αὐτοῦ πρός τινας ποιήσων-
24 ται, κυρίας ὡς καὶ πρὸς τὴν βουλὴν τόν τε δῆμον εἶναι. τὴν δὲ
Ἀχαΐαν καὶ τὴν Μακεδονίαν αἱρετοῖς ἄρχουσιν, ἐξ οὗπερ ὁ Τιβέ-
ριος ἦρξε, διδομένας ἀπέδωκεν ὁ Κλαύδιος τότε τῷ κλήρῳ· καὶ
τοὺς στρατηγοὺς τοὺς ἐπὶ τῆς διοικήσεως καταλύσας ταμίαις αὐ-
2 τὴν κατὰ τὸ ἀρχαῖον ἐπέτρεψεν, οὐχ ὥστε καὶ ἐτησίους σφᾶς, ὅπερ
ἐπί τε ἐκείνων πρότερον καὶ ἐπὶ τῶν στρατηγῶν μετὰ ταῦτα ἐγί-
γνετο, ἄρχειν, ἀλλ' οἱ δύο οἱ αὐτοὶ τρία ὅλα ἔτη αὐτὴν διῴκουν,
καὶ οἱ μὲν στρατηγίας εὐθὺς ἐλάμβανον, οἱ δὲ καὶ μισθὸν ἔφερον,
3 ὅπως ποτὲ καὶ ἔδοξαν ἄρξαι. τοῖς μὲν οὖν ταμίαις τὴν διοίκησιν
ἀντὶ τῶν ἀρχῶν τῶν ἐν τῇ Ἰταλίᾳ ἔξω τῆς πόλεως ἀντέδωκεν (πά-
σας γὰρ αὐτὰς ἔπαυσεν), τοῖς δὲ δὴ στρατηγοῖς δίκας τινάς, ἃς

24 1 1 δὲ] τε*

Digitized by Google

πρότερον οἱ ὕπατοι διεδίκαζον, ἀντενεχείρισεν. τοῖς τε στρατευο-
μένοις, ἐπειδὴ γυναῖκας οὐκ ἐδύναντο ἔκ γε τῶν νόμων ἔχειν, τὰ
τῶν γεγαμηκότων δικαιώματα ἔδωκεν. καὶ Μάρκῳ Ἰουλίῳ Κοττίῳ 4
τὴν πατρῴαν ἀρχήν, ἣν ἐπὶ τῶν Ἄλπεων τῶν ὁμωνύμων εἶχε, προσ-
επηύξησε, βασιλέα αὐτὸν τότε πρῶτον ὀνομάσας. τῶν τε Ῥοδίων
τὴν ἐλευθερίαν ἀφείλετο, ὅτι Ῥωμαίους τινὰς ἀνεσκολόπισαν. καὶ 5
Οὐμβώνιον Σιλίωνα ἄρχοντα Βαιτικῆς μεταπέμψας ἐξέωσεν ἐκ τοῦ
συνεδρίου ὡς καὶ σῖτον ὀλίγον τοῖς ἐν τῇ Μαυριτανίᾳ στρατευομέ-
νοις ἀποστείλαντα· τοῦτο γὰρ κατηγορήθη, ἐπεὶ τό γε ἀληθὲς οὐχ
οὕτως εἶχεν, ἀλλ' ὅτι τισὶ τῶν ἀπελευθέρων προσέκρουσεν. καὶ ὃς 6
συνήνεγκε μὲν ἐς τὸ πρατήριον πάντα τὰ ἑαυτοῦ ἔπιπλα, πολλά
τε καὶ περικαλλῆ ὄντα, ὡς καὶ πάντα αὐτὰ ἀποκηρύξων, μόνην δὲ
δὴ τὴν βουλευτικὴν ἐσθῆτα ἐπώλησεν, ἐνδεικνύμενός σφισι διὰ
τούτου ὅτι οὔτε τι δεινὸν πεπονθὼς εἴη καὶ δύναιτο ἰδιωτεύων
ἡδέως βιοτεύειν.

τότε μὲν δὴ ταῦτα ἐπράχθη, καὶ τὴν ἀγορὰν τὴν διὰ τῶν ἐννέα 7
ἡμερῶν ἀγομένην ἐς ἑτέραν ἡμέραν ἱερῶν τινῶν ἕνεκα μετέθεσαν·
καὶ τοῦτο καὶ ἄλλοτε πολλάκις ἐγένετο. τῷ δ' ἐπιόντι ἔτει ὕπατοι 25
μὲν Μάρκος τε Οὐινίκιος δεύτερον καὶ Στατίλιος Κορουῖνος ἦρξαν, a.C. 45
Κλαύδιος δὲ αὐτὸς μὲν πάντα τὰ εἰθισμένα διώμοσε, τοὺς δ' ἄλλους
ἐκώλυσε κατ' ἄνδρα ὀμόσαι· καὶ οὕτως εἷς τις τῶν στρατηγούντων, 2
ὥσπερ ποτέ, καὶ ἕτερος τῶν δημαρχούντων, ἀπό τε τῶν ἄλλων ὡς
ἑκάστων εἷς, ἐξῆρξε τῶν ὅρκων τοῖς ὁμοίοις. καὶ τοῦτο καὶ ἐπὶ
πλείω ἔτη ἐπράχθη. ἐπειδή τε ἡ πόλις πολλῶν εἰκόνων ἐπληροῦτο
(ἐξῆν γὰρ ἀνέδην τοῖς βουλομένοις ἐν γραφῇ καὶ ἐν χαλκῷ λίθῳ
τε δημοσιεύεσθαι), τάς τε πλείους αὐτῶν ἑτέρωσέ ποι μετέθηκε, 3
καὶ ἐς τὸ ἔπειτα ἀπηγόρευσε μηδενὶ ἰδιώτῃ, ᾧ ἂν μὴ ἡ βουλὴ
ἐπιτρέψῃ, τοῦτο ποιεῖν ἐξεῖναι, πλὴν εἴ τις ἔργον τι ᾠκοδομηκὼς
εἴη ἢ καὶ κατασκευάσαιτο· τούτοις γὰρ δή, τοῖς τε συγγενέσιν αὐ-
τῶν, ἵστασθαι ἐν τοῖς χωρίοις ἐκείνοις ἐφῆκεν. καί τινα ἐπὶ δώροις 4
τῶν ἀρξάντων τινὸς ἔθνους φυγαδεύσας, πάνθ' ὅσα ἐν τῇ ἀρχῇ
ἐπεκτήσατο ἐδήμευσεν. ὅπως τε μὴ διακρούοιντο οἱ τοιοῦτοι τοὺς
ἐθέλοντάς σφισι δικάζεσθαι, οὐδενὶ ἀρχὴν ἐπ' ἀρχῇ παραχρῆμα
ἐδίδου. τοῦτο γὰρ ἐνενόμιστο μὲν καὶ πρότερον, ἵν' ἀπροφασίστως 5
τις αὐτοῖς ἐν τῷ μεταξὺ χρόνῳ λαγχάνῃ (οὐδὲ γὰρ οὐδὲ τοῖς πα-
ριεμένοις τὰς ἐκδημίας οἷς ποι ἐπετρέπετο ἐπαλλήλας ποιεῖσθαι,
ὅπως εἰ δή τι πλημμελήσειαν, μὴ προσλαμβάνοιεν, οἱ μὲν ἐκ τῶν
ἀρχῶν οἱ δὲ ἐκ τῶν ἀποδημιῶν, τὸ ἀνεύθυνον), ἐξελελοίπει δέ. καὶ 6
οὕτω γε ἀκριβῶς ἑκάτερον αὐτῶν ἐφύλαττεν ὥστε μηδὲ παρεδρεύ-

25 1 3 τά om

Digitized by Google

*σαντά τινι ἐπιτρέψαι ἐς ἡγεμονίαν εὐθὺς ἔθνους ἐπιβάλλουσάν οἱ
κληροῦσθαι, καίτοι καὶ ἐπὶ δύο ἔτη τινὰς ἐῶν αὐτῶν ἄρχειν, αἱρε-
τούς τε ἔστιν οὓς πέμπων. τοῖς δ' οὖν αἰτουμένοις ὥστε ἔξω τῆς
Ἰταλίας ἀποδημῆσαι ἐφίει μὲν καὶ καθ' ἑαυτὸν ἄνευ τῆς βουλῆς,
τοῦ γε μὴν καὶ νόμῳ τινὶ αὐτὸ δοκεῖν ποιεῖν δόγμα γενέσθαι ἐκέ-
6 λευσεν. καὶ τοῦτο μὲν καὶ τῷ ὑστέρῳ ἔτει ἐψηφίσθη· τότε δὲ τήν
τε πανήγυριν τὴν εὐκταίαν, ἣν τῆς στρατείας αὐτοῦ ἕνεκα προϋ-
πέσχητο, διέθηκε καὶ τῷ δήμῳ τῷ σιτοδοτουμένῳ πέντε μὲν καὶ
ἑβδομήκοντα δραχμὰς ἅπασι διέδωκεν, ἔστι δ' οἷς καὶ πλέον, ὥστε
7 καὶ ἐς τριακοσίας καὶ δώδεκα καὶ ἡμίσειάν τισι γενέσθαι. οὐ μέν-
τοι καὶ πάντα αὐτὸς διένειμεν, ἀλλὰ καὶ οἱ γαμβροὶ αὐτοῦ, ἐπειδή
περ ἐπὶ πλείους ἡμέρας ἡ διάδοσις ἐγένετο καὶ ἠθέλησε καὶ δικάσαι
ἐν ταύταις. τοῖς τε χρονίοις τὴν πέμπτην ἡμέραν τὴν καταδειχθεῖ-
σάν τε ὑπὸ τοῦ Γαΐου καὶ μετὰ τοῦτο καταλυθεῖσαν ἀπέδωκεν.*

26 *καὶ ἐπειδὴ ὁ ἥλιος ἐν τοῖς γενεθλίοις αὐτοῦ ἐκλείψειν ἔμελλεν,
ἐφοβήθη τε μή τις ἐκ τούτου ταραχὴ γένηται, ἐπεὶ ἄλλ' ἄττα τέ-
ρατα συνεβεβήκει, καὶ προέγραψεν οὐ μόνον ὅτι τε ἐκλείψει καὶ
ὁπότε καὶ ἐφ' ὁπόσον, ἀλλὰ καὶ τὰς αἰτίας δι' ἃς ἀναγκαίως γενή-
2 σεσθαι τοῦτο ἔμελλεν. εἰσὶ δὲ αἵδε. ἡ σελήνη τὴν κάτω τοῦ ἡλίου
περιφοράν, ὥσπερ που πεπίστευται, εἴτ' οὖν ἐφεξῆς αὐτοῦ εἴτε καὶ
μετὰ τὸν Ἑρμῆν τήν τε Ἀφροδίτην ἔχουσα, κινεῖται μὲν κατὰ μῆ-
κος, ὥσπερ καὶ ἐκεῖνος, κινεῖται δὲ καὶ κατὰ βάθος, ὥσπερ ἴσως
καὶ ἐκεῖνος, κινεῖται δὲ καὶ ἐν πλάτει, ὅπερ οὐδαμῇ οὐδαμῶς τῷ
3 ἡλίῳ ὑπάρχει. ὅταν οὖν κατά τε τὴν αὐτὴν αὐτῷ εὐθυωρίαν ὑπὲρ
τὴν ἡμετέραν ὄψιν γένηται καὶ ὑπὸ τὴν φλόγα αὐτοῦ ὑποδράμῃ,
τότε τὴν αὐγὴν αὐτοῦ τὴν ἐς τὴν γῆν καθήκουσαν τοῖς μὲν ἐπὶ
πλεῖον τοῖς δ' ἐπ' ἔλαττον διεσκέπασεν, ἔστι δ' οἷς οὐδ' ἐπὶ βρα-
4 χύτατον ἀποκρύπτει· ἴδιον γὰρ ἀεὶ φῶς ὁ ἥλιος ἔχων οὐκ ἔστιν ὅτε
αὐτοῦ ἀπαλλάττεται, καὶ διὰ τοῦθ' οἷς ἂν ἡ σελήνη μὴ ἐπίπροσθεν,
ὥστ' αὐτὸν συσκιάζεσθαι, γένηται, ὁλόκληρος ἀεὶ φαίνεται. περὶ
μὲν δὴ τὸν ἥλιον ταῦτ' ἀεί τε συμβαίνει καὶ τότε ὑπὸ τοῦ Κλαυδίου
5 ἐδημοσιεύθη· ἡ δὲ δὴ σελήνη (οὐ γάρ ἐστιν ἀπὸ τρόπου καὶ τὸ κατ'
ἐκείνην εἰπεῖν, ἐπειδή περ ἅπαξ τοῦ λόγου τούτου προσηψάμην) ὁσά-
κις ἂν καταντικρὺ τῷ ἡλίῳ γενομένη (ἐν γὰρ ταῖς πανσελήνοις μόνως
αὐτῇ τοῦτο, ὥσπερ καὶ ἐκείνῳ ἐν ταῖς νουμηνίαις, συμβαίνει) ἐς τὸ
τῆς γῆς σκίασμα κωνοειδὲς ὂν ἐμπέσῃ (γίγνεται δὲ τοῦτο ὅταν διὰ τῶν
μέσων ἐν τῇ τοῦ πλάτους κινήσει περιφέρηται), στέρεταί τε τοῦ
ἡλιοειδοῦς φωτός, καὶ αὐτὴ καθ' ἑαυτήν, ὁποία περ ἐστί, φαντάζεται.*

26 2 3 *ἔχουσα κινήσεις κινεῖται** 3 4 *ἔστι δ' οἷς* om
4 4 *ἀεί* om* 5 6 *τε*] *γάρ**

ταῦτα μὲν δὴ τοιαῦτα ἐστίν, τοῦ δ' ἐνιαυτοῦ ἐκείνου ἐξελθόν- 27
τος Οὐαλέριός τε Ἀσιατικὸς τὸ δεύτερον καὶ Μάρκος Σιλανὸς ὑπά- a.C. 46
τευσαν. καὶ οὗτος μὲν ἐφ' ὅσον ᾑρέθη ἦρξεν, Ἀσιατικὸς δὲ ἀπε-
δείχθη μὲν ὡς καὶ δι' ἔτους ὑπατεύσων, ὃ καὶ ἐπ' ἄλλων ἐγίγνετο,
οὐ μέντοι καὶ ἐποίησε τοῦτο, ἀλλ' ἀφῆκε τὴν ἀρχὴν ἐθελούσιος,
ὃ καὶ αὐτὸ καὶ ἕτεροί τινες ἔπραξαν. ἀλλ' ἐκεῖνοι μὲν ὑπὸ πενίας 2
(τὰ γὰρ ἀναλώματα τὰ ἐν ταῖς ἱπποδρομίαις γιγνόμενα ἐπὶ πολὺ
ἐκεχωρήκει· τετράκις γὰρ καὶ εἰκοσάκις ὡς πλήθει ἡμιλλῶντο), ὁ
δ' Ἀσιατικὸς ὑπ' αὐτοῦ τοῦ πλούτου, ὑφ' οὗπερ καὶ ἀπέθανεν·
ἐπεὶ γὰρ ἔν τε πολλῇ περιουσίᾳ ἦν καὶ ἐκ τοῦ δεύτερον ὑπατεύειν 3
καὶ ἐπαχθὴς καὶ ἐπίφθονος πολλοῖς ἐγεγόνει, καταλῦσαι τρόπον τινὰ
αὐτὸς ἑαυτὸν ἠθέλησεν ὡς καὶ ἧττόν τι παρὰ τοῦτο κινδυνεύσων.
καὶ ὁ μὲν ἐξηπατήθη, ὁ δὲ Οὐινίκιος ὑπὸ μὲν τοῦ Κλαυδίου οὐδὲν 4
ἔπαθεν (ἦν μὲν γὰρ καὶ διαπρεπὴς ἀνήρ, τὴν δὲ δὴ ἡσυχίαν ἄγων
καὶ τὰ ἑαυτοῦ πράττων ἐσώζετο), ὑπὸ δὲ τῆς Μεσσαλίνης, ὑποψίᾳ
τε ὅτι τὴν γυναῖκα αὐτοῦ τὴν Ἰουλίαν ἀπεκτόνει, καὶ ὀργῇ ὅτι οὐκ
ἠθέλησέν οἱ συγγενέσθαι, φαρμάκῳ διεφθάρη. καὶ οὕτω ταφῆς
τε δημοσίας καὶ ἐπαίνων ἠξιώθη· πολλοῖς γὰρ δὴ καὶ ταῦτ' ἐδί-
δοτο. Ἀσίνιος δὲ δὴ Γάλλος ὁ τοῦ Δρούσου πρὸς μητρὸς ἀδελφὸς 5
ἐπεβούλευσε μὲν τῷ Κλαυδίῳ, οὐκ ἀπέθανε δὲ ἀλλ' ὑπερωρίσθη.
αἴτιον δὲ ἴσως μὲν καὶ ἐκεῖνο ὅτι μήτε στράτευμα παρασκευάσας
μήτε χρήματα προαθροίσας, ἀλλ' ὑπ' ἀνοίας πολλῆς, ὡς καὶ ἑκου-
σίων τῶν Ῥωμαίων διὰ τὸ γένος ἄρξων, ἐθρασύνετο· τὸ δὲ δὴ
πλεῖστον ὅτι καὶ σμικρότατος καὶ δυσειδέστατος ὤν, κἀκ τούτου
καταφρονηθείς, γέλωτα μᾶλλον ἢ κίνδυνον ὦφλεν.

οὐ μὴν ἀλλὰ ταῦτα μὲν καὶ πάνυ τοῦ Κλαυδίου ἐπῄνουν, καὶ 28
νὴ Δία καὶ ἐκεῖνο ὅτι ἐντυχόντος τινὸς τοῖς δημάρχοις κατὰ τοῦ
ἐξελευθερώσαντος αὐτόν, καὶ ὑπηρέτην ἐπ' αὐτὸν αἰτήσαντος καὶ
λαβόντος, ἠγανάκτησε, καὶ ἐκεῖνόν τε καὶ τοὺς συνεξετασθέντας
αὐτῷ ἐκόλασε, καὶ προσέτι καὶ ἀπηγόρευσε μηδὲ τοῖς οὕτω κατὰ
τῶν δεσποτευσάντων αὐτῶν βοηθεῖν, εἰ δὲ μή, στέρεσθαι τοῦ δίκην
αὐτοὺς ἑτέροις λαγχάνειν. δουλεύοντα μέντοι αὐτὸν τῇ τε γυναικὶ 2
καὶ τοῖς ἀπελευθέροις ὁρῶντες ἤσχαλλον, ἄλλως τε καὶ ἐπειδὴ
σπουδασάντων ποτὲ τῶν τε ἄλλων καὶ αὐτοῦ τοῦ Κλαυδίου τὸν
Σαβῖνον τὸν τῶν Κελτῶν ἐπὶ τοῦ Γαΐου ἄρξαντα ἐν μονομαχίᾳ
τινὶ ἀποκτεῖναι, ἡ Μεσσαλῖνα ἔσωσεν· καὶ γὰρ ἐκείνῳ ἐπλησίαζεν.
τοῦτό τε οὖν αὐτοὺς ἠνία, καὶ ὅτι τὸν Μνηστῆρα ἀποσπάσασα 3
ἀπὸ τοῦ θεάτρου εἶχεν, καὶ ὁπότε γε λόγος τις ἐν τῷ δήμῳ περὶ

27 4 4 τήν τε γ.   28 1 5 μηδ' ἄλλοις?*

Digitized by Google

αὐτοῦ ὅτι μὴ ὀρχοῖτο γίγνοιτο, θαῦμά τε ὁ Κλαύδιος ἐποιεῖτο καὶ
4 ἀπελογεῖτο τά τε ἄλλα καὶ ὀμνὺς ὅτι μὴ συνείη αὐτῷ. πιστεύοντες
γὰρ ὄντως ἀγνοεῖν αὐτὸν τὰ γιγνόμενα, ἐλυποῦντο μὲν ὅτι μόνος
οὐκ ἠπίστατο τὰ ἐν τῷ βασιλείῳ δρώμενα, ὅσα καὶ ἐς τοὺς πολε-
μίους ἤδη διεπεφοιτήκει, οὐ μὴν καὶ ἐξελέγχειν αὐτὰ ἤθελον, τὸ
μέν τι τὴν Μεσσαλῖναν αἰδούμενοι, τὸ δὲ καὶ τοῦ Μνηστῆρος φει-
5 δόμενοι· ὅσον γὰρ ἐκείνῃ διὰ τὸ κάλλος, τοσοῦτον τῷ δήμῳ διὰ
τὴν τέχνην ἤρεσκεν. οὕτω γάρ που δεινὸς σοφιστὴς ἐν τῇ ὀρχήσει
ἦν ὥστε τοῦ ὁμίλου μεγάλῃ ποτὲ σπουδῇ δρᾶμά τι αὐτὸν ἐπιβόητον
ὀρχήσασθαι δεομένου, παρακῦψαί τε ἐκ τῆς σκηνῆς καὶ εἰπεῖν ὅτι
6 οὐ δύναμαι τοῦτο ποιῆσαι· τῷ γὰρ Ὀρέστῃ συγκεκοίμημαι. ὁ δ'
οὖν Κλαύδιος ταῦτά τε οὕτως ἔπραττεν, καὶ ἐπειδὴ πλῆθός τε δι-
κῶν ἀμύθητον ἦν καὶ οὐκ ἀπήντων ἐπ' αὐτὰς οἵ τι προσδοκῶντες
ἐλαττωθήσεσθαι, προεῖπε διὰ προγράμματος ὅτι καὶ κατ' ἀπόντων
αὐτῶν ἐντὸς ῥητῆς τινὸς ἡμέρας δικάσει, καὶ ἐνεπέδωσε τοῦτο.

29 ἐν δὲ τῷ ἑξῆς ἔτει ὅ τε Κλαύδιος τὸ τέταρτον καὶ Οὐιτέλλιος
a. C. 47 Λούκιος τὸ τρίτον, ὀκτακοσιοστοῦ τῇ Ῥώμῃ ἔτους ὄντος, ὑπάτευσαν.
καὶ ἐξήλασε μὲν ὁ Κλαύδιός τινας ἐκ τῆς βουλῆς, ὧν οἱ πλείονες
οὐκ ἄκοντες ἐξέπεσον ἀλλ' ἐθελονταὶ διὰ πενίαν παρέμενοι, ἀντεσ-
2 ήγαγε δὲ ὁμοίως πολλούς. ἐπειδή τε Σουρδίνιός τις Γάλλος βου-
λεῦσαι δυνάμενος ἐς τὴν Καρχηδόνα ἐξῴκησε, σπουδῇ τε αὐτὸν
μετεπέμψατο, καὶ ἔφη ὅτι χρυσαῖς σε πέδαις δήσω. καὶ ὁ μὲν
οὕτω τῷ ἀξιώματι πεδηθεὶς κατὰ χώραν ἔμεινεν· τοὺς μέντοι ἀλ-
λοτρίους ἀπελευθέρους ὁ Κλαύδιος, εἴ που κακουργοῦντας λάβοι,
3 δεινῶς τιμωρῶν, τοῖς ἰδίοις οὕτω προσέκειτο ὥσθ' ὑποκριτοῦ τινὸς
ἐν τῷ θεάτρῳ ποτὲ τοῦτο δὴ τὸ θρυλούμενον εἰπόντος ὅτι ἀφόρη-
τός ἐστιν εὐτυχῶν μαστιγίας, καὶ τοῦ τε δήμου παντὸς ἐς Πολύβιον
τὸν ἀπελεύθερον αὐτοῦ ἀποβλέψαντος, καὶ ἐκείνου ἐκβοήσαντος ὅτι
ὁ αὐτὸς μέντοι ποιητὴς εἶπεν ὅτι βασιλεῖς ἐγένοντο χοί πρὶν ὄντες
4 αἰπόλοι, οὐδὲν δεινὸν αὐτὸν εἰργάσατο. μηνυθέντων δὲ τινῶν ὡς
ἐπιβουλεύοιεν αὐτῷ, τοὺς μὲν ἄλλους ἐν οὐδενὶ λόγῳ ἐποιήσατο,
εἰπὼν ὅτι οὐ τὸν αὐτὸν χρὴ τρόπον ψύλλαν τε καὶ θηρίον ἀμύνεσθαι,
ὁ δὲ Ἀσιατικὸς ἐκρίθη μὲν παρ' αὐτῷ, ὀλίγου δὲ δεῖν ἀπέφυγεν.
5 ἀρνουμένου γὰρ αὐτοῦ καὶ λέγοντος ὅτι οὐκ οἶδα οὐδὲ γνωρίζω
τῶν καταμαρτυρούντων μου τούτων οὐδένα, ἐρωτηθεὶς ὁ στρατιώ-

6 3 αὐταῖς ἔτι πρ. 29 1 1 ἐν δὲ] hinc ad l. 78 2 Xiphilinus. aliunde inserta virgulis binis (″) dispescuntur. 4 παρέμενον 3 5 χοί] οἱ 4 3 post ἀμύνεσθαι Z p. 466: ἄλλους δὲ πολλοὺς διαβληθέντας ὑπὸ τῆς Μεσσαλίνης καὶ τὸν Ἀσιατικὸν καὶ τὸν γαμβρὸν τὸν Μάγνον ἀπέκτεινε, τὸν μὲν Ἀσιατικὸν διὰ τὴν οὐσίαν, τὸν δὲ Μάγνον διὰ τὸ γένος καὶ τὸ κῆδος. ἑάλωσαν μέντοι ὡς ἐπ' ἄλλοις τισίν. 4 αὐτῷ καὶ ὀλίγου δὲ

Digitized by Google

*της ὁ φάσκων αὐτῷ συγγεγονέναι ὅστις ὁ Ἀσιατικὸς εἴη, φαλακρόν τινα προσεστῶτα κατὰ τύχην ἔδειξεν· τοῦτο γὰρ αὐτοῦ τὸ σύμβολον μόνον ἠπίστατο. γέλωτος οὖν ἐπὶ τούτῳ πολλοῦ γενομένου,* 6
*καὶ τοῦ Κλαυδίου ἀπολύειν αὐτὸν μέλλοντος, ὁ Οὐιτέλλιος τῇ Μεσσαλίνῃ χαριζόμενος παρακεκλῆσθαι ἔφη ὑπ' αὐτοῦ ἵν' ὅπως ἂν βουληθῇ ἀποθάνῃ. ἀκούσας δὲ τοῦτο ἐκεῖνος ἐπίστευσέ τε αὐτὸν ὄντως ἑαυτοῦ διὰ τὸ συνειδὸς κατεγνωκέναι, καὶ κατεχρήσατο.*

*ἀνεφάνη δὲ καὶ νησίδιόν τι ἐν τῷ ἔτει τούτῳ παρὰ τῇ Θήρᾳ* 7
*τῇ νήσῳ, οὐκ ὂν πρότερον. ἐπειδή τε πολλοὶ δούλους ἀρρωστοῦντας οὐδεμιᾶς θεραπείας ἠξίουν ἀλλὰ καὶ ἐκ τῶν οἰκιῶν ἐξέβαλλον, ἐνομοθέτησε πάντας τοὺς ἐκ τοῦ τοιούτου περιγενομένους ἐλευθέρους εἶναι.*

*ἐν δὲ τῇ Βρεττανίᾳ περιστοιχισθέντος τοῦ Οὐεσπασιανοῦ ὑπὸ* 30
*τῶν βαρβάρων καὶ κινδυνεύοντος φθαρῆναι, ὁ Τίτος ὁ υἱὸς αὐτοῦ περὶ τῷ πατρὶ δείσας τήν τε περίσχεσιν αὐτῶν παραλόγῳ τόλμῃ διέρρηξε, κἀκ τούτου φεύγοντάς σφας ἐπιδιώξας διέφθειρεν. ὁ δὲ* 2
*Πλαύτιος ἀπὸ τοῦ Βρεττανικοῦ πολέμου, ὡς καὶ καλῶς αὐτὸν διαχειρίσας καὶ κατορθώσας, καὶ ἐπῃνέθη ὑπὸ τοῦ Κλαυδίου καὶ ἐθριάμβευσεν.*

*Ὅτι κατὰ τὴν ὁπλομαχίαν πολλοὶ καὶ τῶν ξένων ἀπελευθέρων* 3
*καὶ οἱ αἰχμάλωτοι οἱ Βρεττανοὶ ἐμαχέσαντο· καὶ πολλοὺς ὅσους καὶ ἐν τούτῳ τῷ εἴδει τῆς θέας ἀνήλισκε, καὶ ἐπὶ τούτῳ ἐσεμνύνετο.* V p. 674.

*Γναῖος δὲ Δομίτιος Κορβούλων ἐν τῇ Κελτικῇ στρατηγῶν τά* 4
*τε στρατεύματα συνεκρότησε, καὶ τῶν βαρβάρων ἄλλους τε καὶ οὓς ἐκάλουν Καύχους ἐκάκωσεν. καὶ αὐτὸν ἐν τῇ πολεμίᾳ ὄντα ὁ Κλαύδιος ἀνεκάλεσεν· τήν τε γὰρ ἀρετὴν αὐτοῦ καὶ τὴν ἄσκησιν μαθὼν οὐκ ἐπέτρεψεν αὐτῷ ἐπὶ πλέον αὐξηθῆναι. πυθόμενος δὲ* 5
*τοῦτο ὁ Κορβούλων ἐπανῆλθε, τοσοῦτο μόνον ἀναβοήσας "ὦ μακάριοι οἱ πάλαι ποτὲ στρατηγήσαντες" ἐς δήλωσιν ὅτι τοῖς μὲν ἀκινδύνως ἀνδραγαθίζεσθαι ἐξῆν, αὐτὸς δ' ὑπὸ τοῦ αὐτοκράτορος διὰ τὸν φθόνον ἐνεποδίσθη. τῶν μέντοι ἐπινικίων καὶ ὡς ἔτυχεν. πιστευθεὶς δὲ πάλιν τὸ στράτευμα καὶ οὐδὲν ἧττον ἤσκει αὐτό,* 6
*καὶ ἐπειδή γε εἰρήνουν, διετάφρευσε δι' αὐτῶν πᾶν τὸ μεταξὺ τοῦ τε Ῥήνου καὶ τοῦ Μόσου, σταδίους ἑβδομήκοντα καὶ ἑκατὸν μάλιστα, ἵνα μὴ οἱ ποταμοὶ ἐν τῇ τοῦ ὠκεανοῦ πλημμυρίδι ἀναρρέοντες πελαγίζωσιν.*

*ἡ Μεσσαλῖνα δέ, ὥσπερ οὐκ ἐξαρκοῦν οἱ ὅτι καὶ ἐμοιχεύετο* 31
*καὶ ἐπορνεύετο (τά τε γὰρ ἄλλα αἰσχρῶς ἔπραττε; καὶ ἐπ' οἰκήματος*

30 1 1 *περιστοιχηθέντος** 2 3 *χειρίσας* 3 3 *τῷ* om *ἐν**
31 1 2 *ἰσχυρῶς**

ἔστιν ὅτε ἐν τῷ παλατίῳ αὐτή τε ἐκαθέζετο καὶ τὰς ἄλλας τὰς
πρώτας ἐκάθιζεν), καὶ ἐπεθύμησε καὶ ἄνδρας, τοῦτο δὴ τὸ τοῦ
2 λόγου, πολλοὺς ἔχειν. "καὶ σύμπασιν ἂν τοῖς χρωμένοις αὐτῇ κατὰ
συμβόλαια συνῴκησεν, εἰ μήπερ εὐθὺς ἐν τῷ πρώτῳ φωραθεῖσα
ἀπώλετο. τέως μὲν γὰρ οἱ καισάρειοι πάντες ὡμονόουν αὐτῇ, καὶ
οὐδὲν ὅ τι οὐκ ἀπὸ κοινῆς γνώμης ἐποίουν· ἐπεὶ δὲ τὸν Πολύβιον,
καίτοι καὶ ἐκείνῳ πλησιάζουσα, καὶ διέβαλε καὶ ἀπέκτεινεν, οὐκέτι
αὐτῇ ἐπίστευον, κἀκ τούτου ἐρημωθεῖσα τῆς παρ' αὐτῶν εὐνοίας
3 ἐφθάρη." τόν τε γὰρ Σίλιον τὸν Γάιον, "τὸν τοῦ Σιλίου τοῦ ὑπὸ
a.C. 48 Τιβερίου σφαγέντος υἱόν," ἄνδρα ἐπεγράψατο, καὶ τούς τε γάμους
πολυτελῶς εἱστίασε καὶ οἰκίαν αὐτῷ βασιλικὴν ἐχαρίσατο, πάντα
τὰ τιμιώτατα τῶν τοῦ Κλαυδίου κειμηλίων συμφορήσασα ἐς αὐτήν,
4 καὶ τέλος ὕπατον αὐτὸν ἀπέφηνεν. ταῦτ' οὖν "πρότερον μὲν" καὶ
ὑπὸ πάντων τῶν ἄλλων ἀκουόμενα καὶ ὁρώμενα τὸν γοῦν Κλαύδιον
ἐλάνθανεν· ὡς δ' οὗτός τε ἐς τὰ Ὤστια πρὸς ἐπίσκεψιν σίτου κατέβη,
καὶ ἐκείνη ἐν τῇ Ῥώμῃ, πρόφασιν ὡς καὶ νοσοῦσα, ὑπελείφθη,
συμπόσιόν τέ τι περιβόητον συνεκρότησε καὶ κῶμον ἀσελγέστατον
ἐκώμασεν, ἐνταῦθα ὁ Νάρκισσος μονωθέντι τῷ Κλαυδίῳ μηνύει
5 διὰ τῶν παλλακῶν αὐτοῦ πάντα τὰ γιγνόμενα. "καὶ ἐκφοβήσας
αὐτὸν ὡς καὶ τῆς Μεσσαλίνης ἐκεῖνόν τε ἀποκτενεῖν καὶ τὸν Σίλιον
ἐς τὴν ἀρχὴν ἀντικαθιστάναι μελλούσης, ἀνέπεισε συλλαβεῖν
τινὰς καὶ βασανίσαι." ἅμα τε τοῦτ' ἐγίγνετο καὶ αὐτὸς ἠπείχθη
ἐς τὴν πόλιν, καὶ ὥσπερ εἶχεν ἐσελθὼν ἄλλους τε πολλοὺς καὶ
τὸν Μνηστῆρα ἐθανάτωσεν, καὶ μετὰ τοῦτο καὶ τὴν Μεσσαλῖναν
"ἐς τοὺς τοῦ Ἀσιατικοῦ κήπους, δι' οὕσπερ οὐχ ἥκιστα ἀπο-
6 λώλει, ἀναχωρήσασαν" ἀπέσφαξεν. καὶ μετ' ὀλίγον τὴν ἀδελφι-
a.C. 49 δῆν Ἀγριππῖναν ἔγημε, τὴν τοῦ Δομιτίου τοῦ Νέρωνος ἐπονομασθέντος
μητέρα· καὶ γὰρ καλὴ ἦν καὶ συνεχῶς αὐτῷ προσεφοίτα,

his signis " " inclusa V habet p. 674    4 2 τῶν om*    6 1 καὶ μετ'] ἐκείνης δ' οὕτω διαφθαρείσης τὴν Ἀγριππῖναν τὴν ἀδελφιδῆν ἔγημε σπουδῇ τῶν ἀπελευθέρων, ὅτι τὸν Δομίτιον ἐς προσήβους ἤδη τελοῦντα εἶχεν υἱόν, ὅπως ἔφεδρον αὐτὸν ἐπὶ τῇ ἀρχῇ τρέφοντες μηδὲν ὑπὸ τοῦ Βρεττανικοῦ δεινὸν πάθωσιν ὡς τὴν αὐτοῦ μητέρα τὴν Μεσσαλῖναν ἀναιρεθῆναι ποιήσαντες. δεδογμένου δὲ ἤδη τοῦ γάμου δείσαντες τὸν Σιλανὸν ὑπὸ τοῦ Κλαυδίου τιμώμενον ὡς ἄνδρα ἀγαθόν, ἅμα δὲ καὶ τὴν Ὀκταβίαν τὴν θυγατέρα αὐτοῦ τῷ τῆς Ἀγριππίνης υἱῷ τῷ Δομιτίῳ προμνώμενοι, ἐγγεγυημένην τῷ Σιλανῷ, πείθουσι τὸν Κλαύδιον ὡς ἐπιβουλεύοντά οἱ τὸν Σιλανὸν ἀποκτεῖναι. γενομένου δὲ τούτου λόγους ἐν τῇ βουλῇ ὁ Βιτέλλιος ἐποιήσατο ὅτι συμφέρει τῷ κοινῷ γῆμαι τὸν Κλαύδιον· καὶ τὴν Ἀγριππῖναν ἐπιτηδείαν εἰς τοῦτο ἀπέφαινε, καὶ βιάσασθαί σφισιν αὐτὸν ἐπὶ τὸν γάμον συνεβούλευεν. ἐντεῦθεν ὁρμηθέντες οἱ βουλευταὶ πρὸς τὸν Κλαύδιον ἦλθον καὶ ἠνάγκασαν δῆθεν αὐτὸν γῆμαι, καὶ ψήφισμα ἐποιήσαντο ἐξεῖναι Ῥωμαίοις ἀδελφιδᾶς ἄγεσθαι· πρότερον γὰρ ἐκεκώλυτο. Z p. 468.

Digitized by Google

*μόνη τε ὡς καὶ θείῳ συνεγίγνετο, καὶ τρυφερώτερον ἢ καὶ ἀδελφιδῆ
προσεφέρετο.*

*"ὅτι ὁ Σιλανὸς ἀνὴρ ἀγαθὸς ἐνομίζετο, καὶ ὑπὸ τοῦ Κλαυδίου* 7
*οὕτως ἐτιμᾶτο ὥστε καὶ ἐπινικίους τιμὰς ἐν παισὶ λαβεῖν, τήν τε
θυγατέρα αὐτοῦ Ὀκταουίαν ἐγγυήσασθαι, καὶ πολὺ πρὸ τοῦ καθή-
κοντος χρόνου στρατηγῆσαι, τήν τε πανήγυριν τὴν προσήκουσαν
αὐτῷ τοῖς ἐκείνου τέλεσι ποιῆσαι, καὶ ἐν αὐτῇ τὸν Κλαύδιον καὶ
αἰτῆσαί τινα παρ' αὐτοῦ ὥσπερ τινὰ στασιάρχην, καὶ ἐκβοῆσαι
πάνθ' ὅσα τοὺς ἄλλους βουλομένους ἑώρα. οὐ μὴν ἀλλ' οὕτω ταῖς
γυναιξὶν ὁ Κλαύδιος ἐδεδούλωτο ὥστ' ἀμφοτέρους τοὺς γαμβροὺς
δι' αὐτὰς ἀποκτεῖναι.* V p. 677.

*ὡς δ' ἅπαξ ἐν τῇ βασιλείᾳ ἡ Ἀγριππῖνα ἐγένετο, τόν τε Κλαύ-* 32
*διον ἐσφετερίσατο, δεινοτάτη που οὖσα πράγμασι χρήσασθαι, καὶ
τούς τινα αὐτοῦ εὔνοιαν ἔχοντας τὰ μὲν φόβῳ τὰ δὲ εὐεργεσίαις
ᾠκειώσατο. "καὶ τὸν Βρεττανικὸν τὸν παῖδα αὐτοῦ ὡς καὶ τῶν
τυχόντων τινὰ τρέφεσθαι ἐποίει· ὁ γὰρ ἕτερος, ὁ καὶ τὴν Σηιανοῦ
θυγατέρα ἐγγυησάμενος, ἐτεθνήκει. τόν τε Δομίτιον τότε μὲν γαμ-* 2
*βρὸν τῷ Κλαυδίῳ ἀπέδειξεν, ὕστερον δὲ καὶ ἐσεποίησεν. ἔπραξε
δὲ ταῦτα τὸ μέν τι διὰ τῶν ἀπελευθέρων ἀναπείσασα τὸν Κλαύ-
διον, τὸ δὲ καὶ τὴν γερουσίαν καὶ τὸν δῆμον τούς τε στρατιώτας
ἐπιτήδειόν τι ἀεί ποτε ἐς αὐτὰ συμβοᾶν παρασκευάσασα."*

*ὅτι ἡ Ἀγριππῖνα τὸν υἱὸν ἐς τὸ κράτος ἐξήσκει καὶ παρὰ τῷ* 3
*Σενέκᾳ ἐξεπαίδευε, πλοῦτόν τε ἀμύθητον αὐτῷ συνέλεγεν, οὐδὲν
οὔτε τῶν σμικροτάτων οὔτε τῶν ἀτιμοτάτων ἐπ' ἀργυρισμῷ παρα-
λείπουσα, ἀλλὰ πάντα μὲν καὶ τὸν ὁπωσοῦν εὐποροῦντα θερα-
πεύουσα, πολλοὺς δὲ καὶ δι' αὐτὸ τοῦτο φονεύουσα. ἤδη δέ τινας* 4
*καὶ τῶν ἐπιφανῶν γυναικῶν ζηλοτυπήσασα ἔφθειρεν, καὶ τήν γε
Παυλῖναν τὴν Λολλίαν, ἐπειδὴ ἐλπίδα τινὰ ἐς τὴν τοῦ Κλαυδίου
συνοίκησιν ἐσχήκει, ἀπέκτεινεν. τήν τε κεφαλὴν αὐτῆς κομισθεῖσαν
αὐτῇ μὴ γνωρίσασα τό τε στόμα αὐτῆς αὐτοχειρίᾳ ἠνέῳξε καὶ τοὺς
ὀδόντας ἐσκέψατο ἰδίως πως ἔχοντας.*

*"ὅτι ὁ μὲν Νέρων ηὔξετο, Βρεττανικὸς δὲ οὔτε τινὰ τιμὴν οὔτε* 5

"32 1 4 — "2 5 V p. 677. X enim: *τόν τε υἱὸν εἰσποιήσασθαι τὸν Κλαύδιον ἀναπείσασα καίτοι παῖδας ἔχοντα ἐς τὸ* (3 1) 4 4 *ἔσχηκεν** 5 4 *ὅτι* —] ante haec Z p. 469: *μετὰ ταῦτα δὲ καὶ Αὐγοῦσταν τὴν Ἀγριππῖναν ὁ Κλαύδιος ἐπεκάλεσε, καὶ τὸν υἱὸν αὐτῆς εἰσποιησάμενος μετωνόμασε Τιβέριον Κλαύδιον Νέρωνα Δροῦσον Γερμανικὸν Καίσαρα, μηδὲν φροντίσας ὅτι καίεσθαι ὁ οὐρανὸς τὴν ἡμέραν ἐκείνην ἔδοξε. καὶ μετὰ τοῦτο τὴν θυγατέρα τὴν Ὀκταουίαν εἰς ἕτερόν τι γένος εἰσαγαγών, ἵνα μὴ ἀδελφοὺς συνοικίζειν δοκῇ, ἐνεγύησεν αὐτῷ* (33 2). *Ἀγριππῖνα δὲ καὶ Καλπουρνίαν γυναῖκα τῶν πρώτων ἐφυγάδευσεν, ἢ ὡς λέγεται καὶ ἀπέκτεινεν, ἐπειδὴ τὸ κάλλος αὐτῆς ὁ Κλαύδιος ἐθαύμασε καὶ ἐπήνεσε. τοῦ δὲ Νέρωνος (τοῦτο γὰρ τὸ*

Digitized by Google

ἐπιμέλειαν εἶχεν, ἀλλ' ἡ Ἀγριππῖνα τούς τε ἄλλους τοὺς περιέποντας
αὐτὸν τοὺς μὲν ἐξέβαλε τοὺς δὲ καὶ ἀπέκτεινεν, καὶ τὸν Σωσίβιον,
ᾧ ἥ τε τροφὴ καὶ ἡ παιδεία αὐτοῦ προσετέτακτο, κατέσφαξεν ὡς
6 καὶ τῷ Νέρωνι ἐπιβουλεύοντα. κἀκ τούτου παραδοῦσα αὐτὸν οἷς
ἤθελεν, ἐκάκου ὅσον ἐδύνατο, καὶ οὔτε τῷ πατρὶ συνεῖναι οὔτε
ἐς τὸ δημόσιον προϊέναι εἴα, ἀλλ' ἐν ἀδέσμῳ τρόπον τινὰ φυλακῇ
εἶχεν. V p. 678.

33 Ὅτι Ἀγριππίνης οὐδεὶς τὸ παράπαν ἥπτετο, ἀλλὰ τά τε ἄλλα καὶ
ὑπὲρ αὐτὸν τὸν Κλαύδιον ἐδύνατο, καὶ ἐν κοινῷ τοὺς βουλομένους
ἠσπάζετο· καὶ τοῦτο καὶ ἐς τὰ ὑπομνήματα ἐσεγράφετο. ib.

2 καὶ ἡ μὲν ταχὺ καὶ αὐτὴ Μεσσαλῖνα ἐγένετο, καὶ μάλιστα ὅτι
καὶ τιμὰς ἄλλας τε καὶ τὸ καρπεντίῳ ἐν ταῖς πανηγύρεσι χρῆσθαι
παρὰ τῆς βουλῆς ἔλαβεν. ὁπότε δὲ ὁ Κλαύδιος τὸν Νέρωνα τὸν
a. C. 50 υἱὸν αὐτῆς ἐσεποιήσατό τε καὶ γαμβρὸν ἐποιήσατο, τὴν θυγατέρα
ἐς ἕτερόν τι γένος ἐκποιήσας ἵνα μὴ ἀδελφοὺς συνοικίζειν δοκῇ,
τέρας οὐ μικρὸν ἐγένετο· καίεσθαι γὰρ ὁ οὐρανὸς τὴν ἡμέραν ἐκεί-
3 νην ἔδοξεν. ἔν τινι δὲ λίμνῃ ναυμαχίαν ὁ Κλαύδιος ἐπεθύμησε
ποιῆσαι, τεῖχός τε περὶ αὐτὴν ξύλινον κατεσκεύασε καὶ ἰκρία ἔπηξε,
πλῆθός τε ἀναρίθμητον ἤθροισεν. καὶ οἱ μὲν ἄλλοι ὥς που καὶ
ἔδοξεν αὐτοῖς, ὁ δὲ δὴ Κλαύδιος ὅ τε Νέρων στρατιωτικῶς ἐστά-
λησαν, ἥ τε Ἀγριππῖνα χλαμύδι διαχρύσῳ ἐκοσμήθη. οἱ δὲ δὴ
ναυμαχήσοντες θανάτῳ τε καταδεδικασμένοι ἦσαν καὶ πεντήκοντα
ναῦς ἑκάτεροι εἶχον, οἱ μὲν Ῥόδιοι οἱ δὲ Σικελοὶ ὀνομασθέντες.
4 καὶ τὸ μὲν πρῶτον συστραφέντες καὶ καθ' ἓν γενόμενοι Κλαύδιον
ἅμα προσηγόρευσαν οὕτω "χαῖρε, αὐτοκράτορ· οἱ ἀπολούμενοί σε
ἀσπαζόμεθα·" ἐπεὶ δὲ οὐδὲν σωτήριον εὕροντο, ἀλλὰ ναυμαχεῖν
καὶ ὣς ἐκελεύσθησαν, διέκπλοις τε ἁπλοῖς ἐχρήσαντο καὶ ἥκιστα
ἀλλήλων ἥψαντο, μέχρις οὗ καὶ ἀνάγκῃ κατεκόπησαν.

5 ὁ δὲ δὴ Νάρκισσος οὕτως ἐνετρύφα τῷ Κλαυδίῳ ὥστε λέγεται,
ἐπειδή ποτε οἱ Βιθυνοί, δικάζοντος τοῦ Κλαυδίου, Ἰουνίου Κίλω-
νος τοῦ ἄρξαντός σφων πολλὰ κατεβόησαν ὡς οὐ μετρίως δωρο-

ὄνομα ἐπ' αὐτῷ ἐξενίκησεν) ἐς τοὺς ἐφήβους ἐγγραφέντος, κατὰ τὴν ἡμέραν ἐν ᾗ ἐνεγράφη τὸ δαιμόνιον τήν τε γῆν ἐπὶ πολὺ ἔσεισε καὶ φόβον νυκτὸς πᾶσιν ὁμοίως ἐνέβαλεν. 33 1 1 Z p. 470: ἠδύνατο δὲ πάντα, τοῦ Κλαυδίου κρατοῦσα καὶ τὸν Νάρκισσον καὶ τὸν Πάλλαντα οἰκειωσαμένη· ὁ γὰρ Κάλλιστος ἐπὶ πολὺ προχωρήσας δυνάμεως ἐτελεύτησεν. qui addit haec: οἱ ἀστρολόγοι δὲ ἐξ ἁπάσης τῆς Ἰταλίας ἠλάθησαν, καὶ οἱ αὐτοῖς συγγινόμενοι ἐκολάσθησαν. Καράτακος δέ τις βαρβάρων ἀρχηγὸς ἁλοὺς καὶ εἰς τὴν Ῥώμην ἀχθείς, καὶ συγγνώμης παρὰ τοῦ Κλαυδίου τυχών, εἶτα περινοστήσας τὴν πόλιν μετὰ τὴν ἄφεσιν καὶ ἰδὼν αὐτῆς τὴν λαμπρότητα καὶ τὸ μέγεθος, "εἶτα" ἔφη "ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι τῶν σκηνιδίων ἡμῶν ἐπιθυμεῖτε;" 3 6 τε] δὴ

Digitized by Google

δοκήσαντος, καὶ ἤρετο ἐκεῖνος τοὺς παρεστηκότας ὅ τι καὶ λέγουσιν (οὐ γὰρ συνίει διὰ τὸν θόρυβον αὐτῶν), εἶπέ τε ὁ Νάρκισσος ψευσάμενος ὅτι χάριν τῷ Ἰουνίῳ γινώσκουσιν, πιστεῦσαί τε αὐτῷ καὶ εἰπεῖν "οὐκοῦν ἐπὶ διετὲς ἔτι ἐπιτροπεύσει."

"ὅτι ὁ Νάρκισσος τῆς λίμνης τῆς Φουκίνης συμπεσούσης αἰ- 5 a.C.
τίαν ἐπ' αὐτῇ μεγάλην ἔλαβεν· ἐπεστάτει γὰρ τοῦ ἔργου, καὶ ἔδοξε 53
πολὺ ἐλάττω ὧν ἤλπιζε δαπανήσας εἶτα ἐξεπίτηδες τὸ σύμπτωμα, ὅπως ἀνεξέλεγκτον τὸ κακούργημα αὐτοῦ γένηται, μηχανήσασθαι. V.

ἡ δὲ Ἀγριππῖνα καὶ δημοσίᾳ πολλάκις αὐτῷ καὶ χρηματίζοντι 7
καὶ πρεσβείας ἀκροωμένῳ παρῆν, ἐπὶ βήματος ἰδίου καθημένη. καὶ ἦν καὶ τοῦτο οὐδενὸς ἔλαττον θέαμα.

Ἰουλίῳ δέ τινι Γαλλίκῳ ῥήτορι δίκην ποτὲ λέγοντι ὁ Κλαύδιος 8
ἀχθεσθεὶς ἐκέλευσεν αὐτὸν ἐς τὸν Τίβεριν ἐμβληθῆναι· ἔτυχε γὰρ πλησίον αὐτοῦ δικάζων. ἐφ' ᾧ δὴ ὁ Δομίτιος ὁ Ἄφρος, πλεῖστον τῶν καθ' ἑαυτὸν ἐν τῷ συναγορεύειν τισὶν ἰσχύσας, κάλλιστα ἀπέσκωψεν· δεηθέντος γάρ τινος ἀνθρώπου τῆς παρ' αὐτοῦ βοηθείας, ἐπειδὴ ὑπὸ τοῦ Γαλλίκου ἐγκατελείφθη, ἔφη πρὸς αὐτὸν ὅτι καὶ τίς σοι εἶπεν ὅτι κρεῖττον ἐκείνου νήχομαι;

ὁ δὲ Κλαύδιος τοῖς ὑπὸ τῆς Ἀγριππίνης δρωμένοις, ὧν γε καὶ 34
ᾐσθάνετο ἤδη, ἀχθόμενος, καὶ τὸν υἱὸν αὐτοῦ τὸν Βρεττανικὸν a.C.
ἐπιζητῶν, ἐξ ὀφθαλμῶν αὐτῷ ἐπίτηδες ὑπ' ἐκείνης τὰ πολλὰ γιγνό- 54
μενον, Νέρωνι, οἷα τῷ ἑαυτῆς παιδὶ ἐκ τοῦ προτέρου ἀνδρὸς αὐτῆς Δομιτίου, πάντα τρόπον περιποιουμένης τὸ κράτος, οὐκ ἤνεγκε τὸ γιγνόμενον, ἀλλ' ἐκείνην τε καταλῦσαι καὶ τὸν υἱὸν διάδοχον τῆς

5 5 εἰπεῖν?* 6 αὐτῷ ἐκεῖνος καὶ?* 6 3 εἰλήφει? 34 1 1 cf. Z p. 471: νοσήσαντος δὲ μετὰ ταῦτα τοῦ Κλαυδίου εἰσῆλθεν ὁ Νέρων εἰς τὸ συνέδριον, καὶ εἰ ἀναρρωσθείη ὁ Κλαύδιος ἱπποδρομίαν ὑπέσχετο. πάντα γὰρ τρόπον ἡ Ἀγριππῖνα ἐκίνει ἵνα τῷ τε πλήθει χαρίζοιτο καὶ μόνος ἔσεσθαι νομίζοιτο τῆς αὐταρχίας διάδοχος. διὸ τόν τε ἱππικὸν ἀγῶνα, ᾧ προσέκειντο μάλιστα, ἐποίησε τὸν Νέρωνα ὑποσχέσθαι ἐπὶ τῇ τοῦ Κλαυδίου ὑγείᾳ, ἣν καὶ πάνυ ἀπηύχετο· καὶ πρὸς τὴν πρᾶσιν τῶν ἄρτων θόρυβόν τινα γενέσθαι παρασκευάσασα ἀνέπεισε τὸν Κλαύδιον τῷ τε δήμῳ ἐκ προγραφῆς δηλῶσαι καὶ τῇ γερουσίᾳ ἐπιστεῖλαι ὅτι, κἂν αὐτὸς ἀποθάνοι, ὁ Νέρων τὰ κοινὰ ἱκανὸς ἤδη ἐστὶ διοικεῖν. καὶ ὁ μὲν πολύς τε ἔκτοτε ἦν καὶ διὰ στόματος ἤγετο ἅπασι, τὸν δὲ Βρεττανικὸν συχνοὶ μὲν οὐδ' εἰ ἔζη ἐγίνωσκον, οἱ λοιποὶ δὲ παραπλῆγα καὶ ἐπίληπτον, ταῦτα κηρυττούσης τῆς Ἀγριππίνης, ᾤοντο. ῥαΐσαντος δὲ τοῦ Κλαυδίου τὴν ἱπποδρομίαν ὁ Νέρων μεγαλοπρεπῶς ἐπετέλεσε, καὶ τὴν Ὀκταβίαν δὲ τότε ἔγημεν, ὥστε καὶ ἐκ τούτου ἀνὴρ ἤδη δοκεῖν. οὐδὲν δὲ ἀρκοῦν τῇ Ἀγριππίνῃ ἐδόκει· καίτοι ὅσα τε ἡ Λιβία ἔσχε κἀκείνῃ ἐδέδοτο καὶ ἄλλ' ἄττα πλείω ἐψήφιστο. ἡ δὲ καὶ ἰσοκρατὴς τῷ Κλαυδίῳ ἄντικρυς ὀνομάζεσθαι ἤθελε, καί ποτε πολλοῦ τὴν πόλιν ἐπινεμομένου πυρὸς πρὸς τὴν ἐπικουρίαν ἐκείνῳ συμπαρεγένετο. ὁ γοῦν Κλαύδιος ἀχθόμενος τοῖς δρωμένοις τοῖς τέως εἰς γνῶσιν ἰοῦσιν αὐτῷ, καὶ τῷ Βρεττανικῷ ὁπότε ἐντύχοι φιλοφρόνως συγγινόμενος, οὐκ ἤνεγκε τὰ γινόμενα, ἀλλ' ἐκείνην τε καταλῦσαι καὶ τὸν υἱὸν ἐς τοὺς ἐφήβους εἰσαγαγεῖν καὶ διάδοχον ἀποδεῖξαι παρεσκευάζετο. 4 πρότερον

Digitized by Google

2 ἀρχῆς ἀποδεῖξαι παρεσκευάζετο. μαθοῦσα δὲ ταῦτα ἡ Ἀγριππῖνα
ἐφοβήθη, καὶ αὐτὸν προκαταλαβεῖν φαρμάκῳ ἠθέλησεν. ὡς δὲ
ἐκεῖνος οὐδὲν ὑπὸ τοῦ οἴνου, ὃν πολὺν ἀεί ποτε ἔπινε, καὶ ὑπὸ τῆς
ἄλλης διαίτης, ᾗ πρὸς φυλακήν σφων οἱ αὐτοκράτορες χρῶνται,
κακοῦσθαι ἐδύνατο, Λουκοῦστάν τινα φαρμακίδα περιβόητον μετε-
πέμψατο, καὶ φάρμακόν τι ἄφυκτον προκατασκευάσασα ἔς τινα
3 τῶν καλουμένων μυκήτων ἐνέβαλεν. καὶ αὐτὴ μὲν ἐκ τῶν ἄλλων
ἤσθιεν, ἐκεῖνον δὲ ἐκ τοῦ τὸ φάρμακον ἔχοντος (καὶ γὰρ μέγιστος
καὶ κάλλιστος ἦν) φαγεῖν ἐποίησεν. καὶ ὁ μὲν οὕτως ἐπιβουλευθεὶς
ἐκ μὲν τοῦ συμποσίου ὡς καὶ ὑπερκορὴς μέθης σφόδρα ὢν ἐξεκο-
μίσθη, ὅπερ που καὶ ἄλλοτε πολλάκις ἐγεγόνει, τῆς δὲ νυκτὸς οὐδὲν
οὔτ᾽ εἰπεῖν οὔτ᾽ ἀκοῦσαι δυνηθεὶς μετήλλαξε, τῇ τρίτῃ καὶ δεκάτῃ
τοῦ Ὀκτωβρίου, ζήσας ἑξήκοντα καὶ τρία ἔτη, αὐταρχήσας δὲ ἔτη
4 δεκατρία καὶ μῆνας ὀκτὼ καὶ ἡμέρας εἴκοσιν. ἡ δὲ δὴ Ἀγριππῖνα
ταῦτα ποιήσασα ἔφθασεν, ὅτι τὸν Νάρκισσον ἐς Καμπανίαν, προ-
φάσει ὡς καὶ τοῖς ὕδασι τοῖς ἐκεῖ πρὸς τὴν ποδάγραν χρησομένου,
προαπέπεμψεν, ἐπεὶ παρόντος γε αὐτοῦ οὐκ ἄν ποτε αὐτὸ ἐδεδρά-
κει· τοιοῦτός τις φύλαξ τοῦ δεσπότου ἦν. ἐπαπώλετο δὲ καὶ αὐτὸς
τῷ Κλαυδίῳ, μέγιστον τῶν τότε ἀνθρώπων δυνηθείς· μυριάδας τε
γὰρ πλείους μυρίων εἶχε, καὶ προσεῖχον αὐτῷ καὶ πόλεις καὶ βασι-
5 λεῖς. καὶ δῆτα καὶ τότε ἀποσφαγήσεσθαι μέλλων λαμπρὸν ἔργον
διεπράξατο· τὰ γὰρ γράμματα τοῦ Κλαυδίου, ὅσα ἀπόρρητα κατά
τε τῆς Ἀγριππίνης καὶ κατ᾽ ἄλλων τινῶν, οἷα τὰς ἐπιστολὰς αὐτοῦ
διοικῶν, εἶχε, πάντα προκατέκαυσεν.

35 οὕτω μὲν ὁ Κλαύδιος μετήλλαξεν, ἐς τοῦτό τε ὅ τε ἀστὴρ ὁ
κομήτης ἐπὶ πλεῖστον ὀφθείς, καὶ ἡ ψεκὰς ἡ αἱματώδης, ὅ τε
σκηπτὸς ὁ ἐς τὰ δορυφορικὰ σημεῖα ἐμπεσών, καὶ ἡ αὐτόματος τοῦ
ναοῦ τοῦ Διὸς τοῦ νικαίου ἄνοιξις, τό τε σμῆνος τὸ ἐν τῷ στρατο-
πέδῳ συστραφέν, καὶ ὅτι ἐξ ἁπασῶν τῶν ἀρχῶν εἷς ἀφ᾽ ἑκάστης
2 ἐτελεύτησεν, ἔδοξε σημῆναι. ἔτυχε δὲ καὶ τῆς ταφῆς καὶ τῶν ἄλλων
ὅσων ὁ Αὔγουστος. Ἀγριππῖνα δὲ καὶ ὁ Νέρων πενθεῖν προσεποι-
οῦντο ὃν ἀπεκτόνεσαν, ἔς τε τὸν οὐρανὸν ἀνήγαγον ὃν ἐκ τοῦ συμπο-
σίου φοράδην ἐξενηνόχεσαν. ὅθεν περ Λούκιος Ἰούνιος Γαλλίων ὁ
3 τοῦ Σενέκα ἀδελφὸς ἀστειότατόν τι ἀπεφθέγξατο. συνέθηκε μὲν
γὰρ καὶ ὁ Σενέκας σύγγραμμα, ἀποκολοκύντωσιν αὐτὸ ὥσπερ τινὰ
ἀπαθανάτισιν ὀνομάσας· ἐκεῖνος δὲ ἐν βραχυτάτῳ πολλὰ εἰπὼν

3 7 καὶ μῆνας δύο καὶ ἡμέρας τρισκαίδεκα Z 4 8 χρησόμενον Z 6 ποτὲ 5 4 addit Z p. 473: ἐσφάγη δὲ παρὰ τῷ τῆς Μεσσαλίνης μνημείῳ, ὅπερ ἐκ συντυχίας συνενεχθὲν ἔδοξεν εἰς τὴν ἐκείνης τιμωρίαν γενέσθαι. 35 1 1 ὅ τε om

ἀπομνημονεύεται. ἐπειδὴ γὰρ τοὺς ἐν τῷ δεσμωτηρίῳ θανατουμέ- 4
νους ἀγκίστροις τισὶ μεγάλοις οἱ δήμιοι ἔς τε τὴν ἀγορὰν ἀνεῖλκον
κἀντεῦθεν ἐς τὸν ποταμὸν ἔσυρον, ἔφη τὸν Κλαύδιον ἀγκίστρῳ ἐς
τὸν οὐρανὸν ἀνενεχθῆναι. καὶ ὁ Νέρων δὲ οὐκ ἀπάξιον μνήμης
ἔπος κατέλιπεν· τοὺς γὰρ μύκητας θεῶν βρῶμα ἔλεγεν εἶναι, ὅτι
καὶ ἐκεῖνος διὰ τοῦ μύκητος θεὸς ἐγεγόνει.

ἀποθανόντος δὲ τοῦ Κλαυδίου κατὰ μὲν τὸ δικαιότατον ἡ ἡγε- ΞΑ
μονία τοῦ Βρεττανικοῦ ἦν (γνήσιος γὰρ τοῦ Κλαυδίου παῖς ἐπεφύκει,
καὶ τῇ τοῦ σώματος ἀκμῇ καὶ ὑπὲρ τὸν τῶν ἐτῶν ἀριθμὸν ἤνθει),
ἐκ δὲ δὴ τοῦ νόμου καὶ τῷ Νέρωνι διὰ τὴν ποίησιν ἐπέβαλλεν.
ἀλλ' οὐδὲν γὰρ δικαίωμα τῶν ὅπλων ἰσχυρότερόν ἐστιν· πᾶς γὰρ 2
ὁ δυνάμει προέχων δικαιότερα ἀεὶ καὶ λέγειν καὶ πράττειν δοκεῖ.
Νέρων οὖν τάς τε διαθήκας τοῦ Κλαυδίου ἠφάνισε καὶ τὴν ἀρχὴν
πᾶσαν διεδέξατο, τόν τε Βρεττανικὸν καὶ τὰς ἀδελφὰς αὐτοῦ διε-
χρήσατο· τί γὰρ ἄν τις καὶ τὰ τῶν ἄλλων παθήματα κατοδύραιτο;

σημεῖα δ' αὐτῷ τῆς αὐταρχίας τάδε ἐγένετο. ἀκτῖνες γὰρ 2
τικτόμενον αὐτὸν ὑπὸ τὴν ἕω ἐξ οὐδεμιᾶς τοῦ ἡλίου φανερᾶς προσ-
βολῆς περιέσχον· καί τις ἀστρολόγος ἔκ τε τούτων καὶ ἐκ τῆς τῶν
ἀστέρων φορᾶς τῆς ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πρὸς ἀλλήλους ὁμιλίας
δύο ἅμα περὶ αὐτοῦ ἐμαντεύσατο, ὅτι τε βασιλεύσει καὶ ὅτι τὴν
μητέρα φονεύσει. ἀκούσασα δὲ ταῦθ' ἡ Ἀγριππῖνα παραυτίκα μὲν 2
οὕτως ἐξεφρόνησεν ὥς καὶ αὐτὸ τοῦτο ἀναβοῆσαι "ἀποκτεινάτω με,
μόνον βασιλευσάτω," ὕστερον δὲ καὶ πάνυ μετανοήσειν ἐπὶ τῇ εὐχῇ
ἔμελλεν. ἐς γὰρ τοῦτο μωρίας ἀφικνοῦνταί τινες ὥστε, ἄν τι προσ-
δοκήσωσιν ἀγαθὸν κακῷ μεμιγμένον λήψεσθαι, εὐθὺς μὲν ἐπιθυμίᾳ
τοῦ κρείττονος καταφρονεῖν τοῦ χείρονος, ἐπειδὰν δὲ καὶ ἐκείνου ὁ
καιρὸς ἔλθῃ, δυσκολαίνειν καὶ μὴ ἂν μηδὲ τὸ βέλτιστον εἰληφέναι
βεβουλῆσθαι. καίτοι καὶ τὴν πονηρίαν καὶ τὴν ἀσέλγειαν τὴν τοῦ 3
Νέρωνος καὶ ὁ Δομίτιος ὁ πατὴρ ἱκανῶς, οὐκ ἐκ μαντείας ἀλλ' ἐκ
τῶν τρόπων τῶν τε ἑαυτοῦ καὶ τῶν τῆς Ἀγριππίνης, προείδετο,
εἰπέ τε ὅτι ἀδύνατόν ἐστιν ἄνδρα τινὰ ἀγαθὸν ἔκ τε ἐμοῦ καὶ ἐκ
ταύτης γεννηθῆναι. προϊόντος δὲ τοῦ χρόνου λεβηρὶς περὶ τὸν 4
αὐχένα τοῦ Νέρωνος παιδίου ἔτ' ὄντος εὑρεθεῖσα παρέδωκε τοῖς
μάντεσι λέγειν ὅτι ἰσχὺν παρά του γέροντος μεγάλην λήψεται, ἐπειδὴ
τὸ γῆρας διὰ ταῦθ' οἱ ὄφεις ἐκδύεσθαι νομίζονται.

ἑπτὰ δὲ καὶ δέκα ἔτη ἦγεν ὅτ' ἦρξεν, ἔς τε τὸ στρατόπεδον 3
ἐσῆλθε, καὶ ἀναγνοὺς ὅσα ὁ Σενέκας ἐγεγράφει, ὑπέσχετο αὐτοῖς
ὅσα ὁ Κλαύδιος ἐδεδώκει. τοσαῦτα δὲ καὶ πρὸς τὴν βουλήν, πρὸς

4 3 κἀνταῦθ'* Leunclavius distinxit.

1 1 1 ΞΑ] libros dehinc praeter penultimum
3 1 βούλεσθαι?*



Digitized by Google

τοῦ Σενέκου καὶ αὐτὰ γραφέντα, ἀνέγνω ὥστε καὶ ἐς ἀργυρᾶν
στήλην ἐγγραφῆναι καὶ ἐν ταῖς νέαις τῶν ἀεὶ ὑπάτων ἀρχαῖς ἀνα-
γινώσκεσθαι ψηφισθῆναι. καὶ οἱ μὲν ἐκ τούτων ὡς καὶ κατὰ συγ-
2 γραφήν τινα καλῶς ἀρχθησόμενοι παρεσκευάζοντο. καὶ τὸ μὲν
πρῶτον ἡ Ἀγριππῖνα, "τῷ Πάλλαντι συνοῦσα φορτικῷ καὶ ἐπαχθεῖ,"
πάντα αὐτῷ τὰ τῇ ἀρχῇ προσήκοντα διῴκει, καὶ τὰς ἐξόδους ἅμα
ἐποιοῦντο, πολλάκις μὲν καὶ ἐν τῷ αὐτῷ φορείῳ κατακείμενοι· τὸ
δὲ δὴ πλεῖον ἡ μὲν ἐφέρετο ὁ δὲ συμπαρείπετο. ταῖς τε πρεσβείαις
ἐχρημάτιζε, καὶ ἐπιστολὰς καὶ δήμοις καὶ ἄρχουσι καὶ βασιλεῦσιν
3 ἐπέστελλεν. ὡς δὲ ἐπὶ πολὺ τοῦτ' ἐγίνετο, ἐδυσχέρανεν ὅ τε Σενέ-
κας καὶ ὁ Βοῦρρος, φρονιμώτατοί τε ἅμα καὶ δυνατώτατοι τῶν
περὶ τὸν Νέρωνα ὄντες (ὁ μὲν γὰρ ἔπαρχος τοῦ δορυφορικοῦ ἦν,
ὁ δὲ διδάσκαλος αὐτοῦ), καὶ ἔπαυσαν τὸ γινόμενον τοιᾶσδε ἀφορ-
μῆς λαβόμενοι. πρεσβείας Ἀρμενίων ἐλθούσης καὶ ἡ Ἀγριππῖνα
ἐπὶ τὸ βῆμα, ἀφ' οὗ σφίσιν ὁ Νέρων διελέγετο, ἀναβῆναι ἠθέλη-
4 σεν. ἰδόντες οὖν αὐτὴν ἐκεῖνοι πλησιάζουσαν ἔπεισαν τὸν νεανίσκον
προκαταβῆναι καὶ προαπαντῆσαι τῇ μητρὶ ὡς καὶ ἐπὶ δεξιώσει
τινί. πραχθέντος δὲ τούτου οὔτε τότε ἐπανῆλθον, ἐμβαλόντες τινὰ
αἰτίαν, ὥστε μὴ καὶ ἐς τοὺς βαρβάρους τὸ νόσημα τῆς ἀρχῆς
ἐκφανῆναι, καὶ μετὰ τοῦτ' ἔπραττον ὅπως μηδὲν ἔτ' αὐτῇ τῶν κοι-
νῶν ἐπιτρέπηται.

4 κατεργασάμενοι δὲ τοῦτο αὐτοὶ τὴν ἀρχὴν ἅπασαν παρέλαβον,
καὶ διῴκησαν ἐφ' ὅσον ἠδυνήθησαν ἄριστα καὶ δικαιότατα, "ὥσθ'
ὑπὸ πάντων ἀνθρώπων ὁμοίως ἐπαινεθῆναι." ὅ τε γὰρ Νέρων οὔτ'
ἄλλως φιλοπραγματίας ἦν καὶ ἔχαιρεν ἐν ῥᾳστώνῃ διάγων, "καὶ
διὰ ταῦτα τῇ τε μητρὶ πρότερον ὑπεπεπτώκει, καὶ τότε ἠγάπα ὅτι
2 αὐτός τε ἐν ἡδοναῖς ἦν καὶ ἡ ἡγεμονία οὐδὲν ἧττον διήγετο· καὶ
ἐκεῖνοι συμφρονήσαντες αὐτοὶ μὲν πολλὰ τὰ μὲν μετερρύθμισαν
τῶν καθεστηκότων, τὰ δὲ καὶ παντελῶς κατέλυσαν, ἄλλα τε καινὰ
προσενομοθέτησαν," τὸν δὲ δὴ Νέρωνα τρυφᾶν εἴων, ὅπως διακο-
ρής, ἄνευ μεγάλου τινὸς τῶν κοινῶν πάντων κακοῦ, ὧν ἐπεθύμει
γενόμενος μεταβάληται, ὥσπερ οὐκ εἰδότες ὅτι ψυχὴ νέα τε καὶ
αὐθάδης ἔν τε τρυφῇ ἀνεπιπλήκτῳ καὶ ἐν ἐξουσίᾳ αὐτοτελεῖ τρα-
φεῖσα οὐχ ὅσον οὐ κόρον αὐτῶν ἴσχει, ἀλλὰ καὶ ἐξ αὐτῶν τούτων
3 προσδιαφθείρεται. ἀμέλει καὶ ὁ Νέρων τὰ μὲν πρῶτα ἁπλῶς πως
δεῖπνά τε ἐποίει καὶ κώμους ἐκώμαζε καὶ ἐμέθυε καὶ ἤρα, ἔπειτα
δὲ ὡς οὔτε ἐκείνῳ τις ἐπέπληττεν οὔτε τὰ κοινὰ χεῖρον παρὰ τοῦτο

3 2 2 " " Theodosius Leunclavii. cf. U p. 390: ὅτι ὁ Πάλλας συνὼν τῇ Ἀγριππίνῃ πάντα φορτικὸς καὶ ἐπαχθὴς ἦν. 4 1 et 2 " " V p. 678

Digitized by Google

διεχειρίζετο, ἐπίστευσεν ὅτι καὶ καλῶς αὐτὰ ποιεῖ καὶ δύναται καὶ
ἐπὶ πλεῖόν σφισι χρῆσθαι, "κἀκ τούτου ταῦτά τε ὡς ἕκαστα ἐκ- 4
φανέστερον καὶ προπετέστερον πράττειν ἤρξατο, καὶ εἰ δή τι ἢ
ἐκεῖνοι παραινοῦντες ἢ ἡ μήτηρ νουθετοῦσα αὐτὸν ἔλεγε, παρόντας
μέν σφας ᾐδεῖτο καὶ ὑπισχνεῖτο μεταθήσεσθαι, ἀπελθόντων δὲ τῆς
τε ἐπιθυμίας ἐγίγνετο καὶ τοῖς πρὸς τἀναντία αὐτὸν ἄγουσιν, ἅτε
καὶ ἐπὶ πρανὲς ἕλκουσιν, ἐπείθετο." καὶ μετὰ τοῦτο τὰ μὲν κατα- 5
φρονήσας, οἷά που συνεχῶς παρὰ τῶν συνόντων ἀκούων "σὺ δὲ
τούτων ἀνέχῃ; σὺ δὲ τούτους φοβῇ; οὐκ οἶσθα ὅτι Καῖσαρ εἶ καὶ
σὺ ἐκείνων ἐξουσίαν, ἀλλ' οὐκ ἐκεῖνοι σοῦ ἔχουσιν;" τὰ δὲ καὶ φι-
λονεικῶν μήτε τῆς μητρὸς ὡς καὶ κρείττονος ἐλαττοῦσθαι μήτε τοῦ
Σενέκου τοῦ τε Βούρρου ὡς καὶ φρονιμωτέρων ἡττᾶσθαι, τέλος 5
ἀπηρυθρίασε, καὶ πάντα τὰ παραγγέλματα αὐτῶν συγχέας καὶ κα-
ταπατήσας πρὸς τὸν Γάιον ἔτεινεν. ὡς δ' ἅπαξ ζηλῶσαι αὐτὸν
ἐπεθύμησε, καὶ ὑπερεβάλετο, νομίζων τῆς αὐτοκρατορικῆς καὶ τοῦτ'
ἰσχύος ἔργον εἶναι, τὸ μηδ' ἐν τοῖς κακίστοις μηδενὸς ὑστερίζειν.
"ἐπαινούμενος δὲ ἐπὶ τούτοις ὑπὸ τοῦ ὁμίλου, καὶ πολλὰ ὑπ' αὐτοῦ 2
καὶ ἡδέα ἀκούων, οὐδ' ἑαυτοῦ ἐφείσατο, ἀλλὰ τὸ μὲν πρῶτον οἴκοι
καὶ παρὰ τοῖς συνοῦσίν οἱ ἐχειρούργησεν αὐτά, ἔπειτα καὶ ἐδημο-
σίευσεν, ὥστε πολλὴν μὲν αἰσχύνην παντὶ τῷ Ῥωμαίων γένει προ-
σθεῖναι, πολλὰ δὲ καὶ δεινὰ αὐτοὺς ἐργάσασθαι. καὶ γὰρ βίαι καὶ 3
ὕβρεις ἁρπαγαί τε καὶ φόνοι καὶ ὑπ' αὐτοῦ ἐκείνου καὶ ὑπὸ τῶν
ἀεί τι παρ' αὐτῷ δυναμένων ἀμύθητοι ἐγίγνοντο. καὶ ὃ δὴ πάντως
ἐξ ἀνάγκης πᾶσι τοῖς τοιούτοις ἕπεται," πολλὰ μέν, ὡς εἰκός, χρή-
ματα ἀνηλίσκετο, πολλὰ δὲ ἀδίκως ἐπορίζετο, πολλὰ δὲ βιαίως
ἡρπάζετο. ἦν μὲν γὰρ οὐδ' ἄλλως μικρόφρων· τεκμήριον δέ, Δο- 4
ρυφόρῳ τῷ τὰ τῆς ἀρχῆς αὐτοῦ βιβλία διέποντι πεντήκοντα ἅμα
καὶ διακοσίας μυριάδας δοθῆναι κελεύσας, εἶτ' ἐπειδὴ ἡ Ἀγριππῖνα
ἐσώρευσεν αὐτὰς ἵνα ἀθρόον τὸ ἀργύριον ἰδὼν μεταβάληται, ἤρετο
πόσον εἴη τὸ κείμενον, καὶ μαθὼν ἐδιπλασίασεν αὐτό, εἰπὼν ὅτι
ἠγνόησα ὀλίγον οὕτω κεχαρισμένος. τυφλῷ δὲ δῆλον ὅτι ἐκ τοῦ 5
πλήθους τῶν δαπανωμένων ταχὺ μὲν τοὺς ἐν τῷ βασιλικῷ θησαυ-
ροὺς ἐξήντλησε, ταχὺ δὲ πόρων καινῶν ἐδεήθη, καὶ τέλη τε οὐκ
εἰθισμένα ἐξελέγετο καὶ αἱ οὐσίαι τῶν ἐχόντων τι ἐπολυπραγμο-
νοῦντο, καὶ οἱ μὲν ἐκείνας ἐξ ἐπηρείας ἀπέβαλλον, οἱ δὲ καὶ αὐτοὶ
προσαπώλλυντο. "καὶ οὕτω καὶ ἄλλους, εἰ καὶ μηδὲν μέγα ἐκέκτηντο, 6
ἀλλ' ἀρετήν γέ τινα ἢ καὶ γένος εἶχον, ὑποπτεύων ἄχθεσθαί οἱ καὶ
ἐμίσει καὶ διέφθειρεν."

τοιοῦτος μὲν τὸ σύμπαν ὁ Νέρων ἐγένετο, λέξω δὲ καὶ καθ' 6

" " V p. 681 et (6 1) 682. 5 5 1 πολλῷ 2 βασιλικῷ κοιτῶνι θησ.

ἕκαστον. περὶ μὲν οὖν τὰς ἱπποδρομίας τοσαύτῃ σπουδῇ ὁ Νέρων ἐκέχρητο ὥστε καὶ τοὺς ἵππους τοὺς ἀγωνιστὰς τοὺς ἐπιφανεῖς τοὺς παρηβηκότας στολῇ τε ἀγοραίῳ ὡς ἄνδρας τινὰς κοσμῆσαι
2 καὶ χρήμασιν ὑπὲρ σιτηρεσίου τιμῆσαι. ἐπαιρομένων δὲ δὴ καὶ τῶν ἱπποτρόφων καὶ τῶν ἡνιόχων τῇ παρ' αὐτοῦ σπουδῇ, καὶ δεινῶς τούς τε στρατηγοὺς καὶ τοὺς ὑπάτους ὑβριζόντων, Αὖλος Φαβρίκιος στρατηγῶν ἐκείνοις μὲν μὴ βουληθεῖσιν ἐπὶ μετρίοις τισὶν ἀγωνίσασθαι οὐκ ἐχρήσατο, κύνας δὲ διδάξας ἕλκειν ἅρματα ἀντὶ
3 ἵππων ἐσήγαγεν. γενομένου δὲ τούτου οἱ μὲν τῇ λευκῇ τῇ τε πυρρᾷ σκευῇ χρώμενοι τὰ ἅρματα εὐθὺς καθῆκαν, τῶν δὲ δὴ πρασίνων τῶν τε βενετίων μηδ' ὣς εἰσελθόντων ὁ Νέρων τὰ ἆθλα τοῖς ἵπποις αὐτὸς ἔθηκε, καὶ ἡ ἱπποδρομία ἐτελέσθη.

4 "ὅτι ἡ Ἀγριππῖνα οὕτω καὶ τὰ μέγιστα πράττειν ἐπεχείρει ὥστε Μάρκον Ἰούνιον Σιλανὸν ἀπέκτεινε, πέμψασα αὐτῷ τοῦ φαρμάκου ᾧ τὸν ἄνδρα ἐδεδολοφονήκει. V p. 682.

5 "ὅτι ἦρχε τῆς Ἀσίας Σιλανός, καὶ ἦν οὐδὲ ἐν τοῖς ἤθεσι τοῦ γένους ἐνδεέστερος. ἀφ' οὗπερ καὶ τὰ μάλιστα ἔλεγεν αὐτὸν ἀποκτεῖναι, ἵνα μὴ καὶ τοῦ Νέρωνος οὕτω ζῶντος προκριθείη. καὶ μέντοι καὶ ἐκαπήλευσε πάντα, καὶ ἐκ τῶν βραχυτάτων τῶν τε αἰσχίστων ἠργυρολόγει. ib.

6 "ὅτι Λαιλιανὸς ὁ ἀποσταλεὶς ἐς τὴν Ἀρμενίαν ἀντὶ τοῦ Πωλίωνος τὴν τῶν νυκτοφυλάκων ἀρχὴν προσετέτακτο, καὶ ἦν οὐδὲν τοῦ Πωλίωνος βελτίων, ἀλλὰ καὶ ὅσῳ τῇ ἀξιώσει αὐτοῦ προεῖχε, τόσῳ καὶ ἀπληστότερος ἐπὶ τοῖς κέρδεσιν ἐπεφύκει. ib.

7 ἐλυπεῖτο δὲ καὶ ἡ Ἀγριππῖνα μηκέτι τῶν ἐν τῷ παλατίῳ διὰ
a.C. 55 τὴν Ἀκτὴν μάλιστα κυριεύουσα. ἡ δὲ δὴ Ἀκτὴ ἐπέπρατο μὲν ἐκ τῆς Ἀσίας, ἀγαπηθεῖσα δὲ ὑπὸ τοῦ Νέρωνος ἔς τε τὸ τοῦ Ἀττάλου γένος ἐσήχθη καὶ πολὺ καὶ ὑπὲρ τὴν Ὀκταουίαν τὴν γυναῖκα
2 αὐτοῦ ἠγαπήθη. ἡ οὖν Ἀγριππῖνα διά τε ἄλλα καὶ διὰ ταῦτ' ἀγανακτοῦσα τὸ μὲν πρῶτον νουθετεῖν αὐτὸν ἐπειρᾶτο, καὶ τῶν συνόντων αὐτῷ τοὺς μὲν πληγαῖς ᾐκίζετο τοὺς δὲ ἐκποδὼν ἐποιεῖτο,
3 ὡς δὲ οὐδὲν ἐπέραινεν, ὑπεραλγήσε καὶ εἶπεν αὐτῷ ὅτι ἐγώ σε αὐτοκράτορα ἀπέδειξα, ὥσπερ ἀφελέσθαι τὴν μοναρχίαν αὐτοῦ δυναμένη· οὐ γὰρ ἠπίστατο ὅτι πᾶσα ἰσχὺς αὔταρχος, παρ' ἰδιώτου δοθεῖσά τῳ, τοῦ τε δόντος αὐτὴν εὐθὺς ἀπαλλάττεται καὶ τῷ λα-
4 βόντι κατ' ἐκείνου προσγίνεται. τὸν δὲ Βρεττανικὸν φαρμάκῳ δολοφονήσας ὁ Νέρων, ἐπειδὴ πελιδνὸς ὑπὸ τοῦ φαρμάκου ἐγενήθη,

6 5 2 ἀπ.] ἐπιχθεῖν 3 καὶ μέντοι — 5 ἠργυρολόγει] his fortasse
6 4 post ἐπεφύκει locus. 7 2 4 εἶπεν αὐτῷ] ἐπὶ πάντων σφοδρῶς αὐτῷ
ἐπηνέχθη βοῶσα M p. 209.

Digitized by Google

γύψῳ ἔχρισεν. ὑετὸς δὲ διὰ τῆς ἀγορᾶς αὐτοῦ ἀγομένου πολύς,
ὑγρᾶς ἔτι οὔσης τῆς γύψου, ἐπιπεσὼν πᾶσαν αὐτὴν ἀπέκλυσεν, ὥστε
τὸ δεινὸν μὴ μόνον ἀκούεσθαι ἀλλὰ καὶ ὁρᾶσθαι.

"Ὅτι τοῦ Βρεττανικοῦ τελευτήσαντος οὐκέθ' ὁ Σενέκας καὶ ὁ Βοῦρ- 5
ρος ἐπιμέλειάν τινα ἀκριβῆ τῶν κοινῶν ἐποιοῦντο, ἀλλ' ἠγάπων εἰ
καὶ μετρίως πως διάγοντες αὐτὰ περισωθεῖεν, καὶ ἐκ τούτου ὁ
Νέρων λαμπρῶς ἤδη πάντων ὧν ἤθελεν ἐπ' ἀδείας ἐνεπίμπλατο.
καὶ οὕτω γὰρ ἐκφρονεῖν ἄντικρυς ἤρξατο ὥστε καὶ Ἀντώνιόν τινα 6
ἱππέα αὐτίκα ὡς καὶ φαρμακέα κολάσαι, καὶ προσέτι καὶ τὰ φάρ-
μακα δημοσίᾳ καταφλέξαι· αὐτὸς μὲν γὰρ καὶ ἐπὶ τούτῳ καὶ ἐπὶ
τῷ διαθήκας τινὰς κακουργήσασί τισιν ἐπεξελθεῖν ἐσεμνύνετο, τοῖς
δὲ ἄλλοις γέλωτα ἰσχυρὸν παρέσχεν, ὅτι τὰ ἑαυτοῦ ἔργα δι' ἑτέρων
ἐκόλασεν. καὶ πολλὰ μὲν οἴκοι πολλὰ δὲ καὶ ἐν τῇ πόλει, νύκτωρ 8
καὶ μεθ' ἡμέραν, ἐπικρυπτόμενός πῃ ἠσέλγαινεν, καὶ ἔς τε καπη-
λεῖα ἐσῄει, καὶ πανταχόσε ὡς καὶ ἰδιώτης ἐπλανᾶτο. πληγαί τε ἐκ
τούτων καὶ ὕβρεις συχναὶ ἐγίνοντο, ὥστε καὶ μέχρι τῶν θεάτρων
τὸ δεινὸν προχωρῆσαι. οἱ γάρ τοι περὶ τὴν ὀρχήστραν καὶ περὶ 2
τοὺς ἵππους ἔχοντες οὔτε τῶν στρατιωτῶν οὔτε τῶν ὑπάτων ἐφρόν-
τιζον, ἀλλ' αὐτοί τε ἐστασίαζον καὶ τοὺς ἄλλους προσεπεσπῶντο,
οὐχ ὅτι κωλύοντός σφας τοῦ Νέρωνος, ὅσον ἀπὸ βοῆς, ἀλλὰ καὶ
προσεκταράσσοντος· καὶ γὰρ ἔχαιρε τοῖς δρωμένοις, ἔν τε φορείῳ
τινὶ λάθρᾳ ἐς τὰ θέατρα ἐσκομιζόμενος, κἀκ τοῦ ἀφανοῦς τοῖς ἄλ-
λοις ἐφορῶν τὰ γιγνόμενα. ἀμέλει καὶ τοὺς στρατιώτας τοὺς ἀεί 3
ποτε ταῖς τοῦ δήμου συνόδοις παρεῖναι εἰωθότας ἀπηγόρευσε μὴ
φοιτᾶν ἐς αὐτάς, πρόφασιν μὲν ὡς καὶ τὰ στρατιωτικὰ αὐτοὺς
μόνα διὰ χειρὸς ποιεῖσθαι δέον, τὸ δ' ἀληθὲς ἵν' ὅτι πλείστη τοῖς
τι βουλομένοις ταράσσειν ἐξουσία εἴη. τῇ δὲ αὐτῇ σκήψει καὶ πρὸς 4
τὴν μητέρα ἐχρήσατο· οὐδὲ γὰρ οὐδ' ἐκείνῃ συνεῖναι στρατιώτην
τινὰ ἐπέτρεπε, λέγων μηδένα ἄλλον ὑπ' αὐτῶν πλὴν τοῦ αὐτοκρά-
τορος φρουρεῖσθαι χρῆναι. καὶ τούτῳ γε καὶ ἐς τοὺς πολλοὺς τὴν
ἔχθραν αὐτὸς ἐξέφηνεν." τὰ μὲν γὰρ ἄλλα ὅσα καθ' ἑκάστην ὡς 5
εἰπεῖν ἡμέραν καὶ ἔλεγον ἐς ἀλλήλους καὶ ἔπραττον, ἐξῄει μὲν ἐκ
τοῦ παλατίου, οὐ μέντοι καὶ πάντα ἐδημοσιεύετο, ἀλλὰ κατείκαζον
αὐτὰ καὶ ἐλογοποίουν ἄλλοι ἄλλως· πρὸς γὰρ δὴ τὴν πονηρίαν τήν τε
ἀσέλγειάν σφων τά τε ἐνδεχόμενα γενέσθαι ὡς γεγονότα διεθροεῖτο
καὶ τὰ πιθανότητά τινα λεχθῆναι ἔχοντα ὡς καὶ ἀληθῆ ἐπιστεύετο·
τότε δὲ πρῶτον ἰδόντες αὐτὴν ἄνευ δορυφόρων οἱ μὲν πολλοὶ ἐφυ- 6

" " V p. 682 5 1 οὔθ'* 8 2 4 ὅσα 4 4 καὶ τ. — 5 1 ἐξέφηνεν] idem sonant, quae vulgo adiiciuntur, Xiphilini verba: καὶ τῇ μητρὶ δὲ ἤδη φανερῶς ἐκπεπολέμωτο. 4 4 τουτό*

λάττοντο μηδ' ἐκ συντυχίας αὐτῇ συμμῖξαι, εἰ δέ πού τις καὶ συν-
έτυχε, διὰ ταχέων ἄν, μηδὲν εἰπών, ἀπηλλάγη.

9 ἐν δέ τινι θέᾳ ἄνδρες ταύρους ἀπὸ ἵππων, συμπαραθέοντές
σφισι, κατέστρεφον, τετρακοσίας τε ἄρκτους καὶ τριακοσίους λέον-
τας οἱ ἱππεῖς οἱ σωματοφύλακες τοῦ Νέρωνος κατηκόντισαν, ὅτε
καὶ ἱππεῖς ἐκ τοῦ τέλους τριάκοντα ἐμονομάχησαν. ἐν μὲν δὴ οὖν
2 τῷ φανερῷ ταῦτ' ἐποίει, κρύφα δὲ νύκτωρ ἐκώμαζε κατὰ πᾶσαν
τὴν πόλιν, ὑβρίζων ἐς τὰς γυναῖκας, ἀσελγαίνων ἐς τὰ μειράκια,
ἀποδύων τοὺς ἀπαντῶντας, παίων τιτρώσκων φονεύων. καὶ ἐδό-
κει μέν πως λανθάνειν (καὶ γὰρ ἐσθῆσι ποικίλαις καὶ κόμαις περι-
θέτοις ἄλλοτε ἄλλαις ἐχρῆτο), ἠλέγχετο δὲ ἔκ τε τῆς ἀκολουθίας
καὶ ἐκ τῶν ἔργων· οὐδεὶς γὰρ ἂν τοσαῦτα καὶ τηλικαῦτα ἀδεῶς
3 οὕτω ποιῆσαι ἐτόλμησεν. οὐδὲ γὰρ οὐδ' οἴκοι μένειν ἀσφαλὲς οὐ-
a.C. δενὶ ἐγίγνετο, ἀλλὰ καὶ ἐς ἐργαστήρια καὶ οἰκίας ἐσεπήδα. Ἰούλιος
56 οὖν τις Μοντανὸς βουλευτής, ἀγανακτήσας ὑπὲρ τῆς γυναικός,
προσέπεσέ τε αὐτῷ καὶ πληγὰς πολλὰς ἐνεφόρησεν, ὥσθ' ὑπὸ τῶν
4 ὑπωπίων συχναῖς αὐτὸν ἡμέραις κρυφθῆναι. καὶ ἔπαθεν ἐπὶ τούτῳ
δεινὸν οὐδέν (ὁ γὰρ Νέρων ἐκ συντυχίας ἄλλως ὑβρίσθαι νομίσας
οὐδεμίαν ὀργὴν ἐποιεῖτο), εἰ μὴ ἐπέστειλεν αὐτῷ συγγνώμην αἰτού-
μενος. ὡς γὰρ ἀναγνοὺς ὁ Νέρων τὰ γράμματα ἔφη "οὐκοῦν ᾔδει
5 Νέρωνα τύπτων", αὐτὸν κατεχρήσατο. ἐν δέ τινι θεάτρῳ θέας
a.C. ἐπιτελῶν, εἶτα πληρώσας ἐξαίφνης τὸ θέατρον ὕδατος θαλασσίου
57 ὥστε καὶ ἰχθύας καὶ κήτη ἐν αὐτῷ νήχεσθαι, ναυμαχίαν τε ἐποίησε
Περσῶν δή τινῶν καὶ Ἀθηναίων, καὶ μετ' αὐτὴν τό τε ὕδωρ εὐθὺς
ἐξήγαγε, καὶ ξηράνας τὸ δάπεδον πεζοὺς πάλιν οὐχ ὅπως ἕνα πρὸς
ἕνα ἀλλὰ καὶ πολλοὺς ἅμα πρὸς ἴσους συνέβαλεν.

10 ἐγένοντο δὲ μετὰ ταῦτα καὶ δικανικοὶ ἀγῶνες, ἐξ ὧν καὶ αὐτῶν
συχνοὶ καὶ ἔφυγον καὶ ἀπέθανον. καὶ ὁ Σενέκας δὲ αἰτίαν ἔσχε,
καὶ ἐνεκλήθη ἄλλα τ' ἄττα καὶ ὅτι τῇ Ἀγριππίνῃ συνεγίγνετο· "οὐ
γὰρ ἀπέχρησεν αὐτῷ τὴν Ἰουλίαν μοιχεῦσαι, οὐδὲ βελτίων ἐκ τῆς
φυγῆς ἐγένετο, ἀλλὰ καὶ τῇ Ἀγριππίνῃ τοιαύτῃ τε οὔσῃ καὶ τοιοῦ-
2 τον υἱὸν ἐχούσῃ ἐπλησίαζεν." οὐ μόνον δὲ ἐν τούτῳ ἀλλὰ καὶ ἐν
ἄλλοις πάντα τὰ ἐναντιώτατα οἷς ἐφιλοσόφει ποιῶν ἠλέγχθη. καὶ
γὰρ τυραννίδος κατηγορῶν τυραννοδιδάσκαλος ἐγίνετο, καὶ τῶν συν-
όντων τοῖς δυνάσταις κατατρέχων οὐκ ἀφίστατο τοῦ παλατίου, τούς
τε κολακεύοντάς τινα διαβάλλων αὐτὸς οὕτω τὴν Μεσσαλῖναν καὶ
τοὺς Κλαυδίου ἐξελευθέρους ἐθώπευεν "ὥστε καὶ βιβλίον σφίσιν ἐκ
τῆς νήσου πέμψαι ἐπαίνους αὐτῶν ἔχον, ὃ μετὰ ταῦτα ὑπ' αἰσχύ-

9 2 5 ἄλλαις] ἄλλως 4 4 ἤδη 5 3 κτήνη " " V p. 685

Digitized by Google

νης ἀπήλειψεν.“ τοῖς τε πλουτοῦσιν ἐγκαλῶν οὐσίαν ἑπτακισχιλίων 3
καὶ πεντακοσίων μυριάδων ἐκτήσατο, καὶ τὰς πολυτελείας τῶν ἄλ-
λων αἰτιώμενος πεντακοσίους τρίποδας κιτρίνου ξύλου ἐλεφαντόπο-
δας ἴσους καὶ ὁμοίους εἶχε, καὶ ἐπ' αὐτῶν εἱστία. τοῦτο γὰρ εἰπὼν
καὶ τἆλλα τὰ ἀκόλουθα αὐτῷ δεδήλωκα, τὰς ἀσελγείας, ἃς πράτ-
των γάμον τε ἐπιφανέστατον ἔγημε καὶ μειρακίοις ἐξώροις ἔχαιρε, 4
καὶ τοῦτο καὶ τὸν Νέρωνα ποιεῖν ἐδίδαξε, καίπερ τοσαύτῃ πρόσθεν
αὐστηρότητι τῶν τρόπων χρώμενος ὥστε καὶ αἰτήσασθαι παρ' αὐ-
τοῦ μήτε φιλεῖν αὐτὸν μήτε συσσιτεῖν αὐτῷ. "καὶ τούτου μὲν καὶ 5
πρόφασίν τινα ἔσχεν, ἵνα δὴ καὶ φιλοσοφεῖν ἐπὶ σχολῆς δύνηται,
μηδὲν ὑπὸ τῶν δείπνων αὐτοῦ ἐμποδιζόμενος, τὸ δὲ δὴ τοῦ φιλή-
ματος οὐκ ἔχω συννοῆσαι διότι ἐξέστη· ὃ γάρ τοι καὶ μόνον ἄν τις
ὑποπτεύσειεν, ὅτι οὐκ ἤθελε τοιοῦτο στόμα φιλεῖν, ἐλέγχεται ἐκ τῶν
παιδικῶν αὐτοῦ ψεῦδος ὄν. ἔκ τε οὖν τούτων καὶ ἐκ τῆς μοιχείας 6
ἐγκληθείς τινα τότε μὲν αὐτός τε μηδὲ κατηγορηθεὶς ἀφείθη καὶ
τὸν Πάλλαντα τόν τε Βοῦρρον ἐξῃτήσατο, ὕστερον δὲ οὐ καλῶς
ἀπήλλαξεν. V p. 686.

"ὅτι ὁ Νέρων, οἷα ἀληθὲς μὲν μηδὲν παρὰ μηδενὸς ἀκούων, 11
πάντας δὲ ἐπαινοῦντας τὰ πεπραγμένα ὁρῶν, λανθάνειν τε ἐφ' οἷς
ἐδεδράκει ἢ καὶ ὀρθῶς αὐτὰ πεποιηκέναι ἐνόμισεν, κἀκ τούτου πολὺ
χείρων καὶ ἐς τὰ ἄλλα ἐγένετο. πάντα τε γὰρ ὅσα ἐξῆν αὐτῷ ποι-
εῖν, καὶ καλὰ ἡγεῖτο εἶναι, καὶ τοῖς φόβῳ τι ἢ κολακείᾳ αὐτῷ λέ-
γουσιν ὡς καὶ πάνυ ἀληθεύουσι προσεῖχεν. τέως μὲν γὰρ φόβοις
καὶ θορύβοις συνείχετο· ἐπεὶ δ' οἱ πρέσβεις πολλὰ καὶ κεχαρισμένα
αὐτῷ εἶπον, ἀνεθάρσησεν. ib.

ἦν δέ τις Μάρκος Σάλβιος Ὄθων, ὃς οὕτως ἔκ τε τῆς ὁμοιό- 2 a. C.
τητος τῶν τρόπων καὶ τῆς κοινωνίας τῶν ἁμαρτημάτων τῷ Νέρωνι 58
ᾠκείωτο ὥστε καὶ εἰπών ποτε πρὸς αὐτὸν "οὕτω με Καίσαρα ἴδοις"
οὐδὲν διὰ τοῦτο κακὸν ἔπαθεν, ἀλλὰ τοσοῦτον μόνον ἀντήκουσεν
ὅτι οὐδὲ ὕπατόν σε ὄψομαι. τούτῳ τὴν Σαβῖναν, ἐξ εὐπατρι-
δῶν οὖσαν, ἀπὸ τοῦ ἀνδρὸς ἀποσπάσας ἔδωκε, καὶ αὐτῇ ἀμφότε-
ροι ἅμα ἐχρῶντο. φοβηθεῖσα οὖν ἡ Ἀγριππῖνα μὴ γήμηται τῷ 3
Νέρωνι (δεινῶς γὰρ ἤδη αὐτῆς ἐρᾶν ἤρξατο), ἔργον ἀνοσιώτατον
ἐτόλμησεν· ὥσπερ γὰρ οὐχ ἱκανὸν ὂν ἐς μυθολογίαν ὅτι τὸν θεῖον
τὸν Κλαύδιον ἐς ἔρωτα αὐτῆς ταῖς τε γοητείαις καὶ ταῖς ἀκολα-
σίαις καὶ τῶν βλεμμάτων καὶ τῶν φιλημάτων ὑπηγάγετο, ἐπεχεί-
ρησε καὶ τὸν Νέρωνα ὁμοίως καταδουλώσασθαι. ἀλλ' ἐκεῖνο μὲν 4
εἴτ' ἀληθῶς ἐγένετο εἴτε πρὸς τὸν τρόπον αὐτῶν ἐπλάσθη οὐκ

3 3 κεδρίνου  5 2 ἤδη  6 2 τε om*  11 1 7 καὶ ante κέχ. om*  3 3 ὂν om*

οἶδα· ἃ δὲ δὴ πρὸς πάντων ὡμολόγηται λέγω, ὅτι ἑταίραν τινὰ τῇ
Ἀγριππίνῃ ὁμοίαν ὁ Νέρων δι᾽ αὐτὸ τοῦτο ἐς τὰ μάλιστα ἠγάπησε,
καὶ αὐτῇ τε ἐκείνῃ προσπαίζων καὶ τοῖς ἄλλοις ἐνδεικνύμενος ἔλε-
12 γεν ὅτι καὶ τῇ μητρὶ ὁμιλοίη. μαθοῦσα δὲ ταῦθ᾽ ἡ Σαβῖνα ἀνέ-
a.C. 59 πεισε τὸν Νέρωνα ὡς καὶ ἐπιβουλεύουσάν οἱ αὐτὴν διολέσαι. καὶ
αὐτὸν καὶ ὁ Σενέκας, ὡς πολλοῖς καὶ ἀξιοπίστοις ἀνδράσιν εἴρηται,
παρώξυνεν, εἴτ᾽ οὖν τὸ ἔγκλημα τὸ καθ᾽ ἑαυτοῦ ἐπηλυγάσασθαι
βουληθείς, εἴτε καὶ τὸν Νέρωνα ἐς μιαιφονίαν ἀνόσιον προαγαγεῖν
ἐθελήσας, ἵν᾽ ὡς τάχιστα καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων ἀπό-
2 ληται. ἐπεὶ δὲ καὶ ἐκ τοῦ προφανοῦς ὤκνουν τὸ ἔργον καὶ κρύφα
διὰ φαρμάκων οὐκ εἶχον αὐτὴν ἀνελεῖν (πάντα γὰρ ἐκείνη ἰσχυρῶς
ἐφυλάσσετο), ναῦν ἰδόντες ἐν τῷ θεάτρῳ διαλυομένην τε αὐτὴν ἐφ᾽
ἑαυτῆς καί τινα θηρία ἀφιεῖσαν, καὶ συνισταμένην αὖ πάλιν ὥστε
3 καὶ ἐρρῶσθαι, τοιαύτην ἑτέραν ταχέως ἐναυπηγήσαντο. ὡς δὲ ἥ
τε ναῦς ἐγεγόνει καὶ ἡ Ἀγριππῖνα ἐτεθεράπευτο (πάντα γὰρ τρόπον
ἐκολάκευεν αὐτήν, ἵνα μή τι ὑποτοπήσασα φυλάξηται), ἐν μὲν τῇ
Ῥώμῃ οὐδὲν ἐτόλμησε ποιῆσαι, μὴ καὶ ἐκδημοσιευθῇ τὸ μίασμα,
πόρρω δὲ ἐς τὴν Καμπανίαν ἀπάρας καὶ παραλαβὼν τὴν μητέρα
ἔπλευσεν ἐπ᾽ αὐτῆς ἐκείνης τῆς νεὼς λαμπρότατα κεκοσμημένης, ὡς
13 καὶ ἐπιθυμίαν αὐτῇ ἐμβαλεῖν ἀεί ποτε τῇ νηὶ χρῆσθαι. ἐλθών τε
εἰς Βαύλους δεῖπνά τε πολυτελέστατα ἐπὶ πολλὰς ἡμέρας ἐποίησε
καὶ τὴν μητέρα ἐν αὐτοῖς φιλοφρόνως εἱστίασεν, ἀποῦσάν τε πάνυ
ποθεῖν ἐπλάττετο καὶ παροῦσαν ὑπερησπάζετο, αἰτεῖν τε ἐκέλευεν
2 ὅ τι βούλοιτο, καὶ μὴ αἰτούσῃ πολλὰ ἐχαρίζετο. ἐπεὶ δὲ ἐνταῦθ᾽,
οὕτω δὴ ἀπὸ τοῦ δείπνου περὶ μέσας νύκτας περιλαμβάνει τε αὐ-
τήν, καὶ πρὸς τὸ στέρνον προσαγαγών, καὶ φιλήσας καὶ τὰ ὄμματα
καὶ τὰς χεῖρας, “μῆτέρ” τε εἰπών, “ἔρρωσό μοι καὶ ὑγίαινε· ἐν γὰρ
σοὶ καὶ ἐγὼ ζῶ καὶ διὰ σὲ βασιλεύω”, παρέδωκεν αὐτὴν Ἀνικήτῳ
ἀπελευθέρῳ ὡς καὶ κομιοῦντι οἴκαδε ἐπὶ τοῦ πλοίου οὗ κατεσκευά-
3 κει. ἀλλ᾽ οὐ γὰρ ἤνεγκεν ἡ θάλασσα τὴν μέλλουσαν ἐπ᾽ αὐτῇ τρα-
γῳδίαν ἔσεσθαι, οὐδ᾽ ὑπέμεινε τὴν ψευδολογίαν τῆς ἀνοσιουργίας
ἀναδέξασθαι, διελύθη μὲν ἡ ναῦς καὶ ἡ Ἀγριππῖνα ἐς τὸ ὕδωρ
ἐξέπεσεν, οὐ μέντοι καὶ ἀπέθανεν, ἀλλὰ καίτοι καὶ ἐν σκότῳ καὶ
διακορὴς μέθης οὖσα, τῶν τε ναυτῶν ταῖς κώπαις ἐπ᾽ αὐτὴν χρω-
μένων ὥστε καὶ Ἀκερωνίαν Πῶλαν τὴν σύμπλουν αὐτῆς ἀποκτεῖναι,
4 διεσώθη. καὶ ἐλθοῦσα οἴκαδε οὔτε προσεποιήσατο οὔτ᾽ ἐξέφηνε τὸ
ἐπιβούλευμα, ἀλλὰ καὶ πρὸς τὸν υἱὸν ἔπεμψε κατὰ τάχος, καὶ τό
τε συμβεβηκὸς αὐτῇ ὡς κατὰ τύχην συμπεπτωκὸς ἔλεγε, καὶ ὅτι

12 1 5 προσαγαγεῖν* 3 4 ἐκδημοσιευθῆναι 13 3 6 πώλλαν*

Digitized by Google

*σώζοιτο εὐηγγελίκει δῆθεν αὐτῷ. ἀκούσας δὲ ταῦθ' ὁ Νέρων οὐκ
ἐκαρτέρησεν, ἀλλὰ καὶ τὸν πεμφθέντα ὡς ἐπὶ τῇ αὐτοῦ σφαγῇ
ἥκοντα ἐκόλασε, καὶ ἐπὶ τὴν μητέρα τὸν Ἀνίκητον εὐθὺς μετὰ τῶν
ναυτῶν ἀπέστειλεν· τοῖς γὰρ δορυφόροις οὐκ ἐπίστευσε τὸν θάνα-* 5
*τον αὐτῆς. ἰδοῦσα δέ σφας ἐκείνη ἔγνω τε ἐφ' ἃ ἥκουσιν, καὶ
ἀναπηδήσασα ἐκ τῆς κοίτης τήν τε ἐσθῆτα περιερρήξατο, καὶ τὴν
γαστέρα ἀπογυμνώσασα "παῖε ταύτην" ἔφη, "Ἀνίκητε, παῖε, ὅτι
Νέρωνα ἔτεκεν."*

*οὕτω μὲν ἡ Ἀγριππῖνα ἡ τοῦ Γερμανικοῦ θυγάτηρ, ἡ τοῦ* 14
*Ἀγρίππου ἔγγονος, ἡ τοῦ Αὐγούστου ἀπόγονος, ὑπ' αὐτοῦ τοῦ
υἱέος, ᾧ τὸ κράτος ἐδεδώκει, δι' ὃν ἄλλους τε καὶ τὸν θεῖον ἀπε-
κτόνει, κατεσφάγη. μαθὼν δὲ ὁ Νέρων ὅτι τέθνηκεν, οὐκ ἐπίστευ-* 2
*σεν· ὑπὸ γὰρ τοῦ μεγέθους τοῦ τολμήματος ἀπιστία αὐτῷ ὑπεχύθη·
καὶ διὰ τοῦτο αὐτόπτης ἐπεθύμησε τοῦ πάθους γενέσθαι. καὶ αὐ-
τήν τε πᾶσαν εἶδε γυμνώσας καὶ τὰ τραύματα αὐτῆς ἐπεσκέψατο,
καὶ τέλος πολὺ καὶ τοῦ φόνου ἀνοσιώτερον ἔπος ἐφθέγξατο· εἶπε
γὰρ ὅτι οὐκ ᾔδειν ὅτι οὕτω καλὴν μητέρα εἶχον. καὶ τοῖς τε δο-* 3
*ρυφόροις ἀργύριον ἔδωκεν, ἵνα δῆλον ὅτι πολλὰ τοιαῦτα γίνεσθαι
εὔχωνται, καὶ τῇ γερουσίᾳ ἐπέστειλεν, ἄλλα τε ὅσα συνῄδει αὐτῇ
καταριθμῶν, καὶ ὅτι ἐπεβούλευσέ τε αὐτῷ καὶ φωραθεῖσα ἑαυτὴν
διεχρήσατο. καὶ τῇ μὲν βουλῇ ταῦτα ἐπέστειλεν, αὐτὸς δὲ ταῖς τε* 4
*νυξὶν ἐξεταράττετο ὥστε καὶ ἐκ τῆς εὐνῆς ἐξαπιναίως ἀναπηδᾶν,
καὶ μεθ' ἡμέραν ὑπὸ σαλπίγγων δή τινῶν πολεμικόν τι καὶ θορυ-
βῶδες ἐκ τοῦ χωρίου ἐν ᾧ τὰ τῆς Ἀγριππίνης ὀστᾶ ἔκειτο ἠχου-
σῶν ἐδειματοῦτο. διὸ καὶ ἄλλοσε ᾔει, καὶ ἐπειδὴ κἀνταῦθα τὰ
αὐτὰ αὐτῷ συνέβαινεν, ἄλλοσε ἐμπλήκτως μεθίστατο.*

*οἱ δὲ ἐν τῇ Ῥώμῃ ἄνθρωποι ἀκούσαντες ταῦτα, καίπερ ἀχθό-* 15
*μενοι, ἔχαιρον νομίζοντες αὐτὸν ἐκ τούτου γε πάντως ἀπολεῖσθαι.
τῶν δὲ βουλευτῶν οἱ μὲν ἄλλοι πάντες προσεποιοῦντο χαίρειν ἐπὶ
τοῖς γεγονόσι, καὶ συνήδοντο δῆθεν τῷ Νέρωνι, καὶ ἐψηφίζοντο
πολλὰ οἷς ᾤοντο αὐτῷ χαριεῖσθαι· ὁ Πούπλιος δὲ δὴ Θρασέας* 2
*Παῖτος ἦλθε μὲν ἐς τὸ συνέδριον καὶ τῆς ἐπιστολῆς ἐπήκουσεν,
ἀναγνωσθείσης δὲ αὐτῆς ἐξανέστη τε εὐθὺς πρὶν καὶ ὁτιοῦν ἀπο-
φήνασθαι καὶ ἐξῆλθε, διότι ἃ μὲν ἤθελεν εἰπεῖν οὐκ ἐδύνατο, ἃ
δὲ ἐδύνατο οὐκ ἤθελεν. ἐν δὲ τῷ αὐτῷ τρόπῳ καὶ τὰ ἄλλα πάντα* 3
*διῆγεν· ἔλεγε γὰρ ὅτι εἰ μὲν ἐμὲ μόνον ὁ Νέρων φονεύσειν ἔμελλε,
πολλὴν ἂν εἶχον τοῖς ἄλλοις ὑπερκολακεύουσιν αὐτὸν συγγνώμην·
εἰ δὲ καὶ ἐκείνων τῶν σφόδρα αὐτὸν ἐπαινούντων πολλοὺς τοὺς μὲν*

5 5 τέτοκεν M p. 210    15 2 ὁ om? *

Digitized by Google

ἀνάλωκε τοὺς δὲ καὶ ἀπολέσει, τί χρὴ μάτην ἀσχημονοῦντα δουλο-
πρεπῶς φθαρῆναι, ἐξὸν ἐλευθερίως ἀποδοῦναι τῇ φύσει τὸ ὀφειλό-
4 μενον; ἐμοῦ μὲν γὰρ πέρι καὶ ἔπειτα λόγος τις ἔσται, τούτων δέ,
πλὴν κατ᾽ αὐτὸ τοῦτο ὅτι ἐσφάγησαν, οὐδείς. τοιοῦτος μὲν ὁ
Θρασέας ἐγένετο, καὶ τοῦτο ἀεὶ πρὸς ἑαυτὸν ἔλεγεν ὅτι ἐμὲ Νέρων
16 ἀποκτεῖναι μὲν δύναται, βλάψαι δὲ οὔ. Νέρωνα δὲ μετὰ τὸν τῆς
μητρὸς φόνον ἐσιόντα ἐς τὴν Ῥώμην δημοσίᾳ μὲν ἐθεράπευον,
ἰδίᾳ δέ, ἐν ᾧ γε καὶ παρρησιάσασθαί τινες ἀσφαλῶς ἐδύναντο, καὶ
μάλα αὐτὸν ἐσπάραττον. τοῦτο μὲν γὰρ μολγόν τέ τινα ἀπ᾽ ἀν-
δριάντος αὐτοῦ νύκτωρ ἀπεκρέμασαν, ἐνδεικνύμενοι ὅτι ἐς ἐκεῖνον
2 αὐτὸν δέοι ἐμβεβλῆσθαι· τοῦτο δὲ παιδίον ἐς τὴν ἀγορὰν ῥίψαντες
προσέδησαν αὐτῷ πινάκιον λέγον "οὐκ ἀναιροῦμαί σε, ἵνα μὴ τὴν
μητέρα ἀποσφάξῃς." καὶ ἦν μὲν καὶ ἀναγινώσκειν πολλαχόθι ὁμοίως
γεγραμμένον "Νέρων Ὀρέστης Ἀλκμαίων μητροκτόνοι", ἦν δὲ καὶ
ἀκούειν αὐτὸ τοῦτο λεγόντων ὅτι Νέρων τὴν μητέρα ἀνεχρήσατο·
3 συχνοὶ γὰρ ὡς καὶ λελαληκότας τινὰς αὐτὸ εἰσήγγελον, οὐχ οὕτως
ἵν᾽ ἐκείνους ἀπολέσωσιν, ὡς ἵνα τὸν Νέρωνα διαβάλωσιν. ὅθεν
οὐδεμίαν τοιαύτην δίκην προσήκατο, ἤτοι μὴ βουλόμενος ἐπὶ πλεῖον
δι᾽ αὐτῆς τὴν φήμην ἐπαυξῆσαι, ἢ καὶ καταφρονῶν ἤδη τῶν λεγο-
4 μένων. ὁ μέντοι ἥλιος σύμπας ἐν μέσαις ταῖς θυσίαις ταῖς ἐπὶ τῇ
Ἀγριππίνῃ κατὰ τὸ ψήφισμα γενομέναις ἐξέλιπεν, ὥστε καὶ ἀστέ-
ρας ἐκφῆναι· καὶ οἱ ἐλέφαντες οἱ τὴν τοῦ Αὐγούστου ἁρμάμαξαν
ἄγοντες ἐς μὲν τὸν ἱππόδρομον ἐσῆλθον καὶ μέχρι τῆς τῶν βου-
λευτῶν ἕδρας ἀφίκοντο, γενόμενοι δὲ ἐνταῦθα ἔστησαν καὶ περαι-
5 τέρω οὐ προεχώρησαν. καὶ ὃ δὴ καὶ μάλιστα ἄν τις ἐτεκμήρατο
ἐκ τοῦ δαιμονίου γεγονέναι, σκηπτός ποτε τὸ δεῖπνον αὐτοῦ πᾶν
ἐσφερόμενόν οἱ κατέφλεξεν, ὥσπερ τις ἅρπυια τὰ σιτία αὐτοῦ ἀφε-
λόμενος.

17 ὅτι καὶ τὴν Δομιτίαν τὴν τηθίδα, "ἣν καὶ αὐτὴν ὡς μητέρα
τιμᾶν ἔλεγεν, ἐπαπέκτεινε φαρμάκῳ, οὐδ᾽ ἀνέμεινεν ὀλίγας ἡμέρας
ἵν᾽ ἄλλως ὑπὸ τοῦ γήρως ἀποθάνῃ, ἀλλ᾽ ἐπεθύμησε καὶ ἐκείνην
2 ἀπολέσαι. καὶ ἔσπευσέ γε τοῦτο ποιῆσαι διὰ τὰ κτήματα αὐτῆς
τὰ ἐν Βαΐαις καὶ ἐν τῇ Ῥαβεννίδι ὄντα, ἐν οἷς καὶ ἡβητήρια εὐθὺς
μεγαλοπρεπῆ κατεσκεύασεν", ἃ καὶ δεῦρο ἀνθεῖ. ἐπὶ δὲ δὴ τῇ μη-
τρὶ καὶ ἑορτὴν μεγίστην δὴ καὶ πολυτελεστάτην ἐποίησεν, ὥστε ἐν
πέντε καὶ ἓξ ἅμα θεάτροις ἐπὶ πολλὰς ἡμέρας πανηγυρίσαι, ὅτε δὴ

16 2 3 ὅτι εἰσιόντος Νέρωνος εἰς τὴν Ῥώμην τοὺς τῆς Ἀγριππίνης ἀνδριάντας καθεῖλον, μὴ φθάσαντες δὲ ἕνα ἀποτεμεῖν ῥάκος αὐτῷ ἐπέβαλον ὥστε δοκεῖν ἐγκαλύπτεσθαι, καί τις παραχρῆμα ἐπιγράψας προσέπηξε τῷ ἀνδριάντι "ἐγὼ αἰσχύνομαι καὶ σὺ οὐκ αἰδῇ." M p. 210 17 " " V p. 686
2 2 Ῥαβ. θαλάσσῃ ὄντα Xiphilinus

Digitized by Google

καὶ ἐλέφας ἀνήχθη ἐς τὴν ἀνωτάτω τοῦ θεάτρου ἁψῖδα, καὶ ἐκεῖθεν ἐπὶ σχοινίων κατέδραμεν ἀναβάτην φέρων. ἐκεῖνο δὲ ἴξαι καὶ 3
αἴσχιστον καὶ δεινότατον ἅμα ἐγένετο, ὅτι καὶ ἄνδρες καὶ γυναῖκες οὐχ ὅπως τοῦ ἱππικοῦ ἀλλὰ καὶ τοῦ βουλευτικοῦ ἀξιώματος ἐς τὴν ὀρχήστραν καὶ ἐς τὸν ἱππόδρομον τό τε θέατρον τὸ κυνηγετικὸν εἰσῆλθον ὥσπερ οἱ ἀτιμότατοι, καὶ ηὔλησάν τινες αὐτῶν καὶ ὠρχήσαντο τραγῳδίας τε καὶ κωμῳδίας ὑπεκρίναντο καὶ ἐκιθαρῴδησαν, ἵππους τε ἤλασαν καὶ θηρία ἀπέκτειναν καὶ ἐμονομάχησαν, οἱ μὲν ἐθελονταὶ οἱ δὲ καὶ πάνυ ἄκοντες. καὶ εἶδον οἱ τότε ἄν- 4
θρωποι τὰ γένη τὰ μεγάλα, τοὺς Φουρίους τοὺς Φαβίους τοὺς Πορκίους τοὺς Οὐαλερίους, τἆλλα πάντα ὧν τὰ τρόπαια ὧν οἱ ναοὶ ἑωρῶντο, κάτω τε ἑστηκότας καὶ τοιαῦτα δρῶντας ὧν ἔνια οὐδ' ὑπ' ἄλλων γινόμενα ἐθεώρουν. καὶ ἐδακτυλοδείκτουν γε αὐτοὺς ἀλλήλοις, καὶ ἐπέλεγον Μακεδόνες μὲν "οὗτός ἐστιν ὁ τοῦ Παύλου 5
ἔκγονος", Ἕλληνες δὲ "οὗτος τοῦ Μομμίου", Σικελιῶται "ἴδετε τὸν Κλαύδιον", Ἠπειρῶται "ἴδετε τὸν Ἄππιον", Ἀσιανοὶ τὸν Λούκιον, Ἴβηρες τὸν Πούπλιον, Καρχηδόνιοι Ἀφρικανόν, Ῥωμαῖοι δὲ πάντας. τοιαῦτα γάρ που προτέλεια τῆς αὑτοῦ ἀσχημοσύνης ποιῆσαι ἠθέλησεν.

ὠλοφύροντο δὲ πάντες οἱ νοῦν ἔχοντες καὶ ἐπὶ τῷ πλήθει τῶν 18
ἀναλισκομένων. πάντα μὲν γὰρ τὰ πολυτελέστατα ἃ ἄνθρωποι ἐσθίουσι, πάντα δὲ καὶ τὰ ἄλλα τὰ τιμιώτατα, ἵππους ἀνδράποδα ζεύγη χρυσίον ἀργύριον ἐσθῆτα ποικίλην, ἐδίδου διὰ συμβόλων· σφαιρία γὰρ μικρά, γεγραμμένα ὡς ἕκαστα αὐτῶν ἔχοντα, ἐς τὸν 2
ὅμιλον ἐρρίπτει, καὶ ἐδίδοτο ὅ τι τις δι' ἐκείνων ἥρπασεν. ἐνενόουν γὰρ ὅτι, ὁπότε τοσαῦτα ἀνήλισκεν ἵνα ἀσχημονήσῃ, οὐδενὸς τῶν ἀτοπωτάτων ἀφέξεται ἵνα τι κερδάνῃ. τεράτων δὲ τινῶν γεγονότων τότε οἱ μάντεις ὄλεθρον αὐτῷ ταῦτα φέρειν εἶπον, καὶ συνεβούλευσαν ἐς ἑτέρους τὸ δεινὸν ἀποτρέψασθαι. κἂν συχνοὺς εὐ- 3
θὺς κατεχρήσατο, εἰ μὴ ὁ Σενέκας ἔφη αὐτῷ ὅτι ὅσους ἂν ἀποσφάξῃς, οὐ δύνασαι τὸν διάδοχόν σου ἀποκτεῖναι.

τότε μὲν δὴ τοσαῦτα σωτήρια, ὡς δὴ ἔλεγεν, ἑώρτασε, καὶ τὴν
ἀγορὰν τῶν ὄψων, τὸ μάκελλον ὠνομασμένον, καθιέρωσεν· μετὰ δὲ 19
ταῦτα ἕτερον αὖ εἶδος ἑορτῆς ἤγαγεν, ἐπεκλήθη δὲ Ιουβενάλια ὥσπερ τινὰ νεανισκεύματα, καὶ ἐτελέσθη ἐπὶ τῷ γενείῳ αὐτοῦ. καὶ γὰρ τοῦτο τότε πρῶτον ἐξύρατο, καὶ τάς γε τρίχας ἐς σφαιρίον τι χρυσοῦν ἐμβαλὼν ἀνέθηκε τῷ Διὶ τῷ Καπιτωλίνῳ· καὶ ἐς τὴν ἑορτὴν οἵ τε ἄλλοι καὶ οἱ εὐγενέστατοι πάντως τι ἐπεδείξαντο.

4 5 ὑπὸ δούλων?

2 *τεκμήριον δέ, Αἰλία Κατέλλα τοῦτο μὲν γένει καὶ πλούτῳ προ-
ήκουσα, τοῦτο δὲ καὶ ἡλικίᾳ προφέρουσα (ὀγδοηκοντοῦτις γὰρ ἦν)
ὠρχήσατο, οἵ τε λοιποὶ οἱ διὰ γῆρας ἢ νόσον ἰδίᾳ μηδὲν ποιῆσαι
δυνάμενοι ἐχορῴδησαν. ἤσκουν μὲν γὰρ πάντες ὅ τι τις καὶ ὁπω-
σοῦν οἷός τε ἦν, καὶ ἐς διδασκαλεῖα ἀποδεδειγμένα συνεφοίτων οἱ
3 λογιμώτατοι, ἄνδρες γυναῖκες, κόραι μειράκια, γραῖαι γέροντες· εἰ
δέ τις μὴ ἐδύνατο ἐν ἑτέρῳ τῳ θέαν παρασχεῖν, ἐς τοὺς χοροὺς
κατεχωρίζετο. καὶ ἐπειδή γέ τινες αὐτῶν προσωπεῖα ὑπ' αἰσχύνης,
ἵνα μὴ γνωρίζωνται, περιέθεντο, περιεῖλεν αὐτὰ τοῦ δήμου δῆθεν
ἀξιώσαντος, καὶ ἐπέδειξε καὶ τοῖς ὀλίγον ἔμπροσθεν ὑπ' αὐτῶν ἀρ-
4 χθεῖσιν ἀνθρώποις. καὶ τότε δὴ μάλιστα καὶ ἐκεῖνοι καὶ οἱ ἄλλοι
τοὺς τεθνηκότας ἐμακάριζον· πολλοὶ γὰρ ἄνδρες τῶν πρώτων ἐν
τῷ ἔτει τούτῳ ἐτελεύτησαν, ὧν ἐνίους καὶ τῷ Νέρωνι ἐπιβουλεύειν
αἰτιαθέντας οἱ στρατιῶται περιστάντες ἐλιθοβόλησαν.*

20 *καὶ ἔδει γὰρ καὶ τὸν κολοφῶνα ἄξιον τῶν πραττομένων ἐπε-
νεχθῆναι, παρῆλθέ τε καὶ αὐτὸς ὁ Νέρων ἐς τὸ θέατρον, ὀνομαστὶ
πρὸς τοῦ Γαλλίωνος ἐσκηρυχθείς, καὶ ἔστη τε ἐπὶ τῆς σκηνῆς ὁ
Καῖσαρ τὴν κιθαρῳδικὴν σκευὴν ἐνδεδυκώς, καὶ "κύριοί μου, εὐμε-
2 νῶς μου ἀκούσατε" εἶπεν ὁ αὐτοκράτωρ, ἐκιθαρῴδησέ τε Ἄττιν
τινὰ ἢ Βάκχας ὁ Αὔγουστος, πολλῶν μὲν στρατιωτῶν παρεστηκό-
των, παντὸς δὲ τοῦ δήμου, ὅσον αἱ ἕδραι ἐχώρησαν, καθημένου,
καίτοι καὶ βραχὺ καὶ μέλαν, ὥς γε παραδέδοται, φώνημα ἔχων,
3 ὥστε καὶ γέλωτα ἅμα καὶ δάκρυα πᾶσι κινῆσαι. καὶ αὐτῷ καὶ ὁ
Βοῦρρος καὶ ὁ Σενέκας, καθάπερ τινὲς διδάσκαλοι, ὑποβάλλοντές
τι παρειστήκεσαν, καὶ αὐτοὶ τάς τε χεῖρας καὶ τὰ ἱμάτια, ὁπότε
φθέγξαιτό τι, ἀνέσειον, καὶ τοὺς ἄλλους προσεπεσπῶντο. ἦν μὲν
γάρ τι καὶ ἴδιον αὐτῷ σύστημα ἐς πεντακισχιλίους στρατιώτας πα-
4 ρεσκευασμένον, αὐγούστειοί τε ὠνομάζοντο καὶ ἐξῆρχον τῶν ἐπαί-
νων· ἠναγκάζοντο δέ σφισι καὶ οἱ ἄλλοι πάντες καὶ ἄκοντες, πλὴν
τοῦ Θρασέα, ἐκβοᾶν. οὗτος μὲν γὰρ οὐδέποτε αὐτῷ συγκαθῆκεν,
οἱ δὲ δὴ ἄλλοι, καὶ μάλισθ' οἱ ἐπιφανεῖς, σπουδῇ καὶ ὀδυρόμενοι
συνελέγοντο, καὶ πάνθ' ὅσα περ οἱ αὐγούστειοι, ὡς καὶ χαίροντες,
5 συνεβόων· καὶ ἦν ἀκούειν πως αὐτῶν λεγόντων "ὁ καλὸς Καῖσαρ,
ὁ Ἀπόλλων, ὁ Αὔγουστος, εἷς ὡς Πύθιος. μά σε Καῖσαρ, οὐδείς
σε νικᾷ." ποιήσας δὲ ταῦτα ἐδείπνισε τὸν δῆμον ἐπὶ πλοίων ἐν τῷ
χωρίῳ ἐν ᾧ ἡ ναυμαχία ὑπὸ τοῦ Αὐγούστου ἐγεγόνει· καὶ ἐξ αὐ-
τοῦ νυκτὸς μεσούσης ἐς τὸν Τίβεριν διὰ τάφρου κατέπλευσεν.*

21 *ταῦτα μὲν ἐπὶ τῷ τὸ γένειον ψιλισθῆναι ἔπραξεν· ὑπὲρ δὲ δὴ
a.C. 60 τῆς σωτηρίας τῆς τε διαμονῆς τοῦ κράτους αὐτοῦ (οὕτω γάρ που
προέγραψεν) ἀγῶνα πενταετηρικὸν κατεστήσατο, Νερώνεια αὐτὸν*

Digitized by Google

ὀνομάσας, καὶ ἐπ᾽ αὐτῷ καὶ τὸ γυμνάσιον ᾠκοδόμησεν, ἔλαιόν τε
ἐν τῇ καθιερώσει αὐτοῦ καὶ τοῖς βουλευταῖς καὶ τοῖς ἱππεῦσι προῖκα
ἔνειμεν. τὸν μέντοι στέφανον τὸν τῶν κιθαρῳδῶν ἀνικὶ ἔλαβε, πάν- 2
των ὡς καὶ ἀναξίων τῆς νίκης ἐκβληθέντων, "καὶ εὐθὺς ἐς αὐτὸ τὸ
γυμνάσιον ἐν τῇ στολῇ σφῶν ἐσεγράφη." κὰκ τούτου καὶ οἱ ἄλλοι
αὐτῷ στέφανοι οἱ τῆς κιθαρῳδίας ἐξ ἁπάντων τῶν ἀγώνων ὡς καὶ
μόνῳ ἀξιονίκῳ ἐπέμποντο.

ἐν ᾧ δὲ ταῦτα ἐν τῇ Ῥώμῃ ἐπαίζετο, πάθος ἐν τῇ Βρεττανίᾳ ΞΒ
δεινὸν συνηνέχθη· δύο τε γὰρ πόλεις ἐπορθήθησαν, καὶ μυριάδες a.C.
ὀκτὼ τῶν τε Ῥωμαίων καὶ τῶν συμμάχων αὐτῶν ἐφθάρησαν, ἥ τε 61
νῆσος ἠλλοτριώθη. καὶ ταῦτα μέντοι πάντα ὑπὸ γυναικὸς αὐτοῖς
συνηνέχθη, ὥστε καὶ κατὰ τοῦτο πλείστην αὐτοῖς αἰσχύνην συμβῆ-
ναι, ὥς που καὶ τὸ θεῖον τὴν συμφορὰν αὐτοῖς προεσήμανεν· ἔκ τε 2
γὰρ τοῦ βουλευτηρίου θροῦς νυκτὸς βαρβαρικὸς μετὰ γέλωτος καὶ
ἐκ τοῦ θεάτρου θόρυβος μετ᾽ οἰμωγῆς ἐξηκούετο, μηδενὸς ἀνθρώ-
πων μήτε φθεγγομένου μήτε στένοντος, οἰκίαι τέ τινες ἐν τῷ Τα-
μέσᾳ ποταμῷ ὕφυδροι ἑωρῶντο, καὶ ὁ ὠκεανὸς ὁ μεταξὺ τῆς τε
νήσου καὶ τῆς Γαλατίας αἱματιώδης ποτὲ ἐν τῇ πλημμυρίδι ηὐξήθη.
πρόφασις δὲ τοῦ πολέμου ἐγένετο ἡ δήμευσις τῶν χρημάτων ἃ 2
Κλαύδιος τοῖς πρώτοις αὐτῶν ἐδεδώκει· καὶ ἔδει καὶ ἐκεῖνα, ὥς γε
Δεκιανὸς Κάτος ὁ τῆς νήσου ἐπιτροπεύων ἔλεγεν, ἀναπόμπιμα γε-
νέσθαι. διά τε οὖν τοῦτο, καὶ ὅτι ὁ Σενέκας χιλίας σφίσι μυριά-
δας ἄκουσιν ἐπὶ χρησταῖς ἐλπίσι τόκων δανείσας ἔπειτ᾽ ἀθρόας τε
ἅμα αὐτὰς καὶ βιαίως εἰσέπρασσεν. ἡ δὲ μάλιστα αὐτοὺς ἐρεθί- 2
σασα καὶ ἐναντία Ῥωμαίων πολεμεῖν ἀναπείσασα, τῆς τε προστα-
τείας αὐτῶν ἀξιωθεῖσα καὶ τοῦ πολέμου παντὸς στρατηγήσασα,
Βουνδουῖκα ἦν, γυνὴ Βρεττανὶς γένους τοῦ βασιλείου, μεῖζον ἢ
κατὰ γυναῖκα φρόνημα ἔχουσα. αὕτη γὰρ συνήγαγέ τε τὸ στρά- 3
τευμα ἀμφὶ δώδεκα μυριάδας ὄν, καὶ ἀνέβη ἐπὶ βῆμα ἐκ γῆς ἐλώ-
δους ἐς τὸν Ῥωμαϊκὸν τρόπον πεποιημένον. ἦν δὲ καὶ τὸ σῶμα
μεγίστη καὶ τὸ εἶδος βλοσυρωτάτη τό τε βλέμμα δριμυτάτη, καὶ
τὸ φθέγμα τραχὺ εἶχε, τήν τε κόμην πλείστην τε καὶ ξανθοτάτην 4
οὖσαν μέχρι τῶν γλουτῶν καθεῖτο, καὶ στρεπτὸν μέγαν χρυσοῦν
ἐφόρει, χιτῶνά τε παμποίκιλον ἐνεκεκόλπωτο, καὶ χλαμύδα ἐπ᾽ αὐτῷ
παχεῖαν ἐπεπεπόρπητο. οὕτω μὲν ἀεὶ ἐνεσκευάζετο· τότε δὲ καὶ
λόγχην λαβοῦσα, ὥστε καὶ ἐκ τούτου πάντας ἐκπλήττειν, ἔλεξεν ὧδε.

"πέπεισθε μὲν τοῖς ἔργοις αὐτοῖς ὅσον ἐλευθερία τῆς δουλείας 3
διαφέρει, ὥστ᾽ εἰ καὶ πρότερόν τις ὑμῶν ὑπὸ τῆς τοῦ κρείττονος

" " V p. 689  1 1 5 σφίσιν?*  2 2 1 εἰσέπρασσεν, ἐπανέστησαν. ἤ?  4 3 ἐν  4 ἐνεπεπόρπητο*

ἀπειρίας ἐπαγωγοῖς ἐπαγγέλμασι τῶν Ῥωμαίων ἠπάτητο, ἀλλὰ νῦν
γε ἑκατέρου πεπειραμένοι μεμαθήκατε μὲν ὅσον ἡμαρτήκατε δεσπο-
τείαν ἐπισπαστὸν πρὸ τῆς πατρίου διαίτης προτιμήσαντες, ἐγνώκατε
2 δὲ ὅσῳ καὶ πενία ἀδέσποτος πλούτου δουλεύοντος προφέρει. τί
μὲν γὰρ οὐ τῶν αἰσχίστων, τί δ' οὐ τῶν ἀλγίστων, ἐξ οὗπερ ἐς
τὴν Βρεττανίαν οὗτοι παρέκυψαν, πεπόνθαμεν; οὐ τῶν μὲν πλεί-
στων καὶ μεγίστων κτημάτων ὅλων ἐστερήμεθα, τῶν δὲ λοιπῶν
3 τέλη καταβάλλομεν; οὐ πρὸς τῷ τἆλλα πάντα καὶ νέμειν καὶ γε-
ωργεῖν ἐκείνοις, καὶ τῶν σωμάτων αὐτῶν δασμὸν ἐτήσιον φέρομεν;
καὶ πόσῳ κρεῖττον ἦν ἅπαξ τισὶ πεπρᾶσθαι μᾶλλον ἢ μετὰ κενῶν
ἐλευθερίας ὀνομάτων κατ' ἔτος λυτροῦσθαι; πόσῳ δὲ ἐσφάχθαι
4 καὶ ἀπολωλέναι μᾶλλον ἢ κεφαλὰς ὑποτελεῖς περιφέρειν; καίτοι τί
τοῦτο εἶπον; οὐδὲ γὰρ τὸ τελευτῆσαι παρ' αὐτοῖς ἀζήμιον ἐστίν,
ἀλλ' ἴστε ὅσον καὶ ὑπὲρ τῶν νεκρῶν τελοῦμεν· παρὰ μὲν γὰρ τοῖς
ἄλλοις ἀνθρώποις καὶ τοὺς δουλεύοντάς τισιν ὁ θάνατος ἐλευθε-
ροῖ, Ῥωμαίοις δὲ δὴ μόνοις καὶ οἱ νεκροὶ ζῶσι πρὸς τὰ λήμματα.
5 τί δ' ὅτι, κἂν μὴ ἔχῃ τις ἡμῶν ἀργύριον (πῶς γὰρ ἢ πόθεν),
ἀποδυόμεθα καὶ σκυλευόμεθα ὥσπερ οἱ φονευόμενοι; τί δ' ἂν
προϊόντος τοῦ χρόνου μετριάσαιεν, οὕτως ἡμῖν κατὰ τὴν πρώτην
εὐθύς, ὅτε πάντες καὶ τὰ θηρία τὰ νεάλωτα θεραπεύουσι, προσ-
ενηνεγμένοι;

4 ἡμεῖς δὲ δὴ πάντων τῶν κακῶν τούτων αἴτιοι, ὥς γε τἀληθὲς
εἰπεῖν, γεγόναμεν, οἵ τινες αὐτοῖς ἐπιβῆναι τὴν ἀρχὴν τῆς νήσου
ἐπετρέψαμεν, καὶ οὐ παραχρῆμα αὐτούς, ὥσπερ καὶ τὸν Καίσαρα
τὸν Ἰούλιον ἐκεῖνον, ἐξηλάσαμεν· οἵ τινες οὐ πόρρωθέν σφισιν,
ὥσπερ καὶ τῷ Αὐγούστῳ καὶ τῷ Γαΐῳ τῷ Καλιγόλᾳ, φοβερὸν τὸ
2 πειρᾶσαι τὸν πλοῦν ἐποιήσαμεν. τοιγαροῦν νῆσον τηλικαύτην, μᾶλ-
λον δ' ἤπειρον τρόπον τινὰ περίρρυτον νεμόμενοι καὶ ἰδίαν οἰκου-
μένην ἔχοντες, καὶ τοσοῦτον ὑπὸ τοῦ ὠκεανοῦ ἀφ' ἁπάντων τῶν
ἄλλων ἀνθρώπων ἀφωρισμένοι ὥστε καὶ γῆν ἄλλην καὶ οὐρανὸν
ἄλλον οἰκεῖν πεπιστεῦσθαι, καί τινας αὐτῶν καὶ τοὺς σοφωτάτους
γε μηδὲ τὸ ὄνομα ἡμῶν ἀκριβῶς πρότερον ἐγνωκέναι, κατεφρονή-
θημεν καὶ κατεπατήθημεν ὑπ' ἀνθρώπων μηδὲν ἄλλο ἢ πλεονεκτεῖν
3 εἰδότων. ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν ἔτι, ὦ πολῖται καὶ φίλοι
καὶ συγγενεῖς (πάντας γὰρ ὑμᾶς συγγενεῖς, ἅτε καὶ μιᾶς νήσου
οἰκήτορας ὄντας καὶ ἓν ὄνομα κοινὸν κεκτημένους, νομίζω), τὰ
προσήκοντα πράξωμεν, ἕως ἔτι τῆς ἐλευθερίας μνημονεύομεν, ἵνα
καὶ τὸ πρόσρημα καὶ τὸ ἔργον αὐτῆς τοῖς παισὶ καταλίπωμεν. ἂν
γὰρ ἡμεῖς τῆς συντρόφου εὐδαιμονίας παντελῶς ἐκλαθώμεθα, τί
ποτε ἐκεῖνοι ποιήσουσιν ἐν δουλείᾳ τραφέντες;

Digitized by Google

λέγω δὲ ταῦτα οὐχ ἵνα μισήσητε τὰ παρόντα (μεμισήκατε γάρ), 5
οὐδ' ἵνα φοβηθῆτε τὰ μέλλοντα (πεφόβησθε γάρ), ἀλλ' ἵνα ἐπαι-
νέσω τε ὑμᾶς ὅτι καὶ καθ' ἑαυτοὺς πάνθ' ὅσα δεῖ προαιρεῖσθε,
καὶ χάριν ὑμῖν γνῶ ὅτι καὶ ἐμοὶ καὶ ἑαυτοῖς ἑτοίμως συναίρεσθε.
φοβεῖσθε δὲ μηδαμῶς τοὺς Ῥωμαίους· οὔτε γὰρ πλείους ἡμῶν εἰσὶν 2
οὔτ' ἀνδρειότεροι. τεκμήριον δὲ ὅτι καὶ κράνεσι καὶ θώραξι καὶ
κνημῖσιν ἐσκέπασθε καὶ προσέτι καὶ σταυρώμασι καὶ τείχεσι καὶ
τάφροις ἐσκεύασθε πρὸς τὸ μήτι πάσχειν ἐξ ἐπιδρομῆς τῶν πο-
λεμίων. τοῦτο γὰρ αἱροῦνται μᾶλλον ὑπὸ τῶν φόβων ἢ τὸ καὶ
δρᾶσαί τι προχείρως ὥσπερ ἡμεῖς. τοσαύτῃ γὰρ περιουσίᾳ ἀνδρίας 3
χρώμεθα ὥστε καὶ τὰς σκηνὰς ἀσφαλεστέρας τῶν τειχῶν καὶ τὰς
ἀσπίδας πολυαρκεστέρας τῆς ἐκείνων πανοπλίας νομίζειν. ἐξ οὗπερ
ἡμεῖς μὲν καὶ κρατοῦντες αἱροῦμεν αὐτοὺς καὶ βιασθέντες ἐκφεύ-
γομεν, κἂν ἄρα καὶ ἀναχωρῆσαί ποι προελώμεθα, ἐς τοιαῦτα ἕλη
καὶ ὄρη καταδυόμεθα ὥστε μήτε εὑρεθῆναι μήτε ληφθῆναι· ἐκεῖνοι 4
δὲ οὔτε διῶξαί τινα ὑπὸ τοῦ βάρους οὔτε φυγεῖν δύνανται, κἂν
ἄρα καὶ ἐκδράμωσί ποτε, ἔς τε χωρία ἀποδεδειγμένα καταφεύγουσι,
κἀνταῦθα ὥσπερ ἐς γαλεάγρας κατακλείονται. ἔν τε οὖν τούτοις 5
παρὰ πολὺ ἡμῶν ἐλαττοῦνται, καὶ ἐν ἐκείνοις, ὅτι οὔτε λιμὸν οὔτε
δίψος, οὐ ψῦχος οὐ καῦμα ὑποφέρουσιν ὥσπερ ἡμεῖς, ἀλλ' οἱ μὲν
καὶ σκιᾶς καὶ σκέπης σίτου τε μεμαγμένου καὶ οἴνου καὶ ἐλαίου
δέονται, κἂν ἄρα τι τούτων αὐτοὺς ἐπιλίπῃ διαφθείρονται, ἡμῖν
δὲ δὴ πᾶσα μὲν πόα καὶ ῥίζα σῖτός ἐστί, πᾶς δὲ χυμὸς ἔλαιον,
πᾶν δὲ ὕδωρ οἶνος, πᾶν δὲ δένδρον οἰκία. καὶ μὴν καὶ τὰ χωρία 6
ταῦτα ἡμῖν μὲν συνήθη καὶ σύμμαχα, ἐκείνοις δὲ δὴ καὶ ἄγνωστα
καὶ πολέμια· καὶ τοὺς ποταμοὺς ἡμεῖς μὲν γυμνοὶ διανέομεν, ἐκεῖ-
νοι δὲ οὐδὲ πλοίοις ῥᾳδίως περαιοῦνται. ἀλλ' ἴωμεν ἐπ' αὐτοὺς
ἀγαθῇ τύχῃ θαρροῦντες. δείξωμεν αὐτοῖς ὅτι λαγωοὶ καὶ ἀλώπε-
κες ὄντες κυνῶν καὶ λύκων ἄρχειν ἐπιχειροῦσιν."

ταῦτα εἰποῦσα λαγὼν μὲν ἐκ τοῦ κόλπου προήκατο μαντείᾳ 6
τινὶ χρωμένη, καὶ ἐπειδὴ ἐν αἰσίῳ σφίσιν ἔδραμε, τό τε πλῆθος
πᾶν ἡσθὲν ἀνεβόησε, καὶ ἡ Βουνδουῖκα τὴν χεῖρα ἐς τὸν οὐρανὸν
ἀνατείνασα εἶπε "χάριν τέ σοι ἔχω, ὦ Ἀνδράστη, καὶ προσεπικα- 2
λοῦμαί σε γυνὴ γυναῖκα, οὐκ Αἰγυπτίων ἀχθοφόρων ἄρχουσα ὡς
Νίτωκρις, οὐδ' Ἀσσυρίων τῶν ἐμπόρων ὡς Σεμίραμις (καὶ γὰρ
ταῦτ' ἤδη παρὰ τῶν Ῥωμαίων μεμαθήκαμεν), οὐ μὴν οὐδὲ Ῥω-
μαίων αὐτῶν ὡς πρότερον μὲν Μεσσαλῖνα ἔπειτ' Ἀγριππῖνα (νῦν 3
δὲ καὶ Νέρων ὄνομα μὲν ἀνδρὸς ἔχει, ἔργῳ δὲ γυνή ἐστιν· σημεῖον

5 2 2 δὲ τὸ καὶ κρ. — ἐσκευάσθαι — ἐσκεπάσθαι? 4 μηκέτι*
4 3 καταφεύγωσι 5 2 ἐν om* 6 2 1 Ἀνδράστη] Ἀνδάτη 7 3 2

δέ, ᾄδει γὰρ καὶ κιθαρίζει καὶ καλλωπίζεται), ἀλλ' ἀνδρῶν Βρεττανῶν, γεωργεῖν μὲν ἢ δημιουργεῖν οὐκ εἰδότων, πολεμεῖν δὲ ἀκριβῶς μεμαθηκότων, καὶ τά τε ἄλλα πάντα κοινὰ καὶ παῖδας καὶ γυναῖκας κοινὰς νομιζόντων, καὶ διὰ τοῦτο καὶ ἐκείνων τὴν αὐτὴν τοῖς ἄρρεσιν
4 ἀρετὴν ἐχουσῶν. τοιούτων οὖν ἀνδρῶν καὶ τοιούτων γυναικῶν βασιλεύουσα προσεύχομαί τέ σοι καὶ αἰτῶ νίκην καὶ σωτηρίαν καὶ ἐλευθερίαν κατ' ἀνδρῶν ὑβριστῶν ἀδίκων ἀπλήστων ἀνοσίων, εἴ γε καὶ ἄνδρας χρὴ καλεῖν ἀνθρώπους ὕδατι θερμῷ λουομένους, ὄψα σκευαστὰ ἐσθίοντας, οἶνον ἄκρατον πίνοντας, μύρῳ ἀλειφομένους, μαλθακῶς κοιμωμένους, μετὰ μειρακίων, καὶ τούτων ἐξώρων,
5 καθεύδοντας, κιθαρῳδῷ, καὶ τούτῳ κακῷ, δουλεύοντας. μὴ γάρ τοι μήτ' ἐμοῦ μήθ' ὑμῶν ἔτι βασιλεύσειεν ἡ Νερωνὶς ἡ Δομιτία, ἀλλ' ἐκείνη μὲν Ῥωμαίων ᾄδουσα δεσποζέτω (καὶ γὰρ ἄξιοι τοιαύτῃ γυναικὶ δουλεύειν, ἧς τοσοῦτον ἤδη χρόνον ἀνέχονται τυραννούσης), ἡμῶν δὲ σὺ ὦ δέσποινα ἀεὶ μόνη προστατοίης."

7 τοιαῦτ' ἄττα ἡ Βουνδουῖκα δημηγορήσασα ἐπῆγε τοῖς Ῥωμαίοις τὴν στρατιάν· ἔτυχον γὰρ ἄναρχοι ὄντες διὰ τὸ Παυλῖνον τὸν ἡγεμόνα σφῶν εἰς νῆσόν τινα Μῶναν ἀγχοῦ τῆς Βρεττανίας κειμένην ἐπιστρατεῦσαι. διὰ τοῦτο πόλεις τε δύο Ῥωμαϊκὰς ἐξεπόρθησε καὶ διήρπασε, καὶ φόνον ἀμύθητον, ὡς ἔφην, εἰργάσατο· τοῖς τε ἁλισκομένοις ἀνθρώποις ὑπ' αὐτῶν οὐδὲν τῶν δεινοτάτων ἔστιν ὅ τι
2 οὐκ ἐγένετο. καὶ ὃ δὴ δεινότατον καὶ θηριωδέστατον ἔπραξαν· τὰς γὰρ γυναῖκας τὰς εὐγενεστάτας καὶ εὐπρεπεστάτας γυμνὰς ἐκρέμασαν, καὶ τούς τε μαστοὺς αὐτῶν περιέτεμον καὶ τοῖς στόμασί σφων προσέρραπτον, ὅπως ὡς καὶ ἐσθίουσαι αὐτοὺς ὁρῷντο, καὶ μετὰ τοῦτο πασσάλοις ὀξέσι διὰ παντὸς τοῦ σώματος κατὰ μῆκος
3 ἀνέπειραν. καὶ ταῦτα πάντα θύοντές τε ἅμα καὶ ἑστιώμενοι, ὑβρίζοντες, ἔν τε τοῖς ἄλλοις σφῶν ἱεροῖς καὶ ἐν τῷ τῆς Ἀνδάτης μάλιστα ἄλσει ἐποίουν· οὕτω γὰρ καὶ τὴν νίκην ὠνόμαζον, καὶ ἔσεβον αὐτὴν περιττότατα.

8 ὁ δὲ Παυλῖνος ἔτυχε μὲν ἤδη τὴν Μῶναν παραστησάμενος, πυθόμενος δὲ τὴν Βρεττανικὴν συμφορὰν ἀπέπλευσεν εὐθὺς ἐς αὐτὴν ἐκ τῆς Μώνης. καὶ διακινδυνεῦσαι μὲν αὐτίκα πρὸς τοὺς βαρβάρους οὐκ ἤθελε, τό τε πλῆθος αὐτῶν καὶ τὴν ἀπόνοιαν φοβούμενος, ἀλλ' ἐς ἐπιτηδειότερον καιρὸν τὴν μάχην ὑπερετίθετο· ἐπεὶ δὲ σίτου τε ἐσπάνιζε καὶ οἱ βάρβαροι ἐγκείμενοι οὐκ ἀνίεσαν,
2 ἠναγκάσθη καὶ παρὰ γνώμην αὐτοῖς συμβαλεῖν. ἡ μὲν οὖν Βουνδουῖκα ἐς τρεῖς καὶ εἴκοσι μυριάδας ἀνδρῶν στράτευμα ἔχουσα

6 3 3 γὰρ om 5 2 μήτ'] μὴ 7 1 3 Μώνναν* 3 1 ὕβριζον? 3 ἄλσει, ἐπεὶ οὕτω γε καὶ?*

*αὐτὴ μὲν ἐφ' ἅρματος ὠχεῖτο, τοὺς δ' ἄλλους ὡς ἑκάστους διέτα-*
*ξεν· ὁ δὲ δὴ Παυλῖνος μήτε ἀντιπαρατεῖναί οἱ τὴν φάλαγγα δυνη-*
*θείς (οὐδὲ γὰρ οὐδ' εἰ ἐφ' ἕνα ἐτάχθησαν ἐξικνοῦντο· τοσοῦτον*
*ἠλαττοῦντο τῷ πλήθει) μήτ' αὖ καθ' ἓν συμβαλεῖν, μὴ καὶ περι-* 3
*στοιχισθεὶς κατακοπῇ, τολμήσας, τριχῇ τε ἔνειμε τὸν στρατὸν ὅπως*
*πολλαχόθεν ἅμα μάχοιντο, καὶ ἐπύκνωσεν ἕκαστον τῶν μερῶν ὥστε*
*δύσρηκτον εἶναι. συντάττων δ' αὐτοὺς καὶ καθιστὰς προσπαρῄνει,*
*λέγων "ἄγετε ἄνδρες συστρατιῶται, ἄγετε ἄνδρες Ῥωμαῖοι, δείξατε* 9
*τοῖς ὀλέθροις τούτοις ὅσον καὶ δυστυχοῦντες αὐτῶν προφέρομεν·*
*αἰσχρὸν γάρ ἐστιν ὑμῖν, ἃ μικρῷ πρόσθεν ὑπ' ἀρετῆς ἐκτήσασθε,*
*νῦν ἀκλεῶς ἀπολέσαι. πολλάκις τοι τῶν νῦν παρόντων ἐλάττους*
*ὄντες πολὺ πλείονας ἀντιπάλους καὶ ὑμεῖς αὐτοὶ καὶ οἱ πατέρες*
*ὑμῶν ἐνίκησαν. μήτ' οὖν τὸ πλῆθος αὐτῶν φοβηθῆτε καὶ τὴν νεω-* 2
*τεροποιίαν (ἐκ γὰρ ἀόπλου καὶ ἀμελετήτου προπετείας θρασύνον-*
*ται), μήθ' ὅτι πόλεις τινὰς ἐμπεπρήκασιν· οὐ γὰρ κατὰ κράτος*
*οὐδ' ἐκ μάχης, ἀλλὰ τὴν μὲν προδοθεῖσαν τὴν δὲ ἐκλειφθεῖσαν*
*εἷλον. ἀνθ' ὧν νῦν τὴν προσήκουσαν παρ' αὐτῶν δίκην λάβετε,*
*ἵνα καὶ τοῖς ἔργοις αὐτοῖς ἐκμάθωσιν οἵους ὄντας ὑμᾶς οἷοι ὄντες*
*ἠδικήκασιν."*

*ταῦτά τισιν εἰπὼν ἐφ' ἑτέρους ἦλθε, καὶ ἔφη "νῦν καιρὸς ὦ* 10
*συστρατιῶται προθυμίας, νῦν τόλμης. ἂν τήμερον ἄνδρες ἀγαθοὶ*
*γένησθε, καὶ τὰ προειμένα ἀναλήψεσθε· ἂν τούτων κρατήσητε,*
*οὐκέτ' οὐδεὶς ὑμῖν οὐδὲ τῶν ἄλλων ἀντιστήσεται. διὰ μιᾶς τοιαύτης*
*μάχης καὶ τὰ ὑπάρχοντα βεβαιώσεσθε καὶ τὰ λοιπὰ προσκαταστρέ-*
*ψεσθε· πάντες γὰρ καὶ οἱ ἄλλοθί που ὄντες στρατιῶται ζηλώσουσιν* 2
*ὑμᾶς καὶ ἐχθροὶ φοβηθήσονται. ὥστε ἐν ταῖς χερσὶν ἔχοντες ἢ*
*πάντων ἀνθρώπων ἀδεῶς ἄρχειν ὧν καὶ οἱ πατέρες ὑμῶν κατέλιπον*
*καὶ αὐτοὶ ὑμεῖς προσεπεκτήσασθε, ἢ πάντως αὐτῶν στερηθῆναι,*
*ἕλεσθε ἐλεύθεροι εἶναι, ἄρχειν πλουτεῖν εὐδαιμονεῖν μᾶλλον ἢ τἀ-*
*ναντία αὐτῶν ῥαθυμήσαντες παθεῖν."*

*τοιαῦτα δὲ καὶ τούτοις εἰπὼν ἐπὶ τοὺς τρίτους ἐπιπαρῆλθε,* 11
*καὶ ἔλεξε καὶ ἐκείνοις "ἠκούσατε μὲν οἷα ἡμᾶς οἱ κατάρατοι οὗτοι*
*δεδράκασι, μᾶλλον δὲ ἔνια αὐτῶν καὶ εἴδετε· ὥσθ' ἕλεσθε πότερον* 2
*καὶ αὐτοὶ τὰ αὐτὰ ἐκείνοις παθεῖν καὶ προσέτι καὶ ἐκπεσεῖν παν-*
*τελῶς ἐκ τῆς Βρεττανίας, ἢ κρατήσαντες καὶ τοῖς ἀπολωλόσι τιμω-*
*ρῆσαι καὶ τοῖς ἄλλοις ἀνθρώποις ἅπασι παράδειγμα ποιῆσαι καὶ*
*πρὸς τὸ πειθαρχοῦν εὐμενοῦς ἐπιεικείας καὶ πρὸς τὸ νεωτερίζον*
*ἀναγκαίας τραχύτητος. μάλιστα μὲν οὖν ἔγωγε νικήσειν ἡμᾶς ἐλπίζω* 3

8 3 1 *ἕνα**: cf. c. 12 5 1 10 1 4 *ταύτης*? 2 1 *στρατιῶταί τε ζ.*?* 4 *πάντων ἀγαθῶν στ.*?* 11 2 1 *πότερον βούλεσθε κ.*?



Digitized by Google

*καὶ τῇ παρὰ τῶν θεῶν συμμαχίᾳ (τοῖς γὰρ ἀδικουμένοις ὡς τὸ
πολὺ συναίρονται) καὶ τῇ πατρῴᾳ ἡμῶν ἀνδρίᾳ, Ῥωμαίους τε
ὄντας καὶ ταῖς ἀρεταῖς ἁπάντων ἀνθρώπων κεκρατηκότας, καὶ ταῖς
ἐμπειρίαις (καὶ γὰρ αὐτοὺς τούτους τοὺς νῦν ἀντικαθεστῶτας ἡττή-
σαντες κεχειρώμεθα), τῷ τε ἀξιώματι (οὐ γὰρ ἀντιπάλοις τισὶν
ἀλλὰ δούλοις ἡμετέροις συμβαλοῦμεν, οὓς καὶ ἐλευθέρους καὶ αὐτο-
4 νόμους ὄντας εἰάσαμεν)· ἂν δὲ δὴ παρ᾽ ἐλπίδα τι συμβῇ (οὐδὲ γὰρ
τοῦτ᾽ εἰπεῖν ὀκνήσω), ἄμεινόν ἐστι μαχομένους ἡμᾶς ἀνδρείως πεσεῖν
ἢ ἁλόντας ἀνασκολοπισθῆναι, τὰ σπλάγχνα τὰ ἑαυτῶν ἐκτμηθέντα
ἰδεῖν, πασσάλοις διαπύροις ἀναπαρῆναι καὶ ὕδατι ζέοντι τηκομένους
ἀπολέσθαι, καθάπερ ἐς θηρία τινὰ ἄγρια ἄνομα ἀνόσια ἐμπεπτω-
5 κότας. ἢ οὖν περιγενώμεθα αὐτῶν, ἢ ἐνταῦθα ἀποθάνωμεν. καλὸν
τὸ μνημεῖον τὴν Βρεττανίαν ἕξομεν, κἂν πάντες οἱ λοιποὶ Ῥωμαῖοι
ἐξ αὐτῆς ἐκπέσωσιν· τοῖς γὰρ σώμασι τοῖς ἡμετέροις πάντως αὐτὴν
ἀεὶ καθέξομεν."*

12 *τοιαῦτα καὶ παραπλήσια τούτοις εἰπὼν ἦρε τὸ σημεῖον τῆς
μάχης· κἀκ τούτου συνῆλθον, οἱ μὲν βάρβαροι κραυγῇ τε πολλῇ
καὶ ᾠδαῖς ἀπειλητικαῖς χρώμενοι, οἱ δὲ Ῥωμαῖοι σιγῇ καὶ κόσμῳ,
2 μέχρις οὗ ἐς ἀκοντίου βολὴν ἀφίκοντο. ἐνταῦθα δὲ ἤδη βάδην
τῶν πολεμίων προσιόντων σφίσιν ἐξάξαντες ἅμα ἀπὸ συνθήματος
ἐπέδραμον αὐτοῖς ἀνὰ κράτος, καὶ ἐν μὲν τῇ προσμίξει ῥᾳδίως τὴν
ἀντίταξίν σφων διέρρηξαν, περισχεθέντες δὲ τῷ πλήθει πανταχόθεν
3 ἅμα ἐμάχοντο. καὶ ἦν ὁ ἀγωνισμὸς αὐτῶν πολύτροπος· τοῦτο μὲν
γὰρ οἱ ψιλοὶ τοὺς ψιλοὺς ἀντέβαλλον, τοῦτο δὲ οἱ ὁπλῖται τοῖς
ὁπλίταις ἀνθίσταντο, οἵ τε ἱππεῖς τοῖς ἱππεῦσι συνεφέροντο, καὶ
πρὸς τὰ ἅρματα τῶν βαρβάρων οἱ τοξόται τῶν Ῥωμαίων ἀντηγω-
νίζοντο. τούς τε γὰρ Ῥωμαίους οἱ βάρβαροι ῥύμῃ τοῖς ἅρμασι
προσπίπτοντες ἀνέτρεπον, καὶ αὐτοὶ ὑπὸ τῶν τοξευμάτων, ἅτε καὶ
4 δίχα θωράκων μαχόμενοι, ἀνεστέλλοντο· ἱππεύς τε πεζὸν ἀνέτρεπε,
καὶ πεζὸς ἱππέα κατέβαλλεν· πρός τε τὰ ἅρματα συμφραξάμενοί
τινες ἐχώρουν, καὶ ἄλλοι ὑπ᾽ αὐτῶν ἐσκεδάννυντο· τούς τε τοξότας
οἱ μὲν ὁμόσε σφίσιν ἰόντες ἔτρεπον, οἱ δὲ πόρρωθεν ἐφυλάσσοντο.
5 καὶ ταῦτα οὐ καθ᾽ ἓν ἀλλὰ τριχῇ πάνθ᾽ ὁμοίως ἐγίνετο. ἠγωνίσαντο
δὲ ἐπὶ πολὺ ὑπὸ τῆς αὐτῆς ἀμφότεροι προθυμίας καὶ τόλμης. τέ-
λος δὲ ὀψέ ποτε οἱ Ῥωμαῖοι ἐνίκησαν, καὶ πολλοὺς μὲν ἐν τῇ μάχῃ
καὶ πρὸς ταῖς ἁμάξαις τῇ τε ὕλῃ κατεφόνευσαν, πολλοὺς δὲ καὶ
6 ζῶντας εἷλον. συχνοὶ δ᾽ οὖν καὶ διέφυγον, καὶ παρεσκευάζοντο μὲν
ὡς καὶ αὖθις μαχούμενοι, ἀποθανούσης δὲ ἐν τούτῳ τῆς Βουν-*

11 4 1 *ἐνικήσαμεν*? 12 2 2 *ἐξάραντες**

Digitized by Google

δουλικῆς νόσῳ ἐκείνην μὲν δεινῶς ἐπένθησαν καὶ πολυτελῶς ἔθαψαν,
αὐτοὶ δ' ὡς καὶ τότε ὄντως ἡττηθέντες διεσκεδάσθησαν.

καὶ τὰ μὲν Βρεττανικὰ ἐπὶ τοσοῦτον, ἐν δὲ τῇ Ῥώμῃ ὁ Νέρων 13
Ὀκταουίαν τὴν Αὐγοῦσταν ἀπεπέμψατο μὲν πρότερον διὰ Σαβῖναν a.C. 62
τὴν παλλακίδα, ὕστερον δὲ καὶ ἀπέκτεινεν, καίτοι τοῦ Βούρρου
ἐναντιουμένου αὐτῷ καὶ κωλύοντος ἀποπέμψασθαι, καί ποτε εἰ- 2
πόντος "οὐκοῦν καὶ τὴν προῖκα αὐτῇ" τοῦτ' ἔστι τὴν ἡγεμονίαν
"ἀπόδος." οὕτω γάρ πως ἐρρωμένως τῇ παρρησίᾳ ἐχρῆτο ὥστε
ποτὲ δεύτερον ἐρωτηθεὶς ὑπ' αὐτοῦ γνώμην περὶ ὧν ἀπεφήνατο,
εἶπεν ἄντικρυς ὅτι περὶ ὧν ἂν ἅπαξ τι εἴπω, μηκέτι μου αὖθις
πύθῃ. τοῦτον μὲν οὖν φαρμάκῳ διώλεσεν, Τιγελλῖνον δέ τινα Σω- 3
φόνιον, ἀσελγείᾳ τε καὶ μιαιφονίᾳ πάντας τοὺς καθ' ἑαυτὸν ἀνθρώ-
πους ὑπεράραντα, σὺν ἑτέρῳ τινὶ ἐπὶ τὴν τῶν δορυφόρων ἀρχὴν
κατέστησεν. πρὸς τοῦτον καὶ τὸ τῆς Πυθιάδος ἀπόφθεγμα γενέ-
σθαι λέγεται. ἐπεὶ γὰρ τῶν περὶ τὴν Ὀκταουίαν ὄντων οἱ ἄλλοι 4
πάντες πλὴν Πυθιάδος συνεπέθεντο μετὰ τῆς Σαβίνης αὐτῇ, τῆς
μέν, ὅτι ἐδυστύχει, καταφρονήσαντες, τὴν δ', ὅτι ἴσχυε, κολακεύον-
τες, μόνη ἡ Πυθιὰς οὔτε τι κατεψεύσατο αὐτῆς, καίπερ πικρότατα
βασανισθεῖσα, καὶ τέλος ὡς ὁ Τιγελλῖνος ἐνέκειτο αὐτῇ, προσέπτυσέ
τε αὐτῷ καὶ εἶπε "καθαρώτερον ὦ Τιγελλῖνε τὸ αἰδοῖον ἡ δέσποινά
μου τοῦ σοῦ στόματος ἔχει."

ὁ δὲ δὴ Νέρων καὶ γέλωτα καὶ σκώμματα τὰ τῶν συγγενῶν 14
κακὰ ἐποιεῖτο. τὸν γοῦν Πλαῦτον ἀποκτείνας, ἔπειτα τὴν κεφαλὴν
αὐτοῦ προσενεχθεῖσάν οἱ ἰδών, "οὐκ ᾔδειν" ἔφη "ὅτι μεγάλην ῥῖνα
εἶχεν," ὥσπερ φεισάμενος ἂν αὐτοῦ εἰ τοῦτο προηπίστατο. πάντα 2
δὲ ὡς εἰπεῖν τὸν βίον ἐν καπηλικῇ διαίτῃ ποιούμενος ἀπεῖπε τοῖς
ἄλλοις μηδὲν ἑφθὸν ἐν καπηλείῳ, πλὴν λαχάνων καὶ ἔτνους, πι-
πράσκειν. τὸν δὲ Πάλλαντα διεχρήσατο, ὅτι καὶ πλοῦτον πολὺν 3
ἐκέκτητο, ὥστε καὶ ἐς μυρίας μυριάδας αὐτὸν ἀριθμεῖσθαι· καὶ
δυσκολίᾳ τρόπων πολλῇ ἐχρῆτο, ὥστε μήτε τοῖς οἰκέταις μήτε τοῖς
ἐξελευθέροις διαλέγεσθαί τι, ἀλλ' ἐς γραμματεῖα πάνθ' ὅσα ἐβού-
λετο καὶ προσέτασσέ σφισιν ἐσγράφειν.

13 1 2 ἀπεπέμψατο· τῆς γὰρ Σαβίνης ἐρῶν ἤθελεν αὐτῇ συνεῖναι ὡς γαμετῇ. δείσασα δὲ ἡ Σαβῖνα μή ποτε ἡ Ὀκταβία μετακληθῇ, κατηγόρους ἐπ' αὐτῇ καὶ μοιχείας καὶ γοητείας ψευδεῖς παρεσκευάσατο, καὶ τὸ μὲν πρῶτον φυγαδευθῆναι αὐτήν, ἔπειτα καὶ σφαγῆναι ἐποίησεν. Z p. 477.
3 1 ὅτι ὁ Τιγελλῖνος διεδέξατο τὸν Βοῦρρον, ἀσελγείᾳ καὶ μιαιφονίᾳ πάντας τοὺς καθ' αὐτὸν ἀνθρώπους ὑπεράρας. τόν τε Νέρωνα ἀπ' αὐτῶν προσεποιήσατο, καὶ τὸν συνάρχοντα Ῥοῦφον παρ' οὐδὲν ἐτίθετο. V p. 689.
4 1 ἄλλοι] ἄγγελοι 4 ἡ] δ' ἡ 14 1 2 ὅτι Παύλου τοῦ ἀποστόλου τῆς κεφαλῆς προσενεχθείσης Νέρων — M p. 212. ubi mox: ὅτι Θρασέας τις γνώμην ἀπεφήνατο ἀνδρὶ βουλευτῇ ἐσχάτην εἶναι τιμωρίαν τὴν φυγήν.



Digitized by Google

15 τοσαύτη δ' ἦν ἡ τοῦ Νέρωνος ἀκολασία ὥστε καὶ ἅρματα
a.C. 64 δημοσίᾳ ἤλαυνεν. καί ποτε θηρία ἀποκτείνας ὕδωρ τε εὐθὺς ἐς
τὸ θέατρον ἐπωχέτευσε καὶ ναυμαχίαν ἐπετέλεσε, καὶ μετὰ τοῦτο
τὸ ὕδωρ ἀφεὶς μονομαχίαν ἐπιδιέθηκε, καὶ τέλος ἐσαγαγὼν αὐτὸ
2 αὖθις δεῖπνον δημοσίᾳ πολυτελὲς ἐδείπνισεν. ἑστιάτωρ μὲν ὁ Τι-
γελλῖνος ἀποδέδεικτο, καὶ παρασκευὴ πᾶσα πολλὴ ἐπεπόριστο· ἐσκευ-
άσθη δὲ τόνδε τὸν τρόπον. ἐν μὲν τῷ μέσῳ καὶ ἐπὶ τῷ ὕδατι τά
τε σκεύη τὰ οἰνηρὰ τὰ ξύλινα τὰ μεγάλα προκαθεῖτο, καὶ ἐπ' αὐ-
3 τῶν σανίδες ἐπεπήγεσαν, πέριξ δὲ περὶ αὐτὸ καπηλεῖα καὶ οἰκήματα
ἐπεποίητο, ὥστε τὸν Νέρωνα καὶ τὸν Τιγελλῖνον τούς τε συσσίτους
αὐτῶν τὸ μέσον ἔχοντας ἐπί τε ταπήτων πορφυρῶν καὶ ἐπὶ στρω-
μάτων ἁπαλῶν ἐπευωχεῖσθαι, τοὺς δὲ δὴ ἄλλους πάντας ἐν τοῖς
4 καπηλείοις εὐθυμεῖσθαι. ἔς τε τὰ πορνεῖα εἰσῄεσαν, καὶ συνεγίνοντο
πάσαις ἀνέδην ἁπλῶς ταῖς ἐνταῦθα καθημέναις· ἦσαν δὲ αἵ τε
περικαλλέσταται καὶ ἐκφανέσταται, δοῦλαί τε καὶ ἐλεύθεραι, ἑταῖραι,
παρθένοι, γαμεταὶ τινῶν, οὐχ ὅπως δημότιδες ἀλλὰ καὶ αὐταὶ αἱ
5 εὐγενέσταται καὶ κόραι καὶ γυναῖκες. καὶ ἦν ἐξουσία παντὶ τῷ
βουλομένῳ σχεῖν ἣν ἤθελεν· οὐ γὰρ ἐξῆν αὐταῖς οὐδένα ἀπαρνή-
σασθαι. ὥστε, οἷα συρφετώδης ὅμιλος, ἀπλήστως τε ἅμα ἔπινον
καὶ ἀσελγῶς ὕβριζον, καί τις καὶ δοῦλος τῇ δεσποίνῃ παρόντος
τοῦ δεσπότου καὶ μονομάχος εὐγενεῖ κόρῃ ὁρῶντος τοῦ πατρὸς
6 συνεγίνοντο. ὠθισμοί τε καὶ πληγαὶ καὶ θόρυβοι, τοῦτο μὲν ἀπ'
αὐτῶν τῶν ἐσιόντων, τοῦτο δὲ καὶ ἐκ τῶν ἔξωθεν περιεστηκότων,
αἰσχροὶ συνέβαινον, καὶ ἄνδρες τε ἐκ τούτων συχνοὶ ἐφθάρησαν
καὶ γυναῖκες, αἱ μὲν ἀποπνιγεῖσαι αἱ δὲ διαρπαγεῖσαι.
7 ''ὅτι ἐκ τῶν συναχθέντων ἐς τὸ Ἄντιον πολλῶν ἀπολομένων ὁ
Νέρων ἐν ἑορτῆς μέρει τοῦτο ἐποιεῖτο. V p. 689.
16 μετὰ δὲ ταῦτα ἐπεθύμησεν ὅπερ που ἀεὶ ηὔχετο, τήν τε πόλιν
ὅλην καὶ τὴν βασιλείαν ζῶν ἀναλῶσαι· τὸν γοῦν Πρίαμον καὶ αὐ-
τὸς θαυμαστῶς ἐμακάριζεν ὅτι καὶ τὴν πατρίδα ἅμα καὶ τὴν ἀρχὴν
2 ἀπολομένας εἶδεν. λάθρᾳ γάρ τινας ὡς καὶ μεθύοντας ἢ καὶ κα-
κουργοῦντάς τι ἄλλως διαπέμπων, τὸ μὲν πρῶτον ἓν που καὶ δύο
καὶ πλείονα ἄλλα ἄλλοθι ὑπεμπίπρα, ὥστε τοὺς ἀνθρώπους ἐν παντὶ
ἀπορίας γενέσθαι, μήτ' ἀρχὴν τοῦ κακοῦ ἐξευρεῖν μήτε τέλος ἐπα-
γαγεῖν δυναμένους, ἀλλὰ πολλὰ μὲν ὁρῶντας πολλὰ δὲ ἀκούοντας
3 ἄτοπα. οὔτε γὰρ θεάσασθαι ἄλλο τι ἦν ἢ πυρὰ πολλὰ ὥσπερ ἐν
στρατοπέδῳ, οὔτε ἀκοῦσαι λεγόντων τινῶν ἢ ὅτι τὸ καὶ τὸ καίεται·
ποῦ; πῶς; ὑπὸ τίνος; βοηθεῖτε. θόρυβός τε οὖν ἐξαίσιος πανταχοῦ

15 5 3 τε] τε καὶ* 16 1 3 ἐμακάρισεν

Digitized by Google

*πάντας κατελάμβανεν, καὶ διέτρεχον οἱ μὲν τῇ οἱ δὲ τῇ ὥσπερ
ἔμπληκτοι. καὶ ἄλλοις τινὲς ἐπαμύνοντες ἐπυνθάνοντο τὰ οἴκοι* 4
*καιόμενα· καὶ ἕτεροι πρὶν καὶ ἀκοῦσαι ὅτι τῶν σφετέρων τι ἐμπέ-
πρησται, ἐμάνθανον ὅτι ἀπόλωλεν. οἵ τε ἐκ τῶν οἰκιῶν ἐς τοὺς
στενωποὺς ἐξέτρεχον ὡς καὶ ἔξωθεν αὐταῖς βοηθήσοντες, καὶ οἱ ἐκ
τῶν ὁδῶν εἴσω ἐσέθεον ὡς καὶ ἔνδον τι ἀνύσοντες. καὶ ἦν ἥ τε* 5
*κραυγὴ καὶ ὀλολυγὴ παίδων ὁμοῦ γυναικῶν ἀνδρῶν γερόντων ἄπλε-
τος, ὥστε μήτε συνιδεῖν μήτε συνεῖναί τι ὑπὸ τοῦ καπνοῦ καὶ τῆς
κραυγῆς δύνασθαι· καὶ διὰ ταῦθ᾽ ὁρᾶν ἦν τινὰς ἀφώνους ἑστῶτας
ὥσπερ ἐνεοὺς ὄντας. κἀν τούτῳ πολλοὶ μὲν καὶ τὰ σφέτερα ἐκκο-* 6
*μιζόμενοι, πολλοὶ δὲ καὶ τὰ ἀλλότρια ἁρπάζοντες ἀλλήλοις τε ἐνε-
πλάζοντο καὶ περὶ τοῖς σκεύεσιν ἐσφάλλοντο, καὶ οὔτε προϊέναι ποι
οὔθ᾽ ἑστάναι εἶχον, ἀλλ᾽ ὤθουν ὠθοῦντο, ἀνέτρεπον ἀνετρέποντο.
καὶ συχνοὶ μὲν ἀπεπνίγοντο συχνοὶ δὲ συνετρίβοντο, ὥστε σφίσι* 7
*μηδὲν ὅ τι τῶν δυναμένων ἀνθρώποις ἐν τῷ τοιούτῳ πάθει κακῶν
συμβῆναι μὴ συνενεχθῆναι. οὐδὲ γὰρ οὐδ᾽ ἀποφυγεῖν που ῥᾳδίως
ἐδύναντο· κἂν ἐκ τοῦ παρόντος τις περιεσώθη, ἐς ἕτερον ἐμπεσὼν
ἐφθείρετο. καὶ ταῦτα οὐκ ἐν μιᾷ μόνον ἀλλ᾽ ἐπὶ πλείους καὶ ἡμέ-* 17
*ρας καὶ νύκτας ὁμοίως ἐγένετο. καὶ πολλοὶ μὲν οἶκοι ἔρημοι τοῦ
βοηθήσοντός σφισιν ἀπώλοντο, πολλοὶ δὲ καὶ ὑπ᾽ αὐτῶν τῶν ἐπι-
κουρούντων προσκατεπρήσθησαν· οἱ γὰρ στρατιῶται, οἵ τε ἄλλοι
καὶ οἱ νυκτοφύλακες, πρὸς τὰς ἁρπαγὰς ἀφορῶντες οὐχ ὅσον οὐ
κατεσβέννυσάν τινα ἀλλὰ καὶ προσεξέκαιον. τοιούτων δὲ δὴ ἄλλων* 2
*ἄλλοθι συμβαινόντων, ὑπέλαβέ ποτε τὸ πῦρ ἄνεμος καὶ ἐπὶ τὰ
λοιπὰ ὁμοῦ πάντα ἤγαγεν, ὥστε σκευῶν μὲν πέρι ἢ οἰκιῶν μηδένα
μηδὲν ἔτι φροντίσαι, πάντας δὲ τοὺς λοιποὺς ἑστῶτάς που ἐν ἀσφα-
λεῖ τινὶ ὁρᾶν ὥσπερ νήσους τινὰς καὶ πόλεις ἅμα πολλὰς φλεγομέ-
νας, καὶ ἐπὶ μὲν τοῖς σφετέροις μηδὲν ἔτι λυπεῖσθαι, τὸ δὲ δημό-* 3
*σιον ὀδυρομένους ἀναμιμνήσκεσθαι ὅτι καὶ πρότερόν ποτε οὕτως
ὑπὸ τῶν Γαλατῶν τὸ πλεῖον τῆς πόλεως διεφθάρη. πάντων δὲ δὴ* 18
*τῶν ἄλλων οὕτω διακειμένων, καὶ πολλῶν καὶ ἐς αὐτὸ τὸ πῦρ ὑπὸ
τοῦ πάθους ἐμπηδώντων, ὁ Νέρων ἔς τε τὸ ἄκρον τοῦ παλατίου,
ὅθεν μάλιστα σύνοπτα τὰ πολλὰ τῶν καιομένων ἦν, ἀνῆλθε, καὶ
τὴν σκευὴν τὴν κιθαρῳδικὴν λαβὼν ᾖσεν ἅλωσιν, ὡς μὲν αὐτὸς
ἔλεγεν, Ἰλίου, ὡς δὲ ἑωρᾶτο, Ῥώμης.*

*τοιούτῳ μὲν δὴ πάθει τότε ἡ πόλις ἐχρήσατο οἵῳ οὔτε πρότε-* 2
*ρόν ποτε οὔθ᾽ ὕστερον, πλὴν τοῦ Γαλατικοῦ. τό τε γὰρ Παλάτιον
τὸ ὄρος σύμπαν καὶ τὸ θέατρον τοῦ Ταύρου τῆς τε λοιπῆς πόλεως*

6 2 *ἐνεπλάζοντο*] cf. 36 49 5, 72 19 extr.    7 3 *συνηνέχθη?** *οὔτ᾽**

Digitized by Google

τὰ δύο που μέρη ἐκαύθη, καὶ ἄνθρωποι ἀναρίθμητοι διεφθάρησαν.
3 ὁ μέντοι δῆμος οὐκ ἔστιν ὅ τι οὐ κατὰ τοῦ Νέρωνος ἠρᾶτο, τὸ μὲν
ὄνομα αὐτοῦ μὴ ἐπιλέγων, ἄλλως δὲ δὴ τοῖς τὴν πόλιν ἐμπρήσασι
καταρώμενοι, καὶ μάλισθ' ὅτι αὐτοὺς ἡ μνήμη τοῦ λογίου τοῦ
κατὰ τὸν Τιβέριόν ποτε ᾀσθέντος ἐθορύβει. ἦν δὲ τοῦτο, "τρὶς
δὲ τριηκοσίων περιτελλομένων ἐνιαυτῶν Ῥωμαίους ἔμφυλος ὀλεῖ
4 στάσις." ἐπειδή τε ὁ Νέρων παραμυθούμενος αὐτοὺς οὐδαμοῦ
ταῦτα τὰ ἔπη εὕρασθαι ἔλεγε, μεταβαλόντες ἕτερον λόγιον ὡς καὶ
Σιβύλλειον ὄντως ὂν ᾖδον· ἔστι δὲ τοῦτο, "ἔσχατος Αἰνεαδῶν μη-
τροκτόνος ἡγεμονεύσει." καὶ ἔσχεν οὕτως, εἴτε καὶ ὡς ἀληθῶς
θεομαντείᾳ τινὶ προλεχθέν, εἴτε καὶ τότε ὑπὸ τοῦ ὁμίλου πρὸς τὰ
παρόντα θειασθέν· τελευταῖος γὰρ τῶν Ἰουλίων τῶν ἀπ' Αἰνείου
5 γενομένων ἐμονάρχησεν. χρήματα δὲ ὁ Νέρων παμπληθῆ καὶ παρὰ
τῶν ἰδιωτῶν καὶ παρὰ τῶν δήμων, τὰ μὲν βίᾳ ἐπὶ τῇ προφάσει
τοῦ ἐμπρησμοῦ, τὰ δὲ καὶ παρ' ἑκόντων δῆθεν ἠργυρολόγησε, καὶ
τῶν Ῥωμαίων αὐτῶν τὸ σιτηρέσιον παρεσπάσατο.

19 πράσσοντι δὲ αὐτῷ ταῦτα ἀγγελία ἐξ Ἀρμενίας καὶ δάφνη ἐπὶ
τῇ νίκῃ αὖθις ἦλθεν. ὁ γάρ τοι Κορβούλων συστήσας τε τὰ στρα-
τιωτικὰ ἐσκεδασμένα καὶ ἀσκήσας ἠμελημένα, τόν τε Οὐολόγαισον
τὸν βασιλέα τῶν Πάρθων καὶ τὸν Τηριδάτην τὸν τῆς Ἀρμενίας
2 ἡγούμενον καὶ ἀγγελθεὶς μόνον ἐξεφόβησεν. ὅμοια γὰρ δὴ τοῖς
πρώτοις Ῥωμαίων, οὐχ ὅτι τῷ γένει λαμπρὸς ἢ τῷ σώματι ἰσχυ-
ρός, ἀλλὰ καὶ τῇ ψυχῇ ἀρτίφρων ἦν, καὶ πολὺ μὲν τὸ ἀνδρεῖον
πολὺ δὲ καὶ τὸ δίκαιον τό τε πιστὸν ἐς πάντας καὶ τοὺς οἰκείους
3 καὶ τοὺς πολεμίους εἶχεν. ὑφ' οὗπερ καὶ ὁ Νέρων ἐπὶ τὸν πόλεμον
αὐτὸν ἀνθ' ἑαυτοῦ ἀπέστειλε, καὶ δύναμιν αὐτῷ ὅσην ἄλλῳ οὐδενὶ
ἐπέτρεψε, πιστεύσας ὁμοίως καὶ τοὺς βαρβάρους αὐτὸν κατεργά-
σεσθαι καὶ αὐτῷ μὴ ἐπαναστήσεσθαι. καὶ ὁ μὲν οὐδέτερον τούτων
4 ἐψεύσθη, τοὺς μέντοι ἄλλους ἀνθρώπους καθ' ἓν τοῦτο μόνον ὁ
Κορβούλων ἐλύπησεν, ὅτι τὴν πρὸς τὸν Νέρωνα πίστιν ἐτήρησεν·
οὕτω γὰρ αὐτὸν αὐτοκράτορα ἀντ' ἐκείνου λαβεῖν ἤθελον ὥστε καὶ
κακὸν τὸ μέρος τοῦτο γενέσθαι μόνον ἠξίουν.

οὗτος οὖν ὁ Κορβούλων ἀκονιτὶ τὰ Ἀρτάξατα λαβὼν τὴν πό-
20 λιν κατέσκαψεν. πράξας δὲ τοῦτο πρὸς τὰ Τιγρανόκερτα ἤλασε,
a.C. 63 πάσης μὲν τῆς τῶν ἐνδιδόντων σφᾶς χώρας φειδόμενος, πάντα δὲ
τὰ τῶν ἀνθισταμένων πορθῶν, καὶ ἔλαβε καὶ ἐκεῖνα ἐθελούσια.
ἄλλα τε ἔπραξε λαμπρὰ καὶ ἐπίδοξα, ἐφ' οἷς καὶ τὸν Οὐολόγαισον,
καίτοι φοβερὸν ὄντα, ἐς διαλλαγὰς ἁρμοζούσας τῷ Ῥωμαίων ἀξιώ-
ματι ὑπηγάγετο.

18 3 1 ὅτε  2 ὑπολέγων

Digitized by Google

ὅτι ὁ Οὐολόγαισος ἀκούσας ὡς τὴν Ἀρμενίαν ὁ Νέρων ἄλλοις 2
διένειμε καὶ τὴν Ἀδιαβηνὴν ὑπὸ τοῦ Τιγράνου πορθουμένην, αὐτὸς
μὲν ὡς ἐς τὴν Συρίαν ἐπὶ τὸν Κορβούλωνα στρατεύσων ἡτοιμά-
ζετο, τὸν δὲ τῶν Ἀδιαβηνῶν βασιλέα Μονόβαζον καὶ Μοναίσην
Πάρθον ἐς τὴν Ἀρμενίαν ἔπεμψεν. οὗτοι δὲ τὸν Τιγράνην ἐς τὰ 3
Τιγρανόκερτα καθεῖρξαν. καὶ ἐπεὶ ἐν τῇ προσεδρείᾳ οὐδὲν αὐτὸν
ἐλύπουν, ἀλλὰ καὶ ὁσάκις προσμίξειάν οἱ ἀπεκρούοντο καὶ ὑπ᾽ ἐκεί-
νου καὶ ὑπὸ τῶν Ῥωμαίων τῶν συνόντων αὐτῷ, καὶ ὁ Κορβούλων
ἀκριβῆ φρουρὰν τῆς Συρίας ἐποιήσατο, ἐγνωσιμάχησε καὶ τὴν πα-
ρασκευὴν ἀφῆκε, καὶ πέμψας πρὸς τὸν Κορβούλωνα ἀνοχῆς ἔτυχεν 4
ἐπὶ τῷ πρός τε τὸν Νέρωνα αὖθις πρεσβεύσασθαι καὶ τὴν πολιορ-
κίαν λῦσαι καὶ τοὺς στρατιώτας ἐκ τῆς Ἀρμενίας ἐξαγαγεῖν. Νέρων
δὲ ἐκείνῳ μὲν οὐδὲ τότε οὐδὲν σαφὲς ἀπεκρίνατο, Λούκιον δὲ Και-
σένιον Παῖτον ἐς τὴν Καππαδοκίαν, ὅπως μηδὲν περὶ τὴν Ἀρμε-
νίαν νεοχμωθῇ, ἀπέστειλεν. U p. 391.

ὅτι ὁ Οὐολόγαισος τοῖς Τιγρανοκέρτοις προσέμιξε, καὶ τὸν Παῖ- 21
τον ἐπιβοηθήσαντά σφισιν ἀπεώσατο, φεύγοντα δὲ αὐτὸν ἐπιδιώξας
τήν τε ἐπὶ τοῦ Ταύρου καταλειφθεῖσαν ὑπ᾽ αὐτοῦ φρουρὰν ἐξέκοψε,
καὶ ἐκεῖνον ἐς Ῥάνδειαν πρὸς τῷ Ἀρσανίᾳ ποταμῷ οὖσαν κατέκλει-
σεν. κἂν ἀπανέστη μηδὲν περάνας (οὔτε γὰρ πελάσαι πῃ τῷ ἐρύ- 2
ματι ἅτε χωρὶς ὁπλιτῶν ὢν ἐδύνατο, οὔτε τῆς τροφῆς, ἄλλως τε
καὶ πλήθει πολλῷ ἄνευ παρασκευῆς σιτίων ἀφιγμένος, εὐπόρει), εἰ
μὴ ὁ Παῖτος τήν τε τοξείαν αὐτοῦ καὶ ἐς αὐτὸ τὸ στρατόπεδον
ἀφικνουμένην καὶ τὴν ἵππον πανταχοῦ φαινομένην δείσας λόγους
τε ὑπὲρ σπονδῶν αὐτῷ ἔπεμψε, καὶ ὡμολόγησε καὶ ὤμοσεν αὐτός
τε τὴν Ἀρμενίαν ἅπασαν ἐκλείψειν καὶ τὸν Νέρωνα τῷ Τηριδάτῃ
αὐτὴν δώσειν. ἀγαπήσας γὰρ ἐπὶ τούτοις ὁ Πάρθος ὡς καὶ τὴν 3
χώραν ἀπονητὶ ληψόμενος καὶ εὐεργεσίαν ἐς τοὺς Ῥωμαίους μεγά-
λην καταθησόμενος, καὶ ἅμα καὶ τὸν Κορβούλωνα, ὃν ὁ Παῖτος
πρὶν περιστοιχισθῆναι μετεπέμπετο, πλησιάζειν πυθόμενος, ἀφῆκεν
αὐτούς, προδιομολογησάμενος ἵνα τὸν ποταμὸν αὐτῷ Ἀρσανίαν 4
ζεύξωσιν, οὐχ ὅτι γεφύρας ἐδεῖτο (πεζῇ γὰρ αὐτὸν διεληλύθει),
ἀλλ᾽ ἵνα ἐνδείξηταί σφισιν ὅτι κρείττων αὐτῶν ἦν. ἀμέλει οὐδὲ
τότε διὰ τοῦ ζεύγματος ἀνεχώρησεν, ἀλλ᾽ αὐτὸς μὲν ἐπ᾽ ἐλέφαντος,
οἱ δὲ ἄλλοι ὥσπερ καὶ πρότερον. ἄρτι τε ἡ ὁμολογία ἐγεγόνει, καὶ 22
ὁ Κορβούλων ἀμηχάνῳ τάχει πρὸς τὸν Εὐφράτην ἐλθὼν ἐνταῦθ᾽ a.C. 63
ὑπέμεινεν. ὅτε δ᾽ οὖν συνεγένοντο ἀλλήλοις, πλεῖστον ἄν τις τὸ
διάφορον τῶν στρατοπέδων καὶ τῶν στρατηγῶν, τῶν μὲν χαιρόντων

20' 4 4 τότε] τότε οὐδὲ ταχὺ

Digitized by Google

τε καὶ λαμπρυνομένων ἐπὶ τῇ σπονδῇ, τῶν δὲ λυπουμένων τε καὶ
2 αἰσχυνομένων ἐπὶ τῇ συνθήκῃ, κατενόησεν. ὁ δὲ Ὀολόγαισος Μο-
ναίσην πρὸς Κορβούλωνα πέμψας ἠξίωσεν αὐτὸν τὸ ἔρυμα τὸ ἐν
τῇ Μεσοποταμίᾳ ἐκλιπεῖν· καὶ διελέχθησαν ἐκεῖνοι πολλὰ ἀλλήλοις
3 ἐν αὐτῇ τῇ τοῦ Εὐφράτου γεφύρᾳ, τὸ μέσον αὐτῆς λύσαντες. ὑπο-
σχομένου δὲ τοῦ Κορβούλωνος ἀπαλλαγήσεσθαι ἐκ τῆς χώρας, ἂν
καὶ ὁ Πάρθος τὴν Ἀρμενίαν ἐκλείπῃ, ἑκάτερον ἐγένετο, μέχρις οὗ ὁ
Νέρων τὰ πραχθέντα πυθόμενος, καὶ τοῖς πρέσβεσι τοῦ Ὀολογαί-
σου, οὓς αὖθις ἔπεμψε, χρηματίσας, τούτοις μὲν ἀπεκρίνατο τὴν
4 Ἀρμενίαν δώσειν τῷ Τηριδάτῃ, ἂν ἐς τὴν Ῥώμην ἀνέλθῃ, τὸν δὲ
δὴ Παῖτον τῆς ἀρχῆς παύσας, τούς τε στρατιώτας τοὺς σὺν αὐτῷ
γενομένους ἄλλοσέ ποι πέμψας, τὸν Κορβούλωνα αὖθις τῷ κατ᾽
αὐτῶν πολέμῳ προσέταξεν. ἐβουλεύσατο μὲν γὰρ αὐτὸς συστρα-
τεῦσαι, ἐπεὶ δὲ θύων ἔπεσεν, οὐκ ἐτόλμησεν ἐξορμῆσαι, ἀλλὰ κατὰ
τὴν χώραν ἔμεινεν. U p. 392.

23 "ὅτι ὁ Κορβούλων ἐν μὲν τῷ φανερῷ τὸν πρὸς Ὀολόγαισον
πόλεμον παρεσκευάζετο, καὶ πέμψας ἑκατοντάρχην ἐκέλευσεν αὐτὸν
ἀπαλλαγῆναι τῆς χώρας, ἰδίᾳ δὲ συνεβούλευέν οἱ τὸν ἀδελφὸν ἐς
τὴν Ῥώμην πέμψαι, καὶ ἔπεισεν, ἐπειδὴ κρείττων αὐτοῦ τῇ δυνά-
2 μει ἐδόκει εἶναι. συνῆλθον οὖν ἐν αὐτῇ τῇ Ῥανδείᾳ ὅ τε Κορβού-
λων καὶ ὁ Τηριδάτης· τοῦτο γὰρ τὸ χωρίον ἀμφοτέροις ἤρεσε, τῷ
μὲν ὅτι ἀπολαβόντες ἐς αὐτὸ τοὺς Ῥωμαίους ὑποσπόνδους ἀφῆκαν,
πρὸς ἔνδειξιν ὧν εὐηργέτηντο, τῷ δὲ ὅτι τὴν δύσκλειαν τὴν ἐν αὐτῷ
3 πρότερον συμβᾶσάν σφισιν ἀποτρίψεσθαι ἔμελλον. οὐδὲ γὰρ ἁπλῶς
λόγους τινὰς ἐποιήσαντο, ἀλλὰ καὶ βῆμα ὑψηλὸν ἠγέρθη καὶ ἐπ᾽
αὐτοῦ εἰκόνες τοῦ Νέρωνος ἐτέθησαν, ὅ τε Τηριδάτης πολλῶν μὲν
Ἀρμενίων πολλῶν δὲ Πάρθων καὶ Ῥωμαίων παρόντων προσῆλθέ
τε αὐταῖς καὶ προσεκύνησεν, θύσας τε καὶ ἐπευφημήσας τὸ διά-
4 δημα ἀπό τε τῆς κεφαλῆς ἀφεῖλε καὶ παρέθηκεν αὐταῖς· καὶ ὁ
Μονόβαζος καὶ Ὀολόγαισος πρὸς τὸν Κορβούλωνα ἦλθον καὶ ὁμή-
ρους αὐτῷ ἔδωκαν. καὶ ἐπὶ τούτοις ὁ Νέρων αὐτοκράτωρ τε πολ-
λάκις ἐπεκλήθη, καὶ τὰ ἐπινίκια ἔπεμψε παρὰ τὸ νεμομισμέ-
νον. U p. 391.

5 Κορβούλων μὲν οὖν, καίτοι καὶ ἰσχὺν μεγάλην καὶ δόξαν οὐκ
ἐλαχίστην ἔχων, καὶ δυνηθεὶς ἂν ῥᾷστα καὶ αὐτοκράτωρ, ἅτε καὶ
τῶν ἀνθρώπων τῷ τε Νέρωνι δεινῶς ἀχθομένων καὶ ἐκεῖνον ἐς
πάντα δὴ πάντως θαυμαζόντων, ἀποδειχθῆναι, οὔτε ἐνεωτέρισέ τι
6 οὔτε ᾐτιάθη. "τά τε γὰρ ἄλλα ἔτι καὶ μᾶλλον ἐμετρίαζε, καὶ τὸν

22 4 1 δώσειν om 4 εὖ στρατεῦσαι. an ἐκεῖσε στρ.?* 23 3 5 δὲ καὶ?* 6 1 " " V p. 690.

Digitized by Google

*γαμβρὸν Ἄννιον ὑποστρατηγοῦντά οἱ ἐς τὴν Ῥώμην, πρόφασιν μὲν
ὡς τὸν Τηριδάτην ἀνάξοντα, τὸ δ' ἀληθὲς ἐφ' ὁμηρείᾳ τῷ Νέρωνι
ἑκὼν ἔπεμψεν. οὕτω γάρ που ἐπεπίστευτο μηδὲν νεοχμώσειν ὥστε
καὶ τὸν γαμβρόν, καὶ πρὶν στρατηγῆσαι, τὴν ὕπατον λαβεῖν."
ὁ δὲ δὴ Σενέκας καὶ ὁ Ῥοῦφος ὁ ἔπαρχος ἄλλοι τέ τινες τῶν ἐπι- 24
φανῶν ἐπεβούλευσαν τῷ Νέρωνι· οὔτε γὰρ τὴν ἀσχημοσύνην οὔτε a.C. 65
τὴν ἀσέλγειαν οὔτε τὴν ὠμότητα αὐτοῦ ἔτι φέρειν ἐδύναντο. αὐτοί
τε οὖν ἅμα τῶν κακῶν τούτων ἀπαλλαγῆναι κἀκεῖνον ἐλευθερῶσαι
ἠθέλησαν, ὥσπερ ἄντικρυς Σουλπίκιός τε Ἄσπρος ἑκατόνταρχος καὶ
Σούβριος Φλάβιος χιλίαρχος, ἐκ τῶν σωματοφυλάκων ὄντες, καὶ
πρὸς αὐτὸν τὸν Νέρωνα ὡμολόγησαν. ἐκεῖνός τε γὰρ ἐρωτηθεὶς 2
ὑπ' αὐτοῦ τὴν αἰτίαν τῆς ἐπιθέσεως εἶπεν ὅτι ἄλλως σοι βοηθῆσαι
οὐκ ἐδυνάμην, καὶ ὁ Φλάβιος "καὶ ἐφίλησά σε" εἶπε "παντὸς μᾶλ-
λον καὶ ἐμίσησα. ἐφίλησα μὲν ἐλπίσας ἀγαθὸν αὐτοκράτορα ἔσε-
σθαι, ἐμίσησα δὲ ὅτι τὰ καὶ τὰ ποιεῖς· οὔτε γὰρ ἁρματηλάτῃ οὔτε
κιθαρῳδῷ δουλεύειν δύναμαι." μηνύσεως οὖν γενομένης οὗτοί τε
ἐκολάσθησαν καὶ ἄλλοι δι' αὐτοὺς πολλοί. πᾶν γὰρ ὅ τι τις ἐγκα- 3
λέσαι τῳ ἐκ περιχαρείας καὶ λύπης ῥημάτων τε καὶ νευμάτων οἷός
τε ἦν, καὶ ἐπεφέρετο καὶ ἐπιστεύετο· οὐδ' ἔστιν ὅ τι τῶν ἐγκλημά-
των, εἰ καὶ ἐπέπλαστο, ἀπιστεῖσθαι διὰ τὴν ἀλήθειαν τῶν τοῦ Νέ-
ρωνος ἔργων ἐδύνατο. καὶ διὰ τοῦτ' ἐς τὰ μάλιστα οἵ τε φίλοι οἱ 4
πονηροὶ καὶ οἰκέται τινῶν ἤνθησαν· τοὺς μὲν γὰρ ἀλλοτρίους τούς
τε ἐχθροὺς ὑποπτεύοντες ἐφυλάσσοντο, πρὸς δὲ δὴ τοὺς συνόντας
καὶ ἄκοντες ἐγυμνοῦντο.*

*περὶ μὲν οὖν τῶν ἄλλων τῶν ἀπολωλότων πολὺ ἔργον εἰπεῖν· 25
ὁ δὲ δὴ Σενέκας ἠθέλησε μὲν καὶ τὴν γυναῖκα Παυλῖναν ἀποκτεῖ-
ναι, λέγων πεπεικέναι αὐτὴν τοῦ τε θανάτου καταφρονῆσαι καὶ τῆς
σὺν αὐτῷ μεταλλαγῆς ἐπιθυμῆσαι, καὶ ἔσχασε καὶ τὰς ἐκείνης φλέ-
βας, δυσθανατήσας δὲ δὴ καὶ πρὸς τὸν ὄλεθρον ὑπὸ τῶν στρα- 2
τιωτῶν ἐπειχθεὶς προαπηλλάγη αὐτῆς, καὶ οὕτως ἡ Παυλῖνα περι-
εγένετο. οὐ μέντοι πρότερον ἑαυτοῦ ἥψατο πρὶν τό τε βιβλίον ὃ
συνέγραφεν ἐπανορθῶσαι καὶ τἆλλα (ἐδεδίει γὰρ μὴ καὶ ἐς τὸν
Νέρωνα ἐλθόντα φθαρῇ) παρακαταθέσθαι τισίν.*

*καὶ ὁ μὲν οὕτως ἐτελεύτησε, καίπερ τήν τε συνουσίαν τὴν πρὸς 3
αὐτὸν ὡς καὶ ἀσθενῶν προειμένος, καὶ πᾶσαν αὐτῷ τὴν οὐσίαν ἐπὶ
τῇ τῶν οἰκοδομουμένων προφάσει κεχαρισμένος, καὶ οἱ ἀδελφοὶ
ὕστερον ἐπαπώλοντο· ὁ δὲ δὴ Θρασέας καὶ ὁ Σωρανός, καὶ γένους 26
καὶ πλούτου τῆς τε συμπάσης ἀρετῆς ἐς τὰ πρῶτα ἀνήκοντες, ἐπι-*

25 1 4 ἔσχισε* ἐκείνου 2 3 ἑαυτῆς

βουλῆς μὲν αἰτίαν οὐκ ἔσχον, ἀπέθανον δὲ καὶ αὐτοὶ τότε, ὅτι τοι-
οῦτοι ἦσαν. καὶ τοῦ γε Σωρανοῦ Πούπλιος Ἐγνάτιος Κέλερ φιλό-
2 σοφος κατεψευδομαρτύρησεν. δύο γὰρ ἀνδρῶν συνόντων αὐτῷ,
Κασπίου τε Ἀσκληπιοδότου Νικαέως καὶ ἐκείνου Βηρυτίου, ὁ μὲν
Ἀσκληπιόδοτος οὐχ ὅπως κατεῖπέ τι αὐτοῦ, ἀλλὰ καὶ τοὐναντίον
καλοκαγαθίαν οἱ προσεμαρτύρησε, καὶ διὰ τοῦτο τότε μὲν ἔφυγεν,
ὕστερον δὲ ἐπὶ Γάλβου κατήχθη· ὁ δὲ δὴ Πούπλιος ἐπὶ μὲν τῇ
συκοφαντίᾳ καὶ χρήματα καὶ τιμὰς ἔλαβε καθάπερ οἱ ἄλλοι οἱ
3 τοιοῦτόν τι ποιήσαντες, μετὰ δὲ τοῦτο ἐξωρίσθη. Σωρανὸς μὲν
οὖν ὡς καὶ μαγεύματί τινι διὰ τῆς θυγατρὸς κεχρημένος, ἐπειδὴ
νοσήσαντος αὐτοῦ θυσίαν τινὰ ἐθύσαντο, ἐσφάγη, Θρασέας δὲ ὅτι
οὔτε ἐς τὸ βουλευτήριον συνεχῶς ὡς οὐκ ἀρεσκόμενος τοῖς ψηφι-
ζομένοις ἀπήντα, οὔτ᾽ ἤκουσέ ποτε αὐτοῦ κιθαρῳδοῦντος, οὔτε
4 ἔθυσε τῇ ἱερᾷ αὐτοῦ φωνῇ ὥσπερ οἱ ἄλλοι, οὔτε ἐπεδείξατο οὐδέν,
καίτοι ἐν Παταβίῳ τῇ πατρίδι τραγῳδίαν κατά τι πάτριον ἐν ἑορτῇ
τινὶ τριακονταετηρίδι ὑποκρινάμενος. ἐντεμὼν οὖν τὴν φλέβα ἀνέ-
τεινε τὴν χεῖρα, καὶ ἔφη "σοὶ τοῦτο τὸ αἷμα, ὦ Ζεῦ ἐλευθέριε,
σπένδω."

27 καὶ τί ἄν τις θαυμάσειεν εἰ τοιαῦτα ... ἐπήχθη, ὁπότε τις, ὅτι
πρὸς τῇ ἀγορᾷ ᾤκει καὶ ἐργαστήρια ἐξεμίσθου ἢ καὶ φίλους τινὰς
εἰς αὐτὰ ὑπεδέχετο, καὶ ἄλλος, ὅτι τοῦ Κασσίου τοῦ τὸν Καίσαρα
ἀποκτείναντος εἰκόνα εἶχε, καὶ ἐκρίθησαν καὶ ἐφονεύθησαν.

2 ὅτι Ἰούνιος Τορκουᾶτος ἀπόγονος τοῦ Αὐγούστου ὢν θαυ-
μαστῷ δή τινι ἐγκλήματι παρεδόθη. ἐπειδὴ γὰρ ἀσωτότερον τῇ
οὐσίᾳ, εἴτε ἐκ φύσεως εἴτε καὶ ἐξ ἐπιτηδεύσεως, ὅπως μὴ πάνυ
πλουτοίη, κατεχρήσατο, τῶν τε ἀλλοτρίων αὐτὸν ἐπιθυμεῖν ἅτε καὶ
πολλῶν δεόμενον ὁ Νέρων ἔφη, κἀκ τούτου καὶ τῆς αὐτοκράτορος
ἀρχῆς ἐφιέμενον συκοφαντηθῆναι ἐποίησεν. V p. 690.

3 ἄξιον δὲ μνησθῆναι καὶ γυναικός τινος Ἐπιχάριτος· αὕτη γὰρ
ἔν τε τῇ συνωμοσίᾳ ἐξετασθεῖσα καὶ πᾶσαν αὐτὴν ἀκριβῶς πιστευ-
θεῖσα οὐδὲν τὸ παράπαν, καίπερ πολλάκις ὑπὸ τῆς Τιγελλίνου δει-
4 νότητος βασανισθεῖσα, ἐξέφηνεν. τί δ᾽ ἄν τις καταλέγοι ὅσα ἐπὶ
τῇ ἐπιβουλῇ ταύτῃ ἢ τοῖς δορυφόροις ἐδόθη ἢ τῷ τε Νέρωνι καὶ
τοῖς αὐτοῦ φίλοις ὑπέρογκα ἐψηφίσθη; Ῥοῦφος μέντοι Μουσώνιος
ὁ φιλόσοφος ἐπὶ τούτοις ἐφυγαδεύθη, καὶ ἡ Σαβῖνα ὑπὸ τοῦ Νέ-
ρωνος τότε ἀπέθανεν· κυούσῃ γὰρ αὐτῇ λάξ, εἴτε ἑκὼν εἴτε ἄκων,
28 ἐνέθορεν. ἡ δὲ δὴ Σαβῖνα αὕτη οὕτως ὑπερετρύφησεν (ἐκ γὰρ τῶν
βραχυτάτων πᾶν δηλωθήσεται) ὥστε τάς τε ἡμιόνους τὰς ἀγούσας

26 1 3 ποτε  2 2 Κασσίου Tacit. 16 33.  27 1 1 θαυμάσοι
2 5 καὶ] ὡς?*  3 3 τοῦ Τ. δεινότατα?*

αὐτὴν ἐπίχρυσα σπαρτία ὑποδεῖσθαι, καὶ ὄνους πεντακοσίας ἀρτιτόκους καθ' ἡμέραν ἀμέλγεσθαι ἵν' ἐν τῷ γάλακτι αὐτῶν λούηται· τήν τε γὰρ ὥραν καὶ τὴν λαμπρότητα τοῦ σώματος λαμπρῶς ἐσπουδάκει, καὶ διὰ τοῦτο οὐκ εὐπρεπῆ ποτε αὐτὴν ἐν κατόπτρῳ ἰδοῦσα ηὔξατο τελευτῆσαι πρὶν παρηβῆσαι. καὶ οὕτω γε αὐτὴν ὁ 2
Νέρων ἐπόθησεν ὥστε "μετὰ τὸν θάνατον αὐτῆς τὰ μὲν πρῶτα γυναῖκά τινα προσφερῆ οἱ μαθὼν οὖσαν μετεπέμψατο καὶ ἔσχεν, ἔπειτα" καὶ παῖδα ἀπελεύθερον, ὃν Σπόρον ὠνόμαζεν, ἐκτεμών, ἐπειδὴ καὶ αὐτὸς τῇ Σαβίνῃ προσεῴκει, τά τε ἄλλα ὡς γυναικὶ 3
αὐτῷ ἐχρῆτο καὶ προϊόντος τοῦ χρόνου καὶ ἔγημεν αὐτόν, καίπερ Πυθαγόρᾳ τινὶ ἐξελευθέρῳ γεγαμημένος, καὶ προῖκα αὐτῷ κατὰ συγγραφὴν ἔνειμε, καὶ τοὺς γάμους σφῶν δημοσίᾳ οἵ τε ἄλλοι καὶ αὐτοὶ οἱ Ῥωμαῖοι ἑώρτασαν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο· 4
τότε δὲ πολλοὶ μέν, ὥσπερ εἶπον, ἐθανατώθησαν, πολλοὶ δὲ καὶ μεγάλων χρημάτων τὴν σωτηρίαν παρὰ τοῦ Τιγελλίνου ἐκπριάμενοι ἀπελύθησαν.

ὁ δὲ Νέρων ἄλλα τε γελοῖα ἔπραττε, καί ποτε καὶ ἐπὶ τὴν τοῦ 29
θεάτρου ὀρχήστραν ἐν πανδήμῳ τινὶ θέᾳ κατέβη καὶ ἀνέγνω Τρωϊκά τινα ἑαυτοῦ ποιήματα· καὶ ἐπ' αὐτοῖς θυσίαι πολλαί, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασιν οἷς ἔπραττεν, ἐγένοντο. παρεσκευάζετο δὲ 2
ὡς καὶ τὰς τῶν Ῥωμαίων πράξεις ἁπάσας συγγράψων ἐν ἔπεσιν, καὶ περί γε τοῦ πλήθους τῶν βιβλίων, πρὶν καὶ ὁτιοῦν αὐτῶν συνθεῖναι, ἐσκέψατο, παραλαβὼν ἄλλους τε καὶ Ἀνναῖον Κορνοῦτον εὐδοκιμοῦντα τότε γε ἐπὶ παιδείᾳ. καὶ αὐτὸν ὀλίγου μὲν καὶ ἀπέ- 3
κτεινεν, ἐς νῆσον δ' οὖν ἐνέβαλεν, ὅτι τινῶν τετρακόσια ἀξιούντων αὐτὸν βιβλία γράψαι, πολλά τε αὐτὰ εἶναι ἔφη καὶ μηδένα αὐτὰ ἀναγνώσεσθαι, καί τινος εἰπόντος "καὶ μὴν Χρύσιππος, ὃν ἐπαινεῖς καὶ ζηλοῖς, πολὺ πλείω συνέθηκεν" ἀπεκρίνατο ὅτι ἀλλ' ἐκεῖνα χρήσιμα τῷ τῶν ἀνθρώπων βίῳ ἐστίν. ὁ μὲν οὖν Κορνοῦτος φυγὴν 4
ἐπὶ τούτῳ ὦφλεν, ὁ δὲ δὴ Λουκανὸς ἐκωλύθη ποιεῖν, ἐπειδὴ ἰσχυρῶς ἐπὶ τῇ ποιήσει ἐπῃνεῖτο.

ΞΓ a.C. 66

ἐπὶ δὲ Γαΐου Τελεσίνου καὶ ἐπὶ Σουητωνίου Παυλίνου ὑπάτων εὐδοξότατόν τε ἅμα ἔργον καὶ ἕτερον αἴσχιστον ἐγένετο. ὅ τε γὰρ Νέρων ἐν τοῖς κιθαρῳδοῖς ἠγωνίσατο, καὶ νικητήρια αὐτῷ Μενε-

28 1 5 ἰσχυρῶς? ἐκφανῶς? 2 2 " " V p. 690. τὸν om 4 ὅτι τὸν Σπόρον τὸν ἐκτομίαν ἔχοντος τοῦ Νέρωνος ὡς γυναῖκα εἷς τις τῶν ἐν Ῥώμῃ συνόντων αὐτῷ, καὶ πρὸς φιλοσοφίαν παρεσκευασμένος, ἐρωτηθεὶς εἰ ἀρέσκεται τοῖς γάμοις καὶ τῇ συνοικεσίᾳ, "εὖ γε" ἔφη "ποιεῖς ὦ Καῖσαρ τοιαύταις συνοικῶν. αἴθε καὶ ὁ σὸς πατὴρ τὸν αὐτὸν ζῆλον ἔσχεν καὶ τοιαύτῃ συνῴκησε γαμετῇ", δεικνὺς ὡς εἰ τοῦτο ἐγεγόνει, οὐκ ἂν οὗτος ἐτέχθη καὶ μεγάλων κακῶν ἠλευθεροῦτο ἡ πολιτεία. M p. 213. 1 1 3 αὐτῷ μὲν ἐκρότουν

Digitized by Google

κράτους τοῦ τῆς κιθαρῳδίας διδασκάλου ἐν τῷ ἱπποδρόμῳ ποιή-
2 σαντος ἡνιόχησεν· καὶ ὁ Τηριδάτης ἐς τὴν Ῥώμην, οὐχ ὅτι τοὺς
ἑαυτοῦ παῖδας ἀλλὰ καὶ τοὺς τοῦ Ὀολογαίσου τοῦ τε Πακόρου
καὶ τοῦ Μονοβάζου ἄγων, ἀνήχθη, καὶ ἐγένετο αὐτῶν πομπὴ διὰ
2 πάσης τῆς ἀπὸ τοῦ Εὐφράτου γῆς ὥσπερ ἐν ἐπινικίοις. αὐτός τε
γὰρ ὁ Τηριδάτης καὶ ἡλικίᾳ καὶ κάλλει καὶ γένει καὶ φρονήματι
ἤνθει, καὶ ἡ θεραπεία ἥ τε παρασκευὴ ἡ βασιλικὴ πᾶσα αὐτῷ
συνηκολούθει, τρισχίλιοί τε ἱππεῖς τῶν Πάρθων καὶ χωρὶς ἕτεροι
2 Ῥωμαίων συχνοὶ συνείποντο. καὶ αὐτοὺς αἵ τε πόλεις λαμπρῶς
κεκοσμημέναι καὶ οἱ δῆμοι πολλὰ καὶ χαρίεντα ἀναβοῶντες ὑπεδέ-
χοντο· τά τε ἐπιτήδεια πάντα προῖκα εἶχον, ὥστε εἴκοσι μυριάδας
τὸ ἡμερήσιον ἀνάλωμα τῷ δημοσίῳ λογισθῆναι. καὶ τοῦτο ἐπ' ἐν-
3 νέα μῆνας, οἷς ὡδοιπόρησαν, ὁμοίως ἐγένετο. ἵππευσε δὲ πανταχῇ
μέχρι τῆς Ἰταλίας, καὶ αὐτῷ καὶ ἡ γυνὴ συμπαρίππευε, κράνος
χρυσοῦν ἀντὶ καλύπτρας ἔχουσα, ὥστε μὴ ὁρᾶσθαι παρὰ τὰ πά-
τρια. ἐν δὲ τῇ Ἰταλίᾳ ζεύγεσι πεμφθεῖσιν ὑπὸ τοῦ Νέρωνος ἐκο-
4 μίσθη, καὶ διὰ Πικεντῶν ἐς Νέαν πόλιν πρὸς αὐτὸν ἀφίκετο. οὐ
μέντοι καὶ τὸν ἀκινάκην, ὅτε προσῄει αὐτῷ, καταθέσθαι καίπερ
κελευσθεὶς ἠθέλησεν, ἀλλ' ἥλοις αὐτὸν τῷ κολεῷ προσέπηξε, καίτοι
καὶ ἐς γῆν τὸ γόνυ καθεὶς καὶ τὰς χεῖρας ἐπαλλάξας, δεσπότην τε
3 αὐτὸν ὀνομάσας καὶ προσκυνήσας. ὁ οὖν Νέρων καὶ ἐπὶ τούτῳ
αὐτὸν θαυμάσας τοῖς τε ἄλλοις ἐδεξιώσατο καὶ μονομαχίας ἐν Ποτ-
τεόλοις ἔθετο. ἠγωνοθέτησε δὲ Πατρόβιος ἐξελεύθερος αὐτοῦ, καὶ
τοσαύτῃ γε τῇ λαμπρότητι καὶ τῇ δαπάνῃ ἐχρήσατο ὥστε ἐν μιᾷ
ἡμέρᾳ μηδένα ἄλλον πλὴν Αἰθιόπων καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ
2 παίδων ἐς τὸ θέατρον ἐσελθεῖν. καὶ ἔδει γάρ τῷ Πατροβίῳ τιμήν
τινα διὰ ταῦτα γενέσθαι, ἐτόξευσεν ὁ Τηριδάτης ἄνωθεν ἐκ τῆς
ἕδρας θηρία, καὶ δύο γε ταύρους μιᾷ ἅμα βολῇ, εἴ γέ τῳ πιστόν,
4 διέτρωσε καὶ ἀπέκτεινεν. μετὰ δὲ τοῦτο ἔς τε τὴν Ῥώμην αὐτὸν
ὁ Νέρων ἀνήγαγε καὶ τὸ διάδημα αὐτῷ ἐπέθηκεν. καὶ πᾶσα μὲν
ἡ πόλις ἐκεκόσμητο καὶ φωσὶ καὶ στεφανώμασιν, οἵ τε ἄνθρωποι
2 πολλοὶ πανταχοῦ ἑωρῶντο, μάλιστα δὲ ἡ ἀγορὰ ἐπεπλήρωτο· τὸ
μὲν γὰρ μέσον αὐτῆς ὁ δῆμος λευχειμονῶν καὶ δαφνηφορῶν κατὰ
τέλη εἶχε, τὰ δ' ἄλλα οἱ στρατιῶται λαμπρότατα ὡπλισμένοι, ὥστε
καὶ τὰ ὅπλα αὐτῶν καὶ τὰ σημεῖα ἀστράπτειν. οἵ τε κέραμοι καὶ
αὐτοὶ πάντων τῶν τῇδε οἰκοδομημάτων ἐκρύπτοντο ὑπὸ τῶν ἀνα-
3 βεβηκότων. τούτων δ' οὕτως ἐκ νυκτὸς προπαρασκευασθέντων
ἐσῆλθεν ἐς τὴν ἀγορὰν ὁ Νέρων ἅμα τῇ ἡμέρᾳ, τὴν ἐσθῆτα τὴν

2 3 2 ἢ om 4 1 ὅτι Τιριδάτης δέδωκε τῷ Νέρωνι τὸν ἀκινάκην, εἰπὼν ἀπολήψεσθαι αὐτὸν ὅταν ἐξέρχηται. M p. 213.

Digitized by Google

ἐπινίκιον ἐνδεδυκώς, σύν τε τῇ βουλῇ καὶ σὺν τοῖς δορυφόροις, καὶ ἐπί τε τὸ βῆμα ἀνέβη καὶ ἐπὶ δίφρου ἀρχικοῦ ἐκαθέζετο. καὶ μετὰ τοῦτο ὅ τε Τηριδάτης καὶ οἱ μετ' αὐτοῦ διά τε στοίχων ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων διῆλθον καὶ πρὸς τῷ βήματι προσστάντες προσεκύνησαν αὐτόν, ὥσπερ καὶ πρότερον. κραυγῆς τε ἐπὶ 5
τούτῳ πολλῆς ξυμβάσης ἐξεπλάγη τε ὁ Τηριδάτης, καὶ ἄφωνος χρόνον τινὰ ὡς καὶ ἀπολούμενος ἐγένετο. ἔπειτα σιωπῆς κηρυχθείσης ἐπεθάρρησέ τε, καὶ ἐκβιασάμενος τὸ φρόνημα τῷ τε καιρῷ καὶ τῇ χρείᾳ ἐδούλευσε, μηδὲν φροντίσας εἴ τι ταπεινὸν φθέγξαιτο,
πρὸς τὴν ἐλπίδα ὧν τεύξοιτο. εἶπε γὰρ οὕτως. "ἐγώ, δέσποτα, 2
Ἀρσάκου μὲν ἔκγονος, Ὀολογαίσου δὲ καὶ Πακόρου τῶν βασιλέων ἀδελφός, σὸς δὲ δοῦλος εἰμί. καὶ ἦλθόν τε πρὸς σὲ τὸν ἐμὸν θεόν, προσκυνήσων σε ὡς καὶ τὸν Μίθραν, καὶ ἔσομαι τοῦτο ὅ τι ἂν σὺ ἐπικλώσῃς· σὺ γάρ μοι καὶ μοῖρα εἶ καὶ τύχη." ὁ δὲ Νέρων ἠμεί- 3
ψατο αὐτὸν ὧδε. "ἀλλ' εὖ τοι ἐποίησας αὐτὸς δεῦρο ἐλθών, ἵνα καὶ παρὼν παρόντος μου ἀπολαύσῃς· ἃ γάρ σοι οὔτε ὁ πατὴρ κατέλιπεν οὔτε οἱ ἀδελφοὶ δόντες ἐτήρησαν, ταῦτα ἐγὼ χαρίζομαι καὶ βασιλέα τῆς Ἀρμενίας ποιῶ, ἵνα καὶ σὺ καὶ ἐκεῖνοι μάθωσιν ὅτι καὶ ἀφαιρεῖσθαι βασιλείας καὶ δωρεῖσθαι δύναμαι." ταῦτ' εἰ- 4
πὼν ἀνελθεῖν τε αὐτὸν κατὰ τὴν ἄνοδον τὴν ἐπ' αὐτῷ τούτῳ ἔμπροσθεν τοῦ βήματος πεποιημένην ἐκέλευσε, καὶ καθιζηθέντι αὐτῷ ὑπὸ τὸν πόδα τὸ διάδημα ἐπέθηκεν· βοαί τε καὶ ἐπὶ τούτῳ πολλαὶ καὶ παντοδαπαὶ ἐγένοντο. ἐγένετο δὲ κατὰ ψήφισμα καὶ πανή- 6
γυρις θεατρική. καὶ τὸ θέατρον, οὐχ ὅτι ἡ σκηνὴ ἀλλὰ καὶ ἡ περιφέρεια αὐτοῦ πᾶσα ἔνδοθεν ἐκεχρύσωτο, καὶ τἆλλα ὅσα ἐσῄει χρυσῷ ἐκεκόσμητο· ἀφ' οὗ καὶ τὴν ἡμέραν αὐτὴν χρυσῆν ἐπωνό-
μασαν. τά γε μὴν παραπετάσματα τὰ διὰ τοῦ ἀέρος διαταθέντα, 2
ὅπως τὸν ἥλιον ἀπερύκοι, ἁλουργὰ ἦν, καὶ ἐν μέσῳ αὐτῶν ἅρμα ἐλαύνων ὁ Νέρων ἐνέστικτο, πέριξ δὲ ἀστέρες χρυσοῖ ἐπέλαμπον.

ταῦτα μὲν οὕτως ἐγένετο, καὶ δῆλον ὅτι καὶ συμποσίῳ πολυ- 3
τελεῖ ἐχρήσαντο· ὁ δὲ Νέρων ἐπὶ τούτοις καὶ ἐκιθαρῴδησε δημοσίᾳ καὶ ἡρματηλάτησε, τήν τε στολὴν τὴν πράσινον ἐνδεδυμένος καὶ τὸ κράνος τὸ ἡνιοχικὸν περικείμενος. ἐφ' οἷς ὁ Τηριδάτης αὐ- 4
τὸν μὲν δυσχεραίνων τὸν δὲ Κορβούλωνα ἐπαινῶν ἐν αὐτοῦ τοῦτο μόνον ᾐτιᾶτο, ὅτι τοιοῦτον δεσπότην ἔχων ἔφερεν. οὔκουν οὐδὲ πρὸς αὐτὸν τὸν Νέρωνα ἀπεκρύψατο, ἀλλ' εἶπέ ποτε αὐτῷ "ἀγαθόν, ὦ δέσποτα, ἀνδράποδον Κορβούλωνα ἔχεις." ταῦτα μὲν οὐδὲ 5

5 2 1 τεύξαιτο 6 5 1 ὅτι θεώμενος Τιριδάτης ποτὲ παγκράτιον, ἐπειδὴ εἶδε θάτερον τῶν παγκρατιαστῶν πεσόντα καὶ τυπτόμενον ὑπὸ τοῦ ἀντιπάλου, ἔφη "ἄδικος ἡ μάχη· οὐ γὰρ δίκαιον τὸν πεσόντα τύπτεσθαι." M p. 214.

Digitized by Google

*συνιέντι αὐτῷ ἔλεγεν, ἐν δὲ δὴ τοῖς ἄλλοις καὶ ἐκολάκευσεν αὐτὸν καὶ ὑπέδραμε δεινότατα, καὶ διὰ τοῦτο δῶρά τε παντοδαπὰ πενταχισχιλίων μυριάδων ἄξια, ὥς φασίν, ἔλαβε, καὶ Ἀρτάξατα ἀνοικο-*
6 *δομῆσαι ἐπετράπη· δημιουργούς τε πρὸς τοῦτο πολλούς, τοὺς μὲν παρ' ἐκείνου λαβὼν τοὺς δὲ καὶ χρήμασι πείσας, ἐκ τῆς Ῥώμης ἐξήγαγεν. οὐ μέντοι καὶ πᾶσιν αὐτοῖς ὁ Κορβούλων ἐς τὴν Ἀρμενίαν διαβῆναι ἐφῆκεν, ἀλλὰ μόνοις τοῖς ὑπὸ τοῦ Νέρωνος αὐτῷ δοθεῖσιν· ὅθεν καὶ ἔτι μᾶλλον ὁ Τηριδάτης τοῦτόν τε ἐθαύμασε*
7 *καὶ ἐκείνου κατέγνω. ἀνεκομίσθη δὲ οὐχ ᾗπερ ἦλθε διὰ τοῦ Ἰλλυρικοῦ καὶ ὑπὲρ τὸν Ἰόνιον, ἀλλ' ἐς τὸ Δυρράχιον ἐκ τοῦ Βρεντεσίου πλεύσας· καὶ εἶδε καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις, ὥστε καὶ ἐξ ἐκείνων τὴν τῶν Ῥωμαίων ἀρχὴν καταπλαγῆναι καὶ ἰσχύος ἕνεκα καὶ κάλλους.*

2 *ὁ μὲν δὴ Τηριδάτης τὰ Ἀρτάξατα ἀνοικοδομήσας Νερώνεια προσηγόρευσεν· ὁ δὲ δὴ Ὀυολόγαισος οὔτε ἐλθεῖν πρὸς τὸν Νέρωνα, καίτοι πολλάκις μεταπεμφθείς, ἠθέλησε, καὶ τέλος, ὡς ὀχληρὸς αὐτῷ ἐγίνετο, ἀντεπέστειλέν οἱ ὅτι πολύ σοι ῥᾷον ἢ ἐμοί ἐστι τοσαύτην θάλασσαν πλεῦσαι. ἂν οὖν εἰς τὴν Ἀσίαν ἔλθῃς, τότε συνθησόμεθα "ποῦ δυνησόμεθα" συμβαλεῖν ἀλλήλοις. "τοιαῦτα τὸ*
8 *τελευταῖον ὁ Πάρθος ἔγραψεν." Νέρων δὲ ἐπὶ μὲν ἐκεῖνον οὐκ ἔπλευσε, καίπερ ὀργὴν αὐτῷ ἔχων, οὐ μὴν οὐδὲ ἐπὶ τοὺς Αἰθίοπας*
2 *ἢ τὰς πύλας τὰς Κασπίας, ὥσπερ ἐνενόει· "ἀλλὰ ταῦτα μὲν καὶ χρόνου καὶ πόνου ὁρῶν δεόμενα ἤλπιζεν αὐτόματά οἱ προσχωρή-*
a.C. *σειν", καὶ κατασκόπους ἑκατέρωσε ἔπεμψεν, ἐς δὲ δὴ τὴν Ἑλλάδα*
67 *ἐπεραιώθη, οὔτοι γε ὡς Φλαμινῖνος οὐδ' ὡς Μόμμιος ἢ καὶ Ἀγρίππας καὶ Αὔγουστος οἱ πρόγονοι αὐτοῦ, ἀλλ' ἐπί τε ἡνιοχήσει καὶ*
3 *κιθαρῳδήσει κηρύξει τε καὶ τραγῳδίας ὑποκρίσει. οὐ γὰρ ἤρκει αὐτῷ ἡ Ῥώμη, οὐδὲ τὸ τοῦ Πομπηίου θέατρον, οὐδ' ὁ μέγας ἱππόδρομος, ἀλλ' ἐδεήθη καὶ ἐκστρατείας τινός, ἵνα καὶ περιοδονίκης, ὡς ἔλεγε, γένηται. τοσοῦτον δὲ πλῆθος οὐχ ὅτι τῶν αὐγουστείων ἀλλὰ καὶ τῶν ἄλλων ἀνθρώπων ἐπηγάγετο ὅσον, εἴπερ ἐμπολέμιον*
4 *ἦν, καὶ Πάρθους ἂν καὶ τὰ ἄλλα ἔθνη ἐχειρώσατο. ἀλλ' ἦσαν οἷοι Νερώνειοι ἂν στρατιῶται γένοιντο, καὶ ὅπλα κιθάρας τε καὶ πλῆκτρα προσωπεῖά τε καὶ ἐμβάτας ἔφερον. καὶ ἐνίκησε νίκας οἵας στρατοπέδῳ τοιούτῳ ἔπρεπεν, καὶ κατέλυσε Τέρπνον καὶ Διόδωρον*
5 *καὶ Παμμένην ὡς Φίλιππον ἢ Περσέα ἢ Ἀντίοχον. καὶ διὰ τοῦτό γε, ὡς ἔοικε, καὶ τὸν Παμμένην ἐκεῖνον ἐπὶ τοῦ Γαΐου ἀκμάσαντα*

6 1 *τούτοις* 7 1 3 *Ἀχαΐᾳ?* 2 6 " " Theodosius, *ποῦ δυνάμεθα* M p. 214. 8 2 1 " " V p. 690. 3 4 *γε** 4 3 *πρόσωπα**

*κατηνάγκασε, καίτοι γέροντα ὄντα, ἀγωνίσασθαι, ἵν' αὐτοῦ τοὺς
ἀνδριάντας κρατήσας αἰκίσηται.*

*καὶ εἰ μὲν μόνα ταῦτα ἐπεπράχει, γέλωτα ἂν ὠφλήκει. καίτοι* 9
*πῶς ἄν τις καὶ ἀκοῦσαι, μὴ ὅτι ἰδεῖν, ὑπομείνειεν "ἄνδρα Ῥωμαῖον
βουλευτὴν εὐπατρίδην ἀρχιερέα Καίσαρα" αὐτοκράτορα Αὔγουστον
ἔς τε τὸ λεύκωμα ἐν τοῖς ἀγωνισταῖς ἐγγραφόμενον καὶ τὴν φωνὴν
ἀσκοῦντα, μελετῶντά τέ τινας ᾠδάς, καὶ τὴν μὲν κεφαλὴν κομῶντα
τὸ δὲ γένειον ψιλιζόμενον, ἱμάτιον ἀναβαλλόμενον ἐν τοῖς δρόμοις,* 2
*μεθ' ἑνὸς ἢ δύο ἀκολούθων βαδίζοντα, τοὺς ἀντιπάλους ὑποβλέ-
ποντα καὶ ἀεί τι πρὸς αὐτοὺς μεθ' ἀψιμαχίας λέγοντα, τοὺς ἀγω-
νοθέτας τούς τε μαστιγοφόρους φοβούμενον, καὶ χρήματα αὐτοῖς
κρύφα ἅπασιν ἀναλίσκοντα μὴ καὶ ἐλεγχθεὶς μαστιγωθῇ, καὶ ταῦτα
μέντοι πάντα ποιοῦντα ἵνα τὸν τῶν κιθαρῳδῶν "καὶ τῶν τραγῳδῶν
καὶ τῶν κηρύκων" ἀγῶνα νικήσας ἡττηθῇ τὸν τῶν Καισάρων. "τίς* 3
*γὰρ ἂν προγραφὴ ταύτης χαλεπωτέρα γένοιτο, ἐν ᾗ Σύλλας μὲν
ἄλλους Νέρων δὲ ἑαυτὸν προέγραψεν; τίς δὲ νίκη ἀτοπωτέρα, ἐν
ᾗ τὸν κότινον ἢ τὴν δάφνην ἢ τὸ σέλινον ἢ τὴν πίτυν λαβὼν ἀπώ-
λεσε τὸν πολιτικόν"; καὶ τί ἄν τις ταῦτα αὐτοῦ μόνα ὀδύραιτο,* 4
*ὁπότε καὶ ἐπὶ τοὺς ἐμβάτας ἀναβαίνων κατέπιπτεν ἀπὸ τοῦ κρά-
τους, καὶ τὸ προσωπεῖον ὑποδύνων ἀπέβαλλε τὸ τῆς ἡγεμονίας
ἀξίωμα, ἐδεῖτο ὡς δραπέτης, ἐποδηγεῖτο ὡς τυφλός, ἐκύει ἔτικτεν
ἐμαίνετο ἠλᾶτο, τόν τε Οἰδίποδα καὶ τὸν Θυέστην τόν τε Ἡρακλέα
καὶ τὸν Ἀλκμαίωνα τόν τε Ὀρέστην ὡς πλήθει ὑποκρινόμενος. καὶ* 5
*τά γε προσωπεῖα τοτὲ μὲν αὐτοῖς ἐκείνοις τοτὲ δὲ καὶ ἑαυτῷ
εἰκασμένα ἔφερεν· τὰ γὰρ τῶν γυναικῶν πάντα πρὸς τὴν Σαβῖναν
ἐσκεύαστο, "ὅπως κἀκείνη καὶ τεθνηκυῖα πομπεύῃ. καὶ πάντα ὅσα* 6
*οἱ τυχόντες ὑποκρίνονται, κἀκεῖνος καὶ ἔλεγε καὶ ἔπραττε καὶ ἔπα-
σχε, πλὴν καθ' ὅσον" χρυσαῖς ἁλύσεσιν ἐδεσμεύετο· καὶ γὰρ οὐκ
ἔπρεπεν, ὡς ἔοικεν, αὐτοκράτορι Ῥωμαίων σιδηραῖς δεῖσθαι.*

*καὶ ταῦτα μέντοι πάντα οἵ τε ἄλλοι πάντες καὶ οἱ στρατιῶται* 10
*ὁρῶντες ἔφερον ἐπῄνουν, πυθιονίκην τε αὐτὸν καὶ ὀλυμπιονίκην καὶ
περιοδονίκην καὶ παντονίκην, πρὸς τοῖς ἄλλοις οἷς εἰώθεσαν, ἀπε-
κάλουν, συμμιγνύντες δῆλον ὅτι αὐτοῖς καὶ τὰ τῆς ἀρχῆς ὀνόματα,
ὥστε ἐφ' ἑκάστῳ τόν τε Καίσαρα καὶ τὸν Αὔγουστον ἀκροτελεύ-
τιον εἶναι. οὐδὲ ἐτόλμησεν οὐδεὶς αὐτῶν οὔτε ἐλεῆσαι τὸν κακο-* 2
*δαίμονα οὔτε μισῆσαι, ἀλλ' εἷς μέν τις στρατιώτης ἰδὼν αὐτὸν δε-
δεμένον ἠγανάκτησε καὶ προσδραμὼν ἔλυσεν, ἕτερος δὲ ἐρομένου
τινὸς "τί ποιεῖ ὁ αὐτοκράτωρ" ἀπεκρίνατο ὅτι τίκτει· καὶ γὰρ τὴν*

9 1 2 et 2 6 " " E. Gros p. LXXXIV ex cod. Peiresc. 3 1 " " V
p. 690. 2 ἀπογραφὴ 5 2 πρόσωπα 10 1 3 καὶ om

3 Κανάκην ὑπεκρίνετο. ἔργον δ' οὐδὲν ἄξιον Ῥωμαίων οὐδεὶς σφων ἐποίησεν· τοσαῦτα γάρ που χρήματα διελάγχανον ὥστε καὶ εὔχεσθαι αὐτὸν πολλὰ τοιαῦτα δρᾶν, ἵν' ἔτι πλείονα λαμβάνωσιν.

11 ἀλλ' εἰ μὲν ταῦτα μόνα οὕτως ἐγεγόνει, αἰσχύνη τε ἅμα καὶ χλευασία τὸ πρᾶγμα ἀκίνδυνος ἐνενόμιστο· νῦν δ' ὡς ἀληθῶς, ὥσπερ ἐπὶ πολέμῳ σταλείς, πᾶσαν μὲν τὴν Ἑλλάδα ἐλεηλάτησε, καίπερ ἐλευθέραν ἀφείς, παμπληθεῖς δὲ ἐφόνευσεν "ἄνδρας γυναῖ-
2 κας παῖδας. καὶ πρότερον μὲν τὴν ἡμίσειαν τῆς οὐσίας ἐκέλευσε καὶ τὰ τέκνα καὶ τοὺς ἀπελευθέρους τῶν θανατουμένων ἀποθνήσκοντας καταλείπειν, αὐτοῖς τε ἐκείνοις διαθήκας γράφειν ἐπέτρεπεν, ὅπως μὴ τῶν χρημάτων ἕνεκα αὐτοὺς ἀποκτείνειν δοκῇ (πάντως δὲ πάντα ἢ τά γε πλείω αὐτῶν ἐλάμβανεν· εἰ γοῦν τις ἔλαττόν τι αὐτῷ ἢ καὶ Τιγελλίνῳ ὧν ἤλπιζον κατέλειπεν, οὐδὲ τῶν
3 διαθηκῶν ὠνίνατο)· ὕστερον δὲ καὶ ὅλας τὰς οὐσίας ἀφῃρεῖτο, τούς τε παῖδάς σφων πάντας ἅμα δι' ἑνὸς δόγματος ἐξήλασεν. οὐδὲ τοῦτο αὐτῷ ἐξήρκεσεν, ἀλλὰ καὶ συχνοὺς τῶν φευγόντων ἔφθειρεν." ἐπεὶ τάς γε οὐσίας ὅσας καὶ ζώντων τινῶν ἐδήμευσε, καὶ τὰ ἀναθήματα ὅσα καὶ ἐξ αὐτῶν τῶν ἐν τῇ Ῥώμῃ ναῶν ἐσύλησεν, οὐδὲ
4 ἐξαριθμήσειεν ἄν τις. "διέτρεχον γὰρ γραμματοφόροι μηδὲν ἄλλο διαγγέλλοντες ἢ ὅτι τὸν δεῖνα ἀπόκτεινον, ὁ δεῖνα τέθνηκεν· ἔξω γὰρ δὴ τῶν βασιλικῶν γραμμάτων οὐδὲν ἰδιωτικὸν διεπέμπετο. συχνοὺς γὰρ ἐς τὴν Ἑλλάδα τῶν πρώτων ἐξήγαγεν ὥς τι αὐτῶν
12 δεόμενος, ἵν' ἐκεῖ ἀποθάνωσιν." τοὺς μέντοι ἐν τῇ Ῥώμῃ καὶ τῇ Ἰταλίᾳ πάντας Ἡλίῳ τινὶ καισαρείῳ ἐκδότους παρέδωκεν· πάντα γὰρ ἁπλῶς αὐτῷ ἐπετέτραπτο, ὥστε καὶ δημεύειν καὶ φυγαδεύειν καὶ ἀποκτιννύναι, καὶ πρὶν δηλῶσαι τῷ Νέρωνι, καὶ ἰδιώτας ὁμοίως
2 καὶ ἱππέας καὶ βουλευτάς. οὕτω μὲν δὴ τότε ἡ τῶν Ῥωμαίων ἀρχὴ δύο αὐτοκράτορσιν ἅμα ἐδούλευσε, Νέρωνι καὶ Ἡλίῳ. οὐδ' ἔχω εἰπεῖν ὁπότερος αὐτῶν χείρων ἦν· τὰ μὲν γὰρ ἄλλα ἐκ τοῦ ὁμοίου πάντα ἔπραττον, ἐν ἑνὶ δὲ τούτῳ διήλλασσον, ὅτι ὁ μὲν τοῦ Αὐγούστου ἀπόγονος κιθαρῳδοὺς καὶ τραγῳδούς, ὁ δὲ τοῦ Κλαυδίου
3 ἀπελεύθερος Καίσαρας ἐζήλου. τὸν γὰρ Τιγελλῖνον ἐν προσθήκης μέρει τοῦ Νέρωνος, ὅτι σὺν αὐτῷ ἦν, τίθημι. χωρὶς δὲ ὅ τε Πολύκλειτος καὶ Καλβία Κρισπινίλλα ἦγον ἐπόρθουν ἐσύλων πάνθ' ὅσα ἐνεδέχετο, ἐκεῖνος μὲν μετὰ τοῦ Ἡλίου ἐν τῇ Ῥώμῃ, αὕτη δὲ
4 μετά τε τοῦ Νέρωνος καὶ μετὰ τῆς Σαβίνης τοῦ Σπόρου. τήν τε

11 1 1 ἅμα] ἂν? 2 ἀκίνδυνον 4 et 4 1 " " V p. 693. 2 5 εἴτ' οὖν* 3 1 ὠνίνετο* 4 2 ὅτι τόνδε ἀπέκτεινεν, ὁ δὲ τ.* 12 3 1 ὅτι Νέρων ποτὲ εἶπε μήτε αὐτὸν χωρὶς Τιγελλίνου μήτε Τιγελλῖνον χωρὶς Νέρωνος ζῆν. M p. 215.

Digitized by Google

*γὰρ φυλακὴν αὐτοῦ καὶ τὴν ἐπιτροπείαν τὴν περὶ ἐσθῆτα, καίπερ
γυνὴ καὶ ἐπιφανὴς οὖσα, ἐπεπίστευτο, καὶ δι' αὐτῆς πάντες ἀπεδύοντο.*

*ὠνόμασε δὲ Σαβῖναν τὸν Σπόρον οὐ κατὰ τοῦτο μόνον ὅτι διὰ* 13
*τὴν ὁμοιότητα αὐτῆς ἐξετέτμητο, ἀλλ' ὅτι καὶ ἐγήματο αὐτῷ, ὥσπερ
καὶ ἐκείνη, ἐν τῇ Ἑλλάδι κατὰ συμβόλαιον, ἐκδόντος αὐτὸν τοῦ
Τιγελλίνου, ὥσπερ ὁ νόμος ἐκέλευεν. καὶ τούς [τε] γάμους αὐτῶν
πάντες οἱ Ἕλληνες ἑώρτασαν, τά τε ἄλλα οἷα εἰκὸς ἦν ἐπιλέγοντες,
καὶ γνησίους σφίσι παῖδας γεννηθῆναι εὐχόμενοι. κἀκ τούτου συν-* 2
*εγίνοντο ἅμα τῷ Νέρωνι Πυθαγόρας μὲν ὡς ἀνήρ, Σπόρος δὲ ὡς
γυνή· πρὸς γὰρ τοῖς ἄλλοις καὶ κυρία καὶ βασιλὶς καὶ δέσποινα
ὠνομάζετο. καὶ τί τοῦτο θαυμάσειεν ἄν τις, ὁπότε καὶ μειράκια
καὶ κόρας σταυροῖς γυμνὰς προσδέων θηρίου τέ τινος δορὰν ἀνε-
λάμβανε καὶ προσπίπτων σφίσιν ἠσέλγαινεν ὥσπερ τι ἐσθίων. τοι-* 3
*αῦτα μὲν ὁ Νέρων ἠσχημόνει, τοὺς δὲ βουλευτὰς χιτώνιόν τι ἐνδε-
δυκὼς ἄνθινον καὶ σινδόνιον περὶ τὸν αὐχένα ἔχων ἠσπάσατο·
καὶ γὰρ καὶ ἐν τούτοις ἤδη παρηνόμει, ὥστε καὶ ἀζώστους χιτῶνας
ἐν τῷ δημοσίῳ ἐνδύεσθαι. λέγεται δ' ὅτι καὶ οἱ ἱππεῖς οἱ ἐκ τοῦ
τέλους ἐπὶ αὐτοῦ πρῶτον ἐφιππίοις ἐν τῇ ἐτησίᾳ σφῶν ἐξετάσει
ἐχρήσαντο.*

*ἐν δὲ τοῖς Ὀλυμπίοις ἅρμα ἐλάσας καὶ πεσὼν ἐξ αὐτοῦ καὶ* 14
*ὀλίγου δεῖν συντριβεὶς ὅμως ἐστεφανώθη, καὶ διὰ τοῦτο καὶ τοῖς
ἑλλανοδίκαις τὰς πέντε καὶ εἴκοσι μυριάδας, ἃς ὕστερον Γάλβας
παρ' αὐτῶν ἀπήτησεν, ἔδωκεν.*

*"ὅτι ὁ αὐτὸς τῇ Πυθίᾳ δέκα μυριάδας ἔδωκεν, ὅτι τινὰ κατὰ* 2
*γνώμην αὐτοῦ ἐθέσπισεν· ἃς ὁ Γάλβας ἐκομίσατο." τοῦ δὲ δὴ
Ἀπόλλωνος, εἴτ' οὖν ἀγανακτήσας ὅτι λυπηρά τινα προεῖπεν αὐτῷ,
εἴτε καὶ ἄλλως μανείς, τήν τε χώραν τὴν Κιρραίαν ἀφείλετο καὶ
στρατιώταις ἔδωκε, καὶ τὸ μαντεῖον κατέλυσεν, ἀνθρώπους ἐς τὸ
στόμιον ἐξ οὗ τὸ ἱερὸν πνεῦμα ἀνῄει σφάξας. ἠγωνίσατο δὲ ἐν* 3
*πάσῃ ὁμοίως πόλει ἀγῶνα ἐχούσῃ, κήρυκι πρὸς πάντα τὰ κηρύξεως
δεόμενα Κλουβίῳ Ῥούφῳ ἀνδρὶ ὑπατευκότι χρησάμενος, πλὴν Ἀθη-
νῶν καὶ Λακεδαίμονος· ταύταις γὰρ μόναις οὐδὲ ἐπεφοίτησε τὴν
ἀρχήν, τῇ μὲν διὰ τοὺς Λυκούργου νόμους ὡς ἐναντίους τῇ προ-
αιρέσει αὐτοῦ ὄντας, τῇ δὲ διὰ τὸν περὶ τῶν ἐρινύων λόγον. τὸ δὲ* 4
*δὴ κήρυγμα ἦν "Νέρων Καῖσαρ νικᾷ τόνδε τὸν ἀγῶνα, καὶ στεφα-
νοῖ τόν τε τῶν Ῥωμαίων δῆμον καὶ τὴν ἰδίαν οἰκουμένην." ἔχων
γάρ, ὡς ἔλεγεν, οἰκουμένην ἐκιθαρῴδει τε καὶ ἐκήρυττε καὶ ἐτραγῴδει.*

13 3 6 *ἐφ' ἵπποις* 14 2 1 " " V p. 694. 2 *ὅτι ἀπὸ Δελφῶν ταχέως ἐξῆλθε λέγων ὅτι ζηλοτυπεῖ τὴν φωνὴν αὐτοῦ ὁ Ἀπόλλων.* M p. 215. 3 4 *Λακεδαιμονίων*

15 τὴν δὲ γερουσίαν οὕτω δεινῶς ἐμίσει ὥστε καὶ τῷ Ὀατινίῳ ὡς
μάλιστα χαίρειν, ὅτι ἔλεγεν ἀεί ποτε πρὸς αὐτόν "μισῶ σε, Καῖσαρ,
ὅτι συγκλητικὸς εἶ"· χρήσομαι γὰρ αὐτῷ τῷ λεχθέντι ὑπ' αὐτοῦ
2 ῥήματι. ἐτηροῦντο δὲ ἀκριβῶς καὶ τούτων καὶ τῶν ἄλλων ἀεί ποτε
καὶ αἵ ἔσοδοι καὶ αἵ ἔξοδοι τά τε σχήματα καὶ τὰ νεύματα καὶ τὰ
ἐπιβοήματα, καὶ οἱ μὲν ἀεὶ συνόντες αὐτῷ καὶ σπουδαίως ἀκροώ-
μενοι τορῶς τε ἐκβοῶντες ἐπῃνοῦντο καὶ ἐτιμῶντο, οἱ δὲ λοιποὶ καὶ
3 ἠτιμάζοντο καὶ ἐκολάζοντο, ὥστε τινὰς μὴ δυναμένους ἐπὶ πολὺ
ἀντέχειν (πολλάκις γὰρ καὶ μέχρι τῆς ἑσπέρας ἐξ ἑωθινοῦ παρετεί-
νοντο) προσποιεῖσθαί τε ἐκθνήσκειν καὶ νεκρῶν δίκην ἐκ τῶν θεά-
τρων ἐκφέρεσθαι.

16 πάρεργον δὲ δὴ τῆς ἐπιδημίας τῆς ἐν τῇ Ἑλλάδι ἐποιήσατο
τὸν ἰσθμὸν τῆς Πελοποννήσου διορύξαι ἐπιθυμήσας, καὶ ἤρξατο
τοῦ ἔργου καίπερ τῶν ἀνθρώπων ὀκνούντων· αἷμά τε γὰρ τοῖς
πρώτοις ἁψαμένοις τῆς γῆς ἀνέβλυσεν, καὶ οἰμωγαὶ μυκηθμοί τέ
2 τινες ἐξηκούοντο, καὶ εἴδωλα πολλὰ ἐφαντάζετο. λαβὼν δὲ αὐτὸς
δίκελλαν καί τι καὶ ἀνασκάψας ἔπεισε καὶ τοὺς ἄλλους ἀνάγκῃ αὐ-
τὸν μιμήσασθαι, καὶ πολὺ πλῆθος ἀνθρώπων ἐπὶ τοῦτο τὸ ἔργον
καὶ ἐκ τῶν ἄλλων ἐθνῶν μετεπέμψατο.

17 ἔς τε οὖν τἆλλα καὶ ἐς ταῦτα χρημάτων πολλῶν δεόμενος, καὶ
μεγαλοπράγμων καὶ μεγαλόδωρος ὁμοίως ὤν, καὶ ἅμα φοβούμενος
τοὺς δυνατωτάτους μὴ ἐπιθῶνταί οἱ τοιαῦτα ποιοῦντι, πολλούς τε
2 καὶ ἀγαθοὺς ἄνδρας ἔφθειρεν. ὧν ἐγὼ τοὺς μὲν ἄλλους ἐάσω (πᾶσί
τε γὰρ παρ' αὐτῷ δημόσιον ἔγκλημα ἦν ἀρετή τε καὶ πλοῦτος καὶ
γένος, καὶ πάντες ἢ ἑαυτοὺς ἀπεκτίννυσαν ἢ ὑπ' ἄλλων ἐφονεύοντο),
τοῦ δὲ δὴ Κορβούλωνος καὶ Σουλπικίων καὶ Σκριβωνίων, Ῥούφου
3 τε καὶ Πρόκλου, μνημονεύσω, τούτων μὲν ὅτι ἀδελφοί τε καὶ ἡλι-
κιῶται τρόπον τινὰ ὄντες, καὶ μηδὲν μηδέποτε ἄνευ ἀλλήλων πρά-
ξαντες, ἀλλ' ὥσπερ τῷ γένει οὕτω καὶ τῇ προαιρέσει τῇ τε οὐσίᾳ
συμπεφυκότες, καὶ τὰς Γερμανίας δὲ ἀμφοτέρας ἐπὶ πολὺ ἅμα
διῴκησαν, ἦλθόν τε ἐς τὴν Ἑλλάδα μετάπεμπτοι ὥς τι αὐτῶν τοῦ
4 Νέρωνος δεομένου, καὶ ἐγκλήματα οἷα ὁ καιρὸς ἐκεῖνος ἔφερε λα-
βόντες, καὶ μήτε λόγου τυγχάνοντες μήτε ἐς ὀφθαλμοὺς τοῦ Νέρω-
νος ἀφικνούμενοι, καὶ διὰ τοῦθ' ὑφ' ἁπάντων ὁμοίως ἀτιμαζόμενοι,
ἀποθανεῖν τε ἐπεθύμησαν καὶ ἐτελεύτησαν τὰς φλέβας αὐτῶν σχά-
5 σαντες, τοῦ δὲ δὴ Κορβούλωνος ὅτι καὶ ἐκεῖνον ἐντιμότατα μετα-
πεμψάμενος, καὶ τά τε ἄλλα καὶ πατέρα καὶ εὐεργέτην αὐτὸν ἀεὶ
ὀνομάζων, ἔπειτ' ἐπειδὴ τῇ Κεγχρέᾳ προσέσχε, σφαγῆναι, πρὶν καὶ

17 3 5 τι] τε*

Digitized by Google

*ἐς ὄψιν αὐτῷ ἐλθεῖν, προσέταξεν· κιθαρῳδήσειν γὰρ ἔμελλεν, ὥς
τινες λέγουσι, καὶ οὐχ ὑπέμεινεν αὐτῷ τὸ ὀρθοστάδιον ἔχων ὀφθῆ-
ναι. καὶ ὃς ἐπειδὴ τάχιστα τὸ προστεταγμένον ἔγνω, ξίφος τε* 6
*ἔλαβε, καὶ ἑαυτὸν ἐρρωμένως παίων ἔλεγεν "ἄξιος·" τότε γὰρ δή,
τότε πρῶτον ἐπίστευσεν ὅτι κακῶς ἐπεποιήκει καὶ φεισάμενος τοῦ
κιθαρῳδοῦ καὶ πρὸς αὐτὸν ἐλθὼν ἄνοπλος.*

*ἐν μὲν δὴ τῇ Ἑλλάδι ταῦτ' ἐπράττετο· τί γὰρ δεῖ λέγειν ὅτι* 18
*καὶ τὸν Πάριν τὸν ὀρχηστὴν ἀποθανεῖν ἐκέλευσεν, ὅτι ὀρχεῖσθαι
παρ' αὐτῷ μαθεῖν ἐθελήσας οὐκ ἠδυνήθη; τί δ' ὅτι Καικίναν Τοῦ-
σκον ὑπερώρισεν, ὅτι τῆς Αἰγύπτου ἄρχων ἐλούσατο ἐν τῷ βαλα-
νείῳ ὃ ἐκείνῳ ὡς καὶ ἐς τὴν Ἀλεξάνδρειαν ἥξοντι ἐποιήθη; ἐν δὲ* 2
*τῇ Ῥώμῃ κατὰ τὸν αὐτὸν χρόνον ὁ Ἥλιος ἄλλα τε πολλὰ καὶ δεινὰ
εἰργάσατο, καὶ Σουλπίκιον Καμερῖνον ἄνδρα τῶν πρώτων μετὰ τοῦ
υἱέος ἀπέκτεινεν, ἐγκαλέσας σφίσιν ὅτι Πυθικοὶ ἐκ προγόνων ἐπι-
καλούμενοι οὐκ ἐπαύσαντο τὸ πρόσρημα τοῦτ' ἔχοντες, ἀλλ' ἐς τὰς
τοῦ Νέρωνος νίκας τὰς Πυθικὰς ἐκ τῆς ὁμωνυμίας ἠσέβουν. τῶν* 3
*δὲ αὐγουστείων ἄγαλμα αὐτοῦ χιλίων λιτρῶν ποιήσειν ὑποσχομέ-
νων, πᾶν τὸ ἱππικὸν ἠναγκάσθη συντελέσαι σφίσι τὸ ἀνάλωμα. τὰ
δὲ δὴ τῆς γερουσίας ἔργον καθ' ἕκαστον ἐπεξελθεῖν· τοσαῦται γὰρ
θυσίαι καὶ ἱερομηνίαι ἐπηγγέλθησαν ὥστε μηδ' ὅλον τὸν ἐνιαυτὸν
ἐξαρκέσαι.*

*ὁ δὲ Ἥλιος πολλάκις μὲν καὶ πρότερον ἐπιστείλας αὐτῷ, παραι-* 19
*νῶν ὅτι τάχιστα ἀνακομισθῆναι· ὡς δ' οὐκ ἐπείθετο, ἦλθεν αὐτὸς* a. C. 68
*ἐς τὴν Ἑλλάδα ἑβδόμῃ ἡμέρᾳ, καὶ ἐξεφόβησεν αὐτὸν εἰπὼν μεγά-
λην τινὰ ἐπιβουλὴν ἐν τῇ Ῥώμῃ παρασκευάζεσθαι κατ' αὐτοῦ, ὥστε
παρευθὺς ἐς τὴν Ἰταλίαν ἀποπλεῦσαι. καὶ ἐγένετο μέν τις ἐλπὶς* 2
*ὑπὸ χειμῶνος αὐτὸν φθαρήσεσθαι, μάτην δὲ πολλοὶ ἥσθησαν· ἐσώθη
γάρ. καί τισι καὶ αὐτὸ τοῦτο ὀλέθρου αἴτιον ἐγένετο, ὅτι καὶ ηὔ-
ξαντο καὶ ἤλπισαν αὐτὸν ἀπολεῖσθαι. ἐπεὶ δ' οὖν ἐς τὴν Ῥώμην* 20
*ἐσήλασε, τοῦ τε τείχους τι καθῃρέθη καὶ τῶν πυλῶν περιερράγη,
νενομίσθαι τινῶν λεγόντων ἑκάτερον τοῖς ἐκ τῶν ἀγώνων στεφανη-
φόροις γίνεσθαι. καὶ ἐσεφοίτησαν πρῶτοι μὲν οἱ τοὺς στεφάνους* 2
*οὓς ἀνῄρητο κομίζοντες, καὶ μετ' αὐτοὺς ἕτεροι σανίδιά [τε] ἐπὶ δο-
ράτων ἀνατείνοντες, ἐφ' οἷς ἐπεγέγραπτο τό τε ὄνομα τοῦ ἀγῶνος
καὶ τὸ εἶδος τοῦ ἀγωνίσματος, ὅτι τε Νέρων Καῖσαρ πρῶτος πάν-
των τῶν ἀπὸ τοῦ αἰῶνος Ῥωμαίων ἐνίκησεν αὐτό. ἔπειτα αὐτὸς* 3
*ἐφ' ἅρματος ἐπινικίου, ἐν ᾧ ποτὲ ὁ Αὔγουστος τὰ πολλὰ ἐκεῖνα
νικητήρια ἐπεπόμφει, ἁλουργίδα χρυσόπαστον ἔχων καὶ κότινον*

18 3 2 αὐτοῦ] *αὐτοῦ χρυσοῦν?* cf. 72 15. 19 1 1 *ἐπέστειλεν?*
20 2 2 *ἀνήρουν*

ἐστεφανωμένος, τὴν Πυθικὴν δάφνην προτείνων· καὶ αὐτῷ ὁ Διό-
4 δωρος ὁ κιθαρῳδὸς παρωχεῖτο. καὶ οὕτω διά τε τοῦ ἱπποδρόμου καὶ διὰ τῆς ἀγορᾶς μετά τε τῶν στρατιωτῶν καὶ μετὰ τῶν ἱππέων τῆς τε βουλῆς διελθὼν ἐς τὸ Καπιτώλιον ἀνέβη, καὶ ἐκεῖθεν ἐς τὸ παλάτιον, πάσης μὲν τῆς πόλεως ἐστεφανωμένης καὶ λυχνοκαυτού-
5 σης καὶ θυμιώσης, πάντων δὲ τῶν ἀνθρώπων, καὶ αὐτῶν τῶν βουλευτῶν ὅτι μάλιστα, συμβοώντων "οὐᾶ Ὀλυμπιονῖκα, οὐᾶ Πυθιονῖκα, οὐᾶ Αὔγουστε Αὔγουστε. Νέρωνι τῷ Ἡρακλεῖ, Νέρωνι τῷ Ἀπόλλωνι. ὡς εἷς περιοδονίκης, εἷς ἀπ' αἰῶνος, Αὔγουστε Αὔγουστε.
6 ἱερὰ φωνή· μακάριοι οἵ σου ἀκούοντες." τί γὰρ δεῖ περιπλέκειν καὶ οὐκ αὐτὰ τὰ λεχθέντα δηλοῦν; οὐδὲ γὰρ οὐδ' αἰσχύνην τινὰ τῇ συγγραφῇ τὰ ῥηθέντα, ἀλλὰ καὶ κόσμον τὸ μηδὲν αὐτῶν ἀποκρυφθῆναι φέρει.

21 ἐκτελέσας δὲ ταῦτα ἱπποδρομίας ἐπήγγειλε, καὶ τοὺς στεφάνους, τούτους τε καὶ τοὺς ἄλλους πάντας ὅσους ἅρμασι νικήσας εἰλήφει, ἐς τὸν ἱππόδρομον ἐσήνεγκε καὶ τῷ ὀβελίσκῳ τῷ Αἰγυπτίῳ περιέθηκεν· καὶ ἦσαν ὀκτὼ καὶ ὀκτακόσιοι καὶ χίλιοι. ποιήσας δὲ ταῦτα
2 ἡνιόχησεν. Λάρκιος δέ τις Λυδὸς προσῆλθεν αὐτῷ πέντε καὶ εἴκοσι μυριάδας προσφέρων ἵνα κιθαρῳδήσῃ· καὶ ὃς τὸ μὲν ἀργύριον οὐκ ἔλαβεν, ἀπαξιώσας μισθοῦ τι ποιῆσαι (καὶ διὰ τοῦτο Τιγελλῖνος αὐτὸ ἐσέπραξεν, ἵνα μὴ αὐτὸν ἀποκτείνῃ), ἐς μέντοι τὸ θέατρον καὶ ὣς ἐσελθὼν καὶ ἐκιθαρῴδησε καὶ ἐτραγῴδησεν, ἐπεὶ τοῖς γε ἵπποις οὐκ ἔστιν ὅτε οὐχ ἡμιλλᾶτο. ἔστι δ' ὅτε καὶ ἑκὼν ἡττᾶτο, ὅπως τά γε ἄλλα τὰ πλείω πιστεύηται ἐπ' ἀληθείας κρατεῖν.

22 ὁ μὲν οὖν Νέρων οὕτω τε ἔζη καὶ οὕτως ἐμονάρχει, λέξω δὲ καὶ ὅπως κατελύθη καὶ ἐκ τῆς ἀρχῆς ἐξέπεσεν. ἦν τις Γαλάτης ἀνὴρ Γάιος Ἰούλιος Οὐίνδιξ, ἐκ μὲν προγόνων "Ἀκυτανὸς" τοῦ βασιλικοῦ γένους, κατὰ δὲ τὸν πατέρα βουλευτὴς τῶν Ῥωμαίων, τό τε σῶμα ἰσχυρὸς καὶ τὴν ψυχὴν συνετός, τῶν τε πολεμικῶν ἔμπειρος καὶ πρὸς πᾶν ἔργον μέγα εὔτολμος· "τό τε φιλελεύθερον καὶ
2 τὸ φιλότιμον πλεῖστον εἶχεν· ὃς προέστη τῶν Γαλατῶν." οὗτος ὁ Οὐίνδιξ συναθροίσας τοὺς Γαλάτας πολλὰ πεπονθότας τε ἐν ταῖς συχναῖς ἐσπράξεσι τῶν χρημάτων καὶ ἔτι πάσχοντας ὑπὸ Νέρωνος, καὶ ἀναβὰς ἐπὶ βῆμα μακρὰν διεξῆλθε κατὰ τοῦ Νέρωνος ῥῆσιν,

5 2 οὐᾶ ante Ὀλ. om*  21 2 7 πιστεύσηται  22 1 1 ἔτι δ' ἐν τῇ Ἑλλάδι ὄντος τοῦ Νέρωνος Ἰουδαῖοι εἰς προῦπτον ἀπέστησαν, καὶ ἐπ' αὐτοὺς τὸν Οὐεσπασιανὸν ἔπεμψεν. καὶ οἱ ἐν τῇ Βρεττανίᾳ δὲ καὶ οἱ Γαλάται βαρυνόμενοι ταῖς εἰσφοραῖς ἤσχαλλον ἐκ πλείονος καὶ ἐφλέγμαινον. Z p. 479 3 et 6 " " V p. 694  2 1 ὁρῶν τοὺς ὁμοφύλους Γαλάτας ὀργῶντας πρὸς ἀποστασίαν, δι' ὧν ἐδημηγόρησεν ἠρέθισεν αὐτούς, καὶ ὥρκωσε πάντα ὑπὲρ τῆς βουλῆς καὶ τοῦ δήμου τῶν Ῥωμαίων ποιήσειν, καὶ ἑαυτόν, ἄν τι παρὰ ταῦτα ποιήσῃ, φονεύσειν. Z

Digitized by Google

λέγων δεῖν ἀποστῆναί τε αὐτοῦ καὶ ἅμα οἷ ἐπιστῆναι αὐτῷ, "ὅτι" 3
φησὶ "πᾶσαν τὴν τῶν Ῥωμαίων οἰκουμένην σεσύληκεν, ὅτι πᾶν τὸ
ἄνθος τῆς βουλῆς αὐτῶν ἀπολώλεκεν, ὅτι τὴν μητέρα τὴν ἑαυτοῦ
καὶ ᾔσχυνε καὶ ἀπέκτεινεν, καὶ οὐδ' αὐτὸ τὸ σχῆμα τῆς ἡγεμονίας
σώζει. σφαγαὶ μὲν γὰρ καὶ ἁρπαγαὶ καὶ ὕβρεις καὶ ὑπ' ἄλλων 4
πολλαὶ πολλάκις ἐγένοντο· τὰ δὲ δὴ λοιπὰ πῶς ἄν τις κατ' ἀξίαν
εἰπεῖν δυνηθείη; εἶδον, ὦ ἄνδρες φίλοι καὶ σύμμαχοι, πιστεύσατέ
μοι, εἶδον τὸν ἄνδρα ἐκεῖνον, εἴ γε ἀνὴρ ὁ Σπόρον γεγαμηκώς, ὁ
Πυθαγόρᾳ γεγαμημένος, ἐν τῷ τοῦ θεάτρου κύκλῳ καὶ ἐν τῇ ὀρ-
χήστρᾳ ποτὲ μὲν κιθάραν ἔχοντα καὶ ὀρθοστάδιον καὶ κοθόρνους,
ποτὲ δὲ ἐμβάτας καὶ προσωπεῖον. ἤκουσα αὐτοῦ πολλάκις ᾄδοντος, 5
ἤκουσα κηρύττοντος, ἤκουσα τραγῳδοῦντος. εἶδον αὐτὸν δεδεμένον,
εἶδον συρόμενον, κύοντα δή, τίκτοντα δή, πάνθ' ὅσα μυθολογεῖται
καὶ λέγοντα καὶ ἀκούοντα καὶ πάσχοντα καὶ δρῶντα. εἶτά τις τὸν
τοιοῦτον Καίσαρα καὶ αὐτοκράτορα καὶ Αὔγουστον ὀνομάσει; μη-
δαμῶς· μηδεὶς ὑβριζέτω τὰ ἱερὰ ἐκεῖνα ὀνόματα. ταῦτα μὲν γὰρ 6
Αὔγουστος καὶ Κλαύδιος ἔσχον, οὗτος δὲ δὴ Θυέστης τε καὶ Οἰ-
δίπους Ἀλκμαίων τε καὶ Ὀρέστης δικαιότατ' ἂν καλοῖτο· τούτους
γὰρ ὑποκρίνεται, καὶ ταύτας ἀντ' ἐκείνων τὰς ἐπωνυμίας ἀντεπιτέ-
θειται. ἀνάστητε οὖν ἤδη ποτέ, καὶ ἐπικουρήσατε μὲν ὑμῖν αὐτοῖς,
ἐπικουρήσατε δὲ τοῖς Ῥωμαίοις, ἐλευθερώσατε δὲ πᾶσαν τὴν οἰ-
κουμένην."

τοιαῦτά τινα τοῦ Οὐίνδικος εἰπόντος ἅπαντες συνεφρόνησαν. 23
οὐχ ἑαυτῷ δὲ τὴν ἀρχὴν πράττων ὁ Οὐίνδιξ τὸν Γάλβαν τὸν Σέρ-
ουιον τὸν Σουλπίκιον, ἐπιεικείᾳ τε καὶ ἐμπειρίᾳ πολέμων διαπρέ-
ποντα καὶ τῆς Ἰβηρίας ἄρχοντα, δύναμίν τε οὐ μικρὰν ἔχοντα, ἐς
τὴν ἡγεμονίαν προεχειρίσατο· κἀκεῖνος ὑπὸ τῶν στρατιωτῶν αὐτο-
κράτωρ ἀνηγορεύθη. λέγεται δὲ ὅτι τοῦ Νέρωνος διακοσίας καὶ 2
πεντήκοντα μυριάδας ἐπικηρύξαντος τῷ Οὐίνδικι ἀκούσας ὁ Οὐίνδιξ
ἔφη ὅτι ὁ Νέρωνα ἀποκτείνας τήν τε κεφαλὴν αὐτοῦ κομίσας ἐμοὶ
τὴν ἐμὴν ἀντιλήψεται.

τοιοῦτος μέν τις ὁ Οὐίνδιξ ἐγένετο· Ῥοῦφος δὲ ἄρχων τῆς Γερ- 24
μανίας ὥρμησε μὲν ὡς καὶ τῷ Οὐίνδικι πολεμήσων, γενόμενος δὲ ἐν
Οὐεσοντίωνι ταύτην ἐπολιόρκει, πρόφασιν ἐπεὶ μὴ ἐδέξατο αὐτόν.
τοῦ δὲ Οὐίνδικος πρὸς βοήθειαν τῆς πόλεως ἀντεπιόντος αὐτῷ καὶ 2
οὐ πόρρω στρατοπεδεύσαντος ἀντεπέστειλαν μὲν ἀλλήλοις τινά, καὶ
τέλος καὶ ἐς λόγους ἦλθον μόνοι καὶ μηδενός σφισι τῶν ἄλλων

6 4 ἐπιθυμίας 6 δὲ ante π. om 23 1 3 γενόμενον ἐξ εὐπατριδῶν. Z
2 1 καὶ ὃς τὴν ἡγεμονίαν ἐδέξατο, οὐκ ἠθέλησε δὲ τὰς τῆς αὐταρχίας ἐπι-
κλήσεις προσλαβεῖν τότε. Z

Digitized by Google

*παρόντος, καὶ κατὰ τοῦ Νέρωνος, ὡς εἰκάζετο, συνέθεντο πρὸς*
3 *ἀλλήλους. μετὰ δὲ τοῦτο ὁ Οὐίνδιξ ὥρμησε μετὰ τοῦ στρατοῦ ὡς*
*τὴν πόλιν καταληψόμενος· καὶ αὐτοὺς οἱ τοῦ Ῥούφου στρατιῶται*
*προσιόντας αἰσθόμενοι, καὶ νομίσαντες ἐφ' ἑαυτοὺς ἄντικρυς χω-*
*ρεῖν, ἀντεξώρμησαν αὐτοκέλευστοι, καὶ προσπεσόντες σφίσιν ἀπροσ-*
4 *δοκήτοις τε καὶ ἀσυντάκτοις οὖσι παμπόλλους κατέκοψαν. ἰδὼν*
*δὲ τοῦτο καὶ περιαλγήσας ὁ Οὐίνδιξ αὐτὸς ἑαυτὸν ἔσφαξεν. καὶ τὸ*
*μὲν ἀληθὲς οὕτως ἔχει, πολλοὶ δὲ δὴ μετὰ ταῦτα, τὸ σῶμα αὐτοῦ*
*κατατρώσαντες, δόξαν τισὶ μάτην ὡς καὶ αὐτοὶ ἀπεκτονότες αὐτὸν*
25 *παρέσχον. Ῥοῦφος δὲ τοῦτον μὲν ἰσχυρῶς ἐπένθησε, τὴν δὲ αὐτο-*
*κράτορα ἀρχήν, καίτοι τῶν στρατιωτῶν πολλάκις αὐτῷ ἐγκειμένων,*
*οὐκ ἠθέλησε δέξασθαι, δυνηθεὶς ἂν ῥᾳδίως ἐπιτυχὴς αὐτῆς γενέσθαι·*
*δραστήριός τε γὰρ ἀνὴρ ἦν καὶ ἰσχὺν μεγάλην καὶ πρόθυμον εἶχε,*
*καὶ οἱ στρατιῶται τὰς μὲν τοῦ Νέρωνος εἰκόνας καθεῖλον καὶ συ-*
2 *νέτριψαν, αὐτὸν δὲ Καίσαρα καὶ Αὔγουστον ὠνόμαζον. ὡς δ' οὐκ*
*ἐπείθετο, ἐνταῦθα τῶν στρατιωτῶν τις ἐνὶ τῶν σημείων αὐτοῦ*
*ταῦτα διὰ ταχέων ἐπέγραψεν· καὶ ὃς ἐκεῖνά τε ἀπήλειψε, καὶ μό-*
*λις ποτὲ αὐτοὺς καταστήσας ἔπεισεν ἐπὶ τῇ βουλῇ καὶ τῷ δήμῳ*
3 *ποιήσασθαι, εἴτ' οὖν ὅτι οὐκ ἠξίου τοὺς στρατιώτας τινὶ τὸ κράτος*
*διδόναι (τῇ τε γὰρ γερουσίᾳ καὶ τῷ δήμῳ προσήκειν τοῦτ' ἔλεγεν),*
*εἴτε καὶ παντελῶς μεγαλογνωμῶν, ὡς οὐδὲν τῆς αὐτοκρατορικῆς*
*ἀρχῆς, ὑπὲρ ἧς καὶ οἱ ἄλλοι πάντα ἔπραττον, αὐτὸς δεόμενος.*
26 *"Ὅτι ὁ Νέρων μαθὼν τὰ κατὰ τὸν Οὐίνδικα ἐν Νέᾳ πόλει τὸν*
*γυμνικὸν ἀγῶνα ἀπ' ἀρίστου θεωρῶν, οὐκ ἐλυπήθη, ἀλλὰ κατα-*
*πηδήσας ἐκ τῆς ἕδρας ἀθλητῇ τινὶ συνεσπούδασεν· οὐδὲ ἐς τὴν*
*Ῥώμην ἠπείχθη, ἀλλὰ καὶ γράμματα ἁπλῶς τῇ βουλῇ πέμψας*
*παρῃτήσατο ὅτι οὐκ ἀφίκετο, λέγων βραγχᾶν, καθάπερ τι ᾆσαι καὶ*
2 *τότε αὐτοῖς δεόμενος. καὶ τήν γε αὐτὴν φροντίδα καὶ ἐπιμέλειαν*
*τῆς τε φωνῆς καὶ τῶν ᾀσμάτων τῶν τε κιθαρισμάτων, οὐχ ὅτι ἐν*
*τῷ τότε παρόντι, ἀλλὰ καὶ μετὰ ταῦτα ἐποιεῖτο· καὶ οὔτε τι ἐξ*
*ἐκείνων ἐξέκραξεν, εἴ τε καὶ ἠναγκάσθη τι οἷα ἐν τοιούτοις ὢν ἐκ-*
*βοῆσαι, εὐθύς γ' ἑαυτὸν ὡς καὶ κιθαρῳδήσειν μέλλοντα ἀνεχαίτιζε*
3 *καὶ ἀνελάμβανεν. τά τε ἄλλα ὅσα εἰώθει ὁμοίως ἐποίει, χαίρων*
*τοῖς ἠγγελμένοις ὅτι ἄλλως τε κατακρατήσειν τοῦ Οὐίνδικος ἤλπιζε*
*καὶ ὑπόθεσιν ἀργυρισμοῦ καὶ φόνων εἰληφέναι ἐδόκει. καὶ ἐτρύφα,*
*καὶ τὸ τῆς Σαβίνης ἡρῷον ἐκποιηθὲν καὶ κοσμηθὲν λαμπρῶς ὡσίω-*

24 4 2 *ἀπέσφαξε, τῶν μετ' αὐτοῦ στρατιωτῶν κινδυνευσάντων ὑπεραλγήσας, καὶ πρὸς τὸ δαιμόνιον ἀγανακτήσας ὅτι τοσούτου πράγματος ὀριγνηθείς, τοῦ τὸν Νέρωνα καθελεῖν καὶ τοὺς Ῥωμαίους ἐλευθερῶσαι, οὐκ ἐξετέλεσεν αὐτό.* Z p. 480    26 1 1 " " V p. 694    3 *οὔτε**    2 5 *τε**

σεν, ἐπιγράψας αὐτῷ ὅτι Σαβίνῃ αὐτὸ θεᾷ Ἀφροδίτῃ αἱ γυναῖκες
ἐποίησαν. καὶ τοῦτο μὲν ἠλήθευσεν· ἐκ γὰρ τῶν χρημάτων ἃ πολλὰ 4
καὶ παρὰ τῶν γυναικῶν ἐσεσύλητο ἐξειργάσθη· συχνὰ δὲ δὴ καὶ
ἤθυρεν, ὧν ἐγὼ τὰ μὲν ἄλλα παραλείψω, ἓν δὲ εἴπω." νύκτωρ
ποτὲ τοὺς πρώτους τῶν βουλευτῶν καὶ τῶν ἱππέων ἐξαπίνης σπουδῇ,
ὡς καὶ περὶ τῶν παρόντων τι κοινώσων σφίσι, μεταπέμψας "ἐξεύ-
ρηκα" ἔφη "πῶς ἡ ὕδραυλις" (αὐτὸ γὰρ τὸ ῥηθὲν γραφήσεται)
"καὶ μεῖζον καὶ ἐμμελέστερον φθέγξεται." τοιαῦτα μὲν τότε ἔπαι- 5
ζεν, οὐδ' ἔμελεν αὐτῷ ὅτι αἱ θύραι ἀμφότεραι, αἵ τε τοῦ μνημείου
τοῦ αὐγουστείου καὶ αἱ τοῦ κοιτῶνος τοῦ ἐκείνου, αὐτόμαται ἐν
τῇ αὐτῇ νυκτὶ ἀνεῴχθησαν, οὐδ' ὅτι ἐν τῷ Ἀλβανῷ τοσούτῳ δή
τινι αἵματι ὗσεν ὥστε καὶ ποταμοὺς ῥυῆναι, οὐδ' ὅτι ἐκ τῆς Αἰγύπ-
του ὑπαναχωρήσασα ἐπὶ πολὺ ἡ θάλασσα μέρος μέγα τῆς Λυκίας
κατέλαβεν· ἐπεὶ δὲ περί τε τοῦ Γάλβα ἤκουσεν ὅτι αὐτοκράτωρ ὑπὸ 27
τῶν στρατιωτῶν ἀνερρήθη, περί τε τοῦ Ῥούφου ὅτι αὐτοῦ ἀπέστη,
ἐν δέει τε μεγάλῳ ἐγένετο, καὶ αὐτός τε ἐν Ῥώμῃ παρεσκευάζετο καὶ
ἐπ' ἐκείνους Ῥούβριον Γάλλον καὶ ἄλλους τινὰς ἔπεμψεν. ὑπὸ πάν- 2
των δὲ ὁμοίως ἐγκαταλειφθεὶς ἐβουλεύσατο μὲν τούς τε βουλευτὰς
ἀποκτεῖναι καὶ τὴν πόλιν καταπρῆσαι ἔς τε τὴν Ἀλεξάνδρειαν πλεῦ-
σαι, ὑπειπὼν ὅτι ἂν καὶ τῆς ἀρχῆς ἐκπέσωμεν, ἀλλὰ τό γε τέχνιον
ἡμᾶς ἐκεῖ διαθρέψει· ἐς τοῦτο γὰρ ἀνοίας ἐληλύθει ὥστε καὶ
πιστεῦσαι ὅτι ἄλλως τε ἰδιωτεῦσαι καὶ προσέτι καὶ κιθαρῳδεῖν δυ-
νήσεται· ἐπεὶ δὲ ᾔσθετο ὅτι καὶ ὑπὸ τῶν σωματοφυλάκων ἐγκατα- 3
λέλειπται, (ἐν κήποις δέ τισιν ἐτύγχανε καθεύδων) φυγεῖν ἐπεχείρη-
σεν. ἐσθῆτά τε οὖν φαύλην ἔλαβε καὶ ἐπὶ ἵππον οὐδὲν βελτίονα
ἀνέβη, καὶ ἐπ' αὐτοῦ κατακεκαλυμμένος πρὸς χωρίον τι Φάωνος
καισαρείου, μετά τε αὐτοῦ ἐκείνου καὶ μετὰ Ἐπαφροδίτου τοῦ τε
Σπόρου, νυκτὸς ἐπιούσης ἤλασεν. καὶ αὐτοῦ ταῦτα πράσσοντος 28
σεισμὸς ἐξαίσιος ἐγένετο, ὥστε καὶ δόκησιν παρασχεῖν ὅτι ἥ τε γῆ
πᾶσα διαρρήγνυται καὶ αἱ τῶν πεφονευμένων ὑπ' αὐτοῦ ψυχαὶ
πᾶσαι ἅμα ἐπ' αὐτὸν ἀναθορνύουσιν. γνωρισθεὶς οὖν καὶ ὥς ὑπό
τινος, ὥς φασί, τῶν ἀπαντησάντων, καὶ αὐτοκράτωρ προσαγορευ-
θεὶς ἔκ τε τῆς ὁδοῦ ἀπετράπη καὶ ἔς καλαμώδη τινὰ τόπον κατε-
κρύφθη. καὶ ἐνταῦθα μέχρι τῆς ἡμέρας ὑπέμεινεν ἐρριμμένος, 2

27 2 1 ὁ δὲ Νέρων μαθὼν καὶ τὸν Πετρώνιον, ὃν κατὰ τῶν ἐπαναστάν-
των μετὰ τοῦ πλείονος προεπεπόμφει στρατεύματος, τὰ τοῦ Γάλβα φρο-
νήσαντα, οὐκέτ' οὐδεμίαν ἐλπίδα τῶν ὅπλων ἔσχεν, ἀλλ' ἐβουλ. Z
3 1 μέλλοντος δὲ ταῦτα πράσσειν ἡ βουλὴ τὴν περὶ τὸν Νέρωνα φρουρὰν
ἀποκαλέσασα εἰσῆλθεν εἰς τὸ στρατόπεδον, καὶ τὸν μὲν πολέμιον ἀπέφηνε,
τὸν δὲ Γάλβαν ἀνθείλετο αὐτοκράτορα. Z

Digitized by Google

*ὅπως ὡς ἥκιστα διορῷτο. καὶ πάντα μὲν τὸν παριόντα ὡς καὶ
ἐφ' ἑαυτὸν ἥκοντα ὑποπτεύων, πᾶσαν δὲ φωνὴν ὡς καὶ ἀναζητοῦσαν
αὐτὸν ὑποτρέμων, εἴ τέ που κυνίδιον ὕλαξεν ἢ καὶ ὀρνίθιον ἐφθέγ-
ξατο ῥωπίον τε καὶ κλάδος ὑπ' αὔρας ἐσείσθη, δεινῶς ἐταράττετο,
3 καὶ οὔθ' ἡσυχάζειν ὑπ' αὐτῶν ἐδύνατο, οὔτ' αὖ λαλεῖν τινὶ τῶν
παρόντων, μὴ καὶ ἕτερός τις ἀκούσῃ, ἐτόλμα, ἀλλ' αὐτὸς καθ' ἑαυ-
τὸν τὴν τύχην καὶ ἐθρήνει καὶ ὠλοφύρετο. ἐλογίζετο γάρ τά τε
ἄλλα, καὶ προσέτι ὅτι πολυανθρωποτάτῃ ποτὲ θεραπείᾳ γαυρωθεὶς
4 μετὰ τριῶν ἐξελευθέρων ἐκύπταζεν. τοιοῦτον γὰρ δρᾶμα τότε τὸ
δαιμόνιον αὐτῷ παρεσκεύασεν, ἵνα μηκέτι τοὺς ἄλλους μητροφόνους
καὶ ἀλήτας ἀλλ' ἤδη καὶ ἑαυτὸν ὑποκρίνηται· καὶ τότε μετεγίνωσκεν
ἐφ' οἷς ἐτετολμήκει, καθάπερ ἄπρακτόν τι αὐτῶν ποιῆσαι δυνάμε-
5 νος. Νέρων μὲν δὴ τοιαῦτα ἐτραγῴδει, καὶ τὸ ἔπος ἐκεῖνο συνεχῶς
ἐνενόει, "οἰκτρῶς θανεῖν μ' ἄνωγε σύγγαμος πατήρ·" ὀψὲ δ' οὖν
ποτέ, ἐπειδὴ μηδεὶς αὐτὸν ἀναζητῶν ἑωρᾶτο, μετῆλθεν ἐς τὸ ἄν-
τρον, κἀνταῦθα καὶ ἔφαγε πεινήσας ἄρτον ὁποῖον οὐδὲ πώποτε
ἐβεβρώκει, καὶ ἔπιε διψήσας ὕδωρ ὁποῖον οὐδὲ πώποτε ἐπεπώκει.
ἐφ' ᾧ δυσανασχετήσας εἶπε "τοῦτό ἐστιν ἐκεῖνο τὸ ποτὸν τὸ ἐμὸν
τὸ ἄφθονον."*

29 *καὶ ὁ μὲν ἐν τούτοις ἦν, ὁ δὲ δῆμος τῶν Ῥωμαίων ἐβουθύτει
καὶ ὑπερέχαιρεν· καί τινες καὶ πιλία ὡς ἠλευθερωμένοι ἔφερον,
καὶ τῷ Γάλβᾳ τὰ τῇ αὐτοκράτορι ἀρχῇ προσήκοντα ἐψηφίσαντο.
παρὰ πάντα δὲ ζήτησιν αὐτοῦ τοῦ Νέρωνος ἐποιοῦντο, καὶ χρόνον
μέν τινα ἠπόρησαν ὅπου ποτὲ ἀπεληλυθὼς εἴη, ἔπειτα μαθόντες
2 ἔπεμψαν ἐπ' αὐτὸν ἱππέας. καὶ οὕτως ἐκεῖνος προσιόντων αὐτῶν
αἰσθόμενος προσέταξε τοῖς παροῦσιν ἑαυτὸν ἀποκτεῖναι. ἐπεί τε
οὐχ ὑπήκουσαν, ἀνεστέναξέ τε καὶ ἔφη "ἐγὼ μόνος οὔτε φίλον οὔτ'
ἐχθρὸν ἔχω." κἂν τούτῳ πελασάντων αὐτῷ τῶν ἱππέων αὐτὸς
ἑαυτὸν ἀπέκτεινε, τὸ θρυλούμενον ἐκεῖνο εἰπών, "ὦ Ζεῦ, οἷος τεχνί-
της παραπόλλυμαι." καὶ αὐτὸν δυσθανατοῦντα ὁ Ἐπαφρόδιτος
3 προσκατειργάσατο. ἐβίω δὲ ἔτη τριάκοντα καὶ μῆνας ἐννέα, ἀφ'
ὧν ἦρξεν ἔτη δεκατρία καὶ μῆνας ὀκτώ, ἔσχατος τῶν ἀπὸ τοῦ
Αἰνείου καὶ ἀπὸ τοῦ Αὐγούστου γεγονότων, καθάπερ που σαφῶς καὶ*

28 2 2 *παρόντα* 3 3 *τῇ ψυχῇ* 5 7 *ἐφθόν?* 29 1 1 *Ῥ. ἐπεὶ ἡμέρα ἐγένετο* Z p. 481 2 *καὶ τὴν πόλιν στεφανωμάτων ἐπλήρωσαν* Z 3 *καὶ ἡ βουλὴ τῷ — ἐψηφίσατο. ὁ δὲ ὅμιλος εἴς τε τὸν Νέρωνα ἀπέσκωπτον καὶ συχνοὺς τῶν παρ' αὐτῷ δυνηθέντων φονεύοντες εἷλκον* Z 2 2 *καὶ ἑαυτὸν καὶ σφᾶς* Z 3 *μέγα ἐστέναξεν. εἶτα τὸν Σπόρον ἀνελεῖν θελήσας καὶ μὴ δυνηθεὶς "ἐγὼ μόνος" ἔφη* Z 3 1 *ὁ μὲν οὖν οὕτω κατὰ τὸν Ἰούλιον ἐτελεύτησε μῆνα, βιοὺς ἔτη τριάκοντα πρὸς μησὶ πέντε καὶ ἡμέρας εἴκοσιν* Z 2 *δυοῖν ἡμέραιν δέοντας* Z 3 *καίπερ*

Digitized by Google

αἱ δάφναι αἱ ὑπὸ τῆς Λιβίας φυτευθεῖσαι τό τε γένος τῶν λευκῶν ὀρνίθων προδιαφθαρέντα αὐτοῦ ἐσήμανεν.

οὕτω μὲν οὖν ὁ Γάλβας αὐτοκράτωρ ἀπεδείχθη, ὥσπερ που ΞΔ
προεῖπε μὲν αὐτῷ καὶ ὁ Τιβέριος, φήσας ὅτι καὶ αὐτὸς τῆς ἡγεμονίας παραγεύσεται, προεῖπε δὲ καὶ σημεῖα ἐναργέστατα. τήν τε 2
γὰρ τύχην ἔδοξεν αὐτῷ λέγειν ὅτι χρόνον ἤδη συχνὸν αὐτῷ παραμένοι καὶ ὅτι οὐδεὶς αὐτὴν ἐς τὴν οἰκίαν αὐτοῦ ἐσδέχοιτο, καὶ δὴ ἐὰν ἐπὶ πλεῖον εἰρχθῇ, πρὸς ἕτερόν τινα μεταστήσεται· καὶ πλοῖα ὅπλων μεστὰ πρὸς Ἰβηρίαν ὑπ' αὐτὰς ἐκείνας τὰς ἡμέρας αὐτόματα, μηδενὸς ἀνθρώπων ἄγοντος αὐτά, προσωρμίσθη. ἡμίονός 3
τε ἔτεκεν, ὅπερ αὐτῷ σύμβολον τοῦ κράτους ἔσεσθαι ἐτεθέσπιστο. καὶ παῖς λιβανωτὸν αὐτῷ θύοντι προσφέρων πολιὰς ἐξαίφνης ἔφυσεν, καὶ οἱ μάντεις τὴν τοῦ νεωτέρου ἀρχὴν πρὸς τὸ γῆρας αὐτοῦ μεταστήσεσθαι ἔφησαν.

ταῦτα μὲν ἐς τὴν ἡγεμονίαν αὐτῷ φέροντα προεδείχθη· αὐτὸς 2
δὲ τὰ μὲν ἄλλα μετρίως ἦρχε καὶ ἀνεπαχθὴς ἦν, νομίζων οὐκ εἰληφέναι τὴν ἀρχὴν ἀλλὰ δεδόσθαι αὐτῷ (τοῦτο γὰρ συνεχῶς ἔλεγεν), πλὴν ὅτι χρήματά τε ἀπλήστως, ἅτε καὶ πολλῶν δεόμενος, ἤθροιζε, καὶ ἀπ' αὐτῶν ἐλάχιστα ἀνήλισκεν, ὥστε μηδὲ δραχμὰς ἔστιν οἷς ἀλλ' ὀβολοὺς χαρίζεσθαι, οἵ τε ἐξελεύθεροι αὐτοῦ πάμ- 2
πολλα ἐπλημμέλουν, ὥστε καὶ ἐς ἐκεῖνον αὐτὰ ἀναφέρεσθαι. τοῖς μὲν γὰρ ἰδιώταις ἀπόχρη μηδὲν ἀδικεῖν, τοῖς δὲ δὴ τὰς ἡγεμονίας ἔχουσιν ἀνάγκη προνοεῖν ὅπως μηδ' ἄλλος κακουργῇ· οὐδὲ γὰρ διαφέρει τι τοῖς κακῶς πάσχουσιν ὑφ' ὅτου ἂν καὶ κακῶνται. ὥστ' εἰ καὶ ἔξω τοῦ τι δεινὸν ποιεῖν ὁ Γάλβας ἦν, ἀλλ' ὅτι ἐκεί- 3
νοις ἀδικεῖν ἐπέτρεπεν ἢ ὅτι ἠγνόει τὰ γινόμενα, οὐ καλῶς ἤκουεν. Νυμφίδιος δέ τις καὶ Καπίτων οὕτως ἐξεφρόνησαν ὑπ' αὐτοῦ ὥστε ὁ Καπίτων, ἐφέντος τινὸς ἀπ' αὐτοῦ ποτὲ δικάζοντος, μετεπήδησέ τε ἐπὶ δίφρον ὑψηλὸν καὶ ἔφη "λέγε τὴν δίκην παρὰ τῷ Καίσαρι," διαγνούς τε ἀπέκτεινεν αὐτόν. τούτοις μὲν δὴ διὰ ταῦτα ὁ Γάλβας ἐπεξῆλθεν· ὡς δ' ἐπλησίασε τῇ πόλει, ἀπήντησαν αὐτῷ οἱ δορυ- 3
φόροι τοῦ Νέρωνος, καὶ ἠξίουν ἐν τῇ αὐτῇ στρατείᾳ φυλαχθῆναι. καὶ ὃς τὰ μὲν πρῶτα ἀνεβάλετο ὡς καὶ σκεψόμενος περὶ τούτου, ὡς δ' οὐκ ἐπείθοντο ἀλλ' ἐθορύβουν, ἐφῆκέ σφισι τὸ στράτευμα, 2
καὶ οἱ μὲν παραχρῆμα ἐς ἑπτακισχιλίους ἀπέθανον, οἱ δὲ καὶ μετὰ τοῦτο δεκατευθέντες. οὕτως, εἰ καὶ τῇ ἡλικίᾳ τῇ τε νόσῳ ἐκεκμήκει, ἀλλὰ τῇ διανοίᾳ ἤκμαζεν, οὐδ' ἠξίου τὸν αὐτοκράτορα ἀναγκαζόμενόν τι ποιεῖν. ἀμέλει καὶ τοῖς δορυφόροις αἰτοῦσι χρήματα 3

2 1 4 γε* 2 1 οἱ δὲ*

Digitized by Google

οὐκ ἔδωκε, καὶ ἔφη γε ὅτι καταλέγειν στρατιώτας ἀλλ' οὐκ ἀγο-
ράζειν εἴωθα. τῷ δὲ δήμῳ σφόδρα ἀξιοῦντι τὸν Τιγελλῖνον καὶ
ἄλλους τινὰς τῶν πρότερον ὑβρισάντων ἀποθανεῖν οὐχ ὑπεῖξε, τάχ'
4 ἂν ἀποκτείνας αὐτοὺς εἰ μὴ ἐκεῖνοι τοῦτ' ᾐτήκεσαν. τὸν μέντοι
Ἥλιον καὶ τὸν Νάρκισσον τόν τε Πατρόβιον καὶ τὴν Λουκοῦσταν
τὴν φαρμακίδα καὶ ἄλλους τινὰς τῶν ἐπὶ τοῦ Νέρωνος ἐπιπολα-
σάντων κατά τε τὴν πόλιν πᾶσαν δεδεμένους περιαχθῆναι καὶ
μετὰ τοῦτο κολασθῆναι ἐκέλευσεν. καὶ ἐπὶ μὲν τούτοις ἐπῃνεῖτο,
ὅτι δὲ ξίφος μέγα διὰ πάσης τῆς ὁδοῦ ἐξηρτᾶτο καὶ γέρων καὶ
ἀσθενὴς τὰ νεῦρα ὤν, καὶ πάνυ πολὺν γέλωτα ὠφλίσκανεν.
4 λέξω δὲ καὶ ὅπως αὐτῷ τὸ τέλος συνέβη. οἱ ἐν ταῖς Γερμα-
a. C. 69 νίαις στρατιῶται, οὓς εἶχε Ῥοῦφος, μηδεμίαν εὐεργεσίαν ὑπὸ τοῦ
Γάλβα εὑράμενοι ἐπὶ πλεῖον ἐφλέγμηναν. τοῦ δὲ δὴ τέλους τῆς
ἐπιθυμίας σφῶν ἁμαρτόντες ἐπὶ τοῦ Ῥούφου, ἐζήτουν αὐτὴν ἐφ'
2 ἑτέρου τινὸς ἀποπληρῶσαι, καὶ ἐποίησαν τοῦτο· προστησάμενοι
γὰρ Αὖλον Οὐιτέλλιον τῆς κάτω Γερμανίας ἄρχοντα ἐπανέστησαν,
πρὸς μόνην τὴν εὐγένειαν αὐτοῦ ἀπιδόντες, ἐπεὶ ὅτι γε παιδικὰ
τοῦ Τιβερίου ἐγεγόνει καὶ ὅτι ἀκολούθως τῇ ἀσελγείᾳ ταύτῃ ἔζη
οὐκ ἐνενόησαν, ἢ καὶ μᾶλλον δι' αὐτὸ τοῦτο ἁρμόζειν σφίσιν αὐτὸν
3 ἐνόμισαν. ἀμέλει οὕτως οὐδ' αὐτὸς λόγου τινὸς ἄξιον ἑαυτὸν ἔκρι-
νεν εἶναι ὥστε διασκώπτων τοὺς ἀστρολόγους τεκμηρίῳ κατ' αὐτῶν
ἐχρῆτο, λέγων ὅτι οὐδὲν ἐπίστανται οἵ γε καὶ ἐμὲ αὐτοκράτορά
φασι γενήσεσθαι. καὶ αὐτὸ καὶ ὁ Νέρων ἀκούσας ἐγέλασε καὶ κα-
5 τεφρόνησεν αὐτοῦ, ὥστε μηδὲν δεινὸν αὐτὸν ἐργάσασθαι. ὁ οὖν
Γάλβας τὴν ἐπανάστασιν αὐτοῦ πυθόμενος Λούκιον Πίσωνα, νεα-
νίσκον εὐγενῆ ἐπιεικῆ φρόνιμον, ἐποιήσατο καὶ Καίσαρα ἀπέδειξεν.
2 ὁ δὲ δὴ Ὄθων ὁ Μάρκος ὁ Σάλβιος, ἀγανακτήσας ὅτι μὴ αὐτὸς
ὑπὸ τοῦ Γάλβα ἐπεποίητο, ἀρχὴν αὖθις μυρίων τοῖς Ῥωμαίοις

4 1 2 Ῥοῦφος] de quo V p. 697: ὅτι ὁ Ῥοῦφος πρὸς Γάλβαν ἦλθε, καὶ παρὰ μὲν ἐκείνου οὐδὲν ὅ τι ἄξιον εἰπεῖν εὕρατο, εἰ μή τις αὐτὸ τοῦτ' ἐκλογίσαιτο ὅτι πολλάκις αὐτοκράτωρ ὀνομασθεὶς ἔζησεν· παρὰ δὲ δὴ τῶν ἄλλων ἀνθρώπων ὄνομα μέγα, καὶ μεῖζον ἢ εἴπερ ὑπεδέδεκτο τὴν ἡγεμονίαν, ἐκτήσατο, ὅτι οὐκ ἠθέλησεν αὐτὴν λαβεῖν. Z p. 482: Γάλβας δ', ἐπεὶ ὁ Νέρων διέφθαρτο καὶ ἡ βουλὴ τὴν ἀρχὴν αὐτῷ ἐψηφίσατο καὶ ὁ Ῥοῦφος αὐτῷ προσεχώρησεν, ἀνεθάρσησεν, οὐ μέντοι καὶ τὸ Καίσαρος ἀνέλαβεν ὄνομα πρὶν τοὺς τῆς βουλῆς πρεσβευτὰς πρὸς αὐτὸν ἐλθεῖν. ἀλλ' οὐδὲ τὸ τοῦ αὐτοκράτορος πρότερον εἰς οὐδὲν γράμμα ἐνεγεγράφει. τοὺς δὲ συκοφαντήσαντάς τινας ἐπὶ τοῦ Νέρωνος ἢ ψευδομαρτυρήσαντας ἐκόλασε. καὶ οἱ δοῦλοι οἱ κατὰ τῶν δεσποτῶν πράξαντές τι ἢ εἰπόντες αὐτοῖς ἐκείνοις ἐπὶ τιμωρίᾳ παρεδόθησαν. καὶ τὰ χρήματα δὲ καὶ τὰ κτήματα ὅσα τινὲς παρὰ τοῦ Νέρωνος εἰλήφεσαν ἀπῃτεῖτο. τούς γε μὴν ὑπ' ἐκείνου φυγαδευθέντας ὡς ἠσεβηκότας τι εἰς αὐτὸν κατήγαγε, καὶ τὰ ὀστᾶ τῶν ἐκ τοῦ βασιλικοῦ γένους σφαγέντων εἰς τὸ τοῦ Αὐγούστου μνημεῖον μετεκόμισε, καὶ τὰς αὐτῶν εἰκόνας ἀποκατέστησεν. ἀπὸ?*

Digitized by Google

κακῶν παρέσχεν. καίτοι οὕτως ὑπ' αὐτοῦ ἐτιμᾶτο ὥστε καὶ ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ ἀπέθανε, θυομένῳ αὐτῷ μόνος τῶν βουλευ-
τῶν παρέστη· ὑφ' οὗπερ καὶ τὰ μάλιστα συνετύγχανεν. ἐπεὶ γὰρ 3
ὁ ἱερόπτης ἐπιβουλευθήσεσθαι αὐτὸν ἔφη, καὶ διὰ τοῦτ' αὐτὸν
μηδαμῇ μηδαμῶς προελθεῖν παρῄνεσεν, ἀκούσας τοῦτ' ἐκεῖνος κατέ-
δραμέ τε εὐθὺς ὡς καὶ ἐπ' ἄλλο τι, καὶ ὑπὸ τινῶν στρατιωτῶν
ὀλίγων, οἳ συνομωμόκεσαν αὐτῷ, ἐς τὸ τεῖχος ἐσήχθη, κἀνταῦθα
καὶ τοὺς ἄλλους ἅτε καὶ ἀχθομένους τῷ Γάλβᾳ προσαναπείσας,
μᾶλλον δὲ ἐκπριάμενος, παρά τε ἐκείνων τὴν ἀρχὴν παραχρῆμα
ἔλαβε καὶ μετὰ τοῦτο καὶ παρὰ τῶν ἄλλων. μαθὼν δὲ ὁ Γάλβας 6
τὰ πρασσόμενα ἔπεμψέ τινας ἐς τὸ στρατόπεδον ὡς καὶ μεταπεῖσαί
σφας δυνησόμενος. κἀν τούτῳ στρατιώτης τις γυμνὸν τὸ ξίφος 2
καὶ ᾑμαγμένον ἀνατείνων προσῆλθεν αὐτῷ, καὶ ἔφη "θάρσει, αὐτο-
κράτορ· Ὄθωνα γὰρ ἀπέκτεινα, καὶ ἔστι σοι δεινὸν ἔτι οὐδέν."
πιστεύσας οὖν ὁ Γάλβας πρὸς μὲν ἐκεῖνον εἶπε "καὶ τίς σοι τοῦτο
ποιῆσαι ἐκέλευσεν;" αὐτὸς δὲ ἐς τὸ Καπιτώλιον ὡς καὶ θύσων
ὥρμησεν. καὶ αὐτῷ ἐν μέσῃ τῇ Ῥωμαίων ἀγορᾷ ἀπαντήσαντες 3
ἱππεῖς καὶ πεζοὶ ἐνταῦθα τὸν γέροντα "τὸν ὕπατον" τὸν ἀρχιερέα
"τὸν Καίσαρα" τὸν αὐτοκράτορα, πολλῶν μὲν βουλευτῶν παμπόλ-
λων δὲ δημοτῶν παρόντων, κατέκοψαν, καὶ τά τε ἄλλα τῷ σώματι
αὐτοῦ ἐλυμήναντο, καὶ τὴν κεφαλὴν ἀποκόψαντες περὶ κοντὸν ἀνέ-
πειραν. καὶ ὁ μὲν οὕτως ἀκοντισθεὶς ἐς αὐτὸν τὸν δίφρον ἐν ᾧ 4
ἐφέρετο, καὶ προκύψας ἐξ αὐτοῦ, ἐτρώθη τοῦτο μόνον εἰπών, "καὶ
τί κακὸν ἐποίησα;" καὶ αὐτῷ Σεμπρώνιος Δῆνσος ἑκατόνταρχος
ἐπαμύνας ἐς ὅσον ἠδυνήθη, τέλος, ὡς οὐδὲν ἤνυσεν, ἐπεσφάγη.
καὶ διὰ τοῦτό γε καὶ τὸ ὄνομα αὐτοῦ ἐνέγραψα, ὅτι ἀξιώτατός 5
ἐστι μνημονεύεσθαι· ἀπέθανε μὲν γὰρ καὶ ὁ Πίσων καὶ ἄλλοι συ-
χνοί, οὐ μέντοι καὶ ἐπικουροῦντες τῷ αὐτοκράτορι. ἔζησε δὲ Γάλ-
βας ἔτη δύο καὶ ἑβδομήκοντα, ἀφ' ὧν ἦρξε μῆνας ἐννέα καὶ ἡμέρας
δεκατρεῖς. καὶ αὐτῷ καὶ ὁ Πίσων προσαπώλετο, τιμωρίαν ὑποσχὼν
ὅτι Καῖσαρ ἀπεδείχθη.

Γάλβᾳ μὲν δὴ τοῦτο τὸ τέλος ἐγένετο, ἔμελλε δ' ἄρα καὶ τὸν 7
Ὄθωνα ἡ δίκη οὐκ ἐς μακρὰν μεθήξειν, ὥς που παραχρῆμα ἔμα-
θεν. θύοντί τε γὰρ αὐτῷ τὴν θυσίαν πρώτην τὰ ἱερὰ πονηρὰ

5 2 3 ἐπανέστη αὐτῷ τριάκοντα μόνους στρατιώτας ἑτοιμασάμενος Z p. 483 τοι om 3 7 ἐκπρ. πολλαῖς ὑποσχέσεσι Z 6 3 " " Z 3 5 ἐνέπειραν 6 3 καὶ πράξαντες ταῦτα οἱ στρατιῶται, τάς τε κεφαλὰς ἐκείνων ἀποτεμόντες, πρὸς τὸν Ὄθωνα αὐτὰς ἐν τῷ στρατοπέδῳ καὶ εἰς τὸ συνέδριον ἐκόμισαν, ὥστε τοὺς βουλευτὰς καταπλαγέντας χαίρειν τε προσποιεῖσθαι καὶ τῷ Ὄθωνι πάντα τὰ πρὸς τὴν ἀρχὴν φέροντα ψηφίσασθαι Z p. 484 6 τρεῖς καὶ εἴκοσιν Z 7 1 3 πρώτην θυσίαν?

Digitized by Google

ὤφθη, ὥστ' αὐτὸν μεταγνόντα ἐπὶ τοῖς πεπραγμένοις εἰπεῖν "τί γάρ με ἔδει μακροῖς αὐλοῖς αὐλεῖν;" ἔστι δὲ τοῦτο δημῶδες, ἐς παροιμίαν φέρον, ἐπὶ τῶν ἔξω τι τοῦ προσφόρου σφίσι ποιούντων.
2 καὶ μετὰ τοῦτο τῆς νυκτὸς οὕτω δή τι ἐν τοῖς ὕπνοις ἐταράχθη ὥστε καὶ ἐκ τῆς εὐνῆς ἐκπεσεῖν τούς τε προκοιτοῦντας ἐκπλῆξαι· ἐσπηδήσαντες οὖν εὗρον αὐτὸν χαμαὶ κείμενον. ἀλλ' οὐ γὰρ εἶχεν ἅπαξ ἐπὶ τὴν ἀρχὴν ἐσελθὼν ἀναδῦναι, καὶ ἐνέμεινεν ἐν αὐτῇ καὶ
3 δίκην ἔδωκε, καίτοι πολλὰ καὶ μέτρια πρὸς θεραπείαν τῶν ἀνθρώπων ποιήσας, οὐχ ὅτι οὕτως ἐπεφύκει, ἀλλ' ὅτι οἰδούντων αὐτῷ διὰ τὸν Οὐιτέλλιον τῶν πραγμάτων οὐκ ἤθελε καὶ τοὺς ἄλλους ἐκ-
8 πολεμῶσαι. ἡ μέντοι βουλὴ πάντα τὰ πρὸς τὴν ἀρχὴν φέροντα ἐψηφίσατο· βεβιάσθαι μὲν γὰρ καὶ ἐς τὸ τεῖχος ἄκων ἐσῆχθαι κἀνταῦθα ἀντιλέγων κεκινδυνευκέναι ἔλεγεν, καὶ τά τε ἄλλα ἐπιεικῶς ἐφθέγγετο, καὶ τῇ ὑποκρίσει τοῦ σχήματος ἐμετρίαζε, φιλήματά τε ὡς ἑκάστοις διὰ τῶν δακτύλων ἔπεμπε, καὶ ὑπισχνεῖτο πολλά.
2 οὐκ ἐλάνθανε δὲ ὡς καὶ ἀσελγέστερον καὶ πικρότερον τοῦ Νέρωνος ἄρξειν ἔμελλεν· τὸ γοῦν ὄνομα αὐτοῦ αὐτῷ εὐθὺς ἐπέθετο. πλὴν τότε καὶ τῶν βουλευτῶν συχνοῖς τοῖς μὲν καταδίκας ἀνίει τοῖς δὲ ἄλλ' ἄττα ἐχαρίζετο, καὶ ἐς τὰ θέατρα συνεχῶς ἐσεφοίτα θωπεύων τὸ πλῆθος, τοῖς τε ξένοις πολιτείαν ἐδίδου καὶ ἄλλα πολλὰ ἐπηγ-
3 γέλλετο. οὐ μὴν καὶ οἰκειώσασθαι οὐδένα πλὴν ὀλίγων τινῶν ἠδυνήθη ὁμοίων αὐτῷ· ὅ τε γὰρ βίος αὐτοῦ καὶ ἡ δίαιτα, "καὶ τὸ τὰς τῶν ἐπαιτίων εἰκόνας ἀποκαταστῆσαι," τό τε τῷ Σπόρῳ συνεῖναι καὶ τὸ τοῖς λοιποῖς τοῖς Νερωνείοις χρῆσθαι πάνυ πάντας
9 ἐξεφόβει. "μάλιστα δὲ αὐτοῦ ἐμίσουν ὅτι τήν τε ἀρχὴν ὤνιον ἀποδεδείχει καὶ τὴν πόλιν ἐπὶ τοῖς θρασυτάτοις ἐπεποιήκει, καὶ τὴν μὲν βουλὴν καὶ τὸν δῆμον παρ' οὐδὲν ἦγε, τοὺς δὲ στρατιώτας ἐπεπεί-
2 κει καὶ τοῦθ', ὅτι ἀποκτεῖναι Καίσαρα καὶ ποιῆσαι δύνανται." τοὺς μέντοι στρατιώτας ἐς τοσοῦτον τόλμης καὶ παρανομίας προήγαγεν ἔκ τε ὧν ἐδίδου καὶ ὧν καθ' ὑπερβολὴν ἐκολάκευεν, ὥστε καὶ ἐς τὸ παλάτιόν ποτε, ὥσπερ εἶχον, ἐσεβιάσαντο, ἐπειδὴ συχνοὶ τῶν βουλευτῶν ἐνταῦθα τῷ Ὄθωνι συνεδείπνουν, καὶ τέλος καὶ ἐς αὐτὸ τὸ συμπόσιον, προαποκτείναντες τοὺς εἴργοντάς σφας, ἐσεπήδησαν·
3 καὶ πάντας ἂν τοὺς ἔνδον ὄντας ἐφόνευσαν, εἰ μὴ φθάσαντες ἐξανέστησαν καὶ κατεκρύφθησαν. καὶ οἱ μὲν καὶ ἐπὶ τούτῳ χρήματα, ὡς καὶ δι' εὔνοιαν αὐτὸ τοῦ Ὄθωνος πεποιηκότες, ἔλαβον· ἑάλω

6 τι τῶν ἁρμοζόντων αὐτοῖς ἐπιτηδευόντων M 217 8 2 1 ὡς καὶ ἀσ.] ὅτι αὐτὸς τὴν βουλὴν ἐβιάζετο καὶ ὡς ἀσ. Z 5 ἀνεδίδου 3 2 et 9 1 1 " " V p. 697 9 1 1 ὤνιόν τε* 2 3 ἐκολάκευσεν 3 3 ἐν τούτοις δέ τις πλασάμενος Νέρων εἶναι ἐκ τῆς πρὸς τὸν Νέρωνα οὔσης ἐμφερείας αὐτῷ, τὴν Ἑλλάδα ὀλίγου πᾶσαν ἐτάραξε, καὶ χεῖρα κακούργων ἀνδρῶν

Digitized by Google

δέ τις καὶ Νέρων εἶναι πλασάμενος κατὰ τόνδε τὸν καιρόν, οὗ τὸ
ὄνομα τῷ Δίωνι ἠγνόηται, καὶ τὸ τέλος καὶ δίκην ἔδωκεν.
ὁ δὲ Ὄθων ἐπειδὴ καὶ μὴ ἔπειθε τὸν Οὐιτέλλιον, ἐς κοινωνίαν 10
αὐτὸν τῆς ἀρχῆς πολλάκις παρακαλῶν, ἐς πόλεμον λοιπὸν φανερὸν
καθίστατο καὶ στρατιώτας ἔπεμπεν, ἡγεμόσιν αὐτοὺς πλείοσι παραδούς· ὃ δὴ καὶ αἰτιώτατον τῶν σφαλμάτων αὐτῷ ἐγένετο.
ὅτι ὁ Ὄθων ἀνεχώρησεν ἐκ τῆς μάχης, λέγων μὴ δύνασθαι 2
μάχην ἀνδρῶν ὁμοφύλων ἰδεῖν, ὥσπερ ἐκ δικαίας τινὸς πράξεως
αὐταρχήσας, ἀλλ' οὐ τούς τε ὑπάτους καὶ τὸν Καίσαρα τόν τε
αὐτοκράτορα ἐν αὐτῇ τῇ Ῥώμῃ φονεύσας. V p. 697.
ἔπεσον δὲ τέσσαρες μυριάδες ἀνδρῶν ἑκατέρωθεν ἐν ταῖς μά- 3
χαις ταῖς πρὸς τῇ Κρεμώνῃ γενομέναις· ὅπου γέ φασι πρὸ τῆς
μάχης ἄλλα τε φανῆναι σημεῖα, καί τινα ὄρνιν ἐξαίσιον, ὁποῖον οὐ
πώποτε ἑωράκασιν, ἐπὶ πολλὰς ἡμέρας ὀφθῆναι.
ἐπεὶ δὲ οἱ τοῦ Ὄθωνος ἐκρατήθησαν, ἤγγειλε μὲν ἱππεύς τις 11
τὸ πάθος τῷ Ὄθωνι· καὶ ἐπειδή γε ἠπιστεῖτο πρὸς τῶν παρόντων
(ἔτυχον γὰρ πολλοὶ κατὰ τύχην ἠθροισμένοι) καὶ οἳ μὲν δραπέτην
οἱ δὲ καὶ πολέμιον αὐτὸν ἀπεκάλουν, "εἴθε γάρ" ἔφη "ψευδῆ ταῦτα,
Καῖσαρ, ἦν· ἥδιστα γὰρ ἂν νικῶντός σου ἐτελεύτησα. νῦν δὲ ἐγὼ 2
μὲν πάντως οἰχήσομαι, ἵνα μή μέ τις ἐπὶ σωτηρίᾳ καταπεφευγέναι
δόξῃ, σὺ δὲ βουλεύου, ὡς τῶν πολεμίων οὐκ ἐς μακρὰν ἡξόντων,
ὅ τι χρὴ πρᾶξαι." καὶ ὁ μὲν ταῦτ' εἰπὼν ἑαυτὸν διεχρήσατο·
πιστευσάντων δ' αὐτῷ ἐκ τούτου πάντων καὶ ἑτοίμως ἐχόντων ανα- 12
μαχέσασθαι (αὐτοί τε γὰρ συχνοὶ ἦσαν καὶ ἕτεροι ἐκ Παννονίας
παρῆσαν· ὅ τε μέγιστον ἐν τοῖς τοιούτοις ἐστίν, ἐφίλουν τε τὸν
Ὄθωνα καὶ πᾶσαν αὐτῷ εὔνοιαν οὐκ ἀπὸ τῆς γλώττης μόνον ἀλλὰ
καὶ ἀπὸ τῆς ψυχῆς εἶχον) ἐπέσχε μέχρις οὗ καὶ οἱ λοιποὶ πρὸς τὴν
ἀγγελίαν συνέδραμον, καί τι πρὸς ἑαυτὸν διαλαλήσας ἔπειτα πρὸς
τοὺς στρατιώτας ἐδημηγόρησεν ἄλλα τε πολλὰ καὶ ταῦτα. "ἀρκεῖ 13
τὰ γεγονότα, ἀρκεῖ. μισῶ πόλεμον ἐμφύλιον, κἂν κρατῶ· φιλῶ

ἀθροίσας πρὸς τὰ ἐν τῇ Συρίᾳ στρατόπεδα ὥρμησεν. ἐν Κύδνῳ δὲ περαιούμενον αὐτὸν ὁ Καλπούρνιος συνέλαβε καὶ ἀπέκτεινεν. Z 10 1 1 ὁ δὲ Ὄθων λάθρᾳ πολλοὺς πρὸς τὸν Οὐιτέλλιον ἐπὶ καταλλαγῇ ἔπεμψεν. ὡς δ' οὐκ ἐπείθετο, πρεσβευτὰς ἀπέστειλε φανερῶς. οὔτε δὲ ἀπεκρίνατό τι αὐτοῖς Οὐιτέλλιος οὔτε ἀπέπεμψεν αὐτούς. εἶτα ἔπεμψεν Ὄθων ἰσχὺν κατὰ γῆν τε καὶ κατὰ θάλασσαν, ἡττήθη δὲ διὰ πολυαρχίαν, οὐ δι' ἀσθένειαν. κἀκ τῆς Ῥώμης δὲ ἐξωρμήθη καὶ τοὺς πρώτους ἐξήγαγε. μέρος δέ τι τῆς δυνάμεως τῷ Πρόκλῳ δοὺς αὐτὸς ἀνεχώρησε, λέγων μὴ φέρειν μάχην ἀνδρῶν ὁμοφύλων ἰδεῖν. ὅθεν μαλακίαν αὐτοῦ καταγνόντες οἱ στρατιῶται καὶ οἱ στρατάρχαι οὐδὲν τῶν δεόντων ἔπραξαν, ἀλλ' ἡττήθησαν καὶ τοῖς τοῦ Οὐιτελλίου ἐπεκηρυκεύσαντο καὶ ἀνεμίχθησαν σφίσι. Z p. 485
3 2 τέ 12 1 2 αὐτοί τε γάρ] οἵ τε γὰρ δορυφόροι Z

Digitized by Google

*πάντας Ῥωμαίους, κἂν μὴ ὁμολογῶσί μοι. νικάτω Οὐιτέλλιος, ἐπεὶ
τοῦτο τοῖς θεοῖς ἔδοξεν· σωζέσθωσαν καὶ οἱ ἐκείνου στρατιῶται,
2 ἐπεὶ τοῦτ' ἐμοὶ δοκεῖ. πολὺ γάρ που καὶ κρεῖττον καὶ δικαιότερόν
ἐστιν ἕνα ὑπὲρ πάντων ἢ πολλοὺς ὑπὲρ ἑνὸς ἀπολέσθαι. καὶ γὰρ
ἐγὼ Μούκιος καὶ Δέκιος καὶ Κούρτιος καὶ Ῥήγουλος μᾶλλον ἂν
ἑλοίμην ἢ Μάριος καὶ Κίννας καὶ Σύλλας, ἵνα μὴ καὶ τοὺς ἄλλους
3 εἴπω, γενέσθαι. μήτ' οὖν βιάσησθέ με ἕνα τούτων ὧν μισῶ γε-
νέσθαι, μήτε φθονήσητέ μοι ἕνα ἐκείνων ὧν ἐπαινῶ μιμήσασθαι·
ἀλλ' ὑμεῖς μὲν ἐπὶ τὸν κεκρατηκότα ἄπιτε καὶ ἐκεῖνον θεραπεύετε,
ἐγὼ δ' αὐτὸς ἐμαυτὸν ἐλευθερώσω, ὅπως καὶ τῷ ἔργῳ ἅπαντες
ἄνθρωποι μάθωσιν ὅτι τοιοῦτον αὐτοκράτορα εἵλεσθε ὅστις οὐχ
ὑμᾶς ὑπὲρ ἑαυτοῦ ἀλλ' ἑαυτὸν ὑπὲρ ὑμῶν δέδωκεν."*

14 *τοιαῦτα μὲν ὁ Ὄθων εἶπεν· οἱ δὲ δὴ στρατιῶται, ἐξ ὧν ἤκουον,
καὶ ἐθαύμαζον ἅμα καὶ ἠλέουν εἴ τι πείσοιτο, καὶ δάκρυσί τε
ἔκλαιον καὶ ἐθρήνουν, πατέρα τε ἀνακαλοῦντες καὶ παίδων καὶ
γονέων φίλτερον ὀνομάζοντες. "ἐν σοί" τε "καὶ ἡμεῖς σωζόμεθα"
2 ἔλεγον, "καὶ ὑπὲρ σοῦ πάντες ἀποθανούμεθα." καὶ ταῦτα μὲν
οὕτως ἐπὶ πλεῖστον τῆς ἡμέρας ἐλέχθη, τοῦ τε Ὄθωνος τελευτῆσαι
δεομένου καὶ ἐκείνων μὴ ἐφιέντων αὐτῷ τοῦτο ποιῆσαι, πρὶν δὴ
σιγάσας αὐτοὺς ἔφη "ἐγὼ μὲν οὐκ ἔστιν ὅπως χείρων τοῦ στρατιώ-
του τούτου γενήσομαι, ὃν αὐτοὶ ἑωράκατε ὅπως ἑαυτὸν διὰ τοῦτο
μόνον ἀπέσφαξεν, ὅτι τὴν ἧτταν τῷ ἑαυτοῦ αὐτοκράτορι ἤγγειλεν·
3 ἀλλ' ἀκολουθήσω πάντως αὐτῷ, ἵνα μηδὲν ἔτι τοιοῦτον μήτε ἴδω
μήτε ἀκούσω. ὑμεῖς δέ, εἴπερ ὄντως φιλεῖτέ με, ἐάσατέ με ἀπο-
θανεῖν ὡς βούλομαι, καὶ μή με ζῆσαι ἄκοντα ἀναγκάσητε, ἀλλὰ
15 πρός τε τὸν κεκρατηκότα ἄπιτε καὶ ἐκεῖνον κολακεύετε." ταῦτ' εἰ-
πὼν ἔς τε τὸ δωμάτιον ἀνεχώρησε καί τι ξιφίδιον λαβὼν ἑαυτὸν
διεχρήσατο. καὶ αὐτοῦ τὸ σῶμα οἱ στρατιῶται ἀνείλοντο πενθοῦν-
2 τες καὶ ἔθαψαν, καί τινες ἑαυτοὺς ἐπέσφαξαν αὐτῷ. τοῦτο τὸ τέλος
τῷ Ὄθωνι ἐγένετο ζήσαντι μὲν ἑπτὰ καὶ τριάκοντα ἔτη, ἕνδεκα
ἡμερῶν δέοντα, ἄρξαντι δὲ ἡμέρας ἐνενήκοντα. κάκιστά γε μὴν*

13 3 1 *μή** 14 1 1 *ὁ* om* 4 " " V p. 698 2 4 *σιγήσας αὐτοῖς*
15 1 2 *ἀνεχώρησε, καί τινα τοῖς τε οἰκείοις καὶ τῷ Οὐιτελλίῳ ὑπὲρ αὐτῶν ἐπιστείλας, τά τε γράμματα ὅσα τινὲς αὐτῷ κατ' ἐκείνου ἐγεγράφεισαν ἔκαυσεν, ὥστε μηδένα ἐξ αὐτῶν φωραθέντα κινδυνεῦσαι, καὶ καλῶν ἕνα ἕκαστον τῶν παρόντων ἠσπάζετο αὐτοὺς καὶ ἐδίδου σφίσι χρήματα. κἀν τούτῳ ταραχῆς γενομένης στρατιωτῶν ἐξῆλθε, καὶ καταστήσας αὐτοὺς οὐ πρότερον ἀνεχώρησε πρὶν ἐς τὸ ἀσφαλὲς ἄλλους ἀλλαχοῦ πέμψαι. καὶ οὕτως ἐπεὶ μηδὲν ἔτι ταραχῶδες ἐγίνετο, ἑαυτὸν διεχρήσατο.* Z p. 486.
2 3 post *ἐνενήκοντα* Z: *ὅθεν καὶ τὴν ἀσέβειαν καὶ τὴν πονηρίαν τοῦ βίου συνεσκίασε.* cf. M p. 217: *ὅτι ὁ Ὄθων ὀλιγοχρόνιος γενόμενος ἔνεκεν τούτου τὴν ἀσέλγειαν τοῦ βίου ἐσκέπασεν.*

Digitized by Google

ἀνθρώπων ζήσας κάλλιστα ἀπέθανεν, καὶ κακουργότατα τὴν ἀρχὴν
ἁρπάσας ἄριστα αὐτῆς ἀπηλλάγη.

Ὅτι ὁ Οὐάλης οὕτω περὶ τὰ χρήματα ἐσπούδαζε καὶ οὕτως ἐξ 16
ἅπαντος τρόπου ἤθροιζεν ὥστε καὶ τὸν χιλίαρχον τὸν κατακρύ-
ψαντά τε αὐτὸν καὶ διασώσαντα ἀποσφάξαι διὰ χιλίας δραχμάς,
ἃς ἐκ τῶν σκευῶν αὐτοῦ ὑφῃρῆσθαι ἔδοξεν. V p. 697.

οἱ δ' ἐν τῇ Ῥώμῃ ὡς ἤκουσαν τὸ τοῦ Ὄθωνος πάθος, παρα- ΞΕ
χρῆμα, ὥσπερ εἰκὸς ἦν, μετεβάλλοντο· τόν τε γὰρ Ὄθωνα, ὃν πρό- a.C. 69
τερον ἐπῄνουν καὶ νικᾶν ηὔχοντο, ἐλοιδόρουν ὡς πολέμιον, καὶ τὸν
Οὐιτέλλιον, ᾧ κατηρῶντο, καὶ ἐπῄνουν καὶ αὐτοκράτορα ἀνηγόρευον.
οὕτω που οὐδὲν πάγιόν ἐστι τῶν ἀνθρωπίνων, ἀλλ' ὁμοίως οἵ τε 2
ἐς τὰ μάλιστα ἀνθοῦντες καὶ οἱ ἐν τῷ ταπεινοτάτῳ ὄντες ἀστά-
θμητά τε αἱροῦνται, καὶ πρὸς τὰς τύχας σφῶν καὶ τοὺς ἐπαίνους
καὶ τοὺς ψόγους τάς τε τιμὰς καὶ τὰς ἀτιμίας λαμβάνουσιν.

ὅτι ὁ Οὐιτέλλιος εἶδεν ἐν Λουγδούνῳ μονομάχων ἀγῶνας καὶ ἐν 3
Κρεμώνῃ, ὥσπερ οὐκ ἀρκοῦντος τοῦ πλήθους τῶν ἐν ταῖς μάχαις
ἀπολωλότων καὶ τότε καὶ ἔτι ἀτάφων ἐρριμμένων, ὡς καὶ αὐτὸς
ἐθεάσατο· διεξῆλθε γὰρ διὰ παντὸς τοῦ χωρίου ἐν ᾧ ἔκειντο, ἐμπι-
πλάμενος τῆς θέας ὥσπερ τότε νικῶν, καὶ οὐκ ἐκέλευσέ σφας οὐδ'
ὡς ταφῆναι. V p. 698.

Οὐιτέλλιος δὲ ἐπεὶ ἐν τῇ Ῥώμῃ ἐγένετο, τἆλλά τε διῴκει ὥς 4
που καὶ ἐδόκει αὐτῷ, καὶ πρόγραμμα ἔθετο δι' οὗ τοὺς ἀστρολό-
γους ἐξήλασε, προειπὼν σφισιν ἐντὸς τῆσδε τῆς ἡμέρας, ῥητήν τινα
τάξας, ἐξ ἁπάσης τῆς Ἰταλίας χωρῆσαι. καὶ αὐτῷ ἐκεῖνοι νυκτὸς
ἀντιπροθέντες γράμματα ἀντιπαρήγγειλαν ἀπαλλαγῆναι ἐκ τοῦ βίου
ἐντὸς τῆς ἡμέρας ἐν ᾗ ἐτελεύτησεν. καὶ οἱ μὲν οὕτως ἀκριβῶς τὸ
γενησόμενον προέγνωσαν, αὐτὸς δὲ τῇ τε τρυφῇ καὶ τῇ ἀσελγείᾳ 2
προσκείμενος οὐδὲν ἔτι τῶν ἄλλων οὔτε τῶν ἀνθρωπίνων οὔτε τῶν
θείων ἐφρόντιζεν. ἦν μὲν γὰρ καὶ ἀπ' ἀρχῆς τοιοῦτος οἷος περί
τε τὰ καπηλεῖα καὶ περὶ τὰ κυβευτήρια τούς τε ὀρχηστὰς καὶ τοὺς
ἁρματηλάτας ἐσπουδακέναι, καὶ ἀμύθητα ἐς τὰ τοιαῦτα ἀνήλισκε,
καὶ διὰ τοῦτο καὶ δανειστὰς πολλοὺς εἶχεν· τότε δὲ καὶ μᾶλλον, 2
ἅτε ἐν τοσαύτῃ ἐξουσίᾳ καθεστώς, ὕβριζε, καὶ τὸ πλεῖστον καὶ τῆς
ἡμέρας καὶ τῆς νυκτὸς ἐδαπάνα ἀπλήστως τε ἐμφορούμενος καὶ

4 post ἀπέθανεν Z: οἱ δὲ στρατιῶται εὐθὺς μὲν ἐταράχθησαν καὶ ὑπ' ἀλλήλων πολλοὶ ἀνῃρέθησαν, ἔπειτα ὡμονόησαν καὶ προσκεχωρήκεσαν τοῖς κεκρατηκόσιν     1 3 1 ἐν Λουγδ.] ὄντι δ' ἐν τῇ Γαλατίᾳ ὁ θάνατος ἠγγέλθη τοῦ Ὄθωνος. ἦλθε δὲ πρὸς αὐτὸν καὶ ἡ γυνὴ καὶ τὸ παιδίον, ὃ καὶ ἐπὶ βήματος Γερμανικόν τε καὶ αὐτοκράτορα ἐπωνόμασεν, ἑξάετες ὄν. Z.     3 οὓς?     4 2 φιλόμαντις δὲ ὑπάρχων καὶ μηδὲ τὸ βραχὺ πράσσων ἄνευ αὐτῶν, τότε μὲν τοὺς ἀστρονόμους, ὕστερον δὲ καὶ τοὺς γόητας ἐξήλασεν. Z p. 487

Digitized by Google

συνεχῶς πάντα ἐξεμῶν, ὡς μόνῃ τῇ παρόδῳ τῶν σιτίων τρέφεσθαι.
ἀφ' οὗπερ καὶ ἀνταρκεῖν ἐδύνατο, ἐπεὶ οἵ γε συνδειπνοῦντες αὐτῷ
3 πάντες κακῶς ἀπήλλασσον. ″πολλοὺς γὰρ ἀεὶ τοὺς πρώτους ὁμο-
σίτους ἐποιεῖτο, καὶ πολλάκις καὶ παρ' αὐτοῖς εἱστιᾶτο·″ ὅθεν χα-
ριέστατον λόγον εἷς τις αὐτῶν Οὐίβιος Κρίσπος ἀρρωστήσας, καὶ
διὰ τοῦτο ἡμέρας τινὰς ἀπολειφθεὶς τοῦ συσσιτίου, εἶπεν, ὅτι εἰ
3 μὴ ἐνενοσήκειν, πάντως ἂν ἀπολώλειν. καὶ ἐγένετο ὁ χρόνος ὁ τῆς
ἀρχῆς αὐτοῦ σύμπας οὐδὲν ἄλλο ἢ μέθαι τε καὶ κῶμαι· πάντα τε
γὰρ τὰ τιμιώτατα καὶ ἀπ' αὐτοῦ τοῦ ὠκεανοῦ, ἵνα μηδὲν εἴπω
πλέον, καὶ ἐκ τῆς γῆς καὶ ἐκ τῆς θαλάσσης συνήγετο, καὶ πολυτε-
λῶς οὕτως ἐσκευάζετο ὥστε Οὐιτελλιανὰ καὶ νῦν ἔξ ἐκείνου καὶ
2 πέμματα καὶ ἄλλα τινὰ βρώματα ὀνομάζεσθαι. καὶ τί ἂν τις καθ'
ἕκαστον αὐτῶν καταλέγοι, ὁπότε πρὸς πάντων ὁμοίως ὡμολόγηται
δύο τε αὐτὸν μυριάδας μυριάδων καὶ δισχιλίας πεντακοσίας ἐν τῷ
τῆς ἀρχῆς χρόνῳ ἐς τὰ δεῖπνα δεδαπανηκέναι. ἐπέλιπέ τε γὰρ
3 πάντα τὰ πολυτίμητα δι' ὀλίγου, καὶ ἔδει πάντως αὐτὰ εἶναι. μίαν
γοῦν ποτὲ λοπάδα πέντε καὶ εἴκοσι μυριάδων ἐσκεύασε, γλώττας τε
καὶ ἐγκεφάλους καὶ ἥπατα καὶ ἰχθύων καὶ ὀρνίθων τινῶν ἐμβαλών.
καὶ ἐπειδὴ ἀδύνατον ἦν κεραμεᾶν τηλικαύτην γενέσθαι, ἀργύρου
τε ἐποιήθη καὶ ἔμεινε πολὺν χρόνον ὥσπερ τι ἀνάθημα, μέχρις οὗ
Ἀδριανὸς αὐτὴν ἰδὼν συνεχώνευσεν.

4 ἐπειδὴ δ' ἅπαξ τούτων ἐμνημόνευσα, καὶ ἐκεῖνο προσθήσω
ὅτι οὐδὲ τῇ οἰκίᾳ τῇ τοῦ Νέρωνος τῇ χρυσῇ ἠρκεῖτο, ἀλλὰ καίτοι
σφόδρα καὶ τὸ ὄνομα καὶ τὸν βίον τά τε ἐπιτηδεύματα αὐτοῦ πάντα
καὶ ἀγαπῶν καὶ ἐπαινῶν, ὅμως ᾐτιᾶτο αὐτὸν κακῶς τε ᾠκηκέναι
καὶ σκευῇ ὀλίγῃ καὶ ταπεινῇ κεχρῆσθαι λέγων· ″νοσήσας γοῦν ποτὲ
2 ἐζήτησεν οἴκημα ἐν ᾧ κατοικήσει. οὕτως αὐτὸν οὐδὲ τῶν ἐκείνου
τι ἤρεσεν.″ ἡ γυνὴ δὲ αὐτοῦ Γαλερία ὡς ὀλίγου ἐν τῷ βασιλικῷ
κόσμου εὑρεθέντος κατεγέλα. ἀλλ' οὗτοι μὲν ἐκ τῶν ἀλλοτρίων
ἀναλίσκοντες οὐδ' ἠρίθμουν τι ἐκ τῶν δαπανωμένων, οἱ δὲ δειπνί-
ζοντές σφας ἐν μεγάλῳ κακῷ ἐγίγνοντο, ″πλὴν ὀλίγων οἷς τι ἀντα-
3 πεδίδου.″ καίπερ οὐδ' ὅλης τῆς ἡμέρας οἱ αὐτοὶ εἱστίων αὐτόν,
ἀλλ' ἄλλοι μὲν ἀκρατίσασθαι παρεῖχον, ἄλλοι δὲ ἀριστῆσαι, ἕτεροι
δὲ δεῖπνον, ἕτεροι μεταδόρπιά τινα πλησμονῆς παραμύθια· ″πάν-
τες γὰρ οἱ δυνάμενοι ἑστιᾶν αὐτὸν ἐσπούδαζον.″ καὶ ἑκατόν γε
αὐτόν φασι μυριάδας ἐς δεῖπνον ἀναλῶσαι. ″καὶ τὰ γενέθλια
αὐτοῦ ἐπὶ δύο ἡμέρας ἑωρτάζετο, καὶ θηρία καὶ ἄνδρες πολλοὶ
ἀπεκτάνθησαν.″

2 et 4 ″ ″ V p. 698    3 2 1 τἆλλα    4 2 1 χρῆσθαι

Digitized by Google

"ὅτι τοιούτου τοῦ Οὐιτελλίου ὄντος οὐδ' οἱ στρατιῶται ἐσω- 4
φρόνουν, ἀλλὰ καὶ ὕβρεις καὶ ἀσέλγειαι ὑπ' αὐτῶν πολλαὶ πανταχοῦ ὁμοίως ἐγίγνοντο. V p. 701.

γέλωτα μέντοι ὁ Οὐιτέλλιος πολλοῖς παρεῖχεν· ὁρῶντες γὰρ ἄν- 5
δρα σεμνοπροσωποῦντα ἐν ταῖς δημοσίαις προόδοις ὃν ᾔδεσαν πεπορνευκότα, καὶ ἐφ' ἵππου βασιλικοῦ καὶ ἐν χλαμύδι πορφυρᾷ ὃν ἠπίσταντο τοὺς ἀγωνιστὰς ἵππους ἐν τῇ βενετίῳ ἐσθῆτι ψήχοντα,
μετά τε ὄχλου στρατιωτῶν τοσούτου ἐς τὸ Καπιτώλιον ἀνιόντα ὃν 2
οὐδεὶς οὐδ' ἐν τῇ ἀγορᾷ πρότερον διὰ τὸ τῶν δανειστῶν πλῆθος ἰδεῖν ἐδύνατο, καὶ προσκυνούμενον πρὸς πάντων ὃν οὐδεὶς οὐδὲ φιλῆσαί ποτε ἡδέως ἠθέλησεν, οὐκ εἶχον ὅπως τὸν γέλωτα κατάσχωσιν.
σιν. οἵ γε μὴν δεδανεικότες τι αὐτῷ ἐξορμῶντος μὲν αὐτοῦ ἐς τὴν 3
Γερμανίαν ἐπελάβοντο, καὶ μόλις ποτὲ κατεγγυηθέντα αὐτὸν ἀπέλυσαν· τότε δὲ οὐχ ὅσον οὐ κατεγέλων ἀλλὰ καὶ ἐθρήνουν καὶ κατεκρύπτοντο, καὶ αὐτοὺς ἀναζητῶν τήν τε σωτηρίαν σφίσιν ἐς τὸ ὀφειλόμενον ἀποδιδόναι ἔλεγε καὶ τὰ συμβόλαια ἀπῄτει.

ἐπεφοίτα δὲ καὶ τοῖς θεάτροις συνεχῶς, ὥστε καὶ τὸν ὅμιλον 7
ἀπ' αὐτῶν ἀναρτᾶσθαι. συνεσίτει δὲ καὶ τοῖς δυνατωτάτοις ἁπλοϊζόμενος, ὥστε αὐτοὺς ἔτι καὶ μᾶλλον προσεταιρίζεσθαι· τῶν τε ἀρχαίων συμβιωτῶν ἰσχυρῶς ἐμέμνητο, καὶ πάνυ αὐτοὺς ἐτίμα, οὐκ ἀπαξιῶν γνωρίζειν τινὰ αὐτῶν δοκεῖν, ὥσπερ ἕτεροι· πολλοὶ γὰρ ἐπὶ μέγα παραλόγως ἀρθέντες μισοῦσι τοὺς συνειδότας σφίσι τὴν ἐν τῷ πρὶν ταπεινότητα.

"ὅτι ὁ Οὐιτέλλιος, Πρίσκου ἀντειπόντος τι αὐτῷ ἐν τῷ συνεδρίῳ 2
καί τινα καὶ τῶν στρατιωτῶν καταδραμόντος, ἐπεκαλέσατο μὲν τοὺς δημάρχους ὡς καὶ τῆς παρ' αὐτῶν ἐπικουρίας δεόμενος, οὔτε δὲ αὐτός τι κακὸν τὸν Πρίσκον εἰργάσατο οὔθ' ὑπ' ἐκείνων παθεῖν εἴασεν, ἀλλὰ καὶ ἔφη ὅτι μὴ ταράττεσθε, πατέρες, μηδ' ἀγανα-

5 2 1 ὅτι Οὐιτέλλιος ἀνέβη εἰς τὸ Καπιτώλιον καὶ τὴν μητέρα αὐτοῦ ἠσπάσατο. ἐκείνη δὲ ἐπιεικὴς ἦν, καὶ ὅτε πρῶτον ἤκουσεν ὅτι Γερμανικὸς ἐπεκλήθη ὁ υἱὸς αὐτῆς, εἶπεν "ἐγὼ μὲν Οὐιτέλλιον ἀλλ' οὐ Γερμανικὸν τέτοκα." M p. 218. 3 5 οὕτω δὲ βιοὺς οὐκ ἄμοιρος ἦν 6
παντάπασι καλῶν ἔργων. τό τε γὰρ ἐπὶ Νέρωνος καὶ τὸ ἐπὶ Γάλβου τοῦ τε Ὄθωνος κοπὲν νόμισμα ἐτήρησεν, οὐκ ἀγανακτῶν ταῖς εἰκόσιν αὐτῶν· καὶ ὅσα τισὶν ἐδεδώρηντο ἐφύλαξε, μηδένα μηδὲν ἀφελόμενος.
καὶ οὔτε τὰ ἐκ τῶν συντελειῶν ἐποφληθέντα ἀπῄτησεν οὔτε οὐσίαν τινὸς 2
ἐδήμευσεν, ὀλίγους μὲν πάνυ τῶν τὰ Ὄθωνος πραξάντων ἀποκτείνας, μηδὲ τὰς ἐκείνων μέντοι οὐσίας τοὺς προσήκοντάς σφων ἀποστερήσας. καὶ τοῖς οἰκείοις δὲ τῶν πρότερόν ποτε θανατωθέντων ἐδωρήσατο πάντα ὅσα ἔτι ἐν
τῷ δημοσίῳ εὕρητο. ἀλλ' οὐδὲ τὰς διαθήκας τῶν ἀντιπολεμησάντων αὐτῷ 3
καὶ ἐν ταῖς μάχαις πεσόντων ἠτιάσατο. ἀπηγόρευσε δὲ καὶ τοῖς βουλευταῖς καὶ τοῖς ἱππεῦσι μονομαχεῖν ἢ ἐν ὀρχήστρᾳ θέαν τινὰ παρέχειν. καὶ διὰ ταῦτα ἐπῃνεῖτο. Z p. 488 post 4 3 3 παραμύθια. 7 1 6 παρὰ λόγον M p. 218.

κτεῖτε, εἰ δύο ἄνδρες ἐξ ὑμῶν διηνέχθημέν τι πρὸς ἀλλήλους. καὶ
3 τοῦτο μὲν ἐξ ἐπιεικείας πεποιηκέναι ἔδοξεν· ὅτι μέντοι τὸν Νέρωνα
μιμεῖσθαι ἤθελε καὶ ἐνήγισέ [τε] αὐτῷ, καὶ ὅτι τοσαῦτα ἐς τὰ δεῖπνα
ἀνήλισκεν, οἱ μὲν ἄλλοι κατὰ τοῦτ' ἔχαιρον, οἱ δὲ δὴ νοῦν ἔχοντες
ἤχθοντο, εὖ ἐπιστάμενοι ὅτι οὐδὲ τὰ ἐξ ἁπάσης τῆς οἰκουμένης
χρήματά οἱ ἀρκέσει. V p. 701.

8 πράττοντι δ' αὐτῷ ταῦτα σημεῖα πονηρὰ ἐγένετο. καὶ γὰρ
κομήτης ἀστὴρ ἐφαντάσθη καὶ ἡ σελήνη παρὰ τὸ καθεστηκὸς δὶς
ἐκλελοιπέναι ἔδοξεν· καὶ γὰρ τεταρταία καὶ ἑβδομαία ἐσκιάσθη.
καὶ ἡλίους δύο ἅμα, ἔκ τε τῶν ἀνατολῶν καὶ ἐκ τῶν δυσμῶν, τοῦ-
τον μὲν ἀσθενῆ καὶ ὠχρὸν ἐκεῖνον δὲ λαμπρὸν καὶ ἰσχυρόν, εἶδον.
2 ἔν τε τῷ Καπιτωλίῳ ἴχνη πολλὰ καὶ μεγάλα δαιμόνων τινῶν ὡς
καὶ κατεληλυθότων ἀπ' αὐτοῦ ἑωράθη· καὶ ἔλεγον οἱ στρατιῶται
οἱ τὴν νύκτα ἐκείνην αὐτῷ ἐγκεκοιτηκότες ὅτι ὁ τοῦ Διὸς ναὸς αὐ-
τόματος σὺν πολλῷ κτύπῳ ἠνεῴχθη, ὥστε τινὰς τῶν φυλάκων ἐκ-
3 πλαγέντας ἀποψῦξαι. ἐπράχθη δὲ ταῦτα, καὶ ὁ Οὐεσπασιανὸς Ἰου-
δαίοις πολεμῶν, πυθόμενος τήν τε τοῦ Οὐιτελλίου καὶ τὴν τοῦ
Ὄθωνος ἐπανάστασιν, ἐβουλεύετο ὅ τι χρὴ πρᾶξαι· ἥ τε γὰρ τῶν
ἀνθρώπων εὔνοια πολλὴ ἦν πρὸς αὐτόν (ἡ γὰρ ἐκ τῆς Βρεττανίας
δόξα καὶ ἡ ἐκ τοῦ ἐν χερσὶ πολέμου εὔκλεια τό τε ἐπιεικὲς καὶ
φρόνιμον αὐτοῦ πρὸς ἐπιθυμίαν σφᾶς ἦγε τῆς παρ' αὐτοῦ προ-
4 στατείας), καὶ ὁ Μουκιανὸς ἰσχυρῶς προσέκειτο, ἐλπίσας τὸ μὲν
ὄνομα τῆς ἀρχῆς ἐκεῖνον ἕξειν, αὐτὸς δὲ διὰ τὴν ἐπιείκειαν αὐτοῦ
ἰσομοιρήσειν. αἰσθόμενοι δὲ οἱ στρατιῶται τούτων, καὶ περιστάν-
9 τες τὴν σκηνὴν αὐτοῦ, ἀνεῖπον αὐτὸν αὐτοκράτορα. ἐγεγόνει μὲν
οὖν καὶ σημεῖα καὶ ὄνειροι τῷ Οὐεσπασιανῷ τὴν μοναρχίαν ἐκ πολ-
λοῦ δηλοῦντα, ἃ καὶ ἐν τῷ αὐτοῦ βίῳ λελέξεται· τηνικαῦτα δὲ τὸν
2 μὲν Μουκιανὸν ἐς τὴν Ἰταλίαν ἐπὶ τὸν Οὐιτέλλιον ἔπεμψεν, αὐτὸς
δὲ τά τε ἐν τῇ Συρίᾳ ἐπιδὼν καὶ τὸν πόλεμον τὸν πρὸς Ἰουδαίους
ἄλλοις τισὶ προστάξας ἐς τὴν Αἴγυπτον ἐκομίσθη καὶ συνέλεγε χρή-
ματα, ὧν που καὶ τὰ μάλιστα ἔχρῃζεν, καὶ σῖτον, ἵν' ὅτι πλεῖστον
3 ἐς τὴν Ῥώμην ἀποστείλῃ. οἱ δ' ἐν τῇ Μυσίᾳ στρατιῶται τὰ κατ'
αὐτὸν πεπυσμένοι οὐδ' ἀνέμειναν τὸν Μουκιανόν (ἐπυνθάνοντο γὰρ
ἐν ὁδῷ εἶναι), ἀλλ' Ἀντώνιον Πρῖμον, φυγόντα μὲν ἐκ καταδίκης

3 4 μὲν om 3 πολλοὶ?* 8 1 5 εἴδομεν?* 3 1 ἐπράχθη δὲ τὰ τῆς ἐπαναστάσεως ὧδε. Οὐεσπασιανὸς ἐν Ἰουδαίᾳ διατρίβων (ὡς γὰρ ἤδη ἱστόρηται, παρὰ Νέρωνος ἦν ἐκεῖσε σταλεὶς διὰ τὴν τῶν Ἰουδαίων ἀποστασίαν) τῷ μὲν Γάλβᾳ αὐταρχήσαντι τὸν υἱὸν ἔπεμψε Τίτον προσεροῦντα αὐτόν, ἐπανελθόντος δὲ τοῦ Τίτου ἐπεὶ καθ' ὁδὸν ἐμεμαθήκει τὴν τοῦ Οὐιτελλίου καὶ τοῦ Ὄθωνος ἐπανάστασιν, πρὸς μοναρχίαν καὶ αὐτὸς ὡρμήθη. Z p. 489 3 ὅτι ὁ Οὐεσπασιανὸς οὔτ' ἄλλως προπετὴς ἦν, καὶ ἐς ταραχώδη οὕτω πράγματα καὶ πάνυ ὤκνει ἑαυτὸν καθεῖναι. V p. 701 4 2 αὐτὸς] καὶ αὐτὸς

Digitized by Google

ἐπὶ τοῦ Νέρωνος, καταχθέντα δὲ ὑπὸ τοῦ Γάλβα καὶ τοῦ Παννο-
νικοῦ στρατοπέδου ἄρχοντα, εἵλοντο στρατηγόν. καὶ ἔσχεν οὗτος 4
τὴν αὐτοτελῆ ἀρχὴν μήθ' ὑπὸ τοῦ αὐτοκράτορος μήθ' ὑπὸ τῆς
γερουσίας αἱρεθείς. τοσαύτη τῶν στρατιωτῶν ἦν πρός τε τὸν Οὐι-
τέλλιον ὀργὴ καὶ πρὸς τὰς ἁρπαγὰς ὁρμή· οὐ γάρ που καὶ ἐπ' ἄλλο
τι ταῦτα ἔπραττον ἢ ἵνα τὴν Ἰταλίαν διαρπάσωσιν. ὃ καὶ ἐγένετο.
ἀκούσας δὲ ταῦτα ὁ Οὐιτέλλιος αὐτὸς μὲν κατὰ χώραν ἔμεινε, 10
τῇ τε ἄλλῃ τρυφῇ καὶ τότε χρώμενος καὶ ἀγῶνας μονομαχίας τι-
θείς (ἐν οἷς καὶ ὁ Σπόρος μέλλων ἐν κόρης ἁρπαζομένης σχήματι
ἐς τὸ θέατρον ἐσαχθήσεσθαι οὐκ ἤνεγκε τὴν ὕβριν ἀλλ' ἑαυτὸν
προαπέσφαξεν), τῷ δὲ δὴ Ἀλιηνῷ τὸν πόλεμον μεθ' ἑτέρων προσ-
έταξεν. Ἀλιηνὸς δὲ ἐς μὲν τὴν Κρεμώνην ἀφίκετο καὶ προκατέσχεν 2
αὐτήν, ὁρῶν δὲ τοὺς στρατιώτας τοὺς μὲν ἑαυτοῦ ἔκ τε τῆς τρυ-
φῆς τῆς ἐν τῇ Ῥώμῃ ἐκδεδιῃτημένους καὶ ἐκ τῆς ἀγυμνασίας δια-
τεθρυμμένους, τοὺς δὲ ἑτέρους καὶ τοῖς σώμασι γεγυμνασμένους
καὶ ταῖς ψυχαῖς ἐρρωμένους, ἐφοβεῖτο, καὶ μετὰ τοῦτο ἐπειδὴ καὶ 3
λόγοι αὐτῷ παρὰ τοῦ Πρίμου φίλιοι ἦλθον, συνεκάλεσε τοὺς στρα-
τιώτας, καὶ τήν τε τοῦ Οὐιτελλίου ἀσθένειαν καὶ τὴν τοῦ Οὐεσπα-
σιανοῦ ἰσχὺν τόν τε ἑκατέρου τρόπον εἰπὼν μεταστῆναι ἔπεισεν.
καὶ τότε μὲν τάς τε τοῦ Οὐιτελλίου εἰκόνας ἀπὸ τῶν σημείων κα-
θεῖλον καὶ ὑπὸ τοῦ Οὐεσπασιανοῦ ἀρχθήσεσθαι ὤμοσαν, διαλυ- 4
θέντες δὲ καὶ ἐς τὰς σκηνὰς ἀναχωρήσαντες μετενόησαν, καὶ ἐξαί-
φνης σπουδῇ καὶ θορύβῳ πολλῷ συστραφέντες τὸν Οὐιτέλλιον
αὐτοκράτορα αὖθις ἀνεκάλουν καὶ τὸν Ἀλιηνὸν ὡς καὶ προδιδόντα
σφᾶς ἔδησαν, οὐδὲν οὐδὲ τῆς ὑπατείας αὐτοῦ προτιμήσαντες· τοι-
αῦτα γὰρ τὰ τῶν πολέμων τῶν ἐμφυλίων μάλιστα ἔργα ἐστίν.
ταραχῆς οὖν καὶ κατὰ τοῦτο πολλῆς ἐν τῷ τοῦ Οὐιτελλίου στρα- 11
τοπέδῳ οὔσης, ἐπηύξησεν αὐτὴν ἡ σελήνη τῆς νυκτὸς ἐκλιποῦσα,
οὐχ ὅτι κατεσκιάσθη (καίτοι τοῖς θορυβουμένοις καὶ τὰ τοιαῦτα
φόβον φέρει) ἀλλ' ὅτι καὶ αἱματώδης καὶ μέλαινα ἄλλα τέ τινα
χρώματα φοβερὰ ἀφιεῖσα ὤφθη. οὐ μέντοι καὶ παρὰ τοῦτο οὔτε 2
μετέθεντο οὔτε ἐνέδοσαν, ἀλλ' ἐς χεῖρας ἀλλήλοις ἐλθόντες προ-
θυμότατα ἠγωνίσαντο, καίπερ ἄναρκτοι, ὥσπερ εἶπον, οἱ Οὐιτέλλειοι
ὄντες· ὁ γὰρ Ἀλιηνὸς ἐν τῇ Κρεμώνῃ ἐδέδετο.
Ὅτι οἱ στρατιῶται τοῦ Οὐιτελλίου τῷ Πρίμῳ τῇ ὑστεραίᾳ 3
ὑπαγομένῳ σφᾶς δι' ἀγγέλων ὁμολογῆσαι ἀντέπεμψαν ἀντιπαραι-
νοῦντες τὰ τοῦ Οὐιτελλίου προελέσθαι, καὶ ἐς χεῖρας ἐλθόντες τοῖς
στρατιώταις αὐτοῦ προθυμότατα ἠγωνίσαντο. ἡ δὲ δὴ μάχη οὐκ 4

11 1 3 ὅτι καὶ ἐσκιάσθη



Digitized by Google

ἐκ παρασκευῆς ἐγένετο, ἀλλ' αἰφνίδιον ὀλίγοι τινὲς τῶν ἱππέων, οἷα
παρὰ τοῖς ἀντιστρατοπεδευομένοις γίνεται, τοῖς προνομεύουσι τῶν
ἑτέρων ἐπέθεντο, καὶ μετὰ τοῦτο προσβοηθούντων ἑκατέροις ἀμφο-
τέρωθεν, ὥς που ἐτύγχανον αἰσθόμενοι, τοτὲ μὲν τοῖς τοτὲ δὲ τοῖς
ἄλλων, εἶτ' ἄλλων, καὶ πεζῶν καὶ ἱππέων, καὶ ταῖς μάχαις αἱ τρο-
5 παὶ συνεγίγνοντο, μέχρις οὗ πάντες συνέδραμον. τότε δὲ ἐς τάξιν
τινὰ ὥσπερ ἐκ συγκειμένου κατέστησαν, καὶ ἐν κόσμῳ τὸν ἀγῶνα
ἐποίησαν καίπερ ἄναρκτοι· ὁ γὰρ Ἀλιηνὸς ἐν τῇ Κρεμώνῃ ἐδέ-
δετο. U p. 394.
12 κἀκ τούτου καὶ ἴση καὶ ἀντίρροπος οὐκ ἐν τῇ ἡμέρᾳ μόνον
ἀλλὰ καὶ ἐν τῇ νυκτὶ ἡ μάχη αὐτῶν ἐγένετο. καὶ γὰρ νὺξ αὐτὴν
ἐπέλαβε, καὶ οὐδ' ἐκείνη σφᾶς διέλυσεν· τοσαύτῃ που καὶ ὀργῇ καὶ
προθυμίᾳ, καίπερ καὶ γνωρίζοντες ἀλλήλους καὶ λαλοῦντες σφίσιν,
2 ἐχρήσαντο. ὅθεν οὐθ' ὁ λιμὸς αὐτοὺς οὔτε ὁ κάματος οὔτε τὸ
ψῦχος οὐθ' ὁ σκότος, οὐ τὰ τραύματα, οὐχ οἱ φόνοι, οὐ τὰ λεί-
ψανα τῶν προτέρων νεκρῶν, "οὐχ ἡ μνήμη τοῦ πάθους, οὐ τὸ πλῆ-
θος τῶν μάτην ἀπολομένων" ἐπράυνεν· τοιαύτη τις μανία ἀμφο-
3 τέρους ὁμοίως κατέσχεν, "καὶ οὕτως ἐπεθύμουν, καὶ ἐξ αὐτῆς τῆς
τοῦ χωρίου μνήμης παροξυνόμενοι, οἱ μὲν καὶ τότε νικῆσαι, οἱ δὲ
μὴ καὶ τότε ἡττηθῆναι, ὥσπερ ἀλλοφύλοις τισὶν ἀλλ' οὐκ οἰκείοις
πολεμοῦντες, καὶ μέλλοντες ἐξ ἑκατέρου πάντες ὁμοίως ἢ αὐτίκα
4 ἀπολέσθαι ἢ μετὰ ταῦτα δουλεύειν. οὔκουν οὐδὲ τῆς νυκτὸς ἐπελ-
θούσης, ὥσπερ εἶπον, ἐνέδοσαν, ἀλλὰ καὶ ἐκκαμόντες, καὶ διὰ τοῦτο
πολλάκις καὶ ἀναπαυόμενοι καὶ ἐς λόγους ἀλλήλοις ἰόντες, ὅμως
13 ἠγωνίζοντο." καὶ ἦν ἰδεῖν, ὁσάκις γε καὶ ἡ σελήνη διέλαμψεν (νέφη
γὰρ αὐτὴν "πολλὰ καὶ ποικίλα διαθέοντα συνεχῶς" ἔσθ' ὅτε συνέ-
κρυπτεν), ἔστι μὲν ὅτε μαχομένους αὐτούς, ἔστι δ' ὅτε ἑστηκότας
καὶ ἐπὶ τὰ δόρατα ἐπερηρεισμένους ἢ καὶ καθημένους. καὶ τοτὲ
2 μὲν κοινῇ συνεβόων, οἱ μὲν τὸν Οὐεσπασιανὸν οἱ δὲ τὸν Οὐιτέλλιον
ὀνομάζοντες, καὶ ἀντιπροεκαλοῦντο ἀλλήλους, λοιδοροῦντές τε καὶ
ἐπαινοῦντες ἑκάτερον· τοτὲ δὲ καὶ ἰδίᾳ ἄλλος ἄλλῳ διελάλει. "συ-
στρατιῶτα, πολῖτα, τί ποιοῦμεν; τί μαχόμεθα; δεῦρ' ἧκε πρὸς ἐμέ."
3 "μὴ δῆτα, ἀλλὰ σὺ πρὸς ἐμέ." καὶ τί ἄν τις τοῦτο θαυμάσειεν,
ὁπότε καὶ σιτία καὶ ποτὰ αἵ τε γυναῖκες ἐκ τῆς πόλεως τοῖς τοῦ
Οὐιτελλίου στρατιώταις τῆς νυκτὸς ἐνεγκοῦσαι ἔδωκαν, καὶ ἐκεῖνοι
αὐτοί τε ἔφαγον καὶ ἔπιον καὶ τοῖς ἀντιμαχομένοις ὤρεγον. καί τις
αὐτῶν ὀνομαστὶ τὸν ἀντίπαλον ἀνακαλέσας (πάντες γὰρ ὡς εἰπεῖν
4 ᾔδεσαν ἀλλήλους καὶ ἐγνώριζον) "λάβε" ἔφη, "συστρατιῶτα, καὶ
φάγε· οὐ γὰρ ξίφος ἀλλ' ἄρτον σοι δίδωμι. λάβε καὶ πίε· οὐ γὰρ

1 3 τοῖς ante π. om   12 1 2 γὰρ om   2 et 3 et 13 1 " " U p. 395

*ἀσπίδα ἀλλὰ κύλικά σοι προτείνω, ἵνα, ἄντε σὺ ἀποκτείνῃς ἐμὲ ἄντε καὶ ἐγὼ σέ, ῥᾷον ἀπαλλάξωμεν, μηδὲ ἐκλελυμένῃ καὶ ἀσθενεῖ τῇ χειρὶ μήτε σὺ ἐμὲ κατακόψῃς μήτε ἐγὼ σέ. ταῦτα γὰρ ἡμῖν* ζῶσιν ἔτι τὰ ἐναγίσματα καὶ Οὐιτέλλιος καὶ Οὐεσπασιανὸς διδοῦσιν, ἵν' ἡμᾶς τοῖς πάλαι νεκροῖς καταθύσωσιν." τοιαῦτά τινες πρὸς ἀλλήλους εἰπόντες, καὶ ἀναπαυσάμενοι χρόνον τινὰ καὶ ἐμφαγόντες, πάλιν ἂν ἐμαχέσαντο· εἶτ' ἀνασχόντες αὖθις συνέβαλον. καὶ ταῦθ' 14
οὕτω δι' ὅλης τῆς νυκτὸς μέχρι τῆς ἕω ἐγένετο. ἔνθα δὴ καὶ τοιόνδε τι δύο ἄνδρες τῶν Οὐεσπασιανείων ἔπραξαν· ἐπειδὴ γὰρ ἰσχυρῶς ἐκ μηχανήματός τινος ἐβλάπτοντο, ἀσπίδας τε ἐκ τῶν Οὐιτελ- 2
λείων σκύλων ἥρπασαν, καὶ τοῖς ἀντικαθεστηκόσι μιχθέντες ἔλαθον μέχρι τῆς μηχανῆς ἐλθόντες ὡς καὶ ἐκείνων ὄντες, καὶ τὰ σχοινία αὐτῆς διέκοψαν ὥστε μηδὲν ἔτι βέλος αὐτῆς ἀφεῖναι δυνηθῆναι. ἀνατείλαντος δὲ τοῦ ἡλίου, καὶ τῶν στρατιωτῶν ἐκ τοῦ τρίτου 3
στρατοπέδου τοῦ Γαλατικοῦ καλουμένου καὶ ἐν τῇ Συρίᾳ χειμάζοντος, τότε δὲ κατὰ τύχην ἐν τῇ τοῦ Οὐεσπασιανοῦ μερίδι ὄντος, ἀσπασαμένων αὐτὸν ἐξαίφνης ὥσπερ εἰώθεσαν, ὑποτοπήσαντες οἱ τοῦ Οὐιτελλίου τὸν Μουκιανὸν παρεῖναι ἠλλοιώθησαν καὶ ἡττηθέντες ὑπὸ τῆς βοῆς ἔφυγον· οὕτω που καὶ τὰ βραχύτατα μεγάλως τοὺς προκεκμηκότας ἐκπλήσσει. καὶ ἐς τὸ τεῖχος ἀναχωρήσαντες 4
χεῖράς τε προετείνοντο καὶ ἱκέτευον. καὶ ἐπεὶ μηδεὶς αὐτῶν ἐσήκουεν, ἔλυσαν τὸν ὕπατον, καὶ αὐτὸν τῇ τε ἐσθῆτι τῇ ἀρχικῇ καὶ ταῖς ῥάβδοις κοσμήσαντες ἔπεμψαν ἀνθ' ἱκετηρίας, καὶ ἔτυχον τῶν σπονδῶν· ὁ γὰρ Ἀλιηνὸς διὰ τὸ ἀξίωμα καὶ διὰ τὴν συμφορὰν ἔπεισε ῥᾳδίως τὸν Πρῖμον τὴν ὁμολογίαν σφῶν δέξασθαι.

15 ὡς μέντοι αἵ τε πύλαι ἠνεῴχθησαν καὶ ἐν ἀδείᾳ πάντες ἐγένοντο, τότε δὴ ἐξαίφνης πανταχόθεν τε ἅμα ἐσέδραμον καὶ διήρπασαν πάντα καὶ ἐνέπρησαν. καὶ ἐγένετο καὶ τοῦτο τὸ πάθος οὐδενὸς τῶν δεινοτάτων σμικρότερον· ἥ τε γὰρ πόλις καὶ μεγέθεσι καὶ κάλλεσιν οἰκοδομημάτων ἤσκητο, καὶ χρήματα παμπληθῆ καὶ τῶν ἐπιχωρίων καὶ τῶν ξένων ἐς αὐτὴν συνεληλύθει. καὶ τά γε 2
πλείω κακὰ οἱ Οὐιτέλλειοι ἔδρασαν, ἅτε καὶ τὰς οἰκίας τῶν πλουσιωτάτων καὶ τὰς διεξόδους τῶν στενωπῶν ἀκριβῶς εἰδότες· οὐδὲ ἔμελεν αὐτοῖς εἰ ὧν ὑπερεμαχέσαντο, τούτους ἀπώλεσαν, ἀλλ' ὡς καὶ αὐτοὶ καὶ ἠδικημένοι καὶ κεκρατηκότες ἔπαιον ἔσφαττον, ὥστε καὶ πέντε μυριάδας σὺν τοῖς ἐν τῇ μάχῃ πεσοῦσιν ἀπολέσθαι.

16 Οὐιτέλλιος δὲ ὡς ἐπύθετο τῆς ἥττης, τέως μὲν ἐθορυβεῖτο, τὸ μέν τι καὶ ὑπὸ σημείων ταραχθείς (θύσαντος γὰρ αὐτοῦ θυσίαν τινά, καὶ ἐπ' αὐτῇ δημηγοροῦντος τοῖς στρατιώταις, γῦπες πολλοὶ

5 3 ἐπιθύσωσιν?* 14 3 1 ἐκ] τῶν ἐκ?*

Digitized by Google

προσπεσόντες τά τε ἱερὰ διεσκέδασαν καὶ ἐκεῖνον ἀπὸ τοῦ βήματος
2 ὀλίγου δεῖν κατέβαλον), τὸ δὲ δὴ πλέον διὰ τὴν ἀγγελίαν τῆς ἥττης·
καὶ τὸν μὲν ἀδελφὸν διὰ ταχέων ἐς Ταρακῖναν ἔπεμψε, καὶ δι'
αὐτοῦ τὴν πόλιν κατέσχεν ὀχυρὰν οὖσαν, τῶν δὲ δὴ τοῦ Οὐεσπασια-
3 νοῦ στρατηγῶν ἐπιόντων τῇ Ῥώμῃ ἐξεπλάγη τε καὶ ἐξέστη. ἐν μὲν
γὰρ οὐδὲν οὔτε ἔπραττεν οὔτε ἐφρόνει, ἐμπλήκτως δὲ ἄνω καὶ κάτω
ἐφέρετο ὥσπερ ἐν κλύδωνι. καὶ γὰρ ἀντείχετο τῆς ἡγεμονίας καὶ
πάντως ὡς καὶ πολεμήσων παρεσκευάζετο, καὶ ἑκὼν αὐτὴν ἠφίει
4 καὶ πάντως ὡς καὶ ἰδιωτεύσων ἡτοιμάζετο. καὶ ἔστι μὲν ὅτε τὴν
χλαμύδα τὴν πορφυρᾶν ἐφόρει καὶ ξίφος παρεζώννυτο, ἔστι δ' ὅτε
ἐσθῆτα φαιὰν ἀνελάμβανεν. ἐδημηγόρει τε καὶ ἐν τῷ παλατίῳ καὶ
ἐν τῇ ἀγορᾷ ἄλλοτε ἄλλα, ἐπί τε μάχην καὶ ἐπὶ διαλλαγὰς αὐτοὺς
5 προτρεπόμενος· καὶ τοτὲ μὲν καὶ ἑαυτὸν ὑπὲρ τοῦ κοινοῦ δὴ ἐπε-
δίδου, τοτὲ δὲ καὶ τὸ παιδίον κατέχων καὶ φιλῶν προέβαλλεν αὐ-
τοῖς ὡς ἐλεηθησόμενος. τούς τε δορυφόρους ἀπήλλαττε καὶ πάλιν
μετεπέμπετο, τό τε παλάτιον ἐκλιπὼν ἂν καὶ ἐς τὴν τοῦ ἀδελφοῦ
οἰκίαν ἀπιὼν εἶτ' ἀνεκομίζετο, ὥστε ἐκ τούτων καὶ τοὺς ἄλλους τοὺς
6 πλείστους τῆς σπουδῆς παραλῦσαι. ὁρῶντες γὰρ αὐτὸν δεῦρο καὶ
ἐκεῖσε ἐμμανῶς ἄττοντα οὔτε τι τῶν προστασσομένων σφίσιν
ὁμοίως ἔπραττον, οὔτε τὰ ἐκείνου μᾶλλον ἢ τὰ σφῶν διεσκόπουν.
καὶ τά τε ἄλλα αὐτὸν ἐκερτόμουν, καὶ μάλιστα ὁπότε τὸ ξίφος ἐν
ταῖς ἐκκλησίαις τοῖς τε ὑπάτοις καὶ τοῖς ἄλλοις βουλευταῖς ὤρεγεν
ὡς καὶ τὴν αὐτοκράτορα ἀρχὴν δι' αὐτοῦ ἀποτεθειμένος· οὔτε γὰρ
ἐκείνων τις λαβεῖν αὐτὸ ἐτόλμα, καὶ οἱ προσεστηκότες ἐχλεύαζον.
17 πρὸς οὖν ταῦτα, ἄλλως τε καὶ πελάζοντος ἤδη τοῦ Πρίμου,
συνελθόντες οἵ τε ὕπατοι Γάιος Κυΐντιος Ἀττικὸς καὶ Γναῖος Και-
κίλιος Σίμπλιξ καὶ Σαβῖνος (συγγενὴς οὗτος Οὐεσπασιανοῦ) τῶν τε
ἄλλων οἱ πρῶτοι γνώμας ἐποιήσαντο, καὶ ἐς τὸ παλάτιον ὥρμησαν
σὺν τοῖς ὁμογνωμονοῦσί σφισι στρατιώταις ὡς ἢ πείσοντες ἢ καὶ
2 καταναγκάσοντες τὸν Οὐιτέλλιον τὴν ἀρχὴν ἀπειπεῖν. καὶ περιπε-
σόντες τοῖς Κελτοῖς τοῖς φρουροῦσιν αὐτὸν κακῶς ἀπήλλαξαν, κἀκ
τούτου ἔς τε τὸ Καπιτώλιον ἀνέφυγον, κἀνταῦθα τὸν Δομιτιανὸν
τὸν τοῦ Οὐεσπασιανοῦ υἱὸν καὶ τοὺς συγγενεῖς αὐτοῦ μεταπεμψάμε-
3 νοι ἐν φυλακῇ ἐποιήσαντο. τῇ δ' ὑστεραίᾳ προσβαλόντων σφίσι
τῶν ἐναντίων χρόνον μέν τινα ἀπεκρούσαντο αὐτούς, ἐμπρησθέντων
δὲ τῶν περὶ τὸ Καπιτώλιον ἀνεκόπησαν ὑπὸ τοῦ πυρός. καὶ οὕτως
ἐπαναβάντες οἱ τοῦ Οὐιτελλίου στρατιῶται ἐκείνων τε συχνοὺς ἐφό-
νευσαν, καὶ διαρπάσαντες πάντα τὰ ἀνακείμενα κατέπρησαν ἄλλα

16 5 3 τούς τε] τούτῳ

Digitized by Google

τε καὶ τὸν ναὸν τὸν μέγαν, τόν τε Σαβῖνον καὶ τὸν Ἀττικὸν συλλαβόντες πρὸς τὸν Οὐιτέλλιον ἔπεμψαν. Δομιτιανὸς δὲ καὶ Σαβῖνος 4
ὁ τοῦ Σαβίνου παῖς ἐν τῷ πρώτῳ θορύβῳ διαφυγόντες ἐκ τοῦ Καπιτωλίου καὶ ἔς οἰκίας τινὰς κατακρυφθέντες ἐλελήθεσαν.

ὡς δὲ οἱ Οὐεσπασιάνειοι στρατιῶται πλησίον ἐγένοντο, οὓς ὅ τε 18
Κύιντος Πετίλιος Κερεάλιος βουλευτὴς τῶν πρώτων καὶ τῷ Οὐεσπασιανῷ κατ' ἐπιγαμίαν τινὰ προσήκων καὶ ὁ Πρῖμος ὁ Ἀντώνιος ἦγον (ὁ γὰρ Μουκιανὸς οὔπω ἐπεφθάκει), ἐν παντὶ δέους ὁ Οὐιτέλλιος ἐγεγόνει. οὗτοι γὰρ πρῶτον μὲν δι' ἀγγέλων τινῶν, ἔς τε λάρ- 2
νακας μετὰ τῶν νεκρῶν καὶ ἐς ἀρρίχους ὀπώραν ἐχούσας ἢ καὶ καλάμους ὀρνιθευτῶν τὰ γράμματα ἐμβάλλοντες, πάντα τὰ ἐν τῇ πόλει δρώμενα ἐμάνθανον καὶ πρὸς ἐκεῖνα ἐβουλεύοντο· τότε δ' ἰδόντες τὸ πῦρ ἐκ τοῦ Καπιτωλίου ὥσπερ ἐκ φρυκτωρίας αἰρόμενον ἠπείχθησαν. καὶ πρότερος τῇ πόλει μετὰ τοῦ ἱππικοῦ Κερεά- 3
λιος "προσμίξας ἡττήθη μὲν κατ' αὐτὴν τὴν ἔσοδον, ἅτε ἐν στενῷ μεθ' ἱππέων ἀποληφθείς, ἐπέσχε δ' οὖν τό τι κακὸν ὑπὸ τῶν ἐναντίων γενέσθαι· ὁ γὰρ Οὐιτέλλιος καταλλαγήσεσθαι ἐκ τῆς ἐπικρατείας ἐλπίσας τοὺς στρατιώτας ἀνεχαίτισεν", καὶ τὴν βουλὴν συναγαγὼν πρέσβεις παρ' αὐτῶν μετὰ τῶν ἀειπαρθένων πρὸς τὸν Κερεάλιον ἔπεμψεν. ὡς δ' οὐδεὶς αὐτῶν ἐσήκουσεν, ἀλλ' ὀλίγου καὶ 19
ἀπέθανον, πρός τε τὸν Πρῖμον καὶ αὐτὸν ἤδη προσπελάζοντα ἦλθον, καὶ λόγου μὲν ἔτυχον, ἔπραξαν δ' οὐδέν. οἱ γὰρ στρατιῶται 2
ἐπ' αὐτὸν ὀργῇ ἐχώρησαν, καὶ τήν τε φυλακὴν τῆς τοῦ Τιβέριδος γεφύρας ῥᾳδίως ἔλυσαν (ἐπειδὴ γὰρ ἐνστάντες ἐς αὐτὴν ἐκώλυσάν σφας διελθεῖν, διενήξαντο τὸν ποταμὸν οἱ ἱππεῖς καὶ κατὰ τοῦ νώτου σφίσιν ἐπέπεσον), καὶ μετὰ τοῦτο ἄλλοι ἄλλῃ ἐσβαλόντες οὐδὲν ὅ τι τῶν δεινοτάτων οὐκ ἐποίησαν· πάντα γὰρ ὅσα τῷ Οὐιτελλίῳ 3
καὶ τοῖς σὺν αὐτῷ οὖσιν ἐπεκάλουν, καὶ δι' ἃ καὶ πολεμεῖν σφίσιν ἐσκήπτοντο, ἔδρασαν, καὶ ἀπέκτειναν πολλούς. συχνοὶ δὲ καὶ αὐτῶν ἀπὸ τῶν στεγῶν τῷ κεράμῳ βαλλόμενοι καὶ ἐν ταῖς στενοχωρίαις ὑπὸ τοῦ πλήθους τῶν ἀνθισταμένων ὠθούμενοι ἐκόπτοντο, ὥστε ἐς πέντε μυριάδας ἀνθρώπων ὅλας ἐν ταῖς ἡμέραις ἐκείναις φθαρῆναι.

τῆς οὖν πόλεως πορθουμένης, καὶ τῶν ἀνθρώπων τῶν μὲν μα- 20
χομένων τῶν δὲ φευγόντων, καὶ ἤδη καὶ αὐτῶν ἐκείνων, ὅπως τῶν ἐσεληλυθότων δόξαντες εἶναι σωθῶσι, καὶ ἁρπαζόντων τινὰ καὶ φονευόντων, ὁ Οὐιτέλλιος φοβηθεὶς χιτωνίσκον τε ῥακώδη καὶ ῥυπαρὸν ἐνέδυ, καὶ ἐς οἴκημα σκοτεινόν, ἐν ᾧ ἐτρέφοντο κύνες, ἐκρύφθη, γνώμην ἔχων τῆς νυκτὸς ἐς τὴν Ταρακῖναν πρὸς τὸν ἀδελφὸν ἀπο-

18 1 2 ὁ Π. ὁ Κ.?* 3 2 " " U p. 396. 3 τὸ τὸ κ. 19 2 4 τοῦ om?

Digitized by Google

2 δρᾶναι. καὶ αὐτὸν ἀναζητήσαντες οἱ στρατιῶται καὶ ἐξευρόντες
(οὐ γάρ που καὶ ἐπὶ πολὺ λαθεῖν ἀκριβῶς ἐδύνατο ἅτε αὐτοκράτωρ
γεγονώς) συνέλαβον φορυτοῦ καὶ αἵματος ἀναπεπλησμένον (ὑπὸ γὰρ
τῶν κυνῶν ἐλελύμαντο), κἀκ τούτου τὴν μὲν ἐσθῆτα αὐτοῦ περιρ-
ρήξαντες καὶ τὼ χεῖρε ἐς τοὐπίσω δήσαντες, τῷ δὲ αὐχένι σχοινίον
περιθέντες, κατήγαγον ἐκ τοῦ παλατίου τὸν Καίσαρα τὸν ἐν αὐτῷ
3 ἐντρυφήσαντα, καὶ διὰ τῆς ἱερᾶς ὁδοῦ ἔσυραν τὸν αὐτοκράτορα
τὸν ἐν τῷ βασιλικῷ δίφρῳ πολλάκις σοβήσαντα, ἔς τε τὴν ἀγορὰν
ἐσεκόμισαν τὸν Αὔγουστον ἐν ᾗ πολλάκις ἐδημηγόρησεν. καὶ οἱ μὲν
ἐρράπιζον αὐτόν, οἱ δὲ τοῦ γενείου ἔτιλλον· πάντες δὲ ἔσκωπτον
καὶ πάντες ὕβριζον, τά τε ἄλλα καὶ τὴν ἀσωτίαν αὐτοῦ ἐπιλέγον-
21 τες, ἐπειδὴ καὶ γαστροπίων ἦν. αἰσχυνομένου τε ἐπὶ τούτοις αὐτοῦ
καὶ κάτω βλέποντος, οἱ στρατιῶται ξιφιδίοις αὐτὸν ὑπὸ τὸ γένειον
ὑπεκέντουν, ἵνα καὶ ἄκων ἄνω βλέπῃ. ἰδὼν δὲ τοῦτο Κελτός τις
οὐκ ἤνεγκεν, ἀλλ' ἐλεήσας αὐτόν "ἐγώ σοι" ἔφη "βοηθήσω, ὡς μό-
νως δύναμαι." καὶ ὁ μὲν ἐκεῖνόν τε ἔτρωσε καὶ ἑαυτὸν ἔσφαξεν,
2 οὐ μέντοι καὶ ὁ Ȣιτέλλιος ἀπέθανεν ἐκ τοῦ τραύματος, ἀλλ' ἐσύ-
ρετο ἐς τὸ δεσμωτήριον ὥσπερ καὶ οἱ ἀνδριάντες αὐτοῦ, πολλῶν
μὲν γελοίων πολλῶν δὲ καὶ αἰσχρῶν ἐπιλεγομένων σφίσιν. ἐπειδή
τε καὶ ὑπεραλγήσας καὶ οἷς ἔπαθε καὶ οἷς ἤκουεν "ἀλλ' ἔγωγε" ἔφη
"αὐτοκράτωρ ποτὲ ὑμῶν ἐγενόμην", ὀργισθέντες οἱ στρατιῶται πρός
τε τοὺς ἀναβαθμοὺς αὐτὸν ἤγαγον, κἀνταῦθα κατέκοψαν, τήν τε
κεφαλὴν αὐτοῦ ἀποτεμόντες κατὰ πᾶσαν τὴν πόλιν περιήγαγον.
22 καὶ τοῦτον μὲν ὕστερον ἡ γυνὴ ἔθαψε, ζήσαντα μὲν ἐπὶ τέσ-
σαρα ἔτη καὶ πεντήκοντα "καὶ ἡμέρας ἐννέα καὶ ὀγδοήκοντα", ἄρ-
ξαντα δὲ ἐνιαυτὸν ἡμερῶν δέκα ἀποδέοντα· ὁ δὲ ἀδελφὸς αὐτοῦ
ὥρμησε μὲν ἐκ τῆς Ταρακίνης ὡς καὶ βοηθήσων αὐτῷ, μαθὼν δὲ
κατὰ τὴν ὁδὸν ὅτι τέθνηκε, καὶ περιπεσὼν ἅμα τοῖς ἐπ' αὐτὸν
πεμφθεῖσιν, ὡμολόγησε μὲν σφισιν ὡς καὶ σωθησόμενος, ἐσφάγη
2 δ' οὐ πολλῷ ὕστερον. καὶ αὐτῷ καὶ ὁ τοῦ Ȣιτελλίου παῖς ἐπαπώ-
λετο, καίτοι τοῦ Ȣιτελλίου μηδένα μήτε τῶν τοῦ Ὄθωνος μήτε τῶν
τοῦ Ȣεσπασιανοῦ συγγενῶν ἀποκτείναντος. πεπραγμένων δὲ τούτων
ἤδη ὡς ἑκάστων ὁ Μουκιανὸς ἐπῆλθε, καὶ τά τε ἄλλα συνδιῴκει
τῷ Δομιτιανῷ, καὶ ἐς τοὺς στρατιώτας αὐτὸν παραγαγὼν δημηγο-
ρῆσαι ἐποίησε καίπερ καὶ παιδίσκον ὄντα. καὶ πέντε καὶ εἴκοσι
δραχμὰς τῶν στρατιωτῶν ἕκαστος ἔλαβεν.
ΞϚ ταῦτα μὲν οὕτως ἔσχεν, αὐτοκράτωρ δ' ἐπ' αὐτοῖς ὁ Ȣεσπα-
a C. 70 σιανὸς καὶ πρὸς τῆς βουλῆς ἀπεδείχθη, καὶ Καίσαρες ὅ τε Τίτος

20 2 5 τε* 21 1 4 μόνος 22 1 2 " " Z p. 492.

Digitized by Google

*καὶ ὁ Δομιτιανὸς ἐπεκλήθησαν, τήν τε ὕπατον ἀρχὴν ὁ Οὐεσπασια-
νὸς καὶ ὁ Τίτος ἔλαβον, ὁ μὲν ἐν τῇ Αἰγύπτῳ ὁ δὲ ἐν τῇ Παλαι-
στίνῃ ὤν. ἐγεγόνει μὲν οὖν καὶ σημεῖα καὶ ὀνείρατα τῷ Οὐεσπα-* 2
*σιανῷ τὴν μοναρχίαν ἐκ πολλοῦ προδηλοῦντα. βοῦς τε γὰρ ἐν τῷ
ἀγρῷ ἐν ᾧ τὴν δίαιταν ὡς πλήθει ἐποιεῖτο, δειπνοῦντι προσελθὼν
ὤκλασε καὶ τὴν κεφαλὴν ὑπὸ τοὺς πόδας ὑπέθηκεν· καὶ κύων αὖ-
θις, σῖτον αὐτοῦ καὶ τότε αἱρουμένου, χεῖρα ἀνθρωπίνην ὑπὸ τὴν
τράπεζαν ὑπέβαλεν. κυπάρισσός τε περιφανὴς πρόρριζος ὑπὸ σφο-* 3
*δροῦ πνεύματος ἀνατραπεῖσα, ἔπειτα τῇ ὑστεραίᾳ ὑφ' ἑαυτῆς ἀνέ-
στη καὶ ἀκμάζουσα διετέλεσεν. καὶ παρ' ὀνείρατος ἔμαθεν ὅτι,
ὅταν ὁ Καῖσαρ Νέρων ὀδόντα ἀποβάλῃ, αὐταρχήσει· καὶ τοῦτό τε
τὸ κατὰ τὸν ὀδόντα τῇ ἐπιούσῃ ἡμέρᾳ συνηνέχθη, καὶ αὐτὸς ὁ Νέ-
ρων ἔδοξέ ποτε ἐν τοῖς ὕπνοις τὸν τοῦ Διὸς ὄχον ἐς τὴν τοῦ Οὐεσπα-
σιανοῦ οἰκίαν ἐσαγαγεῖν. ἀλλὰ ταῦτα μὲν ἑρμηνεύσεως ἔχρῃζεν,* 4
*Ἰώσηπος δὲ ἀνὴρ Ἰουδαῖος ἀχθείς τε ὑπ' αὐτοῦ πρότερον καὶ δε-
θεὶς ἐγέλασε καὶ ἔφη "νῦν μέν με δήσεις, μετ' ἐνιαυτὸν δὲ λύσεις
αὐτοκράτωρ γενόμενος."*

*οὕτω μὲν οὖν καὶ ὁ Οὐεσπασιανὸς ἐς τὴν ἀρχήν, ὡς καὶ ἄλλοι* 2
*τινές, ἐγεγέννητο, ἀπόντος δ' αὐτοῦ ἔτι ἐν τῇ Αἰγύπτῳ ὁ Μουκια-
νὸς τὰ τοῦ κράτους πάντα μετὰ τοῦ Δομιτιανοῦ διῴκει. μέγα γάρ
τι, ὡς καὶ αὐτὸς τὴν ἡγεμονίαν τῷ Οὐεσπασιανῷ δεδωκώς, ἠγάλλετο
διά τε τἆλλα καὶ ὅτι ἀδελφὸς ὑπ' αὐτοῦ ὠνομάζετο, καὶ ὅτι ἐξου-
σίαν εἶχε πάνθ' ὅσα ἐβούλετο καὶ ἄνευ τῆς αὐτοῦ προστάξεως διοι-
κεῖν καὶ γράφειν, τὸ ὄνομα αὐτοῦ μόνον ἐπιγραφόμενος. καὶ διὰ* 2
*τοῦτό γε καὶ δακτύλιον πεμφθέντα οἱ ἐφόρει, ἵνα τὸ αὐτοκρατορι-
κὸν σφράγισμα τὰ σημαινόμενα λαμβάνῃ. "πολλοῖς γοῦν ἀρχάς τε
καὶ ἐπιτροπείας αὐτὸς καὶ ὁ Δομιτιανὸς ἔδοσαν, καὶ ἐπάρχους ἄλ-
λους ἐπ' ἄλλοις καὶ ὑπάτους ἀπέδειξαν." τό τε σύμπαν οὕτω* 3
*πάντα αὐτοὶ ὡς αὐταρχοῦντες ἐποίουν ὥστε τὸν Οὐεσπασιανὸν ἐπι-
στεῖλαί ποτε τῷ Δομιτιανῷ ὅτι χάριν ἔχω σοι, τέκνον, ὅτι με ἐᾷς
ἄρχειν καὶ οὐδέπω με καταλέλυκας.*

*"ὅτι ὁ Μουκιανὸς τιμᾶσθαι ὑφ' ἁπάντων ὑπὲρ πάντας ἤθελε,* 4
*καὶ ἤχθετο εἰ καὶ ὁστισοῦν οὐχ ὅτι ὑβρίσειεν αὐτόν, ἀλλ' οὐ με-
γάλως ἀγήλειεν. καὶ διὰ τοῦτο, ὥσπερ ἄπληστος ἐν ταῖς τιμαῖς
πρὸς τοὺς ὑπουργοῦντάς τι αὐτῷ καὶ τὸ βραχύτατον ἦν, οὕτω καὶ
μίσει ἀγριωτάτῳ πρὸς τοὺς μὴ τοιούτους ἐχρῆτο.* V p. 702.

*ὁ δὲ Μουκιανὸς καὶ χρήματα ἀμύθητα πανταχόθεν, ὅθεν ἐνε-* 5
*δέχετο, ἐς τὸ δημόσιον ἤθροιζεν ἑτοιμότατα, τὴν ἐπ' αὐτῷ ἐπηγο-*

2 2 3 " " Z p. 493. 4 2 οὐ] *οὐ μὴ οὐ* cod. Peir., *ὅτι μὴ οὐ* Suidas.

Digitized by Google

ρίαν ἐς ἑαυτὸν ἀντὶ τοῦ Οὐεσπασιανοῦ ἀναδεχόμενος. νεῦρα γὰρ
τῆς ἡγεμονίας τὰ χρήματα ἀεί ποτε εἶναι ἔλεγεν, καὶ κατὰ τοῦτο
καὶ ἐκείνῳ πανταχόθεν πορίζειν παρῄνει καὶ αὐτὸς ἀπ' ἀρχῆς ἀρ-
γυρολογῶν διετέλεσε, καὶ μεγάλα μὲν καὶ τῇ βασιλείᾳ χρήματα
παρεσκεύασε, μεγάλα δὲ καὶ αὐτὸς ἐκτήσατο.
3 ἐν δὲ τῇ Γερμανίᾳ ἄλλαι τε κατὰ Ῥωμαίων ἐπαναστάσεις ἐγέ-
νοντο, οὐδὲν ἐς μνήμην ἐμοὶ γοῦν ὄφελος φέρουσαι, καί τι συνη-
νέχθη καὶ θαύματος ἄξιον. Ἰούλιος γάρ τις Σαβῖνος, ἀνὴρ πρῶ-
τος τῶν Λιγγόνων, δύναμιν καὶ αὐτὸς ἰδίαν ἤθροισε καὶ Καῖσαρ
2 ἐπωνομάσθη, λέγων ἔγγονος τοῦ Καίσαρος τοῦ Ἰουλίου εἶναι. ἡτ-
τηθεὶς δὲ μάχαις τισὶν ἔφυγεν ἐς ἀγρόν τινα, κἀνταῦθα ἐς μνη-
μεῖον ὑπόγειον, προκαταπρήσας αὐτό, κατέδυ· καὶ οἱ μὲν ᾤοντο
κἀκεῖνον ἀπολωλέναι, ὁ δὲ ἐκρύφθη τε ἐν αὐτῷ ἐννέα ἔτη μετὰ τῆς
3 γυναικός, καὶ παῖδας ἐξ αὐτῆς δύο ἄρρενας ἐκύησεν. καὶ τὰ μὲν
ἐν Γερμανίᾳ Κερεάλιος μάχαις πολλαῖς κατεστήσατο, ὧν ἐν μιᾷ
τοσοῦτο πλῆθος τῶν τε Ῥωμαίων καὶ τῶν βαρβάρων κατεκόπη
ὥστε τὸν παραρρέοντα ποταμὸν ὑπὸ τῶν πεπτωκότων ἐπισχεθῆναι.
4 ὁ δὲ Δομιτιανός, ἐξ ὧν ἔδρασε καὶ πολλῷ μᾶλλον ἐξ ὧν ἐπεχείρη-
σεν (οὐδὲν γὰρ μικρὸν ἐπενόει) φοβηθεὶς τὸν πατέρα, πρός τε τῷ
Ἀλβανῷ τῷ ὄρει τὰ πολλὰ διατρίβων καὶ τῷ ἔρωτι τῆς Δομιτίας
τῆς Κορβούλωνος θυγατρὸς προσέχων ἐτύγχανεν· ταύτην γὰρ Λου-
κίου Λαμίου Αἰμιλιανοῦ τοῦ ταύτης ἀνδρὸς ἀποσπάσας τότε μὲν
ἐν ταῖς ἐρωμέναις ἐποιήσατο, ὕστερον δὲ καὶ ἔγημεν.
4 ὁ δὲ Τίτος τῷ πρὸς Ἰουδαίους πολέμῳ ἐπιταχθεὶς "ἐπεχείρησε
μὲν αὐτοὺς λόγοις τισὶ καὶ ἐπαγγελίαις προσποιήσασθαι, μὴ πει-
σθεῖσι δὲ ἐπολέμει. καὶ μάχαις ταῖς μὲν πρώταις ἀγχώμαλα ἀγω-
νισάμενος, εἶτα κρατήσας ἐπολιόρκει τὰ Ἱεροσόλυμα. ἦν δὲ τρία
2 αὐτοῖς σὺν τῷ τοῦ νεὼ περιβόλῳ τείχη. οἵ τε οὖν Ῥωμαῖοι χώ-
ματά τε πρὸς τὸ τεῖχος ἐχώννυσαν καὶ μηχανήματα προσῆγον, τούς
τε ἐπεκθέοντας ὁμόσε ἰόντες ἀνέστελλον, καὶ τοὺς ἐπὶ τοῦ τείχους
ἐπόντας σφενδόναις καὶ τοξεύμασιν ἀνεῖργον· συχνοὺς γὰρ καὶ παρὰ
3 βαρβάρων τινῶν βασιλέων πεμφθέντας εἶχον· καὶ οἱ Ἰουδαῖοι πολ-
λοὶ μὲν αὐτόθεν πολλοὶ δὲ καὶ παρὰ τῶν ὁμοήθων, οὐχ ὅτι ἐκ τῆς
τῶν Ῥωμαίων ἀρχῆς ἀλλὰ καὶ ἐκ τῶν πέραν Εὐφράτου, προσβε-
βοηθηκότες βέλη τε καὶ αὐτοὶ καὶ λίθους, τοὺς μὲν ἐκ χειρὸς τοὺς
4 δὲ καὶ μηχαναῖς, σφοδρότερον ἅτε καὶ ἀφ' ὑψηλοῦ, ἔπεμπον, καὶ
ἐπεξιόντες, ᾗ καιρὸς ἦν, νυκτός τε καὶ ἡμέρας τὰς μηχανὰς ἐνεπίμ-
πρασαν, συχνοὺς δ' ἀπεκτίννυσαν, τόν τε χοῦν ὑπορύσσοντες ὑπὸ

4 1 1 " — 6 3 6 " U p. 396. quorum loco X: τὰ Ἱεροσόλυμα εἷλε καὶ τὸν ναὸν ἐνέπρησε. τοῖς δὲ Ἰουδαίοις οὐχ — εἶναι ἐδόκει 3 ταῖς om 4 3 δ' om

Digitized by Google

τὸ τεῖχος ὑφεῖλκον, καὶ τοὺς κριοὺς τοὺς μὲν βρόχοις ἀνέκλων τοὺς
δὲ ἁρπάγαις ἀνέσπων· ἑτέρων τὰς προσβολὰς σανίσι παχείαις συμ-
πεπηγμέναις τε καὶ σεσιδηρωμέναις, ἃς πρὸ τοῦ τείχους καθίεσαν,
ἀπέστρεφον. τὸ δὲ δὴ πλεῖστον οἱ Ῥωμαῖοι τῇ ἀνυδρίᾳ ἐκακοπά- 5
θουν, καὶ φαῦλον καὶ πόρρωθεν ὕδωρ ἐπαγόμενοι. οἱ δὲ Ἰουδαῖοι
διὰ τῶν ὑπονόμων ἴσχυον· ὀρωρυγμένους τε γὰρ αὐτοὺς ἔνδοθεν
ὑπὸ τὰ τείχη μέχρι πόρρω τῆς χώρας εἶχον, καὶ δι' αὐτῶν διεξιόν-
τες τοῖς τε ὑδρευομένοις ἐπετίθεντο καὶ τοὺς ἀποσκεδαννυμένους
ἐλυμαίνοντο· οὓς ὁ Τίτος πάντας ἀπέφραξεν. κἀν τοῖς ἔργοις τού- 5
τοις πολλοὶ ἐτιτρώσκοντο ἑκατέρων καὶ ἔθνησκον, καὶ ὁ Τίτος αὐ-
τὸς λίθῳ τὸν ἀριστερὸν ὦμον ἐπλήγη, καὶ ἀπ' αὐτοῦ τὴν χεῖρα
ἀσθενεστέραν εἶχεν. χρόνῳ δ' οὖν ποτὲ τοῦ ἔξω περιβόλου οἱ Ῥω- 2
μαῖοι ἐπέβησαν, ἐν μέσῳ δὲ τῶν δύο περιβόλων στρατοπεδευσάμε-
νοι πρὸς τὸ ἕτερον τεῖχος προσέβαλον. οὐ μέντοι καὶ ὁμοία ἡ πρόσ-
μιξίς σφισιν ἐγίγνετο· ἀναχωρήσαντες γὰρ ἐς ἐκεῖνο πάντες ῥᾷον,
ἅτε καὶ ἐκ βραχυτέρας τῆς τοῦ κύκλου περιβολῆς, ἠμύνοντο. ὁ οὖν 3
Τίτος κήρυγμα αὖθις, ἄδειαν αὐτοῖς διδούς, ἐποιήσατο. ἐκεῖνοί τε
οὖν καὶ ὣς ἐκαρτέρουν, καὶ οἱ ἁλισκόμενοι οἵ τε αὐτομολοῦντές σφων
τὸ ὕδωρ τῶν Ῥωμαίων λανθανόντως ἔφθειρον, καὶ τῶν ἀνθρώπων
οὓς που μόνους ἀπολάβοιεν ἔσφαζον. ὁ δὲ Τίτος οὐκέτ' οὐδένα
αὐτῶν ἐδέχετο. κἀν τούτῳ καὶ τῶν Ῥωμαίων τινὲς ἀδημονήσαντες 4
οἷα ἐν χρονίᾳ πολιορκίᾳ, καὶ προσυποτοπήσαντες ὅπερ ἐθρυλεῖτο,
ἀπόρθητον ὄντως τὴν πόλιν εἶναι, μετέστησαν· καὶ αὐτοὺς ἐκεῖνοι,
καίπερ σπανίζοντες τῆς τροφῆς, περιεῖπον ἐς ἐπίδειξιν τοῦ καὶ αὐ-
τοὶ αὐτομόλους ἔχειν. διακοπέντος δὲ τοῦ τείχους μηχαναῖς κατὰ 6
μὲν τοῦτο οὐδ' ὣς ἑάλωσαν, ἀλλὰ καὶ πάνυ πολλοὺς ἐσβιαζομένους
ἀπέκτειναν· ἐμπρήσαντες δέ τινα τῶν ἐγγὺς οἰκοδομημάτων ὡς καὶ
ἐκ τούτου τοὺς Ῥωμαίους περαιτέρω, κἂν τοῦ κύκλου κρατήσωσι,
προελθεῖν κωλύσοντες, τό τε τεῖχος ἐλυμήναντο καὶ τὸν περίβολον
τὸν περὶ τὸ τεμένισμα ἄκοντες συγκατέφλεξαν, καὶ ἀνεῴχθη ἡ ἔσο-
δος ἡ ἐπὶ τὸν νεὼν τοῖς Ῥωμαίοις. οὐ μὴν καὶ παραχρῆμα διὰ τὸ 2
δεισιδαιμονῆσαι ἐσέδραμον, ἀλλ' ὀψέ ποτε, τοῦ Τίτου σφᾶς κατα-
ναγκάσαντος, εἴσω προεχώρησαν. καὶ αὐτοὺς οἱ Ἰουδαῖοι πολὺ
προθυμότερον, ὥσπερ τι ἕρμαιον τὸ πρός τε τῷ ναῷ καὶ ὑπὲρ αὐ-
τοῦ μαχόμενοι πεσεῖν εὑρηκότες, ἠμύνοντο, ὁ μὲν δῆμος κάτω ἐν
τῷ προνάῳ, οἱ δὲ βουλευταὶ ἐν τοῖς ἀναβασμοῖς, οἵ θ' ἱερεῖς ἐν
αὐτῷ τῷ μεγάρῳ τεταγμένοι. καὶ οὐ πρότερόν γε ἐνικήθησαν, καί- 3
περ ὀλίγοι πρὸς πολλῷ πλείους μαχόμενοι, πρὶν ὑποπρησθῆναί τι

4 4 ἀνέκλων] ἀνεῖλκον*: cf. Thuc. 2 76    5 3 1 κύκλου] κόσμου

Digitized by Google

τοῦ νεώ· τότε γὰρ ἐθελούσιοι οἱ μὲν ξίφεσί σφας τοῖς τῶν Ῥωμαίων
περιέπειρον, οἱ δὲ ἀλλήλους ἐφόνευον, ἄλλοι ἑαυτοὺς κατεχρῶντο,
οἱ δὲ ἐς τὸ πῦρ ἐσεπήδων. καὶ ἐδόκει πᾶσι μέν, μάλιστα δὲ ἐκεί-
νοις‶, οὐχ ὅτι ὄλεθρος ἀλλὰ καὶ νίκη καὶ σωτηρία εὐδαιμονία τε
7 εἶναι, ὅτι τῷ ναῷ συναπώλοντο. ἑάλωσαν δ' οὖν καὶ ὣς ἄλλοι τε
καὶ ὁ Βαργιορᾶς ὁ ἄρχων αὐτῶν· καὶ μόνος γε οὗτος ἐν τοῖς ἐπι-
νικίοις ἐκολάσθη.
2 οὕτω μὲν τὰ Ἱεροσόλυμα ἐν αὐτῇ τῇ τοῦ Κρόνου ἡμέρᾳ, ἣν
μάλιστα ἔτι καὶ νῦν Ἰουδαῖοι σέβουσιν, ἐξώλετο. καὶ ἀπ' ἐκείνου
δίδραχμον ἐτάχθη τοὺς τὰ πάτρια αὐτῶν ἔθη περιστέλλοντας τῷ
Καπιτωλίῳ Διὶ κατ' ἔτος ἀποφέρειν. καὶ ἐπ' αὐτοῖς τὸ μὲν τοῦ
αὐτοκράτορος ὄνομα ἀμφότεροι ἔλαβον, τὸ δὲ δὴ τοῦ Ἰουδαϊκοῦ
οὐδέτερος ἔσχεν· καίτοι τά τε ἄλλα αὐτοῖς, ὅσα ἐπὶ τηλικαύτῃ νίκῃ
εἰκὸς ἦν, καὶ ἁψῖδες τροπαιοφόροι ἐψηφίσθησαν.
8 τοῦ Οὐεσπασιανοῦ δὲ ἐς τὴν Ἀλεξάνδρειαν ἐσελθόντος ὁ Νεῖλος
παλαιστῇ πλέον παρὰ τὸ καθεστηκὸς ἐν μιᾷ ἡμέρᾳ ἐπελάγισεν· ὅπερ
οὐ πώποτε πλὴν ἅπαξ γεγονέναι ἐλέγετο. καὶ Οὐεσπασιανὸς δὲ αὐ-
τὸς τυφλόν τέ τινα καὶ ἕτερον οὐκ ἀρτίχειρα, προσελθόντας οἱ ἐξ
ὄψεως ὀνειράτων, τοῦ μὲν τὴν χεῖρα πατήσας τοῦ δὲ τοῖν ὀφθαλ-
2 μοῖν προσπτύσας, ὑγιεῖς ἀπέφηνεν. τὸ μὲν θεῖον τούτοις αὐτὸν
ἐσέμνυνεν, οὐ μέντοι καὶ οἱ Ἀλεξανδρεῖς ἔχαιρον αὐτῷ, ἀλλὰ καὶ
πάνυ ἤχθοντο, ὥστε μὴ μόνον ἰδίᾳ ἀλλὰ καὶ δημοσίᾳ καὶ σκώπτειν
αὐτὸν καὶ λοιδορεῖν. προσδοκήσαντες γάρ μέγα τι παρ' αὐτοῦ λή-
ψεσθαι, ὅτι πρῶτοι αὐτὸν αὐτοκράτορα ἐπεποιήκεσαν, οὐ μόνον
3 οὐδὲν εὕροντο ἀλλὰ καὶ προσεπράσσοντο χρήματα. πολλὰ μὲν γὰρ
καὶ ἄλλως παρ' αὐτῶν ἐξέλεξε, μηδένα ἄπορον, μηδ' εἰ ἐπαίτης τις
ἦν, παραλιπών, ἀλλὰ καὶ ἐκ τῶν ὁσίων πάντων καὶ ἐκ τῶν ἱερῶν
ὁμοίως χρηματιζόμενος· πολλὰ δὲ καὶ τέλη τὰ μέν τινα ἐκλελειμ-
μένα ἀνενεώσατο, τὰ δὲ καὶ νομιζόμενα προσεπηύξησε, ″καινά τε
4 ἕτερα προσκατεστήσατο.‶ τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἄλλῃ ὑπη-
κόῳ ″τῇ τε Ἰταλίᾳ‶ καὶ αὐτῇ τῇ Ῥώμῃ μετὰ τοῦτ' ἐποίησεν. οἱ
δ' οὖν Ἀλεξανδρεῖς ″διά τε ἐκεῖνα, καὶ ὅτι καὶ τῶν βασιλείων τὸ
πλεῖστον ἀπέδοτο, χαλεπῶς φέροντες‶ ἄλλα τε ἐς αὐτὸν ἀπερρίπτουν
5 καὶ ὅτι ἓξ ὀβολοὺς προσαιτεῖς, ὥστε καὶ τὸν Οὐεσπασιανὸν καίπερ
ἐπιεικέστατον ὄντα χαλεπῆναι, καὶ κελεῦσαι μὲν καὶ τοὺς ἓξ ὀβο-
λοὺς κατ' ἄνδρα ἐσπραχθῆναι, βουλεύσασθαι δὲ καὶ τιμωρίαν αὐ-
τῶν ποιήσασθαι· ″αὐτά τε γὰρ τὰ λεγόμενα προπηλακισμὸν εἶχε,
καὶ ἐκ τοῦ κατακεκλασμένου τοῦ τε ἀναπαίστου σφῶν οὐκ ἔστιν

8 3 5 ″ ‶ V p. 701   4 2 ″ ‶ Z p. 493   3 γοῦν*   ″ ‶ V p. 701
5 4 ″ ‶ V p. 702

ὅ τι οὐκ ὀργὴν οἱ ἐνεποίει.‟ τοῦ δ' οὖν Τίτου ἐξαιτησαμένου αὐ- 6
τοὺς τούτων ὁ Οὐεσπασιανὸς ἐφείσατο. ἐκεῖνοι δ' αὐτοῦ οὐκ ἀπέ-
σχοντο, ἀλλὰ μέγα πάνυ ἀθρόοι ἐν συνόδῳ τινὶ κοινῇ πρὸς τὸν
Τίτον ἐξεβόησαν, εἰπόντες αὐτὸ τοῦτο "συγγινώσκομεν αὐτῷ· οὐ
γὰρ οἶδε καισαρεύειν."

καὶ οἱ μὲν οὕτω τότ' ἐρριψοκινδύνουν, καὶ τῆς ἀσελγείας, ὑφ' 7
ἧς ἀεί ποτε κακῶς ἀπαλλάττουσιν, ἄδην ἐνεφοροῦντο, τῇ τοῦ αὐτο-
κράτορος ἐπιεικείᾳ ἀποχρώμενοι· "ὁ δὲ ἐκείνους μὲν εἴα, ἐς δὲ τὴν 9
Ῥώμην ἐπέστειλε, τήν τε ἀτιμίαν τῶν καταψηφισθέντων ἐπὶ ταῖς
λεγομέναις ἀσεβείαις ὑπὸ Νέρωνος καὶ τῶν μετὰ ταῦτα ἀρξάντων,
τῶν τε ζώντων καὶ τῶν τεθνεώτων ὁμοίως, ἀπαλείφων, καὶ τὰς γρα-
φὰς τὰς ἐπὶ τοιούτοις ἐγκλήμασι καταλύων. τούς τε ἀστρολόγους 2
ἐκ τῆς Ῥώμης ἐξώρισε, καίτοι πᾶσι τοῖς ἀρίστοις αὐτῶν χρώμενος,
ὥστε καὶ διὰ Βάρβιλλόν τινα ἄνδρα τοιουτότροπον ἀγῶνα τοῖς
Ἐφεσίοις ἱερὸν ἄγειν συγχωρῆσαι· ὅπερ οὐδεμιᾷ ἄλλῃ πόλει ἔνειμεν.‟

ὁ δὲ Οὐεσπασιανὸς μετὰ ταῦτα ἐς τὴν Ῥώμην ἐσεληλύθει, καὶ 3
Μουκιανῷ μὲν ἄλλοις τε τῶν πρώτων ἐν τῷ Βρεντεσίῳ ἐνέτυχε,
Δομιτιανῷ δὲ ἐν Βενουέντῳ. ὑπὸ γὰρ τοῦ συνειδότος ὧν τε ἐφρό-
νει καὶ ὧν ἐπεποιήκει οὔτε ἐθάρσει, καὶ προσέτι καὶ μωρίαν ἔστιν
ὅτε προσεποιεῖτο. ἐν γοῦν τῷ Ἀλβανῷ χωρίῳ τὰ πλεῖστα διάγων 4
ἄλλα τε πολλὰ καὶ γελοῖα ἔπραττε, καὶ τὰς μυίας γραφείοις κατε-
κέντα. τοῦτο γὰρ εἰ καὶ ἀνάξιον τοῦ τῆς ἱστορίας ὄγκου ἐστίν, ἀλλ'
ὅτι γε ἱκανῶς τὸν τρόπον αὐτοῦ ἐνδείκνυται, ἀναγκαίως ἔγραψα,
καὶ μάλισθ' ὅτι καὶ μοναρχήσας ὁμοίως αὐτὸ ἐποίει. ὅθεν οὐκ 5
ἀχαρίτως τις εἶπε πρὸς τὸν ἐρωτήσαντα τί πράττει Δομιτιανός,
ὅτι ἰδιάζει τε, καὶ οὐδὲ μυῖα αὐτῷ παρακάθηται. ὁ δὲ Οὐεσπασιανὸς 10
ἐκείνου μὲν ἐταπείνου τὸ φρόνημα, τοὺς δὲ ἄλλους πάντας οὐχ ὡς
αὐτοκράτωρ ἀλλ' ὡς ἰδιώτης, μνήμῃ τῆς προτέρας αὐτοῦ τύχης, ἐδε-
ξιοῦτο. τόν τε νεὼν τὸν ἐν τῷ Καπιτωλίῳ εὐθὺς οἰκοδομεῖν ἤρξατο, 2

9 1 1 " " V p. 702 3 1 *τὴν μὲν οὖν Αἴγυπτον δι' ὀλίγου κατεστήσατο, καὶ σῖτον πολὺν εἰς τὴν Ῥώμην ἔπεμψεν ἀπ' αὐτῆς· τὸν δὲ υἱὸν αὐτοῦ Τίτον εἰς Ἱεροσόλυμα καταλελοιπὼς πορθῆσαι αὐτά, τὴν ἐκείνων ἀνέμεινεν ἅλωσιν, ἵνα μετὰ τοῦ υἱέος ἐπανέλθῃ πρὸς τὴν Ῥώμην. τριβομένου δὲ χρόνου ἐν τῇ πολιορκίᾳ τὸν μὲν Τίτον ἐν τῇ Παλαιστίνῃ κατέλιπεν, αὐτὸς δὲ ὁλκάδος ἐπιβὰς ἐς Λυκίαν ἔπλευσε, κἀκεῖθεν τὰ μὲν πεζῇ τὰ δὲ πλοϊζόμενος εἰς τὸ Βρεντέσιον ἐκομίσθη. ἐλθὼν δ' ἐς τὴν Ῥώμην καὶ τοῖς στρατιώταις καὶ τῷ δήμῳ παρέσχηκε δωρεάς, καὶ τὰ τεμένη καὶ τὰ δημόσια ἔργα τὰ πεπονηκότα ἀνελάμβανε, καὶ τὰ ἤδη ἐφθαρμένα ἐπανεσκεύαζε, καὶ συντελουμένοις αὐτοῖς οὐ τὸ ἑαυτοῦ ἐπέγραφεν ὄνομα ἀλλὰ τὸ τῶν πρώτως δομησαμένων. τάς τε οὐσίας τῶν ἐναντιωθέντων αὐτῷ καὶ ἐν ταῖς μάχαις πεσόντων τοῖς παισὶν ἐκείνων ἢ τοῖς ἄλλως οἰκείοις ἀφῆκε, καὶ τὰ συμβόλαια τὰ τῷ δημοσίῳ προσήκοντα προσδιέφθειρε. μεγαλοπρεπῶς δὲ εἰς τὸ κοινὸν ἀναλίσκων εὐτ.* (10 3 3) — *ἐδαπάνα. ἦν δὲ οὔτε ἐξ εὐγενῶν οὔτε πλούσιος.* Z p. 493 10 2 1 τῷ om*

αὐτός τε τοῦ χοῦ πρῶτος ἐκφορήσας καὶ δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῖς ἐπιφανεστάτοις τὸ αὐτὸ τοῦτο ποιῆσαι κελεύσας, ἵνα καὶ τῷ
3 λοιπῷ πλήθει ἀπαραίτητον τὸ διακόνημα γένηται. μεγαλοφρονέστατα δ' ἀεί ποτε ἐς τὸ κοινὸν ὅσα ἐχρῆν ἀναλώσας, καὶ τὰς πανηγύρεις πολυτελέστατα διαθείς, εὐτελέστατα διῃτᾶτο καὶ οὐδὲν ἔξω τῶν πάνυ ἀναγκαίων ἐδαπάνα, καὶ διὰ τοῦτο οὐδὲ ἐν τοῖς καπηλείοις ἑφθόν τι πλὴν ὀσπρίων πιπράσκεσθαι ἐπέτρεπεν. κἀκ τούτου καὶ τὰ μάλιστα διέδειξεν ὅτι τὰς συλλογὰς τῶν χρημάτων οὐκ ἐς τὰς
4 ἑαυτοῦ ἡδονὰς ἀλλ' ἐς τὰς τοῦ δήμου χρείας ἐποιεῖτο. καταστάσει δὲ τοῦ βίου τοιᾷδε ἐχρῆτο. ὀλίγα μὲν ἐν τῷ παλατίῳ ᾤκει, τὸ δὲ δὴ πλεῖστον ἐν τοῖς κήποις τοῖς καλουμένοις Σαλλουστείοις διέτριβεν, κἀνταῦθα τὸν βουλόμενον οὐχ ὅτι τῶν βουλευτῶν ἀλλὰ καὶ τῶν
5 ἄλλων ἐσεδέχετο, καὶ τοῖς πάνυ φίλοις καὶ πρὸ τῆς ἕω ἔν τε τῇ εὐνῇ κείμενος συνεγίνετο, καὶ ἕτεροι ἐν ταῖς ὁδοῖς αὐτὸν ἠσπάζοντο. αἵ τε θύραι τῶν βασιλείων ἠνεῳγμέναι διὰ πάσης τῆς ἡμέρας ἦσαν, καὶ φρουρὸς οὐδεὶς ἐν αὐταῖς ἐγκαθειστήκει. ἔς τε τὸ συνέδριον διὰ παντὸς ἐφοίτα, καὶ περὶ πάντων αὐτοῖς ἐπεκοίνου, κἂν τῇ ἀγορᾷ
6 πολλάκις ἐδίκαζεν. ὅσα τε μὴ ἐδύνατο αὐτὸς ὑπὸ τοῦ γήρως ἀναλέγεσθαι, ἢ καὶ ὅσα ἀπὼν ἐπέστελλε τῇ βουλῇ, διὰ τῶν υἱέων αὐτοῦ ὡς τὸ πολὺ ἐκέλευεν ἀναγινώσκεσθαι, τιμῶν κἂν τούτῳ αὐτήν. συσσίτους τε ἔκ τε αὐτῶν ἐκείνων καὶ ἐκ τῶν ἄλλων καθ' ἑκάστην ἡμέραν συχνοὺς ἐποιεῖτο, καὶ πολλάκις καὶ αὐτὸς παρὰ τοῖς πάνυ
11 φίλοις ἐδείπνει. τό τε σύμπαν τῇ προνοίᾳ τῶν κοινῶν αὐτοκράτωρ ἐνομίζετο, ἐς δὲ δὴ τἆλλα πάντα κοινὸς καὶ ἰσοδίαιτός σφίσιν ἦν. καὶ γὰρ ἔσκωπτε δημοτικῶς καὶ ἀντεσκώπτετο ἡδέως· εἴ τέ τινα γράμματα, οἷα εἴωθεν ἀνώνυμα ἐς τοὺς αὐτοκράτορας, προπηλακισμὸν αὐτῷ φέροντα ἐξετέθη ποτέ, ἀντεξετίθει τὰ πρόσφορα μηδὲν
2 ταραττόμενος. τοῦ τε Φοίβου προσελθόντος αὐτῷ καὶ ἀπολογουμένου ὅτι ἐπὶ τοῦ Νέρωνος ἐσκυθρωπακότα ποτὲ αὐτὸν ἐπὶ τοῦ θεάτρου ἐν τῇ Ἑλλάδι, ἐφ' οἷς ἀσχημονοῦντα ἑώρα τὸν αὐτοκράτορα, ἐκέλευσε πρὸς ὀργὴν ἀπελθεῖν, τοῦ δὲ ἐρομένου ὅποι "ἐς κόρακας" εἶπεν, ὑπὲρ τούτου οὖν ἀπολογουμένου τοῦ Φοίβου οὔτε τι κακὸν αὐτὸν εἰργάσατο, οὔτε ἀπεκρίνατο αὐτῷ ἄλλο οὐδὲν πλὴν αὐτὸ
3 τοῦτο ὅτι ἐς κόρακας ἄπελθε. τοῦ δὲ Οὐολογαίσου ἐπιστείλαντος αὐτῷ οὕτως "βασιλεὺς βασιλέων Ἀρσάκης Φλαουίῳ Οὐεσπασιανῷ χαίρειν," οὔτε τι αὐτὸν ᾐτιάσατο, καὶ ἀντέγραψε τὸν αὐτὸν τρόπον, μηδὲν τῶν τῆς ἀρχῆς ὀνομάτων προσθείς.

2 2 τε] τι    11 1 4 ἃ καλοῦσιν ἀνώνυμα, τῇ δὲ Λατίνων φωνῇ φαμῶσα M p. 219    3 4 τῶν δ' Ἱεροσολύμων ἁλόντων ὁ Τίτος εἰς τὴν Ἰταλίαν ἐπανελθὼν τὰ ἐπινίκια αὐτός τε καὶ ὁ πατὴρ ἐφ' ἅρματος ἔπεμψαν· συνέπεμπε

Digitized by Google

ἐπεὶ δὲ Πρίσκος Ἑλουίδιος ὁ τοῦ Θρασέου γαμβρός, τοῖς τε 12
στωικοῖς δόγμασιν ἐντραφεὶς καὶ τὴν τοῦ Θρασέου παρρησίαν οὐ
σὺν καιρῷ μιμούμενος, στρατηγῶν δὲ τηνικαῦτα, οὔτε τι πρὸς τιμὴν
τοῦ αὐτοκράτορος ἔδρα καὶ προσέτι καὶ βλασφημῶν αὐτὸν οὐκ
ἐπαύετο, καί ποτε διὰ τοῦτο οἱ δήμαρχοι συλλαβόντες αὐτὸν τοῖς
ὑπηρέταις παρέδοσαν, συνεχύθη τε ὁ Οὐεσπασιανὸς καὶ δακρύσας
ἐκ τοῦ βουλευτηρίου ἐξῆλθε, τοσοῦτον μόνον εἰπὼν ὅτι ἐμὲ μὲν
υἱὸς διαδέξεται, ἢ οὐδεὶς ἄλλος.

"Ὅτι οὐχ ἥκιστα ἔνδηλον ἐγένετο ὅτι Πρίσκον τὸν Ἑλουίδιον οὐ 2
μᾶλλόν τι δι' ἑαυτὸν ἢ διὰ τοὺς φίλους αὐτοῦ οὓς ὕβρισεν, ἐμίση-
σεν ὁ Οὐεσπασιανός, ἀλλ' ὅτι ταραχώδης τε ἦν καὶ τῷ ὄχλῳ προσ-
έκειτο, βασιλείας τε ἀεὶ κατηγόρει καὶ δημοκρατίαν ἐπῄνει, καὶ
ἔπραττεν ἀκόλουθα τούτοις καὶ συνίστη τινάς, ὥσπερ που φιλοσο-
φίας ἔργον ὂν τό τε τοὺς κρατοῦντας προπηλακίζειν καὶ τὸ τὰ
πλήθη ταράττειν τό τε τὰ καθεστηκότα συγχεῖν καὶ τὸ νεώτερα
αὐτοῖς πράγματα ἐπεσάγειν. ἦν γὰρ τοῦ Θρασέου γαμβρὸς καὶ 3
ζηλοῦν αὐτὸν ἐπλάττετο, πολὺ δ' αὐτοῦ ἡμάρτανεν. Θρασέας μὲν
γὰρ ἐπὶ Νέρωνος ὢν οὐκ ἠρέσκετο αὐτῷ, καὶ οὐδὲν μέντοι οὐδ' ὣς
ὑβριστικὸν ἔλεγεν ἐς αὐτὸν οὐδ' ἔπραττεν, πλὴν καθ' ὅσον προσ-
κοινωνεῖν οἱ τῶν δρωμένων οὐκ ἠξίου· οὗτος δὲ Οὐεσπασιανῷ ἤχθετο,
καὶ οὔτ' ἰδίᾳ οὔτε ἐν τῷ κοινῷ αὐτοῦ ἀπείχετο, ἀλλ' ἐξ ὧν ἐποίει
ἐθανάτα, καὶ πολλὰ πράττων ἔμελλέ ποτε δίκην αὐτῶν δώσειν.
V p. 702.

ὡς δ' οὖν καὶ ἄλλοι πολλοὶ ἐκ τῶν στωικῶν καλουμένων λόγων 13
προαχθέντες, μεθ' ὧν καὶ Δημήτριος ὁ κυνικός, συχνὰ καὶ οὐκ a.C. 71
ἐπιτήδεια τοῖς παροῦσι δημοσίᾳ, τῷ τῆς φιλοσοφίας προσχήματι
καταχρώμενοι, διελέγοντο, κἀκ τούτου καὶ ὑποδιέφθειρόν τινας,
ἔπεισεν ὁ Μουκιανὸς τὸν Οὐεσπασιανὸν πάντας τοὺς τοιούτους ἐκ
τῆς πόλεως ἐκβαλεῖν, εἰπὼν ὀργῇ μᾶλλον ἢ φιλολογίᾳ τινὶ πολλὰ
κατ' αὐτῶν. καὶ πάντας αὐτίκα τοὺς φιλοσόφους ὁ Οὐεσπασιανός, 2
πλὴν τοῦ Μουσωνίου, ἐκ τῆς Ῥώμης ἐξέβαλεν, τὸν δὲ δὴ Δημήτριον

δέ σφισιν αὐτὰ καὶ ὁ Δομετιανὸς ὑπατεύων ἐπὶ κέλητος. μετὰ τοῦτο διδασκά-
λους ἐν τῇ Ῥώμῃ καὶ τῆς Λατίνων καὶ τῆς Ἑλληνικῆς παιδείας κατέστησε,
μισθὸν ἐκ τοῦ δημοσίου φέροντας. Z p. 494 13·1 4 ὑποδιέφερόν
5 ὅτι Μουκιανὸς πρὸς Οὐεσπασιανὸν κατὰ τῶν στωικῶν πλεῖστά τε εἶπε
καὶ θαυμάσια, ὡς ὅτι αὐχήματος κενοῦ εἰσὶ πεπληρωμένοι, κἂν τὸν πώ-
γωνά τις αὐτῶν καθῇ καὶ τὰς ὀφρύας ἀνασπάσῃ τό τε τριβώνιον ἀναβάληται
καὶ ἀνυπόδητος βαδίσῃ, σοφὸς εὐθὺς ἀνδρεῖος δίκαιός φησιν εἶναι, καὶ
πνεῖ ἐφ' ἑαυτοῦ μέγα, κἂν τὸ λεγόμενον δὴ τοῦτο μήτε γράμματα μήτε
νεῖν ἐπίσταται. καὶ πάντας ὑπερορῶσι, καὶ τὸν μὲν εὐγενῆ τηθαλλαδοῦν
τὸν δὲ ἀγενῆ σμικρόφρονα, καὶ τὸν μὲν καλὸν ἀσελγῆ τὸν δὲ αἰσχρὸν
εὐφυᾶ, τὸν δὲ πλούσιον πλεονέκτην τὸν δὲ πένητα δουλοπρεπῆ καλοῦσιν.
M p. 220

Digitized by Google

καὶ τὸν Ὁστίλιον καὶ ἐς νήσους κατέκλεισεν. καὶ ὁ μὲν Ὁστίλιος, εἰ καὶ τὰ μάλιστα μὴ ἐπαύσατο περὶ τῆς φυγῆς ἀκούσας (ἔτυχε γὰρ διαλεγόμενός τινι) ἀλλὰ καὶ πολλῷ πλείω κατὰ τῆς μοναρχίας
3 κατέδραμεν, ὅμως παραχρῆμα μετέστη· τῷ δὲ Δημητρίῳ μηδ᾽ ὣς ὑπείκοντι ἐκέλευσεν ὁ Οὐεσπασιανὸς λεχθῆναι ὅτι σὺ μὲν πάντα ποιεῖς ἵνα σε ἀποκτείνω, ἐγὼ δὲ κύνα ὑλακτοῦντα οὐ φονεύω.

14 τότε δὲ καὶ Καινὶς ἡ τοῦ Οὐεσπασιανοῦ παλλακὴ μετήλλαξεν. ἐμνημόνευσα δὲ αὐτῆς ὅτι τε πιστοτάτη ἦν καὶ ὅτι μνήμης ἄριστα ἐπεφύκει. πρὸς γοῦν τὴν δέσποιναν τὴν Ἀντωνίαν τὴν τοῦ Κλαυδίου μητέρα, κρύφα τι δι᾽ αὐτῆς τῷ Τιβερίῳ περὶ τοῦ Σηιανοῦ
2 γράψασαν, καὶ αὐτὸ ἀπαλειφθῆναι εὐθύς, ὅπως μηδεὶς αὐτοῦ ἔλεγχος ὑπολειφθῇ, κελεύσασαν, "μάτην, ὦ δέσποινα," ἔφη "τοῦτο προσέταξας· πάντα γὰρ καὶ ταῦτα, καὶ τὰ ἄλλα ὅσα ἂν ὑπαγορεύσῃς μοι, ἔν τε τῇ ψυχῇ ἀεὶ φέρω καὶ οὐδέποτε ἐξαλειφθῆναι
3 δύναται." τοῦτό τε οὖν αὐτῆς ἐθαύμασα, καὶ προσέτι ὅτι καὶ ὁ Οὐεσπασιανὸς αὐτῇ ὑπερέχαιρεν, πλεῖστόν τε διὰ τοῦτο ἴσχυσε, καὶ πλοῦτον ἀμύθητον ἤθροισεν, ὥστε καὶ νομισθῆναι ὅτι δι᾽ αὐτῆς ἐκεῖνος ἐχρηματίζετο· πάμπολλα γὰρ παρὰ πολλῶν ἐλάμβανε, τοῖς μὲν ἀρχὰς τοῖς δὲ ἐπιτροπείας στρατείας ἱερωσύνας, ἤδη δέ τισι
4 καὶ ἀποφάσεις αὐτοῦ πιπράσκουσα. ἀπέκτεινε μὲν γὰρ Οὐεσπασιανὸς χρημάτων ἕνεκα οὐδένα, ἔσωσε δὲ πολλοὺς τῶν διδόντων· καὶ ἡ μὲν λαμβάνουσα ἐκείνη ἦν, ὑπωπτεύετο δὲ ὁ Οὐεσπασιανὸς ἑκὼν αὐτῇ ἐπιτρέπειν τοῦτο ποιεῖν ἐκ τῶν ἄλλων ὧν ἔπραττεν, ὧν ὀλίγα
5 δείγματος ἕνεκα διηγήσομαι. ἀνδριάντα γὰρ πέντε καὶ εἴκοσι μυριάδων στῆσαί οἱ ψηφισαμένων τινῶν προέτεινε τὴν χεῖρα καὶ ἔφη "δότε μοι τὸ ἀργύριον· ἡ γὰρ βάσις αὐτοῦ αὕτη ἐστίν." καὶ πρὸς τὸν Τίτον ἀγανακτοῦντα τῷ τοῦ οὔρου τέλει, ὃ καὶ αὐτὸ μετὰ τῶν ἄλλων κατεδείχθη, εἶπε, λαβὼν ἐξ αὐτοῦ χρυσοῦς πεπορισμένους καὶ δείξας αὐτῷ, "ἰδού, τέκνον, εἴ τι ὄζουσιν."

15 ἐπὶ δὲ τοῦ Οὐεσπασιανοῦ ἕκτον καὶ ἐπὶ τοῦ Τίτου τέταρτον
a.C. 75 ἀρχόντων τὸ τῆς εἰρήνης τέμενος καθιερώθη, ὅ τε κολοσσὸς ὠνομασμένος ἐν τῇ ἱερᾷ ὁδῷ ἱδρύθη· φασὶ δὲ αὐτὸν τό τε ὕψος ἑκατὸν ποδῶν καὶ τὸ εἶδος οἱ μὲν τὸ τοῦ Νέρωνος οἱ δὲ τὸ τοῦ Τίτου
2 ἔχειν. σφαγὰς δὲ ὁ Οὐεσπασιανὸς θηρίων μὲν ἐποιεῖτο ἐν τοῖς θεάτροις, μονομαχίαις δὲ ἀνδρῶν οὐ πάνυ τι ἔχαιρε, καίτοι τοῦ Τίτου ἐν ταῖς τῶν νεανίσκων παιδιαῖς ταῖς ἐν τῇ πατρίδι αὐτοῦ τελουμέ-
3 ναις σκιαμαχήσαντός ποτε πρὸς τὸν Ἀλιηνὸν ὅπλοις. τοῖς δὲ Πάρθοις πολεμωθεῖσι πρός τινας καὶ τῆς παρ᾽ αὐτοῦ συμμαχίας δεη-

14 3 4 ἐκείνης

θεῖσιν οὐκ ἐβοήθησεν, εἰπὼν ὅτι οὐ προσήκει αὐτῷ τὰ ἀλλότρια
πολυπραγμονεῖν. Βερενίκη δὲ ἰσχυρῶς τε ἤνθει καὶ διὰ τοῦτο καὶ
ἐς τὴν Ῥώμην μετὰ τοῦ ἀδελφοῦ τοῦ Ἀγρίππα ἦλθεν· καὶ ὁ μὲν 4
στρατηγικῶν τιμῶν ἠξιώθη, ἡ δὲ ἐν τῷ παλατίῳ ᾤκησε καὶ τῷ
Τίτῳ συνεγίγνετο. προσεδοκᾶτο δὲ γαμηθήσεσθαι αὐτῷ, καὶ πάντα
ἤδη ὡς καὶ γυνὴ αὐτοῦ οὖσα ἐποίει, ὥστ᾽ ἐκεῖνον δυσχεραίνοντας
τοὺς Ῥωμαίους ἐπὶ τούτοις αἰσθόμενον ἀποπέμψασθαι αὐτήν. ἄλ- 5
λως τε γὰρ πολλὰ ἐθρυλεῖτο, καί τινες καὶ τότε σοφισταὶ κύνειοι
ἐς τὸ ἄστυ πως παραδύντες, Διογένης μὲν πρότερος ἐς τὸ θέατρον
πλῆρες ἀνδρῶν ἐσῆλθε καὶ πολλὰ αὐτοὺς λοιδορήσας ἐμαστιγώθη,
Ἡρᾶς δὲ μετ᾽ αὐτόν, ὡς οὐδὲν πλεῖον πεισόμενος, πολλὰ καὶ ἄτοπα
κυνηδὸν ἐξέκραγε, καὶ διὰ τοῦτο καὶ τὴν κεφαλὴν ἀπετμήθη.

καθ᾽ ὃν δὴ καιρὸν καὶ ταῦτα ἐγένετο· οἶνός τε γὰρ ἐν καπηλείῳ 16
τινὶ τοσοῦτος ὑπὲρ τὸ ἀγγεῖον ὑπερεχύθη ὥστε καὶ ἐς τὴν ὁδὸν
προχωρῆσαι, καὶ ὁ Σαβῖνος ἐκεῖνος ὁ Γαλάτης ὁ Καίσαρά ποτε
ἑαυτὸν ὀνομάσας καὶ ἐς ὅπλα χωρήσας ἡττηθείς τε καὶ ἐς τὸ
μνημεῖον κατακρυφθεὶς ἐφανερώθη τε καὶ ἐς τὴν Ῥώμην ἀνήχθη.
συναπέθανε δὲ αὐτῷ καὶ ἡ γυνὴ Πεπονίλλα, ἥπερ που καὶ διεσέ- 2
σωστο αὐτόν, καίτοι καὶ τὰ παιδία τῷ Οὐεσπασιανῷ προβαλοῦσα
καὶ ἐλεεινότατον ἐπ᾽ αὐτοῖς λόγον εἰποῦσα, ὅτι ταῦτα, Καῖσαρ, καὶ
ἐγέννησα ἐν τῷ μνημείῳ καὶ ἔθρεψα, ἵνα σε πλείονες ἱκετεύσωμεν.
δακρῦσαι μὲν γὰρ αὐτὸν καὶ τοὺς ἄλλους ἐποίησεν, οὐ μέντοι καὶ
ἠλεήθησαν. κἂν τούτῳ ἐπεβουλεύθη μὲν ὑπό τε τοῦ Ἀλιηνοῦ καὶ 3 a. C.
ὑπὸ τοῦ Μαρκέλλου, καίπερ φίλους τε αὐτοὺς ἐν τοῖς μάλιστα 79
νομίζων καὶ πάσῃ ἐς αὐτοὺς ἀφθονωτάτῃ τιμῇ χρώμενος, οὐ μὴν
καὶ ὑπ᾽ ἐκείνων ἀπέθανεν· φωραθέντες γὰρ Ἀλιηνὸς μὲν αὐτοῦ ἐν
τῷ βασιλείῳ, ἐξαναστὰς ἐκ τοῦ συσσιτίου, εὐθὺς ἀπεσφάγη τοῦ
Τίτου κελεύσαντος, μὴ καὶ φθάσῃ τι τῆς νυκτὸς νεοχμῶσαι (τῶν
γὰρ στρατιωτῶν συχνοὺς προπαρεσκεύαστο), Μάρκελλος δὲ δὴ 4
κριθεὶς ἐν τῷ συνεδρίῳ καὶ καταδικασθεὶς ἀπέτεμε τὸν λαιμὸν αὐ-
τὸς ἑαυτῷ ξυρῷ. οὕτω που τοὺς φύσει κακοὺς οὐδ᾽ αἱ εὐεργεσίαι
νικῶσιν, ὁπότε κἀκεῖνοι τῷ τοσαῦτα εὐηργετηκότι σφᾶς ἐπεβούλευσαν.

ταῦτα μὲν οὕτως ἔσχεν, Οὐεσπασιανὸς δέ, ὡς μὲν ἡ ἀλήθεια 17
ἔχει, νοσήσας οὐ τῇ ποδάγρᾳ τῇ συνήθει ἀλλὰ πυρετοῖς μετήλλαξεν
ἐν τοῖς ὕδασι τῶν Σαβίνων τοῖς Κουτιλίοις ὠνομασμένοις, ὡς δέ
τινες καταψευδόμενοι τοῦ Τίτου, ἄλλοι τε καὶ ὁ Ἀδριανὸς ὁ αὐτο-
κράτωρ, ἐφήμισαν, φάρμακον ἐν συμποσίῳ τινὶ λαβών. ἐγεγόνει 2
δὲ σημεῖα αὐτῷ φέροντα ἐς τοῦτο ὅ τε ἀστὴρ ὁ κομήτης ἐπὶ πολὺ

16 3 3 ἀφθονώτατα?* 17 2 1 ἐνεγεγόνει 2 ὁ om*



Digitized by Google

φαντασθεὶς καὶ τὸ μνημεῖον τὸ τοῦ Αὐγούστου αὐτόματον ἀνοιχθέν.
τῶν δὲ ἰατρῶν ἐπιτιμώντων αὐτῷ ὅτι τῇ τε ἄλλῃ διαίτῃ ὁμοίᾳ
νυσῶν ἐχρῆτο καὶ πάντα τὰ προσήκοντα τῇ ἀρχῇ ἔπραττε, "τὸν
3 αὐτοκράτορα δεῖ" ἔφη "ἑστῶτα ἀποθνήσκειν." καὶ πρὸς τοὺς περὶ
τοῦ κομήτου τι διαλαλοῦντας "οὐκ ἔμοιγε" εἶπεν "ἀλλὰ τῷ τῶν
Πάρθων βασιλεῖ προσημαίνει· ἐκεῖνος μὲν γὰρ κομᾷ, ἐγὼ δὲ φα-
λακρός εἰμι." ἐπειδή τε ἐπίστευσεν ὅτι τελευτήσει, ἔφη "θεὸς ἤδη
γίγνομαι." ἔζησε δὲ ἔτη ἐννέα καὶ ἑξήκοντα καὶ μῆνας ὀκτώ, ἐμο-
4 νάρχησε δὲ ἔτη δέκα ἡμερῶν ἓξ δέοντα. κἀκ τούτου συμβαίνει
ἐνιαυτόν τε καὶ δύο καὶ εἴκοσιν ἡμέρας ἀπὸ τοῦ θανάτου τοῦ Νέ-
ρωνος μέχρι τῆς τοῦ Οὐεσπασιανοῦ ἀρχῆς διελθεῖν. ἔγραψα δὲ τοῦτο
τοῦ μή τινας ἀπατηθῆναι, τὴν ἐξαρίθμησιν τοῦ χρόνου πρὸς τοὺς
5 τὴν ἡγεμονίαν ἔχοντας ποιουμένους. ἐκεῖνοι μὲν γὰρ οὐ διεδέξαντο
ἀλλήλους, ἀλλὰ ζῶντός τε καὶ ἔτι ἄρχοντος ἑτέρου ἕκαστος αὐτῶν
ἐπίστευσεν αὐτοκράτωρ, ἀφ' οὗ γε καὶ ἐς τοῦτο παρέκυψεν, εἶναι·
δεῖ δ' οὐ πάσας σφῶν τὰς ἡμέρας ὡς καὶ ἐφεξῆς ἀλλήλαις ἐκ δια-
δοχῆς γενομένας ἀριθμεῖν, ἀλλ' ἐφάπαξ πρὸς τὴν ἀκρίβειαν τοῦ
χρόνου, καθάπερ εἴρηταί μοι, λογίζεσθαι.

18 ὁ δὲ δὴ Τίτος οὐδὲν οὔτε φονικὸν οὔτε ἐρωτικὸν μοναρχήσας
ἔπραξεν, ἀλλὰ χρηστὸς καίπερ ἐπιβουλευθεὶς καὶ σώφρων καίτοι
καὶ τῆς Βερενίκης ἐς Ῥώμην αὖθις ἐλθούσης ἐγένετο. τάχα μὲν
γὰρ ὅτι καὶ μετεβάλετο (οὐ γὰρ ὁμοίως ἄλλῳ τέ τινες παραδυνα-
2 στεύουσι καὶ αὐτοὶ αὐταρχοῦσιν, ἀλλ' ἐκεῖνοι μὲν ἀφροντιστοῦντες
τῆς τοῦ κρατοῦντος δόξης τῇ τε ἐξουσίᾳ αὐτοῦ ἀπλήστως ἀποχρῶν-
ται καὶ πολλὰ ἐπί τε φθόνῳ καὶ διαβολῇ αὐτοῦ ποιοῦσιν, οἱ δὲ
ἐφ' αὑτοὺς πάντα ἀνακείμενα εἰδότες προνοοῦνταί τι καὶ τῆς εὐ-
3 δοξίας· ὥσπερ που καὶ ὁ Τίτος πρός τινα, ὃν πρότερον ἐσπουδάκει,
εἶπεν ὅτι οὐχ ὅμοιόν ἐστιν ἑτέρου τι δεῖσθαι καὶ αὐτὸν δικάζειν,
οὐδὲ παρ' ἄλλου τι αἰτεῖν καὶ αὐτὸν διδόναι τινί), ἤδη δὲ καὶ ὅτι
ἐπὶ βραχύτατον, ὥς γε ἐς ἡγεμονίαν εἰπεῖν, ἐπεβίω, ὥστε μηδ'
4 ἁμαρτίαν τινὰ αὐτῷ ἐγγενέσθαι. δύο τε γὰρ ἔτη μετὰ τοῦτο καὶ
μῆνας δύο ἡμέρας τε εἴκοσιν ἔζησεν ἐπ' ἐννέα καὶ τριάκοντα ἔτεσι
καὶ μησὶ πέντε καὶ ἡμέραις πέντε καὶ εἴκοσιν. καὶ αὐτὸν ἐξ ἴσου
κατὰ τοῦτο τῇ τοῦ Αὐγούστου πολυετίᾳ ἄγουσι, λέγοντες ὅτι οὔτ'
ἂν ἐκεῖνος ἐφιλήθη ποτὲ εἰ ἐλάττω χρόνον ἐζήκει, οὔτ' ἂν οὗτος
5 εἰ πλείονα, ὁ μὲν ὅτι τραχύτερος κατ' ἀρχὰς διά τε τοὺς πολέμους
καὶ διὰ τὰς στάσεις γενόμενος ἠδυνήθη μετὰ ταῦτα εὐεργεσίαις
ἐν τῷ χρόνῳ λαμπρύνεσθαι, ὁ δ' ὅτι ἐπιεικῶς ἄρξας ἐν ἀκμῇ

3 5 ὀκτὼ καὶ ἡμέρας ὀκτώ Z p. 495 18 1 4 ἄλλα 2 2 κράτους
5 3 πολυχρονίῳ Z p. 496

Digitized by Google

*τῆς δόξης ἀπέθανε, τάχ' ἂν ἐλεγχθείς, εἴγε ἐπὶ μακρὸν ἐβεβιώκει, ὅτι εὐτυχίᾳ πλείονι ἢ ἀρετῇ ἐχρήσατο.*

*οὐ μὴν ἀλλ' ὁ Τίτος οὐδένα τῶν βουλευτῶν ἐν τῇ αὑτοῦ ἡγε-* 19
*μονίᾳ ἀπέκτεινεν, ἀλλ' οὐδὲ ἄλλος τις αὐτῷ ἐπὶ τῆς αὐτοῦ ἀρχῆς*
*ἐτελεύτησεν. τάς τε δίκας τὰς τῆς ἀσεβείας οὔτ' αὐτός ποτε ἐδέξατο*
*οὔτ' ἄλλοις ἐπέτρεψεν, λέγων ὅτι ἐγὼ μὲν οὐδὲν οὔθ' ὑβρισθῆναι*
*οὔτε προπηλακισθῆναι δύναμαι· οὔτε γὰρ ἄξιόν τι ἐπηγορίας ποιῶ,* 2
*οὔτε μοι μέλει τῶν ψευδῶς λεγομένων· οἱ δὲ μετηλλαχότες τῶν*
*αὐτοκρατόρων αὐτοὶ ἑαυτοῖς, ἄνπερ ὡς ἀληθῶς ἥρωές τε ὦσι καὶ*
*δύναμίν τινα ἔχωσι, τιμωρήσουσιν ἄν τί τις αὐτοὺς ἀδικήσῃ.*
*πολλὰ δὲ καὶ ἄλλα πρός τε τὸ ἀσφαλὲς καὶ πρὸς τὸ ἄλυπον τῶν* 3
*ἀνθρώπων κατεστήσατο· καὶ γὰρ γράμματα ἐξέθηκε βεβαιῶν πάντα*
*τὰ ὑπὸ τῶν προτέρων αὐτοκρατόρων δοθέντα τισίν, ὥστε μὴ καθ'*
*ἑκάστους σφῶν αἰτοῦντας αὐτὸν πράγματα ἔχειν, τούς τε μηνυτὰς*
*ἐξήλασεν ἐκ τῆς πόλεως.*

*κἀν τούτῳ πολέμου αὖθις ἐν τῇ Βρεττανίᾳ γενομένου τά τε* 20
*τῶν ἐκεῖ πολεμίων Γναῖος Ἰούλιος Ἀγρικόλας πάντα κατέδραμεν,*
*καὶ πρῶτός γε Ῥωμαίων ὧν ἡμεῖς ἴσμεν ἔγνω τοῦθ' ὅτι ἡ Βρετ-*
*τανία περίρρυτος ἐστίν. στρατιῶται γάρ τινες στασιάσαντες, καὶ*
*ἑκατοντάρχους χιλίαρχόν τε φονεύσαντες, ἐς πλοῖα κατέφυγον καὶ* 2
*ἐξαναχθέντες περιέπλευσαν τὰ πρὸς ἑσπέραν αὐτῆς, ὥς που τό τε*
*κῦμα καὶ ὁ ἄνεμος αὐτοὺς ἔφερεν, καὶ ἔλαθον ἐκ τοῦ ἐπὶ θάτερα*
*πρὸς τὰ στρατόπεδα τὰ ταύτῃ ὄντα προσσχόντες. κἀκ τούτου καὶ*
*ἄλλους ὁ Ἀγρικόλας πειράσοντας τὸν περίπλουν πέμψας ἔμαθε καὶ*
*παρ' ἐκείνων ὅτι νῆσος ἐστίν.*

*ἐν μὲν τῇ Βρεττανίᾳ ταῦτ' ἐγένετο, καὶ ἀπ' αὐτῶν ὁ μὲν Τίτος* 3
*αὐτοκράτωρ τὸ πεντεκαιδέκατον ἐπεκλήθη, ὁ δὲ Ἀγρικόλας ἔν τε*
*ἀτιμίᾳ τὸ λοιπὸν τοῦ βίου καὶ ἐν ἐνδείᾳ, ἅτε καὶ μείζονα ἢ κατὰ*
*στρατηγὸν καταπράξας, ἔζησεν, καὶ τέλος ἐσφάγη δι' αὐτὰ ταῦτα*
*ὑπὸ Δομιτιανοῦ, καίπερ τὰς ἐπινικίους τιμὰς παρὰ τοῦ Τίτου*
*λαβών. ἐν δὲ τῇ Καμπανίᾳ φοβερά τινα καὶ θαυμαστὰ συνηνέχθη·* 21
*πῦρ γὰρ μέγα κατ' αὐτὸ τὸ φθινόπωρον ἐξαπιναίως ἐξήφθη. τὸ*

19 3 3 *τισίν. ἦν δὲ περὶ χρήματα ἀκριβὴς καὶ οὐ μάτην ἀνήλισκεν, οὐδένα μέντοι ποτὲ διὰ ταῦτα ἐκόλασεν. ἐπὶ τούτου καὶ ὁ Ψευδονέρων ἐφάνη, ὃς Ἀσιανὸς ἦν, ἐκαλεῖτο δὲ Τερέντιος Μάξιμος, προσεοικὼς δὲ τῷ Νέρωνι καὶ τὸ εἶδος καὶ τὴν φωνήν (καὶ γὰρ καὶ ἐκιθαρῴδει) ἔκ τε τῆς Ἀσίας τινὰς προσεποιήσατο, καὶ ἐπὶ τὸν Εὐφράτην προχωρῶν πολλῷ πλείους ἀνηρτήσατο, καὶ τέλος πρὸς Ἀρτάβανον τὸν τῶν Πάρθων κατέφυγεν ἀρχηγόν, ὃς καὶ δι' ὀργῆς τὸν Τίτον ποιούμενος ἐδέξατο τοῦτον καὶ καταγαγεῖν εἰς Ῥώμην παρεσκευάζετο.* Z p. 496 20 3 5 *παρ' αὐτοῦ τούτου*
21 1 2 *ἐν δὲ τῷ πρώτῳ τῆς ἡγεμονίας τοῦ Τίτου ἔτει πῦρ ἐν Καμπανίᾳ πολὺ κατὰ τὸ φθινόπωρον ἀθρόον ἐξήνθησεν.* Z



Digitized by Google

γὰρ ὄρος τὸ Βέσβιον ἔστι μὲν πρὸς τῇ θαλάσσῃ κατὰ Νέαν πόλιν,
ἔχει δὲ πυρὸς πηγὰς ἀφθόνους. καὶ ἦν μέν ποτε πᾶν ὁμοίως ὑψη-
λόν, καὶ ἀπ' αὐτοῦ μέσου τὸ πῦρ ἀνέτελλεν· ταύτῃ γὰρ πεπύρωται
2 μόνον, τὰ δὲ ἔξωθεν αὐτοῦ πάντα ἄπυρα καὶ νῦν ἔτι διαμένει. ἐκ
δὲ τούτου, ἐκείνων μὲν ἀκαύστων ἀεὶ ὄντων, τῶν δὲ ἐν τῷ μέσῳ
κραυρουμένων καὶ τεφρουμένων, αἱ μὲν πέριξ κορυφαὶ τὸ ἀρχαῖον
ὕψος ἐς δεῦρο ἔχουσι, τὸ δὲ ἔμπυρον πᾶν δαπανηθὲν ἐν τῷ χρόνῳ
κοῖλον ἐκ τοῦ συνίζειν γέγονεν, ὥστε κυνηγετικῷ τινὶ θεάτρῳ τὸ
3 ὄρος σύμπαν, ὡς μικρὰ μεγάλοις εἰκάσαι, ἐοικέναι. καὶ αὐτοῦ τὰ
μὲν ἄκρα καὶ δένδρα καὶ ἀμπέλους πολλὰς ἔχει, ὁ δὲ δὴ κύκλος
ἀνεῖται τῷ πυρί, καὶ ἀναδίδωσι τῆς μὲν ἡμέρας καπνὸν τῆς δὲ
νυκτὸς φλόγα, ὥστε δόξαι πολλὰ ἐν αὐτῷ καὶ παντοδαπὰ θυμιᾶσθαι
4 θυμιάματα. καὶ τοῦτο μὲν οὕτως ἀεί, ποτὲ μὲν ἐπὶ μᾶλλον ποτὲ δὲ
ἐπὶ ἧττον, γίνεται· πολλάκις δὲ καὶ τέφραν ἀναβάλλει, ὅταν ἀθρόον
τι ὑφιζήσῃ, καὶ λίθους ἀναπέμπει, ὅταν ὑπὸ πνεύματος ἐκβιασθῇ.
ἠχεῖ τε καὶ βοᾷ, ἅτε μὴ συμπεπιλημένας ἀλλ' ἀραιὰς καὶ λαθραίας
τὰς ἀναπνοὰς ἔχον.

22 τοιοῦτο μὲν τὸ Βέσβιον ἐστί, καὶ ταῦτα ἐν αὐτῷ κατ' ἔτος ὡς
πλήθει γίνεται. ἀλλὰ τὰ μὲν ἄλλα ὅσα ἐκείνῳ ἐν τῷ χρόνῳ συνη-
νέχθη, εἰ καὶ μεγάλα παρὰ τὸ καθεστηκὸς τοῖς ἀεὶ ὁρῶσιν αὐτὰ
εἶναι ἔδοξε, σμικρὰ ἂν πρὸς τὰ τότε συμβάντα, καὶ τὰ πάντα εἰς
2 ἓν συναχθέντα, νομισθείη. ἔσχε γὰρ οὕτως. ἄνδρες πολλοὶ καὶ με-
γάλοι, πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ὑπερβεβληκότες, οἷοι οἱ γίγαν-
τες γράφονται, τοῦτο μὲν ἐν τῷ ὄρει τοῦτο δ' ἐν τῇ περὶ αὐτὸ
χώρᾳ ταῖς τε πόλεσι μεθ' ἡμέραν καὶ νύκτωρ ἐν τῇ γῇ περινοστοῦν-
3 τες καὶ ἐν τῷ ἀέρι διαφοιτῶντες ἐφαντάζοντο. καὶ μετὰ τοῦτ' αὐχμοί
τε δεινοὶ καὶ σεισμοὶ ἐξαίφνης σφοδροὶ ἐγίνοντο, ὥστε καὶ τὸ πεδίον
ἐκεῖνο πᾶν ἀναβράττεσθαι καὶ τὰ ἄκρα ἀναπηδᾶν. ἠχαί τε αἱ μὲν
ὑπόγειοι βρονταῖς ἐοικυῖαι αἱ δ' ἐπίγειοι μυκηθμοῖς ὅμοιαι συνέ-
4 βαινον, καὶ ἥ τε θάλασσα συνέβρεμε καὶ ὁ οὐρανὸς συνεπήχει. κἀκ
τούτου κτύπος τε ἐξαίσιος ἐξαπιναίως ὡς καὶ τῶν ὀρῶν συμπιπτόν-
των ἐξηκούσθη, καὶ ἀνέθορον πρῶτον μὲν λίθοι ὑπερμεγέθεις, ὥστε
καὶ ἐς αὐτὰ τὰ ἄκρα ἐξικέσθαι, ἔπειτα πῦρ πολὺ καὶ καπνὸς ἄπλε-
τος, ὥστε πάντα μὲν τὸν ἀέρα συσκιασθῆναι, πάντα δὲ τὸν ἥλιον
23 συγκρυφθῆναι καθάπερ ἐκλελοιπότα. νύξ τε οὖν ἐξ ἡμέρας καὶ
σκότος ἐκ φωτὸς ἐγένετο· καὶ ἐδόκουν οἱ μὲν τοὺς γίγαντας ἐπανί-
στασθαι (πολλὰ γὰρ καὶ τότε εἴδωλα αὐτῶν ἐν τῷ καπνῷ διεφαί-
νετο, καὶ προσέτι καὶ σαλπίγγων τις βοὴ ἠκούετο), οἱ δὲ καὶ ἐς

4 4 λαθραίας] ἐλευθέρας Z     22 1 2 ἓν om*     3 1 ἄνεμοί?*

Digitized by Google

χάος ἢ καὶ πῦρ τὸν κόσμον πάντα ἀναλίσκεσθαι. καὶ διὰ ταῦτ' 2
ἔφυγον οἱ μὲν ἐκ τῶν οἰκιῶν ἐς τὰς ὁδοὺς οἱ δ' ἔξωθεν εἴσω, ἔκ
τε τῆς θαλάσσης ἐς τὴν γῆν καὶ ἐξ ἐκείνης ἐς τὴν θάλασσαν, οἷα
τεταραγμένοι καὶ πᾶν τὸ ἀπὸ σφῶν ἀπὸν ἀσφαλέστερον τοῦ παρόν-
τος ἡγούμενοι. ταῦτά τε ἅμα ἐγίγνετο, καὶ τέφρα ἀμύθητος ἀνεφυ- 3
σήθη καὶ τήν τε γῆν τήν τε θάλασσαν καὶ τὸν ἀέρα πάντα κατέσχε,
καὶ πολλὰ μὲν καὶ ἄλλα, ὥς που καὶ ἔτυχε, καὶ ἀνθρώποις καὶ
χώραις καὶ βοσκήμασιν ἐλυμήνατο, τοὺς δὲ δὴ ἰχθύας τά τε ὄρνεα
πάντα διέφθειρεν, καὶ προσέτι καὶ πόλεις δύο ὅλας, τό τε Ἡρκου-
λάνεον καὶ τοὺς Πομπηίους, ἐν θεάτρῳ τοῦ ὁμίλου αὐτῆς καθημέ-
νου, κατέχωσεν. τοσαύτη γὰρ ἡ πᾶσα κόνις ἐγένετο ὥστ' ἀπ' αὐτῆς 4
ἦλθε μὲν καὶ ἐς Ἀφρικὴν καὶ ἐς Συρίαν καὶ ἐς Αἴγυπτον, ἦλθε
δὲ καὶ ἐς τὴν Ῥώμην, καὶ τόν τε ἀέρα τὸν ὑπὲρ αὐτῆς ἐπλήρωσε
καὶ τὸν ἥλιον ἐπεσκίασεν. καὶ συνέβη κἀνταῦθα δέος οὐ μικρὸν 5
ἐπὶ πολλὰς ἡμέρας οὔτ' εἰδόσι τοῖς ἀνθρώποις τὸ γεγονὸς οὔτ' εἰ-
κάσαι δυναμένοις, ἀλλ' ἐνόμιζον καὶ ἐκεῖνοι πάντα ἄνω τε καὶ κάτω
μεταστρέφεσθαι, καὶ τὸν μὲν ἥλιον ἐς τὴν γῆν ἀφανίζεσθαι, τὴν
δὲ γῆν ἐς τὸν οὐρανὸν ἀνιέναι.

ἡ μὲν οὖν τέφρα αὕτη οὐδὲν μέγα τότε κακὸν αὐτοὺς εἰργάσατο
(ὕστερον γὰρ νόσον σφίσι λοιμώδη δεινὴν ἐνέβαλεν), πῦρ δὲ δὴ 24
ἕτερον ἐπίγειον τῷ ἑξῆς ἔτει πολλὰ πάνυ τῆς Ῥώμης, τοῦ Τίτου a. C. 80
πρὸς τὸ πάθημα τὸ ἐν τῇ Καμπανίᾳ γενόμενον ἐκδημήσαντος, ἐπε-
νείματο· καὶ γὰρ τὸ σεραπεῖον καὶ τὸ ἰσεῖον τά τε σέπτα καὶ τὸ 2
ποσειδώνιον τό τε βαλανεῖον τὸ τοῦ Ἀγρίππου καὶ τὸ πάνθειον τό
τε διριβιτώριον καὶ τὸ τοῦ Βάλβου θέατρον καὶ τὴν τοῦ Πομπηίου
σκηνήν, καὶ τὰ Ὀκτάουια οἰκήματα μετὰ καὶ τῶν βιβλίων, τόν τε
νεὼν τοῦ Διὸς τοῦ Καπιτωλίου μετὰ τῶν συννάων αὐτοῦ κατέ-
καυσεν. οὕτω τὸ κακὸν οὐκ ἀνθρώπινον ἀλλὰ δαιμόνιον ἐγένετο· 3
πάρεστι γὰρ ἐκ τούτων ὧν κατέλεξα παντί τῳ τεκμήρασθαι καὶ
τἆλλα τὰ ἀπολλύμενα. ὁ δ' οὖν Τίτος τοῖς μὲν Καμπανοῖς δύο
ἄνδρας ἐκ τῶν ὑπατευκότων οἰκιστὰς ἔπεμψε, καὶ χρήματα ἄλλα
τε καὶ τὰ τῶν ἄνευ κληρονόμων τεθνηκότων ἐδωρήσατο· αὐτὸς δὲ 4
οὐδὲν οὔτε παρ' ἰδιώτου οὔτε παρὰ πόλεως οὔτε παρὰ βασιλέως,
καίτοι πολλῶν πολλὰ διδόντων αὐτῷ καὶ ὑπισχνουμένων, ἔλαβεν,
ἀνέστησε μέντοι καὶ ἐκ τῶν ὑπαρχόντων πάντα. καὶ ἐπὶ μὲν τοῖς 25
ἄλλοις οὐδὲν ἐξαίρετον ἔπραξε, τὸ δὲ δὴ θέατρον τὸ κυνηγετικὸν
τό τε βαλανεῖον τὸ ἐπώνυμον αὐτοῦ ἱερώσας πολλὰ καὶ θαυμαστὰ

23 2 1 ἀναλύεσθαι?* 3 οἷα] οἱ ἄλλοι 4 τε ταραττόμενοι*
4 2 ἐς ante Σ. om* ἐσῆλθε* 5 4 καταστρέφεσθαι*
24 2 4 μετὰ καὶ] καὶ μετὰ 3 1 τὸ] τε τὸ*

Digitized by Google

ἐποίησεν. γέρανοί τε γὰρ ἀλλήλοις ἐμαχέσαντο καὶ ἐλέφαντες τέσ-
σαρες, ἄλλα τε ἐς ἐνακισχίλια καὶ βοτὰ καὶ θηρία ἀπεσφάγη, καὶ
2 αὐτὰ καὶ γυναῖκες, οὐ μέντοι ἐπιφανεῖς, συγκατειργάσαντο. ἄνδρες
τε πολλοὶ μὲν ἐμονομάχησαν, πολλοὶ δὲ καὶ ἀθρόοι ἔν τε πεζομα-
χίαις καὶ ἐν ναυμαχίαις ἠγωνίσαντο. τὸ γὰρ θέατρον αὐτὸ ἐκεῖνο
ὕδατος ἐξαίφνης πληρώσας ἐσήγαγε μὲν καὶ ἵππους καὶ ταύρους
καὶ ἄλλα τινὰ χειροήθη, δεδιδαγμένα πάνθ᾽ ὅσα ἐπὶ τῆς γῆς πράτ-
3 τειν καὶ ἐν τῷ ὑγρῷ, ἐσήγαγε δὲ καὶ ἀνθρώπους ἐπὶ πλοίων. καὶ
οὗτοι μὲν ἐκεῖ, ὡς οἱ μὲν Κερκυραῖοι οἱ δὲ Κορίνθιοι ὄντες, ἐναυ-
μάχησαν, ἄλλοι δὲ ἔξω ἐν τῷ ἄλσει τῷ τοῦ Γαΐου τοῦ τε Λουκίου,
ὅ ποτε ὁ Αὔγουστος ἐπ᾽ αὐτὸ τοῦτ᾽ ὠρύξατο. καὶ γὰρ ἐνταῦθα τῇ
μὲν πρώτῃ ἡμέρᾳ μονομαχία τε καὶ θηρίων σφαγή, κατοικοδομη-
θείσης σανίσι τῆς κατὰ πρόσωπον τῶν εἰκόνων λίμνης καὶ ἰκρία
4 πέριξ λαβούσης, τῇ δὲ δευτέρᾳ ἱπποδρομία καὶ τῇ τρίτῃ ναυμαχία
τρισχιλίων ἀνδρῶν καὶ μετὰ τοῦτο καὶ πεζομαχία ἐγένετο· νικήσαν-
τες γὰρ οἱ Ἀθηναῖοι τοὺς Συρακουσίους (τούτοις γὰρ τοῖς ὀνόμασι
χρησάμενοι ἐναυμάχησαν) ἐπεξῆλθον ἐς τὸ νησίδιον, καὶ προσβα-
λόντες τείχει τινὶ περὶ τὸ μνημεῖον πεποιημένῳ εἷλον αὐτό. ταῦτα
μὲν ἐς ὄψιν ἥκοντα καὶ ἐφ᾽ ἑκατὸν ἡμέρας ἐγένετο, παρέσχε δέ
5 τινα καὶ ἐς ὠφέλειαν φέροντα αὐτοῖς· σφαιρία γὰρ ξύλινα μικρὰ
ἄνωθεν ἐς τὸ θέατρον ἐρρίπτει, σύμβολον ἔχοντα τὸ μὲν ἐδωδίμου
τινὸς τὸ δὲ ἐσθῆτος τὸ δὲ ἀργυροῦ σκεύους, ἄλλο χρυσοῦ ἵππων
ὑποζυγίων βοσκημάτων ἀνδραπόδων, ἃ ἁρπάσαντάς τινας ἔδει πρὸς
τοὺς δοτῆρας αὐτῶν ἀπενεγκεῖν καὶ λαβεῖν τὸ ἐπιγεγραμμένον.

26 διατελέσας δὲ ταῦτα, καὶ τῇ γε τελευταίᾳ ἡμέρᾳ καταδακρύσας
ὥστε πάντα τὸν δῆμον ἰδεῖν, οὐδὲν ἔτι μέγα ἔπραξεν, ἀλλὰ τῷ
a. C. 81 ἐπιγιγνομένῳ ἔτει, ἐπί τε τοῦ Φλαβίου καὶ ἐπὶ τοῦ Πωλίωνος τῶν
ὑπάτων, καθιερώσας ὅσα εἴρηται, μετήλλαξεν ἐν τοῖς ὕδασιν ἐν
2 οἷς καὶ ὁ πατὴρ αὐτοῦ, ὡς μὲν ἡ φήμη λέγει, πρὸς τοῦ ἀδελφοῦ
ἀναλωθείς, ὅτι καὶ πρότερον ἐπεβεβούλευτο ὑπ᾽ αὐτοῦ, ὡς δέ τινες
γράφουσι, νοσήσας· ἔμπνουν γάρ τοι αὐτὸν ὄντα καὶ τάχα περιγε-
νέσθαι δυνάμενον ἐς λάρνακα χιόνος πολλῆς γέμουσαν ὁ Δομιτιανὸς
3 ἐνέβαλεν, ἵνα θᾶσσον ἀποθάνῃ. ἔτι γοῦν ζῶντος αὐτοῦ ἔς τε τὴν
Ῥώμην ἀφίππευσε καὶ ἐς τὸ στρατόπεδον ἐσῆλθε, τήν τε ἐπίκλησιν
καὶ τὴν ἐξουσίαν τοῦ αὐτοκράτορος ἔλαβε, δοὺς αὐτοῖς ὅσον περ
καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐδεδώκει. ὁ δ᾽ οὖν Τίτος ἀποψύχων εἶπε μὲν
ὅτι ἓν μόνον ἐπλημμέλησα, τί δὲ δὴ τοῦτο εἴη οὐ διεσάφησεν, ἀλλ᾽

25 1 5 ἐπεσφάγη* 5 5 post haec Z p. 498: τούτου ἐστὶ καὶ ἡ ἀοίδιμος ἐκείνη φωνὴ εἰπόντος "σήμερον οὐκ ἐβασίλευσα, ἐπεὶ οὐδένα εὐηργέτησα." 26 1 3 Φ.] Πλαυτίου? 2 2 ἀναλωθείς] ἄλλως θ* 3 1 ὡς δεομένης τῆς νόσου τάχα τινὸς περιψύξεως Z

Digitized by Google

οὐδ' ἄλλος οὐδεὶς ἀκριβῶς ἀνέγνω. οἱ μὲν γὰρ τὸ οἱ δὲ τὸ κατεί-
κασαν· κρατεῖ δ' οὖν, ὡς μέν τινες λέγουσιν, ὅτι τὴν Δομιτίαν 4
τὴν τοῦ ἀδελφοῦ γυναῖκα ἔσχεν, ὡς δ' ἕτεροι, οἷς ἐγὼ πείθομαι, ὅτι τὸν Δομιτιανὸν σαφῶς ἐπιβουλεύσαντά οἱ λαβὼν οὐκ ἀπέκτεινεν, ἀλλ' αὐτός τε ὑπ' ἐκείνου παθεῖν τοῦτο μᾶλλον εἵλετο, καὶ τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀνδρὶ τοιούτῳ ἐξέδωκεν οἷον ἡ διέξοδος τοῦ λόγου δηλώσει. ἦρξε δὲ δύο ἔτη καὶ μῆνας δύο ἡμέρας τε εἴκοσιν, ὡς προείρηται.

Δομιτιανὸς δὲ ἦν μὲν καὶ θρασὺς καὶ ὀργίλος, ἦν δὲ καὶ ἐπί- ΞΖ
βουλος καὶ κρυψίνους, ὥστε ἀφ' ἑκατέρων τῶν μὲν τὸ προπετὲς τῶν δὲ τὸ δόλιον ἔχων, πολλὰ μὲν ὥσπερ σκηπτὸς ὀξέως ἐμπίπτων τισὶν ἐλυμαίνετο, πολλὰ δὲ καὶ ἐκ παρασκευῆς ἐκακούργει. θεῶν 2
μὲν γὰρ τὴν Ἀθηνᾶν ἐς τὰ μάλιστα ἤγαλλε, καὶ διὰ τοῦτο καὶ τὰ παναθήναια μεγάλως ἑώρταζε,' καὶ ἐν αὐτοῖς ἀγῶνας καὶ ποιητῶν καὶ λογογράφων μονομάχων τε κατ' ἔτος ὡς εἰπεῖν ἐν τῷ Ἀλβανῷ ἐποίει· τοῦτο γὰρ τὸ χωρίον ὑπὸ τὸ ὄρος τὸ Ἀλβανόν, ἀφ' οὗπερ οὕτως ὠνομάσθη, ὃν ὥσπερ τινὰ ἀκρόπολιν ἐξείλετο· ἄνθρωπον δὲ 3
ἐφίλησε μὲν ἀληθῶς οὐδένα πλὴν γυναικῶν τινῶν, ἐπλάττετο δὲ ἀγαπᾶν ἀεὶ ὃν ἀεὶ μάλιστα ἀποσφάξαι ἤθελεν. οὕτω γὰρ ἄπιστος καὶ πρὸς αὐτοὺς τοὺς χαριζομένους τι ἔς τε τὰ δεινότατα ὑπηρετοῦντας αὐτῷ ἐγένετο ὥσθ', ὁπότε τινὲς ἢ χρήματα αὐτῷ πολλὰ πορίσειαν ἢ ἀνθρώπους πολλοὺς συκοφαντήσειαν, πάντως αὐτοὺς ἔφθειρε, καὶ μάλιστα τοὺς δούλους τοὺς κατὰ δεσποτῶν τι μηνύ-
σαντας. "καὶ οὕτω καὶ ἐκεῖνοι, καίπερ ἀργύριον καὶ τιμὰς καὶ ἀρχὰς 4
ὁμοῦ οἱ λαμβάνοντες, οὔτ' ἐντιμότερον τῶν ἑτέρων οὔτ' ἀσφαλέστερον διῆγον, ἀλλ' ἐπ' αὐτοῖς οἷς ὑπὸ τοῦ Δομιτιανοῦ παρακαλούμενοι ἔπραττον ἀπώλλυντο, ἵνα δὴ καὶ τὰ ἀδικήματα ὑπ' αὐτῶν μόνων γεγονέναι δοκῇ. τῇ δ' αὐτῇ ταύτῃ διανοίᾳ καὶ προέγραψέ ποτε ὅτι αὐτοκράτωρ ὅταν μὴ κολάζῃ τοὺς συκοφάντας, αὐτός σφας ποιεῖ τοιούτους. V p. 705.

τοιοῦτος δὲ δὴ πρὸς πάντας παρ' ὅλην τὴν ἡγεμονίαν γενόμενος 2
πολὺ καὶ ἑαυτὸν ὑπερεβάλετο ἐν τῇ τῶν τοῦ πατρὸς τοῦ τε ἀδελφοῦ φίλων ἀτίμῳ τε καὶ ὀλεθρίῳ μεταχειρίσει. "καίτοι καὶ αὐτὸς γράμμα ἐξέθηκε τηρῶν πάντα τὰ πρός τε ἐκείνων καὶ πρὸς τῶν ἄλλων αὐ-
τοκρατόρων δοθέντα τισίν. ἀλλὰ τοῦτο μὲν καλλώπισμα ἄλλως ἦν." 2
ἐμίσει γὰρ αὐτούς, ὅτι τε μὴ πάνθ' ὅσα ᾔτει, πολλά τε καὶ οὐ προσήκοντα ὄντα, παρέσχον αὐτῷ, καὶ ὅτι ἐν τιμῇ τινὶ ἐγεγένηντο· "πᾶν γὰρ τὸ ὑπὲρ τοὺς πολλοὺς ἀγαπηθέν τε ὑπ' αὐτῶν καὶ δυ-

3 6 συνέγνω?* 3 ὡς] οἱ* 1 4 2 οἱ] τι? 2 1 et 2 " " V p. 705

3 νηθὲν ἐν ἐχθροῦ μοίρᾳ ἐτίθετο.'' καὶ διὰ τοῦτο, καίπερ καὶ αὐτὸς
Ἐαρίνου τινὸς εὐνούχου ἐρῶν, ὅμως, ἐπειδὴ καὶ ὁ Τίτος ἰσχυρῶς
περὶ τοὺς ἐκτομίας ἐσπουδάκει, ἀπηγόρευσεν ἐπὶ ἐκείνου ὕβρει μη-
δένα ἔτι ἐν τῇ τῶν Ῥωμαίων ἀρχῇ ἐκτέμνεσθαι. τὸ δ' ὅλον ἔλεγε
τοὺς αὐτοκράτορας τοὺς μὴ πολλοὺς κολάζοντας οὐκ ἀγαθοὺς ἀλλ'
εὐτυχεῖς εἶναι.

4 ''ὅτι ὁ αὐτὸς οὐκ ἐφρόντιζεν οὔτε τῶν τὸν Τίτον ἐπαινούντων
ὅτι μηδένα βουλευτὴν ἀπέκτεινεν, οὐδ' ὅτι ἡ γερουσία πολλάκις
ἠξίου ψηφισθῆναι μὴ ἐξεῖναι τῷ αὐτοκράτορι τῶν ὁμοτίμων τινὰ
ἀπολέσαι· πάνυ γὰρ οὖν σφίσι πολὺ διέφερεν εἴτε ἰδίᾳ τινὰ αὐτῶν
εἴτε καὶ δι' ἐκείνων καταχρήσαιτο, ὥσπερ τι ἀντειπεῖν ἢ καὶ μὴ
5 καταψηφίσασθαί τινος δυναμένοις. ἐπῄνουν δὲ τὸν Τίτον τινὲς οὐχ
ὅτι καὶ ἀκούοντος τοῦ Δομιτιανοῦ (ἴσον γὰρ ἂν ἡμάρτανον ὥσπερ
ἂν εἰ αὐτὸν ἐκεῖνον παρόντα καὶ ἀκούοντα ἐλοιδόρουν), ἀλλ' ὅτι
ἠπίστατο αὐτοὺς λάθρᾳ τοῦτο ποιοῦντας... ἐπεί τοι καὶ ἕτερον''
6 σκηνοποιίᾳ τινὶ ἐοικὸς ἐγίγνετο. αὐτός τε γὰρ καὶ φιλεῖν τὸν ἀδελ-
φὸν καὶ πενθεῖν προσεποιεῖτο, καὶ τούς τε ἐπαίνους τοὺς ἐπ' αὐτῷ
μετὰ δακρύων ἔλεξε ''καὶ ἐς τοὺς ἥρωας αὐτὸν σπουδῇ ἐσέγραψε,''
πάντα τὰ ἐναντιώτατα ὧν ἐβούλετο σκηπτόμενος (ἀμέλει καὶ τὴν
7 ἱπποδρομίαν τὴν τῶν γενεσίων αὐτοῦ κατέλυσεν)· καὶ οἱ ἄλλοι οὐδ'
ὅπως συνάχθοιντο οὐδ' ὅπως συνήδοιντο ἀσφαλῶς εἶχον, τὸ μὲν ὅτι
τὴν γνώμην αὐτοῦ λυπεῖν, τὸ δὲ ὅτι τὴν προσποίησιν ἐλέγχειν ἔμελλον.

3 τὴν δὲ γυναῖκα τὴν Δομιτίαν ἐβουλεύσατο μὲν σφάξαι ἐπὶ
a.C. 83 μοιχείᾳ, παρακληθεὶς δὲ ὑπὸ τοῦ Οὔρσου ἀπεπέμψατο, τὸν Πάριν
τὸν ὀρχηστὴν ἐν μέσῃ τῇ ὁδῷ δι' αὐτὴν φονεύσας. ἐπειδὴ δὲ πολ-
λοὶ καὶ ἄνθεσι καὶ μύροις τὸν τόπον ἐκεῖνον ἐτίμων, ἐκέλευσε τού-
2 τους σφάττεσθαι. κὰκ τούτου τῇ ἀδελφιδῇ τῇ ἰδίᾳ, ἤγουν τῇ Ἰου-
λίᾳ, ἀπαρακαλυπτότερον ὡς γαμετῇ συνῴκει. ''εἶτα δεηθέντος τοῦ
δήμου κατηλλάγη μὲν τῇ Δομιτίᾳ, ἐχρῆτο δ' οὐδὲν ἧττον τῇ Ἰου-
3 λίᾳ.'' πολλοὺς δὲ τῶν πρώτων ἀνδρῶν κατὰ πολλὰς προφάσεις φό-
νοις τε καὶ ὑπερορίαις ἐκποδὼν ποιούμενος, οὐδὲ τῶν ἀειπαρθένων
ἐφείσατο ἀλλ' ὡς καὶ ἠνδρωμένας ἐτιμωρήσατο, ὅτε καὶ λέγεται,
σκληρᾶς καὶ τραχείας τῆς περὶ αὐτὰς ἐξετάσεως γενομένης καὶ
πολλῶν αἰτιαθέντων καὶ κολαζομένων, οὐκ ἐνεγκὼν εἷς τῶν ποντι-
φίκων Ἕλβιος Ἀγρίππας ἀλλ' ἐκπλαγεὶς αὐτοῦ ἐν τῷ συνεδρίῳ,
ὥσπερ εἶχεν, ἀποψῦξαι.

4 ὅτι καὶ ἐπὶ τούτῳ ἠγάλλετο, ὅτι τὰς ἀειπαρθένους ὡς ἠνδρω-
μένας οὐ κατώρυξεν ἀλλ' ἄλλως ἀποθνήσκειν ἐκέλευσεν. V p. 706.

4 et 5 '' '' V p. 706. X καίτοι καὶ σκ. (6 1) 4 1 οὐδὲ* 5 4 ...]
ἐμίσει?* 3 2 2 '' '' Z p. 499

ὅτι καὶ συχνοὺς μεθιστάς που κατεχρήσατο, καὶ οὐκ ὀλίγους
γε αὐτοὺς ὑφ᾽ ἑαυτῶν παρεσκεύαζε τρόπον τινὰ ἀποθνήσκειν, ἵν᾽
ἐθελοντηδὸν ἀλλ᾽ οὐχ ὑπ᾽ ἀνάγκης δοκῶσι τοῦτο πάσχειν. V p. 706.
ἐκστρατεύσας δὲ ἐς τὴν Γερμανίαν, καὶ μηδ᾽ ἑωρακώς που 4
πόλεμον ἐπανῆκεν. τί γὰρ δεῖ καὶ λέγειν ἃ διὰ τοῦτο καὶ ἐκείνῳ a.C. 84
τότε καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις αὐτῷ αὐτοκράτορσιν ἀεὶ ἐδόθη,
ἵνα μὴ προσυποπτεύοντες ἔκ τε τῆς ὀλιγότητος καὶ ἐκ τῆς σμικρό-
τητος τῶν τιμῶν ἐλέγχεσθαι χαλεπαίνωσιν; καίτοι καὶ τοῦτο δει- 2
νότατον ἔσχεν, ὅτι καὶ κολακεύεσθαι ἤθελε, καὶ ἀμφοτέροις ὁμοίως
ἤχθετο, καὶ τοῖς θεραπεύουσι καὶ τοῖς μή, τοῖς μὲν ὅτι θωπεύειν
τοῖς δὲ ὅτι καταφρονεῖν ἐδόκουν. οὐ μὴν ἀλλὰ "τῇ μὲν βουλῇ χαί-
ρειν ἐφ᾽ οἷς ἐψηφίζοντο προσεποιεῖτο, τὸν δὲ δὴ Οὖρσον ὀλίγου
ἀπέκτεινεν, ὅτι μὴ τοῖς πρασσομένοις ὑπ᾽ αὐτοῦ ἠρέσκετο, καὶ τῆς
Ἰουλίας αἰτησαμένης ὕπατον ἀπέδειξεν." οὐ μὴν ἀλλ᾽ ἐπὶ πλεῖον 3
ἐπαρθεὶς ὑπ᾽ ἀνοίας ὕπατος μὲν ἔτη δέκα ἐφεξῆς, τιμητὴς δὲ διὰ
βίου πρῶτος δὴ καὶ μόνος καὶ ἰδιωτῶν καὶ αὐτοκρατόρων ἐχειρο-
τονήθη, ῥαβδούχοις τε τέσσαρσι καὶ εἴκοσι καὶ τῇ στολῇ τῇ ἐπι-
νικίῳ, ὅταν ἐς τὸ βουλευτήριον ἐσίῃ, χρῆσθαι ἔλαβεν. τόν τε Ὀκ- 4
τώβριον Δομιτιανὸν ἀντωνόμασεν, ὅτι ἐν αὐτῷ ἐγεγέννητο. τοῖς δὲ
ἁρματηλάταις δύο γένη ἕτερα, τὸ μὲν χρυσοῦν τὸ δὲ πορφυροῦν
ὀνομάσας, προσκατέστησεν. τοῖς τε θεωμένοις συχνὰ διὰ τῶν σφαι-
ρίων ἐδίδου, καί ποτε καὶ ἐδείπνισεν αὐτοὺς κατὰ χώραν καθημέ-
νους, οἶνόν τέ σφισι πολλαχῇ ῥέοντα νυκτὸς παρέσχεν. ἃ δὴ τοῖς 5
μὲν πολλοῖς ἐν ἡδονῇ, ὡς εἰκός, ἦν, τοῖς δὲ δυνατοῖς ὀλέθρου αἴτια
καθίστατο· οὐ γὰρ ἔχων ὁπόθεν ἀναλώσει, συχνοὺς ἐφόνευε, τοὺς
μὲν ἐσάγων ἐς τὸ βουλευτήριον, τῶν δὲ καὶ ἀπόντων κατηγορῶν.
ἤδη δὲ καὶ ἐξ ἐπιβουλῆς ἐνίους λαθραίοις φαρμάκοις ἀπήλλασσεν.

4 1 1 post Ἰουλίᾳ (3 2 3) Z p. 500: καὶ μετὰ ταῦτα εἰς Γαλατίαν ἐξορμήσας, καὶ λεηλατήσας τινὰ τῶν πέραν Ῥήνου τῶν ἐνσπόνδων, ὠγκοῦτο ὥς τι μέγα κατωρθωκώς, καὶ τοῖς στρατιώταις ἐπηύξησε τὴν μισθοφοράν, τάχα διὰ τὴν νίκην· πέντε γὰρ καὶ ἑβδομήκοντα δραχμὰς ἑκάστου λαμβάνοντος ἑκατὸν ἐκέλευσε δίδοσθαι. μεταμεληθεὶς δὲ τὴν μὲν ποσότητα οὐκ ἐμείωσε, τὸ δὲ πλῆθος τῶν στρατευομένων συνέστειλε. καὶ ἑκατέρωθεν μεγάλα τὸ δημόσιον ἔβλαψε, μήθ᾽ ἱκανοὺς τοὺς ἀμύνοντας αὐτῷ καὶ τούτους μεγαλομίσθους ποιήσας. 2 2 κολακεύεσθαι καὶ μὴ κολακεύεσθαι? 4 " " V p. 706 6 καίτοι?* 4 1 πολλοὶ δὲ τῶν ὑποτελῶν Ῥωμαίοις ἀφίσταντο χρήματα βιαίως πρασσόμενοι, ὡς καὶ οἱ Νασαμῶνες· τούς τε γὰρ τῶν χρημάτων πράκτορας ἔφθειραν, καὶ τὸν Νουμιδίας ἄρχοντα Φλάκκον ἐπελθόντα σφίσιν ἥττησαν οὕτως ὡς πορθῆσαι καὶ τὸ στρατόπεδον. εὑρόντες δὲ ἐν αὐτῷ τἆλλά τε ἐπιτήδεια καὶ οἶνον ἐμπλησθέντες ὕπνωσαν, καὶ γνοὺς ὁ Φλάκκος τοῦτο ἐπέθετο αὐτοῖς καὶ πάντας ἀπώλεσε καὶ τοὺς ἀπομάχους διέφθειρεν ἅπαντας. ἐφ᾽ ᾧ ὁ Δομιτιανὸς ἐπαρθεὶς εἶπε πρὸς τὴν βουλὴν ὅτι Νασαμῶνας ἐκώλυσα εἶναι. ἤδη γὰρ καὶ θεὸς ἠξίου νομίζεσθαι, καὶ δεσπότης καλούμενος καὶ θεὸς ὑπερηγάλλετο. Z 2 πορφυροῦν] ἀργυροῦν

Digitized by Google

5 "ὅτι Χαριόμηρος ὁ τῶν Χερούσκων βασιλεύς, ὑπὸ Χάττων ἐκ τῆς ἀρχῆς διὰ τὴν πρὸς Ῥωμαίους φιλίαν ἐκπεσών, τὸ μὲν πρῶτον ἑταίρους τινὰς παρέλαβε καὶ κρείττων ἐν τῇ καθόδῳ ἐγένετο, ἔπειτα ἐγκαταλειφθεὶς ὑπ' αὐτῶν ἐπειδὴ ὁμήρους τοῖς Ῥωμαίοις ἔπεμψε, τὸν Δομιτιανὸν ἱκέτευσε καὶ συμμαχίας μὲν οὐκ ἔτυχε, χρήματα δὲ ἔλαβεν. U p. 399.

2 "ὅτι ἐν τῇ Μυσίᾳ Λύγιοι Σουήβοις τισὶ πολεμωθέντες πρέσβεις ἔπεμψαν, αἰτοῦντες συμμαχίαν παρὰ Δομιτιανοῦ, καὶ ἔλαβον οὐ τῷ πλήθει ἰσχυρὰν ἀλλὰ τῷ ἀξιώματι· ἑκατὸν γὰρ ἱππεῖς μόνοι αὐτοῖς ἐδόθησαν. ἀγανακτήσαντες ἐπὶ τούτῳ οἱ Σουῆβοι προσπαρέλαβον Ἰάζυγας, καὶ προπαρεσκευάζοντο ὡς καὶ μετ' αὐτῶν τὸν Ἴστρον διαβησόμενοι. ib.

3 "ὅτι Μάσυος ὁ Σεμνόνων βασιλεὺς καὶ Γάννα παρθένος (ἦν δὲ μετὰ τὴν Ὀὐελήδαν ἐν τῇ Κελτικῇ θειάζουσα) ἦλθον πρὸς τὸν Δομιτιανόν, καὶ τιμῆς παρ' αὐτοῦ τυχόντες ἀνεκομίσθησαν. U p. 400.

6 μέγιστος δὲ δὴ πόλεμος Ῥωμαίοις τότε πρὸς τοὺς Δακοὺς
a.C. 86 ἐγένετο, ὧν τότε Δεκέβαλος ἐβασίλευεν δεινὸς μὲν συνεῖναι τὰ πολέμια δεινὸς δὲ καὶ πρᾶξαι, καὶ ἐπελθεῖν εὔστοχος ἀναχωρῆσαι καίριος, ἐνέδρας τεχνίτης μάχης ἐργάτης, καὶ καλῶς μὲν νίκῃ χρήσασθαι καλῶς δὲ καὶ ἧτταν διαθέσθαι εἰδώς· ἀφ' οὗ δὴ καὶ ἀντα-
2 γωνιστὴς ἀξιόμαχος ἐπὶ πολὺ τοῖς Ῥωμαίοις ἐγένετο. Δακοὺς δὲ αὐτοὺς προσαγορεύω, ὥσπερ που καὶ αὐτοὶ ἑαυτοὺς καὶ οἱ Ῥωμαῖοί σφας ὀνομάζουσιν, οὐκ ἀγνοῶν ὅτι Ἑλλήνων τινὲς Γέτας αὐτοὺς λέγουσιν, εἴτ' ὀρθῶς εἴτε καὶ μὴ λέγοντες· ἐγὼ γὰρ οἶδα Γέτας τοὺς
3 ὑπὲρ τοῦ Αἵμου παρὰ τὸν Ἴστρον οἰκοῦντας. ὁ Δομιτιανὸς μὲν οὖν ἐξεστρατεύσατο μὲν ἐπ' αὐτούς, οὐ μέντοι καὶ τοῦ πολέμου προσήψατο, "ἀλλ' ἐν πόλει τινὶ Μυσίας ὑπομείνας ὕβριζεν ὥσπερ εἰώθει·" οὐ γὰρ ὅτι τό τε σῶμα ἄπονος καὶ τὴν ψυχὴν ἄτολμος, ἀλλὰ καὶ ἀσωτότατος καὶ ἀσελγέστατος καὶ πρὸς γυναῖκας καὶ πρὸς μειράκια ἦν. ἄλλους δὲ πέμπων ἐς τὸν πόλεμον στρατηγοὺς τὰ πλείω κακῶς ἀπήλλασσεν.

4 "ὅτι ὁ αὐτὸς πταίσας τοῖς στρατιάρχαις ἐπεκάλει. τὰ μὲν γὰρ ἀμείνω πάντα, καίτοι μηδὲν αὐτῶν πράττων, προσεποιεῖτο, τῶν δὲ δὴ χειρόνων ἑτέρους, εἰ καὶ ἐκ τῆς ἐκείνου τι κελεύσεως συνεβεβήκει, ᾐτιᾶτο. καὶ ἐμίσει μὲν τοὺς κατορθώσαντάς τι, ἐμέμφετο δὲ τοὺς πταίσαντας. V p. 709.

7 "ὅτι ὁ Δομιτιανὸς Κουάδους καὶ Μαρκομάνους ἀμύνασθαι,
a.C. 90

5 2 1 πολεμηθέντες* 6 1 1 ὅτι Λούρας, οὗ ἡ ἡγεμονία ἐγίγνετο, ἑκὼν αὐτῆς παρεχώρησε τῷ Δεκεβάλῳ, ὅτι δεινὸς μὲν σ. τ. π. ἦν δεινὸς — V p. 709 3 3 " " V

ὅτι μὴ ἐβοήθησάν οἱ κατὰ Δακῶν, ἠθέλησε, καὶ ἦλθεν ἐς Παννο-
νίαν σφίσι πολεμήσων, καὶ τοὺς πρεσβευτὰς τοὺς δευτέρους, οὓς
ἔπεμψαν ὑπὲρ εἰρήνης, ἀπέκτεινεν. U p. 399.

Ὅτι ὁ Δομιτιανὸς ἡττηθεὶς ὑπὸ Μαρκομάνων καὶ φυγὼν ἔπεμψε 2
διὰ ταχέων πρὸς τὸν Δεκέβαλον τὸν Δακῶν βασιλέα, καὶ ἐς σπον-
δὰς αὐτὸν ὑπηγάγετο, ἃς πολλάκις αἰτήσαντι αὐτῷ πρότερον οὐκ
ἐδεδώκει. καὶ ὃς ἐδέξατο μὲν τὴν σύμβασιν (δεινῶς γὰρ ἐτεταλαι-
πώρητο), οὐ μέντοι καὶ αὐτὸς ἠθέλησεν ἐς λόγους αὐτῷ ἐλθεῖν, ἀλλ'
ἔπεμψε τὸν Διῆγιν μετὰ τῶν ἀνδρῶν, τά τε ὅπλα καὶ αἰχμαλώτους
τινάς, ὡς καὶ μόνους ἐκείνους ἔχων, δώσοντα. γενομένου δὲ τούτου 3
ὁ Δομιτιανὸς τῷ Διήγιδι διάδημα ἐπέθηκε καθάπερ ὡς ἀληθῶς
κεκρατηκὼς καὶ βασιλέα τινὰ τοῖς Δακοῖς δοῦναι δυνάμενος, καὶ
τοῖς στρατιώταις καὶ τιμὰς καὶ ἀργύριον ἐχαρίσατο, καὶ ἐς τὴν
Ῥώμην ὡς νενικηκὼς ἀπέστειλε τά τε ἄλλα καὶ πρέσβεις παρὰ τοῦ
Δεκεβάλου ἐπιστολήν τε, ὥς γε ἔφασκεν, ἣν ἐλέγετο πεπλακέναι.
καὶ πολλοῖς τὴν ἑορτὴν πομπείοις ἐκόσμησεν οὐκ ἐξ ὧν εἷλεν (πᾶν 4
γὰρ τοὐναντίον καὶ προσανάλωσε ταῖς σπονδαῖς, συχνὰ μὲν καὶ
αὐτίκα χρήματα καὶ δημιουργοὺς παντοίας τέχνης καὶ εἰρηνικῆς καὶ
πολεμικῆς τῷ Δεκεβάλῳ δούς, συχνὰ δὲ καὶ ἀεὶ δώσειν ὑποσχόμε-
νος) ἀλλ' ἐκ τῶν βασιλικῶν ἐπίπλων· τούτοις γὰρ ὡς καὶ αἰχμα-
λώτοις ἀεί ποτε ἐχρῆτο, ἅτε καὶ τὴν ἀρχὴν αὐτὴν δεδουλωμένος.
U p. 400.

καὶ τοσαῦτα αὐτῷ ἐψηφίσθη ὥστε πᾶσαν ὀλίγου δεῖν τὴν οἰ- 8
κουμένην τὴν ὑπ' αὐτὸν οὖσαν εἰκόνων αὐτοῦ καὶ ἀνδριάντων καὶ
ἀργυρῶν καὶ χρυσῶν ἐμπλησθῆναι. ἐποίησε δὲ καὶ θέαν πολυτελῆ, a.C. 91
ἐν ᾗ ἄλλο μὲν οὐδὲν ἐς ἱστορίαν ἐπίσημον παρελάβομεν, πλὴν ὅτι
καὶ παρθένοι τῷ δρομικῷ ἠγωνίσαντο· μετὰ δὲ ταῦτα ἑορτάς τινας
νικητηρίους δῆθεν ἐπιτελῶν ἀγῶνας συχνοὺς ἐποίησεν. τοῦτο μὲν 2
γὰρ ἐν τῷ ἱπποδρόμῳ μάχας καὶ πεζῶν πρὸς ἀλλήλους καὶ ἱππέων
αὖ συνέβαλεν, τοῦτο δὲ καὶ ἐν καινῷ τινὶ χωρίῳ ναυμαχίαν ἐπετέ-
λεσεν. καὶ ἀπέθανον ἐν αὐτῇ πάντες μὲν ὀλίγου δεῖν οἱ ναυμαχή-
σαντες, συχνοὶ δὲ καὶ ἐκ τῶν θεωμένων· ὑετοῦ γὰρ πολλοῦ καὶ 3
χειμῶνος σφοδροῦ ἐξαίφνης γενομένου οὐδενὶ ἐπέτρεψεν ἐκ τῆς θέας
ἀπαλλαγῆναι, ἀλλ' αὐτὸς μανδύας ἀλλασσόμενος ἐκείνους οὐδὲν
εἴασε μεταβαλεῖν, καὶ ἐκ τούτου ἐνόσησαν οὐκ ὀλίγοι καὶ ἐτελεύτη-
σαν. ἐφ' ᾧ που παραμυθούμενος αὐτοὺς δεῖπνόν σφισι δημοσίᾳ 4
διὰ πάσης τῆς νυκτὸς παρέσχεν. πολλάκις δὲ καὶ τοὺς ἀγῶνας νύ-
κτωρ ἐποίει, καὶ ἔστιν ὅτε καὶ νάνους καὶ γυναῖκας συνέβαλλεν.

2 6 μετ' ἀνδρῶν κομητῶν?* et deest numerus 4 1 πάντα
8 4 3 νόννας

Digitized by Google

9 τὸ μὲν οὖν πλῆθος οὕτω τότε ἐδείπνισεν, αὖθις δὲ τοὺς πρώ-
τους τῆς γερουσίας καὶ τῶν ἱππέων τόνδε τὸν τρόπον. οἶκον με-
λάντατον ἁπανταχόθεν ἔκ τε τῆς ὀροφῆς καὶ ἐκ τῶν τοίχων τοῦ τ'
ἐδάφους παρασκευάσας, καὶ κλισίας ἐπ' αὐτοῦ τοῦ δαπέδου γυμνὰς
ὁμοίας ἑτοιμάσας, ἐσεκάλεσεν αὐτοὺς μόνους νυκτὸς ἄνευ τῶν ἀκο-
2 λούθων. καὶ πρῶτον μὲν στήλην ταφοειδῆ ἑκάστῳ σφῶν παρέστησε,
τό τε ὄνομα αὐτοῦ ἔχουσαν καὶ λυχνοῦχον μικρόν, οἷος ἐν τοῖς μνη-
μείοις κρεμάννυται· ἔπειτα παῖδες εὐπρεπεῖς γυμνοί, μέλανι καὶ αὐ-
τοὶ κεχρισμένοι, ἐσῆλθον ὥσπερ εἴδωλα, καὶ περιελθόντες αὐτοὺς
3 μετ' ὀρχήσεώς τινος φοβερᾶς πρὸ ποδῶν ἱδρύθησαν· καὶ μετὰ τοῦτο
πάνθ' ὅσα περ ἐν τοῖς ἐναγίσμασι καθαγίζεται, καὶ ἐκείνοις μέλανα
ἐν σκεύεσιν ὁμοίοις προσηνέχθη, ὥστε καὶ φοβεῖσθαι καὶ τρέμειν
καθ' ἕκαστον αὐτῶν πάντας, ἀεί τε ὅσον οὐκ ἤδη σφαγήσεσθαι
προσδέχεσθαι, ἄλλως τε καὶ ὅτι παρά τε τῶν ἄλλων σιωπὴ πολλὴ
ὥσπερ ἐν τεθνηκόσιν ἤδη ἦν, καὶ αὐτὸς ὁ Δομιτιανὸς πάντα ἔς τε
4 θανάτους καὶ ἐς σφαγὰς φέροντα διελάλει. τέλος δὲ ἀφῆκε μὲν
αὐτούς, προαπαλλάξας δὲ δὴ τοὺς οἰκέτας σφῶν τοὺς ἐν τοῖς προ-
θύροις ἑστηκότας, δι' ἑτέρων τινῶν ἀγνώστων τοὺς μὲν ὀχήμασι
τοὺς δὲ φορείοις παραδοὺς πολὺ πλέον δέος αὐτοῖς ἐνέβαλεν. ἄρτι
δὲ ἕκαστός σφων οἴκαδε ἐσεληλύθει καὶ τρόπον τινὰ ἀναπνεῖν ἤρ-
5 χετο, καὶ αὐτῷ ἐσηγγέλθη ὅτι παρὰ τοῦ Αὐγούστου τις ἥκοι. προσ-
δοκώντων τε ἐκ τούτου τότε δὴ πάντως ἀπολεῖσθαι, ἐσεκόμισέ τις
τὴν στήλην ἀργυρᾶν οὖσαν, εἶτ' ἄλλος ἄλλο τι καὶ ἕτερος ἕτερον
τῶν σκευῶν τῶν ἐν τῷ δείπνῳ παρατεθέντων, πολυτελεστάτου τι-
νὸς γένους πεποιημένα· καὶ τέλος ὁ παῖς ἐκεῖνος, τὸ δαιμόνιον ἑκά-
στῳ, λελουμένος τε καὶ κεκοσμημένος... καὶ οὕτω διὰ πάσης τῆς
νυκτὸς φοβούμενοι τὰ δῶρα ἔλαβον.

6 ὁ μὲν οὖν Δομιτιανὸς τοιαῦτα νικητήρια, ἢ ὥς γε ὁ ὅμιλος
ἔλεγε, τοιούτους ἐναγισμοὺς ἐπί τε τοῖς ἐν τῇ Δακίᾳ καὶ ἐπὶ τοῖς
ἐν τῇ Ῥώμῃ τεθνηκόσιν ἐποίησεν, καί τινας καὶ τότε τῶν πρώτων
ἀπέσφαξεν, τοῦ τε θάψαντος τὸ σῶμα ἑνὸς αὐτῶν, ὅτι ἐν τοῖς
10 ἐκείνου χωρίοις ἐτεθνήκει, τὴν οὐσίαν ἀφείλετο· ἐν δὲ τῷ Δακικῷ
πολέμῳ καὶ τάδε συνεκύρησεν ἀξιόλογα. ὁ γὰρ Ἰουλιανὸς ἐπιταχθεὶς
ὑπὸ τοῦ αὐτοκράτορος τῷ πολέμῳ τἄλλά τε παρεσκευάσατο εὖ, καὶ
τοὺς στρατιώτας τά τε ἑαυτῶν ὀνόματα καὶ τὰ τῶν ἑκατοντάρχων
ἐπὶ τὰς ἀσπίδας ἐπιγράψαι ἐκέλευσεν, ἵνα ἐκφανέστεροι οἵ τι ἀγα-
2 θὸν αὐτῶν ἢ κακὸν ποιοῦντες γένωνται. συμβαλὼν δὲ ἐν ταῖς Τά-
παις τοῖς πολεμίοις πλείστους αὐτῶν ἀπέκτεινεν· ἐν οἷς καὶ Οὐεζίνας,
τὰ δεύτερα μετὰ Δεκέβαλον ἔχων, ἐπειδὴ οὐκ ἠδυνήθη διαφυγεῖν
ζῶν, πέπτωκεν ἐξεπίτηδες ὡς καὶ τετελευτηκώς, κἀκ τούτου λαθὼν

Digitized by Google

τῆς νυκτὸς ἔφυγεν. δείσας οὖν ὁ Δεκέβαλος μὴ καὶ ἐπὶ τὰ βασί- 3
λεια αὐτοῦ οἱ Ῥωμαῖοι ἅτε κεκρατηκότες ὁρμήσωσι, τά τε δένδρα
τὰ ἐπ' αὐτῶν ὄντα ἔκοψε καὶ ὅπλα τοῖς στελέχεσι περιέθηκεν, ἵνα
φοβηθέντες ὡς καὶ στρατιωτῶν ὄντων ἀναχωρήσωσιν· ὃ καὶ ἐγένετο.

Ἀντώνιος δέ τις ἐν Γερμανίᾳ ἄρχων κατὰ τοῦτον τὸν χρόνον 11
τῷ Δομιτιανῷ ἐπανέστη, ὃν Λούκιος Μάξιμος κατηγωνίσατο καὶ
καθεῖλεν· ὃς ἐπὶ μὲν τῇ νίκῃ οὐδὲν μέγα ἄξιός ἐστιν ἐπαινεῖσθαι
("πολλοὶ γάρ που καὶ ἄλλοι παρὰ δόξαν ἐνίκησαν, οἵ τε στρατιῶ-
ται αὐτῷ συνηγωνίσαντο")· ὅτι δὲ τὰ γράμματα ὅσα ἐν τοῖς τοῦ 2
Ἀντωνίου κιβωτίοις εὑρέθη, παρὰ βραχὺ τὴν ἑαυτοῦ ἀσφάλειαν
πρὸς τὸ μηδένα ἐξ αὐτῶν συκοφαντηθῆναι θέμενος ἔκαυσεν, οὐχ
ὁρῶ πῶς ἂν αὐτὸν ἀξίως ὑμνήσαιμι. ὁ δὲ Δομιτιανὸς ἀφορμῆς
ἐντεῦθεν εὐπορήσας, ἐπὶ τοὺς φόνους καὶ τῶν γραμμάτων χωρὶς
ὁρμήσας, οὐδ' ἂν εἴποι τις ὅσους ἀπέκτεινεν. "οὕτω γὰρ δὴ καὶ 3
αὐτὸς ἑαυτοῦ ἐπὶ τούτῳ κατέγνω ὥσθ', ἵνα μηδεμία μνήμη τῶν
θανατουμένων ὑπολειφθῇ, ἐκώλυσέ σφας ἐς τὰ ὑπομνήματα ἐσγρα-
φῆναι. οὐ μὴν οὐδὲ περὶ τῶν ἀναιρεθέντων τῇ βουλῇ τι ἐπέστειλε,
καίπερ τὰς κεφαλὰς αὐτῶν, ὥσπερ τὴν τοῦ Ἀντωνίου, πέμψας ἐς
τὴν Ῥώμην καὶ ἐς τὴν ἀγορὰν ἐκθείς." εἷς δ' οὖν τις νεανίσκος 4
Ἰούλιος Καλουάστρος, κεχιλιαρχηκὼς ἐς βουλείας ἐλπίδα, παραδοξό-
τατα ἐσώθη. ἐπειδὴ γὰρ πολλάκις κατὰ μόνας συμμεμιχὼς ἠλέγ-
χετο, καὶ οὐκ εἶχεν ὅπως ἄλλως τὴν αἰτίαν τῆς συνωμοσίας ἀπο-
λύσηται, ἔφη κατ' ἐρωτικὴν χρείαν αὐτῷ συγγεγονέναι· καὶ γὰρ ἦν
οἷός ἐρᾶσθαι δύνασθαι. καὶ ὁ μὲν οὕτως ἀφείθη, ἐγὼ δ' ἓν ἔτι
τοῦτο εἰπὼν περὶ τῶν τότε γενομένων παύσομαι. Λουκιανὸς Πρό- 5
κλος βουλευτὴς γέρων, ἐν ἀγρῷ τὰ πολλὰ διατρίβων, συνεξῆλθε μὲν
αὐτῷ ἐκ τῆς Ῥώμης καταναγκάσαντι, ἵνα μὴ δόξῃ κινδυνεύοντα
αὐτὸν προλιπεῖν καὶ διὰ τοῦτο καὶ ἀποθάνῃ, τῆς δ' ἀγγελίας ἐλ-
θούσης ἔφη τε "ἐνίκησας, αὐτοκράτορ, ὥσπερ ηὐχόμην· ἀπόδος
οὖν με τῷ ἀγρῷ", καὶ ἐγκαταλιπὼν αὐτὸν ἀπῆλθεν ἐς τὸ χωρίον, καὶ
οὐκέτι μετὰ τοῦτο, καίτοι πολὺν ἐπιζήσας χρόνον, προσῆλθεν αὐτῷ.

ἐν δὲ τῷ χρόνῳ τούτῳ ἐπετήδευσάν τινες, φαρμάκῳ βελόνας 6
χρίοντες, κεντεῖν αὐταῖς οὓς ἐβούλοντο· καὶ πολλοὶ μὲν ἐκείνων μηδὲ
αἰσθόμενοι ἔθνησκον, πολλοὶ δὲ καὶ μηνυθέντες ἐτιμωρήθησαν. καὶ
τοῦτο οὐκ ἐν τῇ Ῥώμῃ μόνον ἀλλὰ καὶ ἐν πάσῃ ὡς εἰπεῖν τῇ οἰ-
κουμένῃ ἐγένετο.

Τραϊανῷ δὲ δὴ τῷ Οὐλπίῳ καὶ Ἀκιλίῳ Γλαβρίωνι ὑπατεύσασι 12

11 1 4 " " V p. 709 3 1 ib. praemissis his: ὅτι τὸ σύμπαν πλῆθος τῶν ὑπὸ Δομιτιανοῦ κολασθέντων οὐδ' ἂν εὑρεῖν τις δυνηθείη 4 3 μόνας οἱ σ.?* 6 ἐγὼ δ' om

τότε τὰ αὐτὰ σημεῖα λέγεται γενέσθαι· καὶ ἀπ' αὐτῶν τῷ μὲν Γλα-
βρίωνι ὄλεθρος, τῷ δὲ Τραϊανῷ ἡ τῆς αὐτοκρατορίας ἀρχὴ προερ-
ρέθη. "συχνοὶ δὲ καὶ ἄνδρες καὶ γυναῖκες τῶν πλουσίων ἐπὶ μοι-
2 χείᾳ ἐκολάσθησαν, ὧν ἔνιαι καὶ ὑπ' αὐτοῦ ἐμοιχεύθησαν. καὶ ἄλλαις
δ' αἰτίαις πολλοὶ καὶ ἐζημιώθησαν καὶ ἀπέθανον·" γυνὴ γάρ τις
ὅτι ἀπεδύσατο ἐναντίον εἰκόνος τοῦ Δομιτιανοῦ, ἐκρίθη τε καὶ ἀπώ-
λετο, "καὶ ἕτερος ὡς ἀστρολόγοις ὡμιληκώς." ἐν δὲ τοῖς τότε τε-
3 λευτήσασι πολλοῖς οὖσι καὶ Μέτιος Πομπουσιανὸς ἐγένετο, ὃν ὁ
μὲν Οὐεσπασιανὸς μαθὼν ἐκ φήμης τινὸς ὅτι μοναρχήσει οὐδὲν κα-
κὸν εἰργάσατο, ἀλλὰ καὶ ἐτίμα, λέγων ὅτι πάντως μου μνημονεύσει
καὶ πάντως με ἀντιτιμήσει· ἐκεῖνος δὲ πρότερον μὲν ἐς Κύρνον
4 ἐξώρισε, τότε δὲ καὶ ἐφόνευσεν, ἐγκληθέντα ἄλλα τε καὶ ὅτι τὴν
οἰκουμένην ἐν τοῖς τοῦ κοιτῶνος τοίχοις εἶχεν ἐγγεγραμμένην, καὶ
τὰς δημηγορίας τὰς τῶν βασιλέων τῶν τε ἄλλων ἀνδρῶν τῶν πρώ-
των, τὰς παρὰ τῷ Λιβίῳ γεγραμμένας, ἐξειλόχει τε καὶ ἀνεγίνωσκεν.
5 Μάτερνον δὲ σοφιστήν, ὅτι κατὰ τυράννων εἶπέ τι ἀσκῶν, ἀπέκτει-
νεν. συνεγίνετο δὲ καὶ αὐτὸς τοῖς κατηγορήσουσι καὶ τοῖς κατα-
μαρτυρήσουσι, καὶ συνέπλαττε καὶ συνετίθει πάνθ' ὅσα λεχθῆναι
ἔδει. καὶ πολλάκις καὶ τοῖς δεσμώταις κατὰ μόνας ἐλάλει, τὰ δεσμὰ
αὐτῶν ἐν ταῖς χερσὶ κατέχων· οὔτε γὰρ ἄλλοις τὰ λεχθησόμενα
ἐπίστευε, καὶ ἐκείνους καὶ δεδεμένους ἐδεδίει.

13 ἔπραξε δέ τι καὶ ὡς τιμητὴς ἀξιόλογον· Καικίλιον γὰρ Ῥου-
a.C. 94 φῖνον ἀπήλασεν ἐκ τοῦ συνεδρίου, ὅτι ὠρχεῖτο, Κλαύδιόν τε Πα-
κᾶτον τῷ δεσπότῃ καίπερ ἑκατονταρχηκότα ἀπέδωκεν, ὅτι ἠλέγχθη
2 δοῦλος ὤν. οὐ μὴν καὶ τὸ μέλλον ῥηθῆναι τούτοις ὅμοιόν ἐστιν,
ὅπερ ὡς αὐτοκράτωρ ἐπεποιήκει· τὸν γὰρ δὴ Ῥούστικον τὸν Ἀρου-
λῆνον ἀπέκτεινεν ὅτι ἐφιλοσόφει καὶ ὅτι τὸν Θρασέαν ἱερὸν ὠνό-
μαζε, καὶ Ἑρέννιον Σενεκίωνα ὅτι τε οὐδεμίαν ἀρχὴν ἐν πολλῷ βίῳ
μετὰ τὴν ταμιείαν ᾐτήκει καὶ ὅτι τοῦ Πρίσκου τοῦ Ἑλουιδίου τὸν
3 βίον συνέγραψεν. ἄλλοι τε ἐκ τῆς αὐτῆς ταύτης τῆς κατὰ τὴν φι-
λοσοφίαν αἰτίας συχνοὶ διώλοντο, καὶ οἱ λοιποὶ πάντες ἐξηλάθησαν
αὖθις ἐκ τῆς Ῥώμης. Ἰουουέντιος μέντοι τις Κέλσος συνομόσας τε
ἀνὰ πρώτους μετά τινων ἐπ' αὐτῷ καὶ κατηγορηθεὶς ἐπὶ τούτῳ
4 θαυμαστῶς ἐσώθη. μέλλων γὰρ ἁλίσκεσθαι ᾐτήσατο δι' ἀπορρή-
των εἰπεῖν τι αὐτῷ, κἀν τούτῳ προσκυνήσας αὐτῷ, δεσπότην τε
καὶ θεόν, ἃ παρὰ τῶν ἄλλων ἤδη προσηγορεύετο, πολλάκις ὀνομά-
σας, "οὐδὲν μὲν" ἔφη "πεποίηκα τοιοῦτον, ἂν δ' ἀναβολὴν λάβω,
πολυπραγμονήσω πάντα, καὶ συχνούς σοι καὶ μηνύσω καὶ ἐξελέγξω."

12 1 4 et 2 4 " " Z p. 501    3 3 ἀλλὰ] ὅτι    13 4 2 πρ. αὐτῷ] πρ. οἱ?*

ἀφεθείς τε ἐπὶ τούτῳ οὔτε ἐνέδειξέ τινα, καὶ ἄλλοτε ἄλλας προφάσεις προτείνων διήγαγε μέχρις οὗ Δομιτιανὸς ἀπέθανεν.

ἐν τούτῳ τῷ χρόνῳ ἡ ὁδὸς ἡ ἀπὸ Σινοέσσης ἐς Ποντεόλους 14
ἄγουσα λίθοις ἐστορέσθη. κἀν τῷ αὐτῷ ἔτει ἄλλους τε πολλοὺς a.C. 95
καὶ τὸν Φλάβιον τὸν Κλήμεντα ὑπατεύοντα, καίπερ ἀνεψιὸν ὄντα καὶ γυναῖκα καὶ αὐτὴν συγγενῆ ἑαυτοῦ Φλαβίαν Δομιτίλλαν ἔχοντα,
κατέσφαξεν ὁ Δομιτιανός. ἐπηνέχθη δὲ ἀμφοῖν ἔγκλημα ἀθεότητος, 2
ὑφ᾽ ἧς καὶ ἄλλοι ἐς τὰ τῶν Ἰουδαίων ἤθη ἐξοκέλλοντες πολλοὶ κατεδικάσθησαν, καὶ οἱ μὲν ἀπέθανον, οἱ δὲ τῶν γοῦν οὐσιῶν ἐστε-
ρήθησαν· ἡ δὲ Δομιτίλλα ὑπερωρίσθη μόνον ἐς Πανδατερίαν. τὸν 3
δὲ δὴ Γλαβρίωνα τὸν μετὰ τοῦ Τραϊανοῦ ἄρξαντα, κατηγορηθέντα τά τε ἄλλα καὶ οἷα οἱ πολλοὶ καὶ ὅτι καὶ θηρίοις ἐμάχετο, ἀπέκτεινεν. ἐφ᾽ ᾧ που καὶ τὰ μάλιστα ὀργὴν αὐτῷ ὑπὸ φθόνου ἔσχεν, ὅτι ὑπατεύοντα αὐτὸν ἐς τὸ Ἀλβανὸν ἐπὶ τὰ νεανισκεύματα ὠνομασμένα καλέσας λέοντα ἀποκτεῖναι μέγαν ἠνάγκασε, καὶ ὃς οὐ μόνον οὐδὲν ἐλυμάνθη ἀλλὰ καὶ εὐστοχώτατα αὐτὸν κατειργάσατο.

ὑποπτεύων οὖν ἐκ τούτων πάντας ἀνθρώπους οὐκέτ᾽ οὐδὲ ἐν 4
τοῖς ἐξελευθέροις, ὥσπερ οὐδὲ ἐν τοῖς ἐπάρχοις, οὕς γε καὶ παρ᾽ αὐτὴν τὴν ἡγεμονίαν κρίνεσθαι ἐποίει, ἐλπίδα ἀσφαλείας εἶχεν. καὶ τὸν Ἐπαφρόδιτον δὲ τὸν Νέρωνος πρότερον μὲν ἐξεδίωξε τότε δὲ καὶ ἔσφαξεν, ἐπικαλέσας αὐτῷ ὅτι μὴ ἤμυνε τῷ Νέρωνι, ἵν᾽ ἐκ τῆς τιμωρίας, ἣν ὑπὲρ ἐκείνου ἐποιεῖτο, πόρρωθεν τοὺς ἰδίους ἐξελευ-
θέρους ἐκφοβήσῃ μηδὲν τοιοῦτο τολμῆσαι. οὐ μὴν ὠφελήθη τι ἐκ 5
τούτου, ἀλλὰ καὶ ἐπεβουλεύθη τῷ ἑξῆς ἔτει ἐπί τε Γαΐου Οὐάλεν- a.C. 96
τος, ὃς ἐνενηκοστῷ ἔτει ὑπατεύσας ἐτελεύτησε, καὶ ἐπὶ Γαΐου Ἀν-
τιστίου ὑπάτων, καὶ ἀπώλετο. ἐπέθεντο δὲ αὐτῷ καὶ συνεσκευάσαντο 15
τὴν πρᾶξιν Παρθένιός τε ὁ πρόκοιτος αὐτοῦ, καίπερ οὕτω τιμώμενος παρ᾽ αὐτοῦ ὡς καὶ ξιφηφορεῖν, καὶ Σιγηρὸς ἐν τῇ προκοιτίᾳ καὶ αὐτὸς ὤν, Ἔντελλός τε ὁ τὰ τῆς ἀρχῆς βιβλία διέπων μετὰ
Στεφάνου ἀπελευθέρου. καὶ αὐτὸ οὔτε ἡ Δομιτία ἡ γυνὴ αὐτοῦ 2
οὔτε δὲ ὁ Νωρβανὸς ὁ ἔπαρχος οὐδ᾽ ὁ σύναρχος Πετρώνιος Σεκοῦνδος ἠγνόησαν, ὥς γε καὶ λέγονται· ἥ τε γὰρ Δομιτία ἀεί ποτε ὑπ᾽ αὐτοῦ ἐμισεῖτο καὶ διὰ τοῦτ᾽ ἐφοβεῖτο μὴ καὶ ἀποθάνῃ, καὶ οἱ ἄλλοι οὐκέτ᾽ αὐτὸν ἐφίλουν, οἱ μὲν ὅτι ἐνεκαλοῦντό τινα, οἱ δ᾽
ὅτι προσεδέχοντο. ἤκουσα δὲ ἔγωγε καὶ ἐκεῖνο, ὅτι πάντας ἅμα 3
αὐτοὺς ὁ Δομιτιανὸς ὑποπτεύσας ἀποκτεῖναι ἠθέλησε, καὶ σφων τὰ ὀνόματα ἐς σανίδιον φιλύρινον δίθυρον ἐσγράψας ὑπὸ τὸ προσκεφάλαιον ἐν τῇ κλίνῃ ἐν ᾗ ἀνεπαύετο ὑπέθηκεν, καὶ αὐτὸ παιδίον τι

14 1 3 τὸν post Φ. om* 2 2 ἤθη 3 3 οἷα καὶ? 4 4 τοῦ Ν. 6 ἐλευθέροις 15 1 1 καὶ ante ἀπ. om* 3 Σιγήριος? 2 2 δὴ?*

Digitized by Google

τῶν γυμνῶν τῶν ψιθύρων καθεύδοντος αὐτοῦ μεθ' ἡμέραν ἀφελό-
4 μενον εἶχεν, οὐκ εἰδὸς ὅ τι φέροι, προστυχοῦσα δὲ αὐτῷ ἡ Δομιτία
τά τε γεγραμμένα ἀνέγνω καὶ ἐμήνυσε καὶ ἐκείνοις, κἀκ τούτου καὶ
ἄλλως διανοούμενοι συνετάχυναν τὴν ἐπιβουλήν. οὐ μέντοι πρότε-
ρον ἐπεχείρησαν ἔργῳ πρὶν τὸν διαδεξόμενον τὴν ἀρχὴν αὐτοῦ βε-
5 βαιώσασθαι. διελέξαντο μὲν δὴ καὶ ἄλλοις τισίν, μηδενὸς δὲ ἐκεί-
νων δεξαμένου (πάντες γὰρ αὐτοὺς ὡς διαπειρωμένους σφῶν ἐφο-
βήθησαν) ἐπὶ τὸν Νέρβαν ἦλθον, ἐπειδὴ καὶ εὐγενέστατος καὶ
ἐπιεικέστατος ἦν, καὶ προσέτι καὶ ἐκινδύνευσε διαβληθεὶς ὑπ' ἀστρο-
λόγων, "ὅτι μοναρχήσει φησάντων·" ἐξ οὗπερ ῥᾷον ἔπεισαν αὐτὸν
6 ἀναδέξασθαι τὴν ἡγεμονίαν. πάντως γὰρ καὶ ὁ Δομιτιανὸς τῶν
πρώτων τάς τε ἡμέρας καὶ τὰς ὥρας ἐν αἷς ἐγεγέννηντο διασκοπῶν,
οὐκ ὀλίγους κἀκ τούτου τῶν ἐλπιζομένων ἐν δυνάμει τινὶ ἔσεσθαι
προανήλισκεν· καὶ τόν γε Νέρβαν ἀπέσφαξεν ἄν, εἰ μή τις τῶν
ἀστρολόγων εὔνοιαν αὐτῷ ἔχων ἔφη ὅτι ἐντὸς ὀλίγων ἡμερῶν τε-
λευτήσει. "πιστεύσας γὰρ ὄντως τοῦτ' ἔσεσθαι, οὐκ ἠθέλησε κἀκεῖ-
νον πεφονευκέναι ὡς πάντως μετὰ μικρὸν τεθνηξόμενον. Z p. 505.
16 καὶ οὐ γάρ ἐστιν οὐδὲν τῶν τηλικούτων ἀπρόοπτον, ἄλλα τε
αὐτῷ σημεῖα ἐγένετο, καὶ αὐτὸς ἐν τῷ ὕπνῳ τόν τε Ῥούστικον ξίφει
προσιέναι οἱ, καὶ τὴν Ἀθηνᾶν, ἣν ἐν τῷ κοιτῶνι ἱδρυμένην εἶχε,
τὰ ὅπλα ἀποβεβληκέναι καὶ ἐπὶ ἅρματος ἵππων μελάνων ἐς χάσμα
ἐσπίπτειν ἔδοξεν. ὃ δὲ δὴ μάλιστα διὰ πάντων ἄξιον θαυμάσαι
2 ἐστί, Λαργῖνός τις Πρόκλος δημοσίᾳ προειπὼν ἐν Γερμανίᾳ ὅτι τῇ
ἡμέρᾳ ἐκείνῃ ἐν ᾗ ἀπέθανε τελευτήσει, ἀνεπέμφθη τε ἐς τὴν Ῥώ-
μην ὑπὸ τοῦ ἄρχοντος, καὶ ἐσαχθεὶς πρὸς τὸν Δομιτιανὸν ἔφη καὶ
τότε τοῦθ' οὕτως ἕξειν, καὶ καταδικασθεὶς τὴν ἐπὶ θανάτῳ ἀνε-
βλήθη τε ὅπως διαφυγόντος αὐτοῦ τὸν κίνδυνον ἀποθάνῃ, κἀν
τούτῳ τοῦ Δομιτιανοῦ σφαγέντος ἐσώθη καὶ δέκα μυριάδας δρα-
3 χμῶν παρὰ τοῦ Νέρβα ἔλαβεν. ἕτερός τέ τις πρότερόν ποτε εἰπὼν
αὐτῷ καὶ ὁπότε καὶ ὅπως φθαρήσεται, ἔπειτα ἐρωτηθεὶς ὁποίῳ
αὐτὸς τέλει τοῦ βίου χρήσεται, καὶ ἀποκρινάμενος ὅτι ὑπὸ κυνῶν
ἀναλωθήσεται, ἐκελεύσθη μὲν ζῶν κατακαυθῆναι καὶ τὸ πῦρ αὐτῷ
προσήχθη, ὑετοῦ δὲ ἐν τούτῳ πολλοῦ καταρρυέντος ἥ τε πυρὰ
ἐσβέσθη καὶ ἐκεῖνον κύνες ὀπίσω τὼ χεῖρε δεδεμένον καὶ ἐπικείμε-
νον ἐπ' αὐτῆς εὑρόντες διεσπάραξαν.
17 ἔχω δὲ καὶ ἄλλο τι εἰπεῖν παραδοξότατον, ὃ ἐπειδὰν περὶ τῆς
τελευτῆς αὐτοῦ φράσω, σημανῶ. ἐπειδὴ γὰρ τάχιστα ἐκ τοῦ δικα-
στηρίου ἀνέστη καὶ ἀναπαύσεσθαι τὸ μεθημερινόν, ὥσπερ εἰώθει,

5 5 " " Z p. 505   6 3 ὀλ. — ἐλπ. Z, ὀλ. οὐδὲ ἐκ τούτων ἐλπι-
ζόντων X   16 1 2 ξιφήρη?*   2 4 ἐπὶ θάνατον

Digitized by Google

ἔμελλε, πρῶτον μὲν τοῦ ξίφους, ὃ ἀεί ποτε ὑπὸ τῷ προσκεφαλαίῳ
αὐτοῦ ἔκειτο, τὸ σιδήριον ὁ Παρθένιος ἐξεῖλεν, ὅπως μὴ χρήσηται,
ἔπειτα τὸν Στέφανον ἐρρωμενέστερον τῶν ἄλλων ὄντα ἐσέπεμψεν·
καὶ ἐκεῖνος ἔπληξε μὲν τὸν Δομιτιανόν, οὐ μὴν καιρίαν, ἀλλὰ κατα- 2
βληθεὶς ὑπ' αὐτοῦ ἔκειτο. οὕτω δὲ δείσας μὴ διαφύγῃ, ἐπεσεπή-
δησεν, ἢ ὥς γέ τισι δοκεῖ, Μάξιμον ἐξελεύθερον ἐπεσέπεμψεν. καὶ
ὅ τε Δομιτιανὸς οὕτω κατεσφάγη, καὶ ὁ Στέφανος παραχρῆμα συν-
δραμόντων ἐπ' αὐτὸν τῶν οὐ συμμετεσχηκότων τῆς συνωμοσίας
προσαπώλετο.

ὃ δ' εἶπον ὅτι ὑπὲρ πάντα τἆλλα θαυμάσας ἔχω, τόδ' ἐστίν. 18
Ἀπολλώνιός τις Τυανεὺς ἔν τε τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τῇ ὥρᾳ αὐτῇ
ἐκείνῃ ἐν ᾗ ὁ Δομιτιανὸς ἐσφάττετο (τοῦτο γὰρ ὕστερον ἐκ τῶν
ἑκατέρωθεν γενομένων ἠκριβώθη) ἀναβὰς ἐπί τινα λίθον ὑψηλὸν
ἐν Ἐφέσῳ, ἢ καὶ ἑτέρωθι, καὶ συγκαλέσας τὸ πλῆθος ταῦτα εἶπεν
"καλῶς Στέφανε, εὖ γε Στέφανε· παῖε τὸν μιαιφόνον. ἔπληξας,
ἔτρωσας, ἀπέκτεινας." τοῦτο μὲν οὕτως ἐγένετο, κἂν μυριάκις τις 2
ἀπιστήσῃ· Δομιτιανὸς δὲ ἔζησε μὲν ἔτη τέσσαρα καὶ τεσσαράκοντα
καὶ μῆνας δέκα καὶ ἡμέρας ἓξ καὶ εἴκοσιν, ἐμονάρχησε δὲ ἔτη πεν-
τεκαίδεκα καὶ ἡμέρας πέντε. καὶ αὐτοῦ τὸ σῶμα Φυλλὶς ἡ τροφὸς
κλέψασα ἔθαψεν.

μετὰ δὲ Δομιτιανὸν Νέρβαν Κοκκήιον οἱ Ῥωμαῖοι ἀπέδειξαν ΞΗ
αὐτοκράτορα. μίσει δὲ τοῦ Δομιτιανοῦ αἱ εἰκόνες αὐτοῦ, πολλαὶ
μὲν ἀργυραῖ πολλαὶ δὲ καὶ χρυσαῖ οὖσαι, συνεχωνεύθησαν, καὶ ἐξ
αὐτῶν μεγάλα χρήματα συνελέγη· καὶ αἱ ἀψῖδες πλεῖσται δὴ ἑνὶ
ἀνδρὶ ποιούμεναι καθῃρέθησαν. καὶ ὁ Νέρβας τούς τε κρινομέ- 2
νους ἐπ' ἀσεβείᾳ ἀφῆκε καὶ τοὺς φεύγοντας κατήγαγε, τούς τε δού-
λους καὶ τοὺς ἐξελευθέρους τοὺς τοῖς δεσπόταις σφῶν ἐπιβουλεύ-
σαντας πάντας ἀπέκτεινεν. καὶ τοῖς μὲν τοιούτοις οὐδ' ἄλλο τι
ἔγκλημα ἐπιφέρειν ἐπὶ τοὺς δεσπότας ἐφῆκε, τοῖς δὲ δὴ ἄλλοις οὔτ'
ἀσεβείας οὔτ' Ἰουδαϊκοῦ βίου καταιτιᾶσθαί τινας συνεχώρησεν.
πολλοὶ δὲ καὶ τῶν συκοφαντησάντων θάνατον κατεδικάσθησαν· ἐν
οἷς καὶ Σέρας ἦν ὁ φιλόσοφος. ταραχῆς οὖν γενομένης οὐ τῆς τυ- 3
χούσης ἐκ τοῦ πάντας πάντων κατηγορεῖν, λέγεται Φρόντωνα τὸν
ὕπατον εἰπεῖν ὡς κακὸν μέν ἐστιν αὐτοκράτορα ἔχειν ἐφ' οὗ μηδενὶ
μηδὲν ἔξεστι ποιεῖν, χεῖρον δὲ ἐφ' οὗ πᾶσι πάντα· καὶ ὁ Νέρβας
ἀκούσας ταῦτα ἀπηγόρευσε τοῦ λοιποῦ γίνεσθαι τὰ τοιαῦτα. ἦν
δὲ ὁ Νέρβας ὑπό τε τοῦ γήρως καὶ ὑπ' ἀρρωστίας, ἀφ' ἧς καὶ τὴν

18 1 5 ἐπί τινα ὥραν ἐνεὸς ἔστη, εἶτα ἐξεβόησεν Z p. 503 2 2 τοῦτο δὲ καὶ ὁ Φιλόστρατος τὸν τοῦ Ἀπολλωνίου βίον συγγεγραφὼς οὕτως ἀνέγραψεν Z 4 καὶ ante μ. om* 1 2 1 πεποιημέναι? an γενόμεναι?



Digitized by Google

2 τροφὴν ἀεί ποτε ἧμει, ἀσθενέστερος. ἀπεῖπε δὲ καὶ ἀνδριάντας
αὐτῷ χρυσοῦς γίνεσθαι. τοῖς δὲ τῶν οὐσιῶν ἐπὶ τοῦ Δομιτιανοῦ
μάτην ἐστερημένοις πάντα ἀπέδωκεν ὅσα ἐν τῷ βασιλείῳ ἔτι ὄντα
εὑρέθη. τοῖς τε πάνυ πένησι τῶν Ῥωμαίων ἐς χιλιάδα καὶ πεντα-
κοσίας μυριάδας γῆς κτῆσιν ἐχαρίσατο, βουλευταῖς τισὶ τήν τε ἀγο-
2 ρασίαν αὐτῶν καὶ τὴν διανομὴν προστάξας. χρημάτων δὲ ἀπορῶν
πολλὰ μὲν ἱμάτια καὶ σκεύη καὶ ἀργυρᾶ καὶ χρυσᾶ, ἄλλα τε ἔπιπλα
καὶ ἐκ τῶν ἰδίων καὶ ἐκ τῶν βασιλικῶν, πολλὰ δὲ καὶ χωρία καὶ
οἰκίας, μᾶλλον δὲ πάντα πλὴν τῶν ἀναγκαίων, ἀπέδοτο· οὐ μέντοι
καὶ περὶ τὰς τιμὰς αὐτῶν ἐμικρολογήσατο, ἀλλὰ καὶ ἐν αὐτῷ τούτῳ
3 πολλοὺς εὐηργέτησεν. καὶ πολλὰς μὲν θυσίας πολλὰς δὲ ἱπποδρο-
μίας ἄλλας τέ τινας θέας κατέλυσε, συστέλλων ὡς οἷόν τε τὰ δα-
πανήματα. ὤμοσε δὲ καὶ ἐν τῷ συνεδρίῳ μηδένα τῶν βουλευτῶν
φονεύσειν, ἐβεβαίωσέ τε τὸν ὅρκον καίπερ ἐπιβουλευθείς. ἔπραττε
4 δὲ οὐδὲν ὅ τι μὴ μετὰ τῶν πρώτων ἀνδρῶν. ἐνομοθέτησε δὲ ἄλλα
τε καὶ περὶ τοῦ μὴ εὐνουχίζεσθαί τινα μηδὲ ἀδελφιδῆν γαμεῖν.
τὸν δὲ Ῥοῦφον τὸν Οὐεργίνιον, καίπερ πολλάκις αὐτοκράτορα ὀνο-
a. C. 97 μασθέντα, οὐκ ὤκνησεν ὑπατεύσας συνάρχοντα προσλαβεῖν· ἐφ' οὗ
τῷ μνήματι τελευτήσαντος ἐπεγράφη ὅτι νικήσας Οὐίνδικα τὸ κρά-
τος οὐχ ἑαυτῷ περιεποιήσατο ἀλλὰ τῇ πατρίδι.

3 Νέρουας δὲ οὕτως ἦρχε καλῶς ὥστε ποτὲ εἰπεῖν "οὐδὲν τοιοῦτο
πεποίηκα ὥστε μὴ δύνασθαι τὴν ἀρχήν τε καταθέσθαι καὶ ἀσφα-
2 λῶς ἰδιωτεῦσαι." Κράσσου τε Καλπουρνίου, τῶν Κράσσων ἐκείνων
ἐκγόνου, ἐπιβεβουλευκότος μετὰ καὶ ἄλλων αὐτῷ, παρεκαθίσατό τε
αὐτοὺς ἔν τινι θέᾳ ἀγνοοῦντας ἔτι ὅτι καταμεμήνυνται, καὶ ἔδωκεν
αὐτοῖς ξίφη, λόγῳ μὲν ἵν' ἐπισκέψωνται αὐτά, ὅπερ εἴωθε γίγνε-
σθαι, εἰ ὀξέα ἐστίν, ἔργῳ δὲ ἐπιδεικνύμενος ὅτι οὐδὲν αὐτῷ μέλει
3 κἂν αὐτοῦ παραχρῆμα ἀποθάνῃ. Αἰλιανὸς δὲ ὁ Κασπέριος ἄρχων
καὶ ὑπ' αὐτοῦ, καθάπερ ὑπὸ τοῦ Δομιτιανοῦ, τῶν δορυφόρων γε-
νόμενος τοὺς στρατιώτας ἐστασίασε κατ' αὐτοῦ, παρασκευάσας
ἐξαιτῆσαί τινας ὥστε θανατωθῆναι. πρὸς οὓς ὁ Νέρουας τοσοῦτον
ἀντέσχεν ὥστε καὶ τὴν κλεῖν ἀπογυμνῶσαι καὶ τὴν σφαγὴν αὐτοῦ
προδεῖξαι. οὐ μήν τι καὶ ἤνυσεν, ἀλλ' ἀνηρέθησαν οὓς ὁ Αἰλια-
4 νὸς ἐβουλήθη. ὅθεν ὁ Νέρουας διὰ τὸ γῆρας καταφρονούμενος
ἀνέβη τε ἐς τὸ Καπιτώλιον, καὶ ἔφη γεγωνήσας "ἀγαθῇ τύχῃ τῆς
τε βουλῆς καὶ τοῦ δήμου τῶν Ῥωμαίων καὶ ἐμοῦ αὐτοῦ Μάρκον
Οὔλπιον Νέρουαν Τραϊανὸν ποιοῦμαι." καὶ μετὰ ταῦτα ἐν τῷ συν-
εδρίῳ Καίσαρά τε αὐτὸν ἀπέδειξε, καὶ ἐπέστειλεν αὐτῷ αὐτοχειρίᾳ

2 2 3 ἐκ ante τῶν β. om* 4 2 μήτε* 3 2 2 ἐγγόνου* 4 γενέσθαι*
4 1 διὰ τρόπων χρηστότητα καὶ γῆρας βαθὺ Z p. 507 4 ἐμῇ?*

(ἦρχε δὲ τῆς Γερμανίας ἐκεῖνος) "τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι
βέλεσσιν." οὕτω μὲν ὁ Τραϊανὸς Καῖσαρ καὶ μετὰ τοῦτο αὐτο- 4
κράτωρ ἐγένετο, καίτοι συγγενῶν τοῦ Νέρουα ὄντων τινῶν. ἀλλ' οὐ
γὰρ τῆς τῶν κοινῶν σωτηρίας ὁ ἀνὴρ τὴν συγγένειαν προετίμησεν,
οὐδ' αὖ ὅτι Ἴβηρ ὁ Τραϊανὸς ἀλλ' οὐκ Ἰταλὸς οὐδ' Ἰταλιώτης ἦν,
ἧττόν τι παρὰ τοῦτο αὐτὸν ἐποιήσατο, ἐπειδὴ μηδεὶς πρόσθεν ἀλ- 2
λοεθνὴς τὸ τῶν Ῥωμαίων κράτος ἐσχήκει· τὴν γὰρ ἀρετὴν ἀλλ' οὐ
τὴν πατρίδα τινὸς ἐξετάζειν δεῖν ᾤετο. πράξας δὲ ταῦτα μετήλ- a.C. 98
λαξεν, ἄρξας ἔτει ἑνὶ καὶ μησὶ τέσσαρσι καὶ ἡμέραις ἐννέα· προ-
εβεβήκει δ' ἐς πέντε καὶ ἑξήκοντα ἔτη καὶ μῆνας δέκα καὶ ἡμέ-
ρας δέκα.

Τραϊανῷ δὲ ὄναρ ἐγεγόνει, πρὶν αὐταρχῆσαι, τοιόνδε· ἐδόκει 5
ἄνδρα πρεσβύτην ἐν ἱματίῳ καὶ ἐσθῆτι περιπορφύρῳ, ἔτι δὲ καὶ
στεφάνῳ ἐστολισμένον, οἷά που καὶ τὴν γερουσίαν γράφουσι, δα-
κτυλίῳ τινὶ σφραγῖδα αὐτῷ ἔς τε τὴν ἀριστερὰν σφαγὴν καὶ μετὰ
τοῦτο καὶ ἐς τὴν δεξιὰν ἐπιβεβληκέναι. ὡς δὲ αὐτοκράτωρ ἐγένετο, 2
ἐπέστειλε τῇ βουλῇ αὐτοχειρίᾳ ἄλλα τε καὶ ὡς οὐδένα ἄνδρα ἀγα-
θὸν ἀποσφάξοι ἢ ἀτιμάσοι, καὶ ταῦτα καὶ ὅρκοις οὐ τότε μόνον
ἀλλὰ καὶ ὕστερον ἐπιστώσατο.

"ὅτι οὗτος ὤμοσεν ὡς οὐ μιαιφονήσει, καὶ τοῦτο ἔργῳ ἐνεπέ- 3
δωσε καίπερ ἐπιβουλευθείς. τῇ τε γὰρ φύσει οὐδὲν οὔτε διπλοῦν
οὔτε δόλιον οὔτε τραχὺ εἶχεν, ἀλλὰ τοὺς μὲν ἀγαθοὺς ἐφίλει καὶ
ἐδεξιοῦτο καὶ ἐτίμα, τῶν δὲ ἄλλων ἠμέλει· τὸ δὲ καὶ ὑπὸ τῆς ἡλι-
κίας πεπαίτερος ἐγεγόνει. V p. 710.

Αἰλιανὸν δὲ καὶ τοὺς δορυφόρους τοὺς κατὰ Νέρουα στασιά- 4
σαντας, ὡς καὶ χρησόμενός τι αὐτοῖς, μεταπεμψάμενος ἐκποδὼν
ἐποιήσατο. ἐς δὲ τὴν Ῥώμην ἐσελθὼν πολλὰ ἐποίει πρός τε διόρ- a.C. 99
θωσιν τῶν κοινῶν καὶ πρὸς χάριν τῶν ἀγαθῶν, ἐκείνων τε διαφε-
ρόντως ἐπιμελούμενος, ὡς καὶ ταῖς πόλεσι ταῖς ἐν Ἰταλίᾳ πρὸς τὴν
τῶν παίδων τροφὴν πολλὰ χαρίσασθαι, καὶ τούτους εὐεργετῶν.
Πλωτῖνα δὲ ἡ γυνὴ αὐτοῦ ὅτε πρῶτον ἐς τὸ παλάτιον ἐσῄει, ἐπὶ 5
τοὺς ἀναβαθμοὺς καὶ πρὸς τὸ πλῆθος μεταστραφεῖσα εἶπε "τοιαύτη
μέντοι ἐνταῦθα ἐσέρχομαι οἵα καὶ ἐξελθεῖν βούλομαι." καὶ οὕτω
γε ἑαυτὴν διὰ πάσης τῆς ἀρχῆς διήγαγεν ὥστε μηδεμίαν ἐπηγο-
ρίαν σχεῖν.

διατρίψας δὲ ἐν τῇ Ῥώμῃ χρόνον τινὰ ἐστράτευσεν ἐπὶ Δα- 6
κούς, τά τε πραχθέντα αὐτοῖς λογιζόμενος, τοῖς τε χρήμασιν ἃ κατ' a.C. 100
ἔτος ἐλάμβανον βαρυνόμενος, τάς τε δυνάμεις αὐτῶν αὐξανομένας

4 2 1 αὐτὸς 5 ἐς om 5 3 4 τὸ] ὁ*

2 καὶ τὰ φρονήματα ὁρῶν. πυθόμενος δὲ ὁ Δεκέβαλος τὴν ὁρμὴν
αὐτοῦ ἐφοβήθη, ἅτε καὶ εὖ εἰδὼς ὅτι πρότερον μὲν οὐ Ῥωμαίους
ἀλλὰ Δομιτιανὸν ἐνενικήκει, τότε δὲ ὡς πρός τε Ῥωμαίους καὶ
πρὸς Τραϊανὸν αὐτοκράτορα πολεμήσοι. πλεῖστον γὰρ ἐπί τε δι-
3 καιότητι καὶ ἐπ' ἀνδρίᾳ τῇ τε ἁπλότητι τῶν ἠθῶν διέπρεπεν. τῷ
τε γὰρ σώματι ἔρρωτο (δεύτερον γὰρ καὶ τεσσαρακοστὸν ἔτος ἄγων
ἦρξεν) "ὡς ἐξ ἴσου πάντα τοῖς ἄλλοις τρόπον τινὰ πονεῖσθαι",
καὶ τῇ ψυχῇ ἤκμαζεν ὡς μήθ' ὑπὸ νεότητος θρασύνεσθαι μήθ' ὑπὸ
4 γήρως ἀμβλύνεσθαι. καὶ οὔτ' ἐφθόνει οὔτε καθῄρει τινά, ἀλλὰ καὶ
πάνυ πάντας τοὺς ἀγαθοὺς ἐτίμα καὶ ἐμεγάλυνεν, καὶ διὰ τοῦτο
οὔτε ἐφοβεῖτό τινα αὐτῶν οὔτε ἐμίσει. διαβολαῖς τε ἥκιστα ἐπί-
στευε, καὶ ὀργῇ ἥκιστα ἐδουλοῦτο, τῶν τε χρημάτων τῶν ἀλλοτρίων
7 ἴσα καὶ φόνων τῶν ἀδίκων ἀπείχετο. καὶ ἐδαπάνα πάμπολλα μὲν
ἐς τοὺς πολέμους πάμπολλα δὲ ἐς τὰ τῆς εἰρήνης ἔργα, καὶ πλεῖστα
καὶ ἀναγκαιότατα καὶ ἐν ὁδοῖς καὶ ἐν λιμέσι καὶ ἐν οἰκοδομήμασι
δημοσίοις κατασκευάσας οὐδενὸς αἷμα ἐς οὐδὲν αὐτῶν ἀνάλωσεν.
2 οὕτω γάρ που καὶ μεγαλόφρων καὶ μεγαλογνώμων ἔφυ ὥστε καὶ
τῷ ἱπποδρόμῳ ἐπιγράψαι ὅτι ἐξαρκοῦντα αὐτὸν τῷ τῶν Ῥωμαίων
δήμῳ ἐποίησεν, ἐπειδὴ διαφθαρέντα πῃ καὶ μείζω καὶ περικαλλέ-
στερον ἐξειργάσατο. φιλούμενός τε οὖν ἐπ' αὐτοῖς μᾶλλον ἢ τιμώ-
3 μενος ἔχαιρε, καὶ τῷ τε δήμῳ μετ' ἐπιεικείας συνεγίνετο καὶ τῇ
γερουσίᾳ σεμνοπρεπῶς ὡμίλει, ἀγαπητὸς μὲν πᾶσι, φοβερὸς δὲ μη-
δενὶ πλὴν πολεμίοις ὤν. καὶ γὰρ θήρας καὶ συμποσίων ἔργων τε
καὶ βουλευμάτων σκωμμάτων τε συμμετεῖχε σφίσιν, καὶ πολλάκις
καὶ τέταρτος ὠχεῖτο, ἔς τε τὰς οἰκίας αὐτῶν καὶ ἄνευ γε φρουρᾶς
4 ἔστιν ὧν ἐσιὼν εὐθυμεῖτο. παιδείας μὲν γὰρ ἀκριβοῦς, ὅση ἐν λό-
γοις, οὐ μετέσχεν, τό γε μὴν ἔργον αὐτῆς καὶ ἠπίστατο καὶ ἐποίει.
οὐδ' ἔστιν ὅ τι οὐκ ἄριστον εἶχεν. καὶ οἶδα μὲν ὅτι καὶ περὶ μει-
ράκια καὶ περὶ οἶνον ἐσπουδάκει· ἀλλ' εἰ μέν τι ἐκ τούτων ἢ αἰ-
σχρὸν ἢ κακὸν ἢ ἐδεδράκει ἢ ἐπεπόνθει, ἐπηγορίαν ἂν εἶχεν, νῦν δὲ
τοῦ τε οἴνου διακόρως ἔπινε καὶ νήφων ἦν, ἔν τε τοῖς παιδικοῖς
5 οὐδένα ἐλύπησεν. εἰ δὲ καὶ φιλοπόλεμος ἦν, ἀλλὰ τῇ τε κατορθώ-
σει καὶ τῇ τοῦ ἐχθίστου μὲν καθαιρέσει τοῦ οἰκείου δὲ αὐξήσει ἠρ-
κεῖτο. οὐδὲ γὰρ οὐδ' ὅπερ εἴωθεν ἐν τοῖς τοιούτοις γίγνεσθαι, τὸ
τοὺς στρατιώτας ἐξογκοῦσθαί τε καὶ ὑπερφρονεῖν, συνέβη ποτὲ ἐπ'
αὐτοῦ· οὕτως ἐγκρατῶς αὐτῶν ἦρχεν.

διὰ ταῦτα μὲν οὖν οὐκ ἀπεικότως ὁ Δεκέβαλος αὐτὸν ἐδεδίει·
8 στρατεύσαντι δὲ τῷ Τραϊανῷ κατὰ τῶν Δακῶν καὶ ταῖς Τάπαις,

6 3 3 " " V p. 709 πονεῖν δύνασθαι? 4 4 ἐλάχιστα?*
7 5 2 τῇ om*

ἔνθα ἐστρατοπέδευον οἱ βάρβαροι, πλησιάσαντι μύκης μέγας προσ-
εκομίσθη, γράμμασι Λατίνοις λέγων ὅτι ἄλλοι τε τῶν συμμάχων
καὶ Βοῦρροι παραινοῦσι Τραϊανῷ ὀπίσω ἀπιέναι καὶ εἰρηνῆσαι.
συμβαλὼν δὲ αὐτοῖς ὁ Τραϊανὸς πολλοὺς μὲν τῶν οἰκείων τραυ- 2
ματίας ἐπεῖδε, πολλοὺς δὲ τῶν πολεμίων ἀπέκτεινεν· ὅτε καὶ ἐπιλι-
πόντων τῶν ἐπιδέσμων οὐδὲ τῆς ἑαυτοῦ ἐσθῆτος λέγεται φείσασθαι,
ἀλλ' ἐς τὰ λαμπάδια ταύτην κατατεμεῖν, τοῖς δὲ τελευτήσασι τῶν
στρατιωτῶν ἐν τῇ μάχῃ βωμόν τε στῆσαι καὶ κατ' ἔτος ἐναγίζειν
κελεῦσαι. ὡς δὲ καὶ ἐς αὐτὰ τὰ ἄκρα ἐπεχείρησεν ἀναβῆναι, λό- 3 a.C.
φους ἐκ λόφων μετὰ κινδύνων καταλαμβάνων, καὶ τοῖς τῶν Δακῶν 101
βασιλείοις ἐπέλασεν, ὅ τε Λούσιος ἑτέρωθι προσβαλὼν καὶ ἐφόνευσε
πολλοὺς καὶ ἐζώγρησε πλείονας, τηνικαῦτα ὁ Δεκέβαλος πρέσβεις
πέμψας τοὺς ἀρίστους τῶν πιλοφόρων, καὶ δι' αὐτῶν τοῦ αὐτο-
κράτορος δεηθείς, οὐδὲν ὅ τι οὐχ ἑτοίμως τῶν προσταχθέντων ἔσχε
συνθέσθαι.

Ὅτι ὁ Δεκέβαλος ἐπεπόμφει μὲν καὶ πρὸ τῆς ἥττης πρέσβεις, 9
οὐκέτι τῶν κομητῶν ὥσπερ πρότερον, ἀλλὰ τῶν πιλοφόρων τοὺς
ἀρίστους. καὶ ἐκεῖνοι τά τε ὅπλα ῥίψαντες καὶ ἑαυτοὺς ἐς τὴν γῆν 2
καταβαλόντες ἐδεήθησαν τοῦ Τραϊανοῦ μάλιστα μὲν αὐτῷ τῷ Δε-
κεβάλῳ καὶ ἐς ὄψιν καὶ ἐς λόγους αὐτοῦ ἐλθεῖν, ὡς καὶ πάντα τὰ
κελευσθησόμενα ποιήσοντι, ἐπιτραπῆναι, εἰ δὲ μή, σταλῆναί γέ τινα
τὸν συμβησόμενον αὐτῷ. καὶ ἐπέμφθη ὁ Σούρας καὶ Κλαύδιος
Λιβιανὸς ὁ ἔπαρχος. ἐπράχθη δὲ οὐδέν· ὁ γὰρ Δεκέβαλος οὐδ' 3
ἐκείνοις ἐτόλμησε συμμῖξαι, ἔπεμψε δὲ καὶ τότε. ὁ δὲ Τραϊανὸς
ὄρη τε ἐντετειχισμένα ἔλαβε, καὶ ἐν αὐτοῖς τά τε ὅπλα τά τε μη-
χανήματα καὶ τὰ αἰχμάλωτα τό τε σημεῖον τὸ ἐπὶ τοῦ Φούσκου
ἁλὸν εὗρεν. δι' οὖν ταῦτα ὁ Δεκέβαλος, ἄλλως τε καὶ ἐπειδὴ ὁ 4
Μάξιμος ἐν τῷ αὐτῷ χρόνῳ τήν τε ἀδελφὴν αὐτοῦ καὶ χωρίον τι
ἰσχυρὸν εἷλεν, οὐδὲν ὅ τι οὐχ ἑτοίμως τῶν προσταχθέντων ἔσχε συν-
θέσθαι, οὐχ ὅτι καὶ ἐμμένειν αὐτοῖς ἔμελλεν, ἀλλ' ἵν' ἐκ τῶν παρόν-
των ἀναπνεύσῃ. τὰ γὰρ ὅπλα καὶ τὰ μηχανήματα τούς τε μηχα- 5
νοποιοὺς παραδοῦναι καὶ τοὺς αὐτομόλους ἀποδοῦναι, τά τε ἐρύ-
ματα καθελεῖν καὶ τῆς χώρας τῆς ἑαλωκυίας ἀποστῆναι, καὶ προσ-
έτι τούς τε αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ῥωμαίοις νομίζειν,
καὶ μήτ' αὐτῶν ὅλως τινὰ ὑποδέχεσθαι μήτε στρατιώτῃ τινὶ ἐκ 6
τῆς τῶν Ῥωμαίων ἀρχῆς χρῆσθαι (τοὺς γὰρ πλείστους τούς τε
ἀρίστους ἐκεῖθεν ἀναπείθων προσεποιεῖτο) καὶ ἄκων ὡμολόγησε,
πρός τε τὸν Τραϊανὸν ἐσελθὼν καὶ ἐς τὴν γῆν πεσὼν καὶ προσκυ-

9 4 3 εἷλεν] εἶχεν*

Digitized by Google

7 νήσας αὐτῷ καὶ τὰ ὅπλα ἀπορρίψας. καὶ πρέσβεις ἐπὶ τούτοις ἐς
τὸ βουλευτήριον ἔπεμψεν, ὅπως καὶ παρ' ἐκείνου τὴν εἰρήνην βε-
βαιώσηται. ταῦτα συνθέμενος καὶ στρατόπεδον ἐν Ζερμιζεγεθούσῃ
καταλιπών, τήν τε ἄλλην χώραν φρουραῖς διαλαβών, ἐς Ἰταλίαν
ἀνεκομίσθη. U p. 401.

10 καὶ οἱ παρὰ τοῦ Δεκεβάλου πρέσβεις ἐς τὸ συνέδριον ἐσήχθη-
a.C. 103 σαν, τά τε ὅπλα καταθέντες συνῆψαν τὰς χεῖρας ἐν αἰχμαλώτων
σχήματι καὶ εἶπόν τέ τινα καὶ ἱκέτευσαν, καὶ οὕτω τήν τε εἰρήνην
2 ἐσπείσαντο καὶ τὰ ὅπλα ἀπέλαβον. Τραϊανὸς δὲ τά τε νικητήρια
ἤγαγε καὶ Δακικὸς ἐπωνομάσθη, ἔν τε τῷ θεάτρῳ μονομάχους συν-
έβαλε (καὶ γὰρ ἔχαιρεν αὐτοῖς), καὶ τοὺς ὀρχηστὰς ἐς τὸ θέατρον
ἐπανήγαγε (καὶ γὰρ ἑνὸς αὐτῶν τοῦ Πυλάδου ἤρα), οὐ μέντοι, οἷα
πολεμικὸς ἀνήρ, τἆλλα ἧττον διῆγεν ἢ καὶ ἧττον ἐδίκαζεν, ἀλλὰ
τοτὲ μὲν ἐν τῇ ἀγορᾷ τοῦ Αὐγούστου, τοτὲ δ' ἐν τῇ στοᾷ τῇ Λιβίᾳ
ὠνομασμένῃ, πολλάκις δὲ καὶ ἄλλοθι ἔκρινεν ἐπὶ βήματος.

3 ἐπεὶ δὲ ὁ Δεκέβαλος πολλὰ παρὰ τὰς συνθήκας ἀπηγγέλλετο
αὐτῷ ποιῶν, καὶ ὅπλα κατεσκευάζετο, καὶ τοὺς αὐτομολοῦντας
ἐδέχετο, τά τε ἐρύματα ἐπεσκεύαζε, παρά τε τοὺς ἀστυγείτονας
ἐπρεσβεύετο, καὶ τοῖς τἀναντία οἱ φρονήσασι πρότερον ἐλυμαίνετο,
καὶ τῶν Ἰαζύγων καὶ χώραν τινὰ ἀπετέμετο, ἣν μετὰ ταῦτα ἀπαι-
4 τήσασιν αὐτοῖς Τραϊανὸς οὐκ ἀπέδωκεν, οὕτω δὴ καὶ αὖθις πολέ-
μιον αὐτὸν ἡ βουλὴ ἐψηφίσατο, καὶ ὁ Τραϊανὸς δι' ἑαυτοῦ καὶ
αὖθις, ἀλλ' οὐ δι' ἑτέρων στρατηγῶν τὸν πρὸς ἐκεῖνον πόλεμον
ἐποιήσατο.

11 ὅτι τῶν Δακῶν συχνῶν μεθισταμένων πρὸς Τραϊανόν, καὶ δι'
ἄλλα τινά, ἐδεήθη αὖθις ὁ Δεκέβαλος εἰρήνης. ὡς δ' οὐκ ἐπείσθη
a.C. 104 τά τε ὅπλα καὶ ἑαυτὸν παραδοῦναι, τὰς δυνάμεις φανερῶς ἤθροιζε
2 καὶ τοὺς περιχώρους προσπαρεκάλει, λέγων ὅτι ἐὰν αὐτὸν προῶνται
καὶ αὐτοὶ κινδυνεύσουσιν, καὶ ὅτι ἀσφαλέστερον καὶ ῥᾷον μεθ' ἑαυ-
τοῦ, πρίν τι κακὸν παθεῖν, ἀγωνισάμενοι τὴν ἐλευθερίαν φυλάξου-
σιν ἢ ἂν σφᾶς τε ἀπολλυμένους περιίδωσι καὶ αὐτοὶ ὕστερον,
ἐρημωθέντες τῶν συμμάχων, χειρωθῶσιν. U p. 402.

3 καὶ ὁ Δεκέβαλος κατὰ μὲν τὸ ἰσχυρὸν κακῶς ἔπραττε, δόλῳ
δὲ δὴ καὶ ἀπάτῃ ὀλίγου μὲν καὶ τὸν Τραϊανὸν ἀπέκτεινε, πέμψας
ἐς τὴν Μυσίαν αὐτομόλους τινάς, εἴ πως αὐτὸν εὐπρόσοδον ὄντα
καὶ ἄλλως, τότε δὲ καὶ διὰ τὴν τοῦ πολέμου χρείαν πάντα ἁπλῶς
τὸν βουλόμενον ἐς λόγους δεχόμενον κατεργάσαιντο. ἀλλὰ τοῦτο
μὲν οὐκ ἠδυνήθησαν πρᾶξαι, συλληφθέντος τινὸς ἐξ ὑποψίας καὶ

11 2 5 ὠθῶσιν

Digitized by Google

πᾶν τὸ ἐπιβούλευμα αὐτοῦ ἐκ βασάνων ὁμολογήσαντος· Λογγῖνον 12
δέ τινα στρατοπέδου Ῥωμαϊκοῦ ἐξηγούμενον καὶ δεινὸν ἐν τοῖς
πολέμοις αὐτῷ γεγενημένον προσκαλεσάμενος, καὶ ἀναπείσας συμ-
μῖξαί οἱ ὡς καὶ τὰ προσταχθησόμενα ποιήσων, συνέλαβε καὶ ἀνέ-
κρινε δημοσίᾳ περὶ τῶν τοῦ Τραϊανοῦ βουλευμάτων, ἐπειδή τε μη-
δὲν ὁμολογῆσαι ἠθέλησεν, ἐν ἀδέσμῳ φυλακῇ περιῆγεν. καὶ "πρέσβιν 2
τινὰ πέμψας πρὸς τὸν Τραϊανὸν ἠξίου τήν τε χώραν μέχρι τοῦ
Ἴστρου κομίσασθαι καὶ τὰ χρήματα, ὅσα ἐς τὸν πόλεμον ἐδεδα-
πανήκει, ἀπολαβεῖν" ἐπὶ τῷ τὸν Λογγῖνόν οἱ ἀποδοῦναι. ἀποκρινα-
μένου δέ τινα αὐτῷ μέσα, ἐξ ὧν οὔτε ἐν μεγάλῳ οὔτε ἐν σμικρῷ
λόγῳ τὸν Λογγῖνον ποιεῖσθαι δόξειν ἔμελλε, τοῦ μήτ' ἀπολέσθαι
αὐτὸν μήτ' ἐπὶ πολλῷ σφίσιν ἀνασωθῆναι, Δεκέβαλος μὲν ἔτι δια- 3
σκοπῶν ὅ τι πράξῃ ἀνεῖχε, Λογγῖνος δὲ ἐν τούτῳ φαρμάκου "διὰ
τοῦ ἀπελευθέρου" εὐπορήσας "ὑπέσχετό τε αὐτῷ τὸν Τραϊανὸν
καταλλάξειν, ἵνα ὡς ἥκιστα ὑποτοπήσῃ τὸ γενησόμενον, μὴ καὶ φυ-
λακὴν αὐτοῦ ἀκριβεστέραν ποιήσηται, καὶ γράμματά τινα ἱκετείαν
ἔχοντα γράψας ἔδωκε τῷ ἐξελευθέρῳ πρὸς τὸν Τραϊανὸν ἀποκο-
μίσαι, ἵν' ἐν ἀσφαλείᾳ γένηται. καὶ οὕτως ἀπελθόντος αὐτοῦ τὸ 4
φάρμακον νυκτὸς" ἔπιε καὶ ἀπέθανεν. "γενομένου δὲ τούτου ὁ Δε-
κέβαλος ἐξήτησε παρὰ τοῦ Τραϊανοῦ τὸν ἀπελεύθερον, τό τε σῶμα
τοῦ Λογγίνου καὶ δέκα αἰχμαλώτους ἀντιδώσειν οἱ ὑποσχόμενος,
καὶ εὐθύ γε τὸν ἑκατοντάρχην τὸν ἁλόντα μετ' αὐτοῦ ἔπεμψεν ὡς
καὶ ταῦτα διαπράξοντα· παρ' οὗ πάντα τὰ κατὰ τὸν Λογγῖνον 5
ἐγνώσθη. οὐ μέντοι οὔτ' ἐκεῖνον ὁ Τραϊανὸς ἀπέπεμψεν οὔτε τὸν
ἐξελεύθερον ἐξέδωκε, προτιμοτέραν τὴν σωτηρίαν αὐτοῦ πρὸς τὸ
τῆς ἀρχῆς ἀξίωμα τῆς τοῦ Λογγίνου ταφῆς ποιησάμενος."

Τραϊανὸς δὲ γέφυραν λιθίνην ἐπὶ τοῦ Ἴστρου κατεσκευάσατο, 13
περὶ ἧς οὐκ ἔχω πῶς ἂν ἀξίως αὐτὸν θαυμάσω· ἔστι μὲν γὰρ καὶ
τἆλλα αὐτοῦ ἔργα διαπρεπέστατα, τοῦτο δὲ καὶ ὑπὲρ ἐκεῖνα. ὡς
γὰρ κρηπῖδες εἰσὶ λίθου τετραπέδου εἴκοσι, τὸ μὲν ὕψος πεντήκοντα
καὶ ἑκατὸν ποδῶν πλὴν τῶν θεμελίων, τὸ δὲ πλάτος ἑξήκοντα· καὶ 2
αὗται ἑβδομήκοντα καὶ ἑκατὸν ἀπ' ἀλλήλων πόδας ἀπέχουσαι ἁψῖσι
συνῳκοδόμηνται. πῶς οὐκ ἄν τις τὸ ἀνάλωμα τὸ ἐς αὐτὰς δαπα-
νηθὲν θαυμάσειεν; πῶς δ' οὐκ ἂν τὸν τρόπον ὃν ἕκαστα αὐτῶν
ἔν τε ποταμῷ πολλῷ καὶ ἐν ὕδατι δινώδει δαπέδῳ τε ἰλυώδει ἐγέ-
νετο; οὐ γάρ τοι καὶ παρατρέψαι ποι τὸ ῥεῦμα ἠδυνήθη. τὸ δὲ 3
δὴ πλάτος τοῦ ποταμοῦ εἶπον οὐχ ὅτι διὰ τοσούτου ῥεῖ (καὶ γὰρ
ἐπὶ διπλάσιον ἔστιν οὗ καὶ ἐπὶ τριπλάσιον αὐτοῦ πελαγίζει), ἀλλ'

12 1 3 πολεμίοις   2 — 5 " " U p. 402   13 2 2 αὐταὶ*
3 ὥστε πῶς?*   4 ἄν τις τὸν*

ὅτι τό τε στενώτατον καὶ τὸ ἐπιτηδειότατον ἐς τὸ γεφυρωθῆναι
4 τῶν ἐκείνῃ χωρίων τοσοῦτόν ἐστιν. ὅσῳ δὲ δὴ ἐς στενὸν ταύτῃ ἐκ
πελάγους μεγάλου καταβαίνων καὶ ἐς πέλαγος αὖθις μεῖζον προ-
χωρῶν κατακλείεται, τόσῳ που καὶ ῥοωδέστατος καὶ βαθύτατος
γίγνεται, ὥστε καὶ τοῦτο ἐς τὴν χαλεπότητα τῆς κατασκευῆς τῆς
5 γεφύρας τεῖναι. ἡ μὲν οὖν μεγαλόνοια τοῦ Τραϊανοῦ καὶ ἐκ τούτων
δείκνυται· οὐ μέντοι καὶ ὠφέλειάν τινα ἡμῖν ἡ γέφυρα παρέχεται,
ἀλλ' ἑστᾶσιν αἱ κρηπῖδες ἄλλως, δίοδον οὐκ ἔχουσαι, καθάπερ ἐπ'
αὐτῷ τούτῳ μόνον γενόμεναι ἵν' ἐπιδείξωσι τὴν ἀνθρωπίνην φύσιν
6 οὐδὲν ὅ τι οὐ δυναμένην ἐξεργάσασθαι. ὁ μὲν γὰρ Τραϊανὸς δεί-
σας μή ποτε παγέντος τοῦ Ἴστρου πόλεμος τοῖς πέραν Ῥωμαίοις
γένηται, ἐποίησε τὴν γέφυραν ἵν' αἱ ἐπιβασίαι ῥᾳδίως δι' αὐτῆς
διεξίωσιν· Ἁδριανὸς δὲ τοὐναντίον φοβηθεὶς μὴ καὶ τοῖς βαρβάροις
τοὺς φρουροὺς αὐτῆς βιαζομένοις ῥᾳδία διάβασις ἐς τὴν Μυσίαν
ᾖ, ἀφεῖλε τὴν ἐπιπολῆς κατασκευήν.

14 a.C. 105 Τραϊανὸς δὲ διὰ ταύτης τῆς γεφύρας τὸν Ἴστρον περαιωθείς,
καὶ δι' ἀσφαλείας μᾶλλον ἢ διὰ σπουδῆς τὸν πόλεμον ποιούμενος,
σὺν χρόνῳ καὶ μόλις ἐκράτησε τῶν Δακῶν, πολλὰ μὲν αὐτὸς στρα-
τηγίας ἔργα καὶ ἀνδρίας ἐπιδειξάμενος, πολλὰ δὲ καὶ τῶν στρα-
2 τιωτῶν αὐτῷ κινδυνευσάντων καὶ ἀριστευσάντων. ἔνθα δὴ καὶ
ἱππεύς τις κακῶς πληγεὶς ἐξήχθη μὲν ἐκ τῆς μάχης ὡς καὶ θερα-
πευθῆναι δυνάμενος, αἰσθόμενος δὲ ὡς ἀνιάτως ἔχοι ἔκ τε τοῦ
σκηνώματος ἐξεπήδησεν (οὐ γάρ πω τὸ κακὸν αὐτοῦ καθῖκτο) καὶ
ἐς τάξιν αὖθις καθιστὰς ἑαυτὸν ἀπέθανε, μεγάλα ἐπιδειξάμενος.
3 Δεκέβαλος δέ, ὡς καὶ τὸ βασίλειον αὐτοῦ καὶ ἡ χώρα κατείληπτο
σύμπασα καὶ αὐτὸς ἐκινδύνευσεν ἁλῶναι, διεχρήσατο ἑαυτόν, καὶ
ἡ κεφαλὴ αὐτοῦ ἐς τὴν Ῥώμην ἀπεκομίσθη· καὶ οὕτως ἡ Δακία
Ῥωμαίων ὑπήκοος ἐγένετο, καὶ πόλεις ἐν αὐτῇ ὁ Τραϊανὸς κατῴ-
4 κισεν. εὑρέθησαν δὲ καὶ οἱ τοῦ Δεκεβάλου θησαυροί, καίτοι ὑπὸ
τὸν ποταμὸν τὸν Σαργετίαν τὸν παρὰ τοῖς βασιλείοις αὐτοῦ κε-
κρυμμένοι. διὰ γὰρ αἰχμαλώτων τινῶν τόν τε ποταμὸν ἐξέτρεψε
καὶ τὸ ἔδαφος αὐτοῦ ὤρυξεν, καὶ ἐς αὐτὸ πολὺν μὲν ἄργυρον
πολὺν δὲ χρυσόν, τά τε ἄλλα τὰ τιμιώτατα καὶ ὑγρότητά τινα
ἐνεγκεῖν δυνάμενα, ἐμβαλὼν λίθους τε ἐπ' αὐτοῖς ἐπέθηκε καὶ χοῦν
5 ἐπεφόρησε καὶ μετὰ τοῦτο τὸν ποταμὸν ἐπήγαγεν· καὶ ἐς τὰ σπή-
λαια διὰ τῶν αὐτῶν ἐκείνων τά τε ἱμάτια καὶ τὰ ἄλλα τὰ ὁμοι-
ότροπα κατέθετο. ποιήσας δὲ ταῦτα διέφθειρεν αὐτούς, ἵνα μηδὲν
ἐκλαλήσωσιν. Βίκιλις δέ τις ἑταῖρος αὐτοῦ, τὸ γεγονὸς εἰδώς,

5 2 καὶ εἰ ὠφ. 6 3 ἐπιβοήθειαι?* 14 2 4 που

Digitized by Google

*ἑάλω τε καὶ κατεμήνυσε ταῦτα. κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον καὶ Πάλμας τῆς Συρίας ἄρχων τὴν Ἀραβίαν τὴν πρὸς τῇ Πέτρᾳ ἐχειρώσατο καὶ Ῥωμαίων ὑπήκοον ἐποιήσατο.*

*πρὸς δὲ τὸν Τραϊανὸν ἐς τὴν Ῥώμην ἐλθόντα πλεῖσται ὅσαι* 15
*πρεσβεῖαι παρὰ βαρβάρων ἄλλων τε καὶ Ἰνδῶν ἀφίκοντο. καὶ θέας* a.C. 107
*ἐν τρισὶ καὶ εἴκοσι καὶ ἑκατὸν ἡμέραις ἐποίησεν, ἐν αἷς θηρία τε καὶ βοτὰ χίλιά που καὶ μύρια ἐσφάγη καὶ μονομάχοι μύριοι ἠγωνίσαντο.*
*"ὅτι ὁ Τραϊανὸς τοὺς πρεσβευτὰς τοὺς παρὰ τῶν βασιλέων* 2
*ἀφικνουμένους ἐν τῷ βουλευτικῷ θεάσασθαι ἐποίει.* U p. 401.

*καὶ κατὰ τοὺς αὐτοὺς χρόνους τά τε ἕλη τὰ Ποντῖνα ὡδοποίησε* 3
*λίθῳ, καὶ τὰς ὁδοὺς παροικοδομήμασι καὶ γεφύραις μεγαλοπρεπεστάταις ἐξεποίησεν. τό τε νόμισμα πᾶν τὸ ἐξίτηλον συνεχώνευσεν. τῷ δὲ Σούρᾳ τῷ Λικινίῳ καὶ ταφὴν δημοσίαν καὶ ἀνδριάντα ἔδωκε τελευτήσαντι· ὅστις ἐς τοῦτο καὶ πλούτου καὶ αὐχήματος ἀφίκετο ὥστε καὶ γυμνάσιον Ῥωμαίοις οἰκοδομῆσαι. τοσαύτῃ δὲ φιλίᾳ καὶ* 4
*πίστει "ὅ τε Σούρας πρὸς τὸν Τραϊανὸν ἐχρήσατο καὶ Τραϊανὸς πρὸς ἐκεῖνον ὥστε πολλάκις αὐτόν, οἷά που περὶ πάντας τούς τι παρὰ τοῖς αὐτοκράτορσι δυναμένους γίνεσθαι πέφυκεν, διαβληθέντα οὔτε ὑπώπτευσέ ποτε οὔτε ἐμίσησεν, ἀλλὰ καὶ ἐγκειμένων οἱ τῶν φθονούντων αὐτῷ οἴκαδε ἄκλητος πρὸς αὐτὸν" ἐπὶ δεῖπνον ἦλθε,* 5
*καὶ πᾶσαν τὴν φρουρὰν ἀποπέμψας ἐκάλεσε πρῶτον μὲν τὸν ἰατρὸν αὐτοῦ, καὶ δι' ἐκείνου τοὺς ὀφθαλμοὺς ὑπηλείψατο, ἔπειτα τὸν κουρέα, καὶ δι' ἐκείνου τὸ γένειον ἐξύρατο (τοῦτο γὰρ ἐκ παλαιοῦ πάντες οἱ ἄλλοι καὶ αὐτοὶ οἱ αὐτοκράτορες ἐποίουν· Ἀδριανὸς γὰρ πρῶτος γενειᾶν κατέδειξεν)· πράξας δὲ ταῦτα, καὶ μετὰ ταῦτα καὶ* 6
*λουσάμενος καὶ δειπνήσας, ἔπειτα τοῖς φίλοις τοῖς εἰωθόσιν ἀεί τι περὶ αὐτοῦ φαῦλον λέγειν ἔφη τῇ ὑστεραίᾳ ὅτι εἴ ἤθελέ με Σούρας ἀποκτεῖναι, χθὲς ἂν ἀπεκτόνει. μέγα μὲν οὖν ἐποίησε καὶ τὸ δια-* 16
*κινδυνεῦσαι πρὸς διαβεβλημένον ἄνθρωπον, πολὺ δὲ δὴ μεῖζον ὅτι ἐπίστευσε μηδὲν ἂν ποτε ὑπ' αὐτοῦ παθεῖν. ἀλλὰ καὶ ὅτε πρῶτον αὐτῷ μέλλοντι τῶν δορυφόρων ἐπάρξειν τὸ ξίφος, ὃ παραζώννυσθαι αὐτὸν ἐχρῆν, ὤρεξεν, ἐγύμνωσέ τε αὐτὸ καὶ ἀνατείνας ἔφη "λάβε τοῦτο τὸ ξίφος, ἵνα, ἂν μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, ἂν δὲ κακῶς, κατ' ἐμοῦ αὐτῷ χρήσῃ." ἔστησε δὲ καὶ τοῦ Σοσσίου τοῦ τε Πάλ-* 2
*μου καὶ τοῦ Κέλσου εἰκόνας· οὕτω που αὐτοὺς τῶν ἄλλων προετίμησεν. τοὺς μέντοι ἐπιβουλεύοντας αὐτῷ, ἐν οἷς ἦν καὶ Κράσσος, ἐτιμωρεῖτο ἐσάγων ἐς τὴν βουλήν. κατεσκεύασε δὲ καὶ βιβλίων ἀποθήκας. καὶ ἔστησεν ἐν τῇ ἀγορᾷ καὶ κίονα μέγιστον, ἅμα μὲν* a.C. 114

15 1 4 *μύρια*] *μυριά που* 3 2 *παροικοδομήσας* 3 *ἐξεχώνευσε* 4 2 " " V p. 710

ἐς ταφὴν ἑαυτῷ, ἅμα δὲ ἐς ἐπίδειξιν τοῦ κατὰ τὴν ἀγορὰν ἔργου·
παντὸς γὰρ τοῦ χωρίου ἐκείνου ὀρεινοῦ ὄντος κατέσκαψε τοσοῦτον
ὅσον ὁ κίων ἀνίσχει, καὶ τὴν ἀγορὰν ἐκ τούτου πεδινὴν κατεσκεύασεν.
17 μετὰ δὲ ταῦτα ἐστράτευσεν ἐπ' Ἀρμενίους καὶ Πάρθους, πρό-
φασιν μὲν ὅτι μὴ τὸ διάδημα ὑπ' αὐτοῦ εἰλήφει, ἀλλὰ παρὰ τοῦ
Πάρθων βασιλέως, ὁ τῶν Ἀρμενίων βασιλεύς, τῇ δ' ἀληθείᾳ δόξης
ἐπιθυμίᾳ.
2 "ὅτι τοῦ Τραϊανοῦ ἐπὶ Πάρθους στρατεύσαντος καὶ ἐς Ἀθήνας
ἀφικομένου πρεσβεία αὐτῷ ἐνταῦθα παρὰ τοῦ Ὀσρόου ἐνέτυχε,
τῆς εἰρήνης δεομένη καὶ δῶρα φέρουσα. ἐπειδὴ γὰρ ἔγνω τήν τε
ὁρμὴν αὐτοῦ, καὶ ὅτι τοῖς ἔργοις τὰς ἀπειλὰς ἐτεκμηρίου, κατέδεισε,
καὶ ὑφεὶς τοῦ φρονήματος ἔπεμψεν ἱκετεύων μὴ πολεμηθῆναι, τήν
τε Ἀρμενίαν Παρθαμασίριδι Πακόρου καὶ αὐτῷ υἱεῖ ᾔτει, καὶ
3 ἐδεῖτο τὸ διάδημα αὐτῷ πεμφθῆναι· τὸν γὰρ Ἐξηδάρην ὡς οὐκ
ἐπιτήδειον οὔτε τοῖς Ῥωμαίοις οὔτε τοῖς Πάρθοις ὄντα πεπαυκέναι
ἔλεγεν. καὶ ὃς οὔτε τὰ δῶρα ἔλαβεν, οὔτ' ἄλλο τι ἀπεκρίνατο ἢ καὶ
ἐπέστειλε πλὴν ὅτι ἡ φιλία ἔργοις καὶ οὐ λόγοις κρίνεται, καὶ διὰ
τοῦτ', ἐπειδὰν ἐς τὴν Συρίαν ἔλθῃ, πάντα τὰ προσήκοντα ποιήσει.
καὶ οὕτω διανοίας ὢν ἐπί τε τῆς Ἀσίας καὶ ἐπὶ Λυκίας τῶν τε
18 ἐχομένων ἐθνῶν ἐς Σελεύκειαν ἐκομίσθη. γενομένῳ δὲ αὐτῷ ἐν Ἀν-
τιοχείᾳ Αὔγαρος ὁ Ὀσροηνὸς αὐτὸς μὲν οὐκ ἔφθη, δῶρα δὲ δὴ
καὶ λόγους φιλίους ἔπεμψεν· ἐκεῖνόν τε γὰρ ὁμοίως καὶ τοὺς Πάρ-
θους φοβούμενος ἐπημφοτέριζε, καὶ διὰ τοῦτ' οὐκ ἠθέλησέν οἱ
συμμῖξαι. U p. 403.
2 ἐπεὶ δὲ ἐνέβαλεν ἐς τὴν πολεμίαν, ἀπήντων αὐτῷ οἱ τῇδε σα-
τράπαι καὶ βασιλεῖς μετὰ δώρων, ἐν οἷς καὶ ἵππος ἦν δεδιδαγμένος
προσκυνεῖν· τοῖς τε γὰρ ποσὶ τοῖς προσθίοις ὤκλαζε, καὶ τὴν κε-
3 φαλὴν ὑπὸ τοὺς τοῦ πέλας πόδας ὑπετίθει. Τραϊανὸς δὲ ἀμαχὶ
πάντα χειρούμενος ἐς Σάταλα ἦλθε καὶ ἐς Ἐλέγειαν, τῆς Ἀρμενίας
χωρία, καὶ τὸν Ἡνιόχων βασιλέα ἐτίμησε, Παρθαμάσιριν δὲ τὸν
Ἀρμενίων ἐτιμωρήσατο. ἐπεὶ δὲ πᾶσαν τὴν Ἀρμενίων χώραν εἷλε,
καὶ πολλοὺς τῶν βασιλέων τοὺς μὲν ὑποπεσόντας ἐν τοῖς φίλοις
ἦγε, τοὺς δέ τινας καὶ ἀπειθοῦντας ἀμαχὶ ἐχειροῦτο.
19 "ὅτι ὁ Παρθαμάσιρις βίαιόν τι ἐποίησεν. γράψας δὲ δὴ τὰ
πρῶτα τῷ Τραϊανῷ ὡς βασιλεύς, ἐπειδὴ μηδὲν ἀντεγράφη, ἐπέστειλέ
τε αὖθις τὸ ὄνομα τοῦτο περικόψας, καὶ ᾔτησε Μάρκον Ἰούνιον
τὸν τῆς Καππαδοκίας ἄρχοντα πεμφθῆναί οἱ ὡς καὶ δι' αὐτοῦ τι
2 αἰτησόμενος. ὁ οὖν Τραϊανὸς ἐκείνῳ μὲν τὸν τοῦ Ἰουνίου υἱὸν

17 3 6 ἔχων?* διά — διά?

Digitized by Google

ἔπεμψεν, αὐτὸς δὲ μέχρι Σαμοσάτων προχωρήσας καὶ ἀμαχὶ αὐτὰ
παραλαβὼν ἐς τὰ Σάταλα ἦλθε, καὶ Ἀγχίαλον τὸν Ἡνιόχων τε καὶ
Μαχελόνων βασιλέα δώροις ἠμείψατο. ἐν δὲ Ἐλεγείᾳ τῆς Ἀρμενίας
τὸν Παρθαμάσιριν προσεδέξατο. καθῆστο δὲ ἐπὶ βήματος ἐν τῷ 3
ταφρεύματι· καὶ ὃς ἀσπασάμενος αὐτὸν τό τε διάδημα ἀπὸ τῆς
κεφαλῆς ἀφεῖλε καὶ πρὸς τοὺς πόδας αὐτοῦ ἔθηκεν, σιγῇ τε εἱστή-
κει, καὶ προσεδόκα αὐτὸ ἀπολήψεσθαι. συμβοησάντων δὲ ἐπὶ τούτῳ
τῶν στρατιωτῶν, καὶ αὐτοκράτορα τὸν Τραϊανὸν ὡς καὶ ἐπὶ νίκῃ
τινὶ ἐπικαλεσάντων (νίκην γὰρ ἀσέλινον ἄναιμον ὠνόμαζον ὅτι τὸν 4
βασιλέα τὸν Ἀρσακίδην, τὸν Πακόρου παῖδα, τὸν Ὀσρόου ἀδελφι-
δοῦν, προσεστηκότα αὐτῷ ἄνευ διαδήματος εἶδον ὥσπερ αἰχμάλω-
τον), ἐξεπλάγη τε καὶ ἐνόμισεν ἐπὶ ὕβρει καὶ ὀλέθρῳ αὐτοῦ γεγονέναι.
καὶ μετεστράφη μὲν ὡς καὶ φευξούμενος, ἰδὼν δὲ ὅτι περιεστοίχι- 5
σται ἐξῃτήσατο τὸ μὴ ἐν τῷ ὄχλῳ τι εἰπεῖν. καὶ οὕτως ἐς τὴν
σκηνὴν ἐσαχθεὶς οὐδενὸς ἔτυχεν ὧν ἐβούλετο. ἐκπηδήσαντος οὖν 20
ὀργῇ καὶ ἐκεῖθεν ἐκ τοῦ στρατοπέδου μετεπέμψατο αὐτὸν ὁ Τραϊα-
νός, καὶ ἀναβὰς αὖθις ἐπὶ τὸ βῆμα ἐκέλευσεν αὐτῷ πάντων ἀκου-
όντων εἰπεῖν ὅσα ἤθελεν, ἵνα μὴ ἀγνοήσαντές τινες τὰ κατὰ μόνας
σφίσιν εἰρημένα λογοποιήσωσί τινα διάφορα. ἀκούσας τοῦτο ὁ 2
Παρθαμάσιρις οὐκέτι τὴν ἡσυχίαν ἦγεν, ἀλλὰ μετὰ πολλῆς παρρη-
σίας ἄλλα τέ τινα εἶπεν καὶ ὅτι οὐχ ἡττηθεὶς οὐδὲ ζωγρηθεὶς ἀλλ'
ἑκὼν ἀφίκετο, πιστεύσας ὅτι οὔτε τι ἀδικηθήσεται καὶ τὴν βασιλείαν
ἀπολήψεται ὥσπερ καὶ ὁ Τηριδάτης παρὰ τοῦ Νέρωνος. καὶ αὐτῷ 3
ὁ Τραϊανὸς πρός τε τἆλλα ἀντέλεξεν ὅσα ἥρμοζε, καὶ Ἀρμενίαν
μὲν οὐδενὶ προήσεσθαι ἔφη (Ῥωμαίων τε γὰρ εἶναι καὶ ἄρχοντα
Ῥωμαῖον ἕξειν), ἐκείνῳ μέντοι ἀπελθεῖν ὅποι βούλεται ἐπιτρέψειν.
καὶ τὸν μὲν Παρθαμάσιριν μετὰ τῶν Πάρθων τῶν συνόντων οἱ 4
ἀπέπεμψεν, ἀγωγοὺς σφισιν ἱππέας, ὅπως μήτε τινὶ συγγένωνται
μήτε τι νεοχμώσωσι, δούς· τοὺς δὲ Ἀρμενίους πάντας τοὺς μετ'
αὐτοῦ ἐλθόντας προσέταξε κατὰ χώραν, ὡς καὶ αὐτοῦ ἤδη ὄντας,
μεῖναι. U p. 404.

Ὅτι ὁ Τραϊανὸς φρουρὰς ἐν ἐπικαίροις καταλιπὼν ἦλθεν ἐς 21
Ἔδεσσαν, κἀνταῦθα πρῶτον Αὔγαρον εἶδεν. πρότερον μὲν γὰρ καὶ
πρέσβεις καὶ δῶρα τῷ βασιλεῖ πολλάκις ἔπεμψεν, αὐτὸς δὲ ἄλλοτε
κατ' ἄλλας προφάσεις οὐ παρεγένετο, ὥσπερ οὐδὲ ὁ Μάννος ὁ τῆς
Ἀραβίας τῆς πλησιοχώρου οὐδὲ ὁ Σποράκης ὁ τῆς Ἀνθεμουσίας
φύλαρχος. τότε δὲ τὰ μὲν καὶ ὑπὸ τοῦ υἱέος Ἀρβάνδου καλοῦ καὶ 2
ὡραίου ὄντος καὶ διὰ τοῦτο τῷ Τραϊανῷ ᾠκειωμένου πεισθείς, τὰ

19 4 1 ἀσώληνον* 20 4 1 τῶν post Π. om 21 1 4 οὐδὲ om*
5 οὔτε*

Digitized by Google

δὲ καὶ τὴν παρουσίαν αὐτοῦ φοβηθείς, ἀπήντησέ τε αὐτῷ προσιόντι
3 καὶ ἀπελογήσατο, συγγνώμης τε ἔτυχεν· ὁ γὰρ παῖς λαμπρόν οἱ
ἱκέτευμα ἦν. καὶ ὁ μὲν φίλος τε ἐκ τούτου τῷ Τραϊανῷ ἐγένετο
καὶ εἱστίασεν αὐτόν, ἔν τε τῷ δείπνῳ παῖδα ἑαυτοῦ ὀρχησόμενον
βαρβαρικῶς πως παρήγαγεν. U p. 405.

22 ὅτι τοῦ Τραϊανοῦ ἐς Μεσοποταμίαν ἐλθόντος, καὶ τοῦ Μάννου ἐπικηρυκευσαμένου, καὶ τοῦ Μανισάρου πρέσβεις ὑπὲρ εἰρήνης διὰ τὸ τὸν Ὀσρόην ἐπιστρατεύειν αὐτῷ πέμψαντος καὶ τῆς τε Ἀρμενίας καὶ τῆς Μεσοποταμίας ἑαλωκυίας ἀποστῆναι ἑτοίμως ἔχοντος, οὔτε ἐκείνῳ πιστεύσειν τι ἔφη πρὶν ἂν ἐλθὼν πρὸς αὐτόν,
2 ὥσπερ ὑπισχνεῖτο, τοῖς ἔργοις τὰς ἐπαγγελίας βεβαιώσῃ, καὶ τὸν Μάννον ὑπώπτευεν ἄλλως τε καὶ ὅτι συμμαχίαν Μηβαρσάπῃ τῷ τῆς Ἀδιαβηνῆς βασιλεῖ πέμψας πᾶσαν αὐτὴν ὑπὸ τῶν Ῥωμαίων ἀποβεβλήκει. διόπερ οὐδὲ τότε ἐπιόντας αὐτοὺς ὑπέμεινεν, ἀλλ' ἐς τὴν Ἀδιαβηνὴν πρὸς ἐκείνους ἐξεχώρησεν. καὶ οὕτω τά τε Σίγγαρα καὶ ἄλλα τινὰ ἀμαχὶ διὰ τοῦ Λουσίου κατεσχέθη. U p. 406.
3 ὅτι Ἀδήνυστραι τεῖχος ἦν ἰσχυρόν, πρὸς ὃ Σέντιός τις ἑκατόνταρχος πεμφθεὶς πρὸς τὸν Μηβαρσάπην πρεσβευτὴς καὶ δεθεὶς ὑπ' αὐτοῦ, ἔν τε τῷ χωρίῳ ἐκείνῳ ὤν, ἔπειτ' ἐπειδὴ οἱ Ῥωμαῖοι ἐπλησίασαν αὐτῷ, τῶν τε συνδεσμωτῶν τινὰς παρεσκεύασε, καὶ μετ' αὐτῶν ἔκ τε τῶν δεσμῶν διαδρὰς καὶ τὸν φρούραρχον ἀποκτείνας ἀνέῳξε τὰς πύλας τοῖς ὁμοφύλοις. U p. 407.

23 τά τε ἄλλα ἐψηφίζετο αὐτῷ πολλὰ ἡ βουλή, καὶ ὄπτιμον, εἴτ' οὖν ἄριστον, ἐπωνόμασεν. ἐβάδιζεν ἀεὶ μετὰ παντὸς τοῦ στρατοῦ πεζῇ, διεκόσμει τε αὐτοὺς κατὰ πᾶσαν τὴν πορείαν καὶ διέταττεν ἄλλοτε ἄλλως ἄγων, τούς τε ποταμούς, ὅσους γε καὶ ἐκεῖνοι, πεζῇ
2 διέβαινεν. καὶ ἔστιν ὅτε καὶ ἀγγελίας ψευδεῖς διὰ τῶν προσκόπων ἐποίει, ἵν' ἅμα τε τὰ τακτικὰ μελετῷεν καὶ ἕτοιμοι πρὸς πάντα καὶ ἀνέκπληκτοι εἶεν. καὶ ὠνομάσθη μέν, ἐπειδὴ καὶ τὴν Νίσιβιν εἷλε καὶ τὰς Βάτνας, Παρθικός, πολλῷ δὲ μᾶλλον ἐπὶ τῇ τοῦ οπτίμου προσηγορίᾳ ἢ ταῖς ἄλλαις ξυμπάσαις, ἅτε καὶ τῶν τρόπων αὐτοῦ μᾶλλον ἢ τῶν ὅπλων οὔσῃ, ἐσεμνύνετο.

24 διατρίβοντος δὲ αὐτοῦ ἐν Ἀντιοχείᾳ σεισμὸς ἐξαίσιος γίνεται·
a. C. 115 καὶ πολλαὶ μὲν ἔκαμον πόλεις, μάλιστα δὲ ἡ Ἀντιόχεια ἐδυστύχησεν. ἅτε γὰρ τοῦ Τραϊανοῦ ἐκεῖ χειμάζοντος, καὶ πολλῶν μὲν στρατιωτῶν πολλῶν δὲ ἰδιωτῶν κατά τε δίκας καὶ κατὰ πρεσβείας ἐμπορίαν
2 τε καὶ θεωρίαν πανταχόθεν συμπεφοιτηκότων, οὔτε ἔθνος οὐδὲν οὔτε δῆμος οὐδεὶς ἀβλαβὴς ἐγένετο, καὶ οὕτως ἐν τῇ Ἀντιοχείᾳ

3 3 τὸν π.?* ὀρχησάμενον 22 1 5 πρὶν ἀνελθὼν*

Digitized by Google

πᾶσα ἡ οἰκουμένη ἡ ὑπὸ τοῖς Ῥωμαίοις οὖσα ἐσφάλη. ἐγένοντο μὲν οὖν καὶ κεραυνοὶ πολλοὶ καὶ ἀλλόκοτοι ἄνεμοι· ἀλλ' οὔτοι καὶ προσεδόκησεν ἄν τις ἐκ τούτων τοσαῦτα κακὰ γενήσεσθαι. πρῶτον 3
μὲν γὰρ μύκημα ἐξαπίνης μέγα ἐβρυχήσατο, ἔπειτα βρασμὸς ἐπ' αὐτῷ βιαιότατος ἐπεγένετο, καὶ ἄνω μὲν ἡ γῆ πᾶσα ἀνεβάλλετο, ἄνω δὲ καὶ τὰ οἰκοδομήματα ἀνεπήδα, καὶ τὰ μὲν ἀνέκαθεν ἐπαιρόμενα συνέπιπτε καὶ κατερρήγνυτο, τὰ δὲ καὶ δεῦρο καὶ ἐκεῖσε κλονούμενα ὥσπερ ἐν σάλῳ περιετρέπετο, καὶ ἐπὶ πολὺ καὶ τοῦ ὑπαίθρου προσκατελάμβανεν. ὅ τε κτύπος θραυομένων καὶ κατα- 4
γνυμένων ξύλων ὁμοῦ κεράμων λίθων ἐκπληκτικώτατος ἐγίνετο, καὶ ἡ κόνις πλείστη ὅση ἠγείρετο, ὥστε μήτε ἰδεῖν τινὰ μήτε εἰπεῖν μήτ' ἀκοῦσαί τι δύνασθαι. τῶν δὲ δὴ ἀνθρώπων πολλοὶ μὲν καὶ ἐκτὸς τῶν οἰκιῶν ὄντες ἐπόνησαν· ἀναβαλλόμενοί τε γὰρ καὶ ἀναρ- 5
ριπτούμενοι βιαίως, εἶθ' ὥσπερ ἀπὸ κρημνοῦ φερόμενοι προσηράσσοντο, καὶ οἱ μὲν ἐπηροῦντο οἱ δ' ἔθνησκον. καί τινα καὶ δένδρα αὐταῖς ῥίζαις ἀνέθορεν. τῶν δ' ἐν ταῖς οἰκίαις καταληφθέντων ἀνεξεύρετος ἀριθμὸς ἀπώλετο· παμπόλλους μὲν γὰρ καὶ αὐτὴ ἡ τῶν συμπιπτόντων ῥύμη ἔφθειρε, παμπληθεῖς δὲ καὶ τὰ χώματα ἔπνιξεν. ὅσοι δὲ δὴ μέρους τοῦ σώματός σφων ὑπὸ λίθων ἢ ξύλων 6
κρατούμενοι ἔκειντο, δεινῶς ἐταλαιπώρησαν, μήτε ζῆν ἔτι μήτ' ἀποθανεῖν αὐτίκα δυνάμενοι. καὶ ἐσώθησαν γὰρ ὅμως καὶ ἐκ τούτων, 25
ἅτε καὶ ἐν ἀμυθήτῳ πλήθει, συχνοί, οὐδ' ἐκεῖνοι πάντες ἀπαθεῖς ὑπεχώρησαν. συχνοὶ μὲν γὰρ σκελῶν συχνοὶ δὲ ὤμων ἐστερήθησαν, ἄλλοι κεφαλῆς. ἄλλοι αἷμα ἤμουν, ὧν εἷς καὶ ὁ Πέδων ὁ ὕπατος ἐγένετο· καὶ εὐθύς τε γὰρ ἀπέθανεν. συνελόντι δὲ εἰπεῖν, οὐδὲν τὸ 2
παράπαν βιαίου πάθους τότε τοῖς ἀνθρώποις ἐκείνοις οὐ συνηνέχθη. καὶ ἐπὶ πολλὰς μὲν ἡμέρας καὶ νύκτας σείοντος τοῦ θεοῦ ἐν ἀπόροις καὶ ἀμηχάνοις ἦσαν οἱ ἄνθρωποι, οἱ μὲν ὑπὸ τῶν ἐρειπομένων οἰκοδομημάτων καταχωννύμενοι καὶ φθειρόμενοι, οἱ δὲ καὶ λιμῷ 3
ἀπολλύμενοι, ὅσοις συνέβη ἐν διακένῳ τινί, τῶν ξύλων οὕτω κλιθέντων, ἢ καὶ ἐν ἁψιδοειδεῖ τινὶ μεταστυλίῳ σωθῆναι. καταστάντος δέ ποτε τοῦ κακοῦ θαρσήσας τις ἐπιβῆναι τῶν πεπτωκότων γυναικὸς ζώσης ᾔσθετο. αὕτη δὲ ἦν οὐ μόνη, ἀλλὰ καὶ βρέφος εἶχε, καὶ τρέφουσα τῷ γάλακτι καὶ ἑαυτὴν καὶ τὸ παιδίον ἀντήρκεσεν. ἐκείνην τε οὖν ἀνορύξαντες ἀνεσώσαντο μετὰ τοῦ τέκνου, κἀκ τού- 4
του καὶ τἆλλα ἀνηρεύνων, ἐν οἷς ζῶντα μὲν οὐδένα ἔτι, πλὴν παι-

24 2 4 οὔτι 3 3 ἀνεπάλλετο?* 4 1 προκατελάμβανεν 5 4 καταλειφθέντων* 6 1 μέρους* 25 1 4 κεφαλῆς κατεάγησαν?* 2 1 παρευθύς τε γὰρ ἐνόσησε καὶ μετ' οὐ πολὺ ἀπέθανεν?* 2 πάθους εἶδος? 4 1 οὖν add Z p. 512

Digitized by Google

δίου πρὸς μαστῷ τὴν μητέρα καὶ τεθνηκυῖαν θηλάζοντος, εὑρεῖν ἠδυνήθησαν, τοὺς δὲ νεκροὺς ἐξέλκοντες οὐκέτ' οὐδὲ ἐπὶ τῇ σφετέρᾳ σωτηρίᾳ ἔχαιρον.

5 τοσαῦτα μὲν τότε πάθη τὴν Ἀντιόχειαν κατειλήφει· Τραϊανὸς δὲ διέφυγε μὲν διὰ θυρίδος ἐκ τοῦ οἰκήματος ἐν ᾧ ἦν, προσελθόντος αὐτῷ μείζονός τινος ἢ κατ' ἄνθρωπον καὶ ἐξαγαγόντος αὐτόν, ὥστε μικρὰ ἄττα πληγέντα περιγενέσθαι, ὡς δ' ἐπὶ πλείους ἡμέρας
6 ὁ σεισμὸς ἐπεῖχεν, ὑπαίθριος ἐν τῷ ἱπποδρόμῳ διῆγεν. ἐσείσθη δὲ καὶ αὐτὸ τὸ Κάσιον οὕτως ὥστε τὰ ἄκρα αὐτοῦ καὶ ἐπικλίνεσθαι καὶ ἀπορρήγνυσθαι καὶ ἐς αὐτὴν τὴν πόλιν ἐσπίπτειν δοκεῖν. ὄρη τε ἄλλα ὑφίζησε, καὶ ὕδωρ πολὺ οὐκ ὂν μὲν πρότερον ἀνεφάνη, πολὺ δὲ καὶ ῥέον ἐξέλιπεν.

26 Τραϊανὸς δὲ ἐς τὴν τῶν πολεμίων ὑπὸ τὸ ἔαρ ἠπείχθη. ἐπειδὴ δὲ ἡ χώρα ἡ πρὸς τῷ Τίγριδι ἄφορος ναυπηγησίμων ξύλων ἐστί, τὰ πλοῖα, ἃ ἐν ταῖς ὕλαις ταῖς περὶ τὴν Νίσιβιν ἐπεποίητο, ἐπὶ τὸν ποταμὸν ἤγαγεν ἐφ' ἁμάξαις· οὕτω γάρ πως κατεσκεύαστο
2 ὥστε διαλύεσθαι καὶ συμπήγνυσθαι. καὶ ἔζευξεν αὐτὸν κατὰ τὸ Κάρδυνον ὄρος ἐπιπονώτατα· οἱ γὰρ βάρβαροι ἀντικαταστάντες ἐκώλυον. ἀλλ' ἦν γὰρ πολλὴ τῷ Τραϊανῷ καὶ τῶν νεῶν καὶ τῶν στρατιωτῶν περιουσία, αἱ μὲν ἐζεύγνυντο πολλῷ τάχει, αἱ δὲ πρὸ ἐκείνων ἀνεκώχευον ὁπλίτας τε καὶ τοξότας φέρουσαι, ἕτεραι δὲ
3 ἔνθεν καὶ ἔνθεν ὡς διαβησόμεναι ἐπείρων. ἔκ τε οὖν τούτων καὶ ἐξ αὐτῆς τῆς ἐκπλήξεως τοῦ τοσαύτας ἅμα ναῦς ἀθρόας ἐξ ἠπείρου ἀξύλου ἀναφανῆναι ἐνέδοσαν οἱ βάρβαροι. καὶ ἐπεραιώθησαν οἱ Ῥωμαῖοι, καὶ τήν τε Ἀδιαβηνὴν ἅπασαν παρεστήσαντο (ἔστι δὲ
4 τῆς Ἀσσυρίας τῆς περὶ Νίνον μέρος αὕτη, καὶ τά τε Ἄρβηλα καὶ τὰ Γαυγάμηλα, παρ' οἷς ὁ Ἀλέξανδρος τὸν Δαρεῖον ἐνίκησε, ταῦτα τῆσδ' ἐστίν· καί που καὶ Ἀτυρία διὰ τοῦτο βαρβαριστί, τῶν σίγμα ἐς τὸ ταῦ μεταπεσόντων, ἐκλήθη), καὶ μετὰ ταῦτα καὶ μέχρι τῆς Βαβυλῶνος αὐτῆς ἐχώρησαν κατὰ πολλὴν τῶν κωλυσόντων αὐτοὺς ἐρημίαν, ἅτε καὶ τῆς τῶν Πάρθων δυνάμεως ἐκ τῶν ἐμφυλίων
27 πολέμων ἐφθαρμένης καὶ τότε ἔτι στασιαζούσης. ἔνθα μέντοι τήν τε ἄσφαλτον εἶδε Τραϊανὸς ἐξ ἧς τὰ τείχη Βαβυλῶνος ᾠκοδόμητο (τοσαύτην γὰρ ἀσφάλειαν πλίνθοις ὀπταῖς ἢ καὶ λίθοις λεπτοῖς συμμιχθεῖσα παρέχεται ὥστε καὶ πέτρας καὶ σιδήρου παντὸς ἰσχυ-

4 3 προσμαστίου?* 26 1 1 ὑπήχθη 3 ἐπεποίηντο* 2 5 δὲ om?* 3 3 ἀποφανῆναι 4 1 ἡ δὲ Σεμίραμις — πόλιν εἰς ὄνομα τοῦ βασιλέως ταύτης ἀνδρὸς ἐπυργώσατο — σταδίων τὴν περίμετρον ἔχουσαν κατὰ Κοκκηιανὸν Κάσσιον Δίωνα τετρακοσίων Tzetz. Exeg. in Hom. Il. p. 141 coll. Chil. 9 275. 2 ταῦτα] τὸ ὕςατον?* 5 κωλυόντων* 27 1 3 συνάφειαν?*

Digitized by Google

*ρότερα αὐτὰ ποιεῖν), καὶ τὸ στόμιον ἐθεάσατο ἐξ οὗ πνεῦμα δεινὸν* 2
*ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῶον πᾶν δὲ πετεινὸν ἀποφθεί-*
*ρειν, εἰ καὶ ἐφ' ὁποσονοῦν ὄσφροιτό τι αὐτοῦ. καὶ εἴπερ ἐπὶ πολὺ*
*ἄνω ἐχώρει ἢ καὶ πέριξ ἐσκεδάννυτο, οὐδ' ἂν ᾤκεῖτο ὁ χῶρος· νῦν*
*δὲ αὐτὸ ἐν ἑαυτῷ ἀνακυκλούμενον κατὰ χώραν μένει. εἶδον ἐγὼ* 3
*τοιοῦτον ἕτερον ἐν Ἱερᾷ πόλει τῆς Ἀσίας, καὶ ἐπειράθην αὐτοῦ δι'*
*ὀρνέων, αὐτός τε ὑπερκύψας καὶ αὐτὸς ἰδὼν τὸ πνεῦμα· κατακέ-*
*κλεισται γὰρ ἐν δεξαμενῇ τινί, καὶ θέατρον ὑπὲρ αὐτοῦ ᾠκοδόμητο,*
*φθείρει τε πάντα τὰ ἔμψυχα πλὴν τῶν ἀνθρώπων τῶν τὰ αἰδοῖα*
*ἀποτετμημένων. οὐ μὴν καὶ τὴν αἰτίαν αὐτοῦ συννοῆσαι ἔχω, λέγω*
*δὲ ἅ τε εἶδον ὡς εἶδον καὶ ἃ ἤκουσα ὡς ἤκουσα.*

*Τραϊανὸς δὲ ἐβουλεύσατο μὲν τὸν Εὐφράτην κατὰ διώρυχα* 28
*ἐς τὸν Τίγριν ἐσαγαγεῖν, ἵνα τὰ πλοῖα δι' αὐτῆς κατελθόντα τὴν* a.C. 116
*γέφυραν αὐτῷ ποιῆσαι παράσχῃ· μαθὼν δὲ ὅτι πολὺ ὑψηλότερος*
*τοῦ Τίγριδος ἐστί, τοῦτο μὲν οὐκ ἔπραξε, φοβηθεὶς μὴ καὶ ἄπλουν*
*τὸν Εὐφράτην ἀπεργάσηται ἀθρόου τοῦ ῥεύματος ἐς τὸ κάταντες*
*φερομένου, ὑπερενεγκὼν δὲ τὰ πλοῖα ὁλκοῖς διὰ τοῦ μέσου τῶν* 2
*ποταμῶν ἐλαχίστου ὄντος (τὸ γὰρ ῥεῦμα τὸ τοῦ Εὐφράτου πᾶν*
*ἔς θ' ἕλος ἐκπίπτει καὶ ἐκεῖθέν πως τῷ Τίγριδι συμμίγνυται) τὸν*
*Τίγριν ἐπεραιώθη, καὶ ἐς τὴν Κτησιφῶντα ἐσῆλθε, παραλαβών τε*
*αὐτὴν αὐτοκράτωρ ἐπωνομάσθη καὶ τὴν ἐπίκλησιν τοῦ Παρθικοῦ*
*ἐβεβαιώσατο. ἐψηφίσθη δὲ αὐτῷ παρὰ τῆς βουλῆς τά τε ἄλλα,* 3
*καὶ νικητήρια ὅσα ἐθελήσει διεορτάσαι. ἑλὼν δὲ τὴν Κτησιφῶντα*
*ἐπεθύμησεν ἐς τὴν ἐρυθρὰν θάλασσαν καταπλεῦσαι. αὕτη δὲ τοῦ*
*τε ὠκεανοῦ μοῖρα ἐστί, καὶ ἀπό τινος ἐνδυναστεύσαντός ποτε ἐν*
*αὐτῇ οὕτω κέκληται. καὶ τὴν μὲν νῆσον τὴν ἐν τῷ Τίγριδι τὴν* 4
*Μεσσήνην, ἧς Ἀθάμβιλος ἐβασίλευεν, ἀπόνως ᾠκειώσατο, ὑπὸ δὲ*
*δὴ χειμῶνος τῆς τε τοῦ Τίγριδος ὀξύτητος καὶ τῆς τοῦ ὠκεανοῦ*
*ἀναρροίας ἐκινδύνευσεν. καὶ οἱ τὸν χάρακα δὲ τὸν Σπασίνου κα-*
*λούμενον οἰκοῦντες (ἐν δὲ δὴ τῇ τοῦ Ἀθαμβίλου ἐπικρατείᾳ ἦσαν)*
*φιλικῶς αὐτὸν ὑπεδέξαντο. κἀντεῦθεν ἐπ' αὐτὸν τὸν ὠκεανὸν ἐλθών,* 29
*τήν τε φύσιν αὐτοῦ καταμαθὼν καὶ πλοῖόν τι ἐς Ἰνδίαν πλέον*
*ἰδών, εἶπεν ὅτι πάντως ἂν καὶ ἐπὶ τοὺς Ἰνδούς, εἰ νέος ἔτι ἦν,*
*ἐπεραιώθην. Ἰνδούς τε γὰρ ἐνενόει, καὶ τὰ ἐκείνων πράγματα ἐπο-*
*λυπραγμόνει, τόν τε Ἀλέξανδρον ἐμακάριζεν. καίτοι ἔλεγε καὶ ἐκεί-*
*νου περαιτέρω προκεχωρηκέναι, καὶ τοῦτο καὶ τῇ βουλῇ ἐπέστειλε,* 2
*μὴ δυνηθεὶς μηδὲ ἃ κεχείρωτο σῶσαι. καὶ ἐπ' αὐτῷ ἄλλα τε ἔλαβε,*

3 3 ὑπεριδὼν 28 2 1 δὴ* 4 2 ὅτι ὁ Σάμβηλος ὁ τῆς νήσου ἄρχων τῆς ἐν τῷ Τίγριδι οὔσης πιστὸς διέμεινε τῷ Τραϊανῷ, καίπερ ὑποτελεῖν προσταχθείς. V p. 713 29 1 5 τοι om* 2 2 κεχείρωται

Digitized by Google

καὶ ἐπινίκια ὅσων ἂν ἐθελήσῃ ἐθνῶν πέμψαι· διὰ γὰρ τὸ πλῆθος
τῶν ἀεί σφισι γραφομένων οὔτε συνεῖναί τινα αὐτῶν οὔτε ὀνομά-
3 σαι καλῶς ἐδύναντο. καὶ οἱ μὲν ἁψῖδα αὐτῷ τροπαιοφόρον πρὸς
πολλοῖς ἄλλοις ἐν αὐτῇ τῇ ἀγορᾷ αὐτοῦ παρεσκεύαζον, καὶ ἡτοιμά-
ζοντο ὡς πορρωτέρω ἀπαντήσοντες εἰ ἐπανίοι· ἔμελλε δ' ἄρα μήτε
ἐς τὴν Ῥώμην ἔτι ἀφίξεσθαι μήτε ἄξιόν τι τῶν προκατειργασμένων
4 πράξειν, καὶ προσέτι καὶ αὐτὰ ἐκεῖνα ἀπολέσειν. ἐν γὰρ τῷ χρόνῳ
ἐν ᾧ ἐπὶ τὸν ὠκεανὸν κατέπλει καὶ ἐκεῖθεν αὖθις ἀνεκομίζετο,
πάντα τὰ ἑαλωκότα ἐταράχθη καὶ ἀπέστη, καὶ τοὺς παρὰ σφίσιν
ἕκαστοι φρουροὺς οἱ μὲν ἐξέβαλλον οἱ δ' ἀπεκτίννυσαν.

30 μαθὼν δὲ ταῦτα ὁ Τραϊανὸς ἐν Βαβυλῶνι (καὶ γὰρ ἐκεῖσε
ἦλθε κατά τε τὴν φήμην, ἧς οὐδὲν ἄξιον εἶδεν ὅ τι μὴ χώματα
καὶ λίθους καὶ ἐρείπια, καὶ διὰ τὸν Ἀλέξανδρον, ᾧ καὶ ἐνήγισεν
ἐν τῷ οἰκήματι ἐν ᾧ ἐτετελευτήκει), μαθὼν δὲ ταῦτα τόν τε Λού-
2 σιον καὶ τὸν Μάξιμον ἐπὶ τοὺς ἀφεστηκότας ἔπεμψεν. καὶ οὗτος
μὲν ἀπέθανεν ἡττηθεὶς μάχῃ, Λούσιος δὲ ἄλλα τε πολλὰ κατώρ-
θωσε καὶ τὴν Νίσιβιν ἀνέλαβε, τήν τε Ἔδεσσαν ἐξεπολιόρκησε καὶ
διέφθειρε καὶ ἐνέπρησεν. ἑάλω δὲ καὶ ἡ Σελεύκεια πρός τε Ἐρυκίου
Κλάρου καὶ πρὸς Ἰουλίου Ἀλεξάνδρου ὑποστρατήγων, καὶ ἐκαύθη.
3 Τραϊανὸς δὲ φοβηθεὶς μὴ καὶ οἱ Πάρθοι τι νεοχμώσωσι, βασιλέα
αὐτοῖς ἴδιον δοῦναι ἠθέλησε, καὶ ἐς Κτησιφῶντα ἐλθὼν συνεκάλεσεν
ἐς πεδίον τι μέγα πάντας μὲν τοὺς Ῥωμαίους πάντας δὲ τοὺς Πάρ-
θους τοὺς ἐκεῖ τότε ὄντας, καὶ ἐπὶ βῆμα ὑψηλὸν ἀναβάς, καὶ με-
γαληγορήσας ὑπὲρ ὧν καὶ κατειργάσατο, Παρθαμασπάτην τοῖς
31 Πάρθοις βασιλέα ἀπέδειξεν, τὸ διάδημα αὐτῷ ἐπιθείς. μετὰ δὲ
ταῦτα ἐς τὴν Ἀραβίαν ἦλθε, καὶ τοῖς Ἀτρηνοῖς, ἐπειδὴ καὶ αὐτοὶ
ἀφειστήκεσαν, ἐπεχείρησεν. καὶ ἔστι μὲν οὔτε μεγάλη οὔτε εὐδαίμων
ἡ πόλις· ἥ τε πέριξ χώρα ἔρημος ἐπὶ πλεῖστον ἐστί, καὶ οὔθ' ὕδωρ,
ὅ τι μὴ βραχὺ καὶ τοῦτο δυσχερές, οὔτε ξύλον οὔτε χιλὸν ἴσχει.
2 καὶ πρός τε αὐτῶν τούτων, ἀδύνατον τὴν προσεδρείαν πλήθει ποι-
ούντων, πρός τε τοῦ ἡλίου, ᾧπέρ που καὶ ἀνάκειται, ῥύεται· οὔτε
γὰρ ὑπὸ Τραϊανοῦ τότε οὔτε ὑπὸ Σεβήρου ὕστερον ἥλω, καίτοι
3 καὶ καταβαλόντων μέρη τινὰ τοῦ τείχους αὐτῆς. Τραϊανὸς δὲ τούς
τε ἱππέας πρὸς τὸ τεῖχος προπέμψας ἐσφάλη, ὥστε καὶ ἐς τὸ στρα-
τόπεδον αὐτοὺς ἐσαραχθῆναι, καὶ αὐτὸς παριππεύσας βραχυτάτου
ἐδέησε τρωθῆναι, καίπερ τὴν βασιλικὴν στολὴν ἀποθέμενος ἵνα μὴ
γνωρισθῇ. τῆς δὲ πολιᾶς αὐτοῦ τὸ γαῦρον καὶ τὸ σεμνοπρεπὲς
τοῦ προσώπου ἰδόντες ὑπετόπησάν τε εἶναι ὃς ἦν, καὶ ἐπετόξευσαν

30 1 1 Βαβυλῶνι] πλοίῳ    3 μύθους    31 1 2 Ἀγαρηνοῖς

Digitized by Google

*αὐτῷ, καὶ ἱππέα τινὰ τῶν συνόντων οἱ ἀπέκτειναν. ἐγίνοντο δὲ* 4
*βρονταί, καὶ ἴριδες ὑπεφαίνοντο, ἀστραπαί τε καὶ ζάλη χάλαζά τε*
*καὶ κεραυνοὶ τοῖς Ῥωμαίοις ἐνέπιπτον, ὁπότε προσβάλοιεν. καὶ*
*ὁπότε οὖν δειπνοῖεν, μυῖαι τοῖς βρώμασι καὶ τοῖς πόμασι προσι-*
*ζάνουσαι δυσχερείας ἅπαντα ἐνεπίμπλων.*

*καὶ Τραϊανὸς μὲν ἐκεῖθεν οὕτως ἀπῆλθε, καὶ οὐ πολλῷ ὕστε-* 32
*ρον ἀρρωστεῖν ἤρχετο· καὶ ἐν τούτῳ οἱ κατὰ Κυρήνην Ἰουδαῖοι,*
*Ἀνδρέαν τινὰ προστησάμενοί σφων, τούς τε Ῥωμαίους καὶ τοὺς*
*Ἕλληνας ἔφθειρον, καὶ τάς τε σάρκας αὐτῶν ἐσιτοῦντο καὶ τὰ ἔν-*
*τερα ἀνεδοῦντο τῷ τε αἵματι ἠλείφοντο καὶ τὰ ἀπολέμματα ἐνε-*
*δύοντο, πολλοὺς δὲ καὶ μέσους ἀπὸ κορυφῆς διέπριον· θηρίοις* 2
*ἑτέρους ἐδίδοσαν, καὶ μονομαχεῖν ἄλλους ἠνάγκαζον, ὥστε τὰς πά-*
*σας δύο καὶ εἴκοσι μυριάδας ἀπολέσθαι. ἔν τε Αἰγύπτῳ πολλὰ*
*ἔδρασαν ὅμοια καὶ ἐν τῇ Κύπρῳ, ἡγουμένου τινός σφισιν Ἀρτε-*
*μίωνος· καὶ ἀπώλοντο καὶ ἐκεῖ μυριάδες τέσσαρες καὶ εἴκοσιν. καὶ* 3
*διὰ τοῦτ᾽ οὐδενὶ Ἰουδαίῳ ἐπιβῆναι αὐτῆς ἔξεστιν, ἀλλὰ κἂν ἀνέμῳ*
*τις βιασθεὶς ἐς τὴν νῆσον ἐκπέσῃ θανατοῦται. ἀλλ᾽ Ἰουδαίους μὲν*
*ἄλλοι τε καὶ Λούσιος ὑπὸ Τραϊανοῦ πεμφθεὶς κατεστρέψαντο.*

*"ὅτι Κύητος Λούσιος Μαῦρος μὲν ἦν, καὶ αὐτὸς τῶν Μαύρων* 4
*ἄρχων καὶ ἐν ἱππεῦσιν ἴλης ἐξήταστο, καταγνωσθεὶς δὲ ἐπὶ πονηρίᾳ*
*τότε μὲν τῆς στρατείας ἀπηλλάγη καὶ ἠτιμώθη, ὕστερον δὲ τοῦ*
*Δακικοῦ πολέμου ἐνστάντος καὶ τοῦ Τραϊανοῦ τῆς τῶν Μαύρων*
*συμμαχίας δεηθέντος ἦλθέ τε πρὸς αὐτὸν αὐτεπάγγελτος καὶ με-*
*γάλα ἔργα ἀπεδείξατο. τιμηθεὶς δὲ ἐπὶ τούτῳ πολὺ πλείω καὶ μείζω* 5
*ἐν τῷ δευτέρῳ πολέμῳ ἐξειργάσατο, καὶ τέλος ἐς τοσοῦτο τῆς τε*
*ἀνδραγαθίας ἅμα καὶ τῆς τύχης ἐν τῷδε τῷ πολέμῳ προεχώρησεν*
*ὥστε ἐς τοὺς ἐστρατηγηκότας ἐσγραφῆναι καὶ ὑπατεῦσαι τῆς τε*
*Παλαιστίνης ἄρξαι· ἐξ ὧν που καὶ τὰ μάλιστα ἐφθονήθη καὶ ἐμι-*
*σήθη καὶ ἀπώλετο.* V p. 710.

*Τραϊανὸς δὲ παρεσκευάζετο μὲν αὖθις ἐς τὴν Μεσοποταμίαν* 33
*στρατεῦσαι, ὡς δὲ τῷ νοσήματι ἐπιέζετο, αὐτὸς μὲν ἐς τὴν Ἰταλίαν* a.C. 117
*ὥρμησε πλεῖν, Πούπλιον δὲ Αἴλιον Ἀδριανὸν ἐν τῇ Συρίᾳ κατέλιπε*
*μετὰ τοῦ στρατοῦ. οὕτω μὲν οἱ Ῥωμαῖοι τῆς τε Ἀρμενίας καὶ τῆς*
*Μεσοποταμίας τῆς πλείονος τῶν τε Πάρθων κρατήσαντες μάτην*
*ἐπόνησαν καὶ μάτην ἐκινδύνευσαν· καὶ γὰρ καὶ οἱ Πάρθοι τὸν* 2
*Παρθαμασπάτην ἀπαξιώσαντες ἐν τῷ σφετέρῳ τρόπῳ ἤρξαντο βα-*
*σιλεύεσθαι. ἐνόσησε δὲ ὁ Τραϊανός, ὡς μὲν αὐτὸς ὑπώπτευσεν, ἐκ*
*φαρμάκου λήψεως, ὡς δέ τινες λέγουσιν, ἐπισχεθέντος αὐτῷ τοῦ*

4 2 *τε* post *χ.* om* 32 1 3 *ἀνδρείαν* 3 3 *ἐμπέσῃ* 4 1 *Κύντος αὐτὸς ἐν ἱππεῦσιν, ἴλης τῶν Μαύρων ἄρχων?* 4 *Τρ.*] *στρατοῦ**

3 αἵματος ὃ κατ' ἔτος κάτω διεχώρει· ἐγένετο μὲν γὰρ καὶ ἀπόπληκτος, ὥστε καὶ τοῦ σώματός τι παρεθῆναι, τὸ δ' ὅλον ὑδρωπίασεν. καὶ ἐς Σελινοῦντα τῆς Κιλικίας ἐλθών, ἣν δὴ καὶ Τραϊανούπολιν καλοῦμεν, ἐξαίφνης ἀπέψυξε, μοναρχήσας ἔτη δεκαεννέα καὶ μῆνας ἓξ ἡμέρας τε πεντεκαίδεκα.

ΞΘ Ἀδριανὸς δὲ ὑπὸ μὲν Τραϊανοῦ οὐκ ἐσεποιήθη· ἦν μὲν γὰρ πολίτης αὐτοῦ καὶ ἐπετροπεύθη ὑπ' αὐτοῦ, γένους θ' οἱ ἐκοινώνει καὶ ἀδελφιδῆν αὐτοῦ ἐγεγαμήκει, τό τε σύμπαν συνῆν αὐτῷ καὶ
2 συνδιῃτᾶτο, τῇ τε Συρίᾳ ἐπὶ τῷ Παρθικῷ πολέμῳ προσετάχθη, οὐ μέντοι οὔτ' ἄλλο τι ἐξαίρετον παρ' αὐτοῦ ἔλαβεν οὐθ' ὕπατος ἐν πρώτοις ἐγένετο, ἀλλὰ καὶ Καίσαρα αὐτὸν καὶ αὐτοκράτορα τοῦ Τραϊανοῦ ἄπαιδος μεταλλάξαντος ὅ τε Ἀττιανὸς πολίτης αὐτοῦ ὢν καὶ ἐπίτροπος γεγονώς, καὶ ἡ Πλωτῖνα ἐξ ἐρωτικῆς φιλίας, πλησίον
3 τε ὄντα καὶ δύναμιν πολλὴν ἔχοντα ἀπέδειξαν. ὁ γὰρ πατήρ μου Ἀπρωνιανός, τῆς Κιλικίας ἄρξας, πάντα τὰ κατ' αὐτὸν ἐμεμαθήκει σαφῶς, ἔλεγε δὲ τά τε ἄλλα ὡς ἕκαστα, καὶ ὅτι ὁ θάνατος τοῦ Τραϊανοῦ ἡμέρας τινὰς διὰ τοῦτο συνεκρύφθη ἵν' ἡ ποίησις προ-
4 εκφοιτήσοι. ἐδηλώθη δὲ τοῦτο καὶ ἐκ τῶν πρὸς τὴν βουλὴν γραμμάτων αὐτοῦ· ταῖς γὰρ ἐπιστολαῖς οὐκ αὐτὸς ἀλλ' ἡ Πλωτῖνα ὑπέγραψεν, ὅπερ ἐπ' οὐδενὸς ἄλλου ἐπεποιήκει.

2 ἦν δέ, ὅτε ἀνηγορεύθη αὐτοκράτωρ, Ἀδριανὸς ἐν τῇ μητροπόλει Συρίας Ἀντιοχείᾳ, ἧς ἦρχεν· ἐδόκει δὲ ὄναρ πρὸ τῆς ἡμέρας ἐκείνης πῦρ ἐκ τοῦ οὐρανοῦ, ἔν τε αἰθρίᾳ καὶ ἐν εὐδίᾳ πολλῇ, ἐς τὴν ἀριστερὰν αὐτοῦ σφαγὴν ἐμπεσεῖν, ἔπειτα καὶ ἐπὶ τὴν δεξιὰν
2 παρελθεῖν, μήτε ἐκφοβῆσαν αὐτὸν μήτε βλάψαν. ἔγραψε δὲ πρὸς τὴν βουλὴν ὁ Ἀδριανὸς ἀξιῶν βεβαιωθῆναι αὐτῷ τὴν ἡγεμονίαν καὶ παρ' ἐκείνης, καὶ ἀπαγορεύων μηδὲν αὐτῷ μήτε τότε μήτε ἄλλοτε τιμὴν δή τινα φέρον, οἷα εἰώθει γίγνεσθαι, ψηφισθῆναι, πλὴν
3 ἄν τι αὐτός ποτε ἀξιώσῃ. τὰ δὲ τοῦ Τραϊανοῦ ὀστᾶ ἐν τῷ κίονι αὐτοῦ κατετέθη, καὶ αἱ θέαι αἱ Παρθικαὶ ὀνομασθεῖσαι ἐπὶ πολλὰ ἔτη ἐγένοντο· ὕστερον γὰρ καὶ αὐτή, ὥσπερ καὶ ἄλλα πολλά, κατελύθη.

4 "ὅτι ὁ Ἀδριανὸς ἐν ἐπιστολῇ τινὶ ἔγραψε τά τε ἄλλα μεγαλοφρονησάμενος, καὶ ἐπομόσας μήτε τι ἔξω τῶν τῷ δημοσίῳ συμφερόντων ποιήσειν μήτε βουλευτήν τινα ἀποσφάξειν, καὶ ἐξώλειαν ἑαυτῷ, ἂν καὶ ὁτιοῦν αὐτῶν ἐκβῇ, προσεπαρασάμενος· ἀλλ' ὅμως διεβλήθη ἐς πολλά. V p. 713.

5 Ἀδριανὸς δέ, καίτοι φιλανθρωπότατα ἄρξας, ὅμως διά τινας φόνους ἀρίστων ἀνδρῶν, οὓς ἐν ἀρχῇ τε τῆς ἡγεμονίας καὶ πρὸς τῇ τελευτῇ τοῦ βίου πεποίητο, διεβλήθη, καὶ ὀλίγου διὰ ταῦτ' οὐδὲ

Digitized by Google

ἐς τοὺς ἥρωας ἀνεγράφη. καὶ οἱ μὲν ἐν τῇ ἀρχῇ φονευθέντες Πάλ-
μας τε καὶ Κέλσος Νιγρῖνός τε καὶ Λούσιος ἦσαν, οἱ μὲν ἐν θήρᾳ
δῆθεν ἐπιβεβουλευκότες αὐτῷ, οἱ δὲ ἐφ' ἑτέροις δή τισιν ἐγκλήμα-
σιν, οἷα μεγάλα δυνάμενοι καὶ πλούτου καὶ δόξης εὖ ἥκοντες· ἐφ' 6
οἷς Ἀδριανὸς οὕτω τῶν λογοποιουμένων ᾔσθετο ὥστε καὶ ἀπελογή-
σατο καὶ ἐπώμοσε μὴ κεκελευκέναι ἀποθανεῖν αὐτούς. οἱ δὲ ἐν τῇ
τελευτῇ Σερβιανός τε ὑπῆρχον καὶ ὁ ἔγγονος αὐτοῦ Φοῦσκος.
ἦν δὲ Ἀδριανὸς γένος μὲν "βουλευτοῦ πατρὸς ἐστρατηγηκότος" 3
Ἀδριανοῦ Ἄφρου ("οὕτω γὰρ ὠνομάζετο"), φύσει δὲ φιλολόγος ἐν
ἑκατέρᾳ τῇ γλώσσῃ· καί τινα καὶ πεζὰ καὶ ἐν ἔπεσι ποιήματα παν-
τοδαπὰ καταλέλοιπεν. φιλοτιμίᾳ τε γὰρ ἀπλήστῳ ἐχρῆτο, καὶ κατὰ 2
τοῦτο καὶ τἆλλα πάντα καὶ τὰ βραχύτατα ἐπετήδευεν· καὶ γὰρ
ἔπλασσε καὶ ἔγραφε καὶ οὐδὲν ὅ τι οὐκ εἰρηνικὸν καὶ πολεμικὸν
καὶ βασιλικὸν καὶ ἰδιωτικὸν εἰδέναι ἔλεγεν. "καὶ τοῦτο μὲν οὐδέν 3
που τοὺς ἀνθρώπους ἔβλαπτεν, ὁ δὲ δὴ φθόνος αὐτοῦ δεινότατος
ἐς πάντας τούς τινι προέχοντας ὢν" πολλοὺς μὲν καθεῖλε συχνοὺς
δὲ καὶ ἀπώλεσεν. βουλόμενος "γὰρ" πάντων ἐν πᾶσι περιεῖναι "ἐμί-
σει τοὺς ἔν τινι ὑπεραίροντας." κἀκ τούτου καὶ τὸν Φαβωρῖνον 4
τὸν Γαλάτην τόν τε Διονύσιον τὸν Μιλήσιον τοὺς σοφιστὰς κατα-
λύειν ἐπεχείρει "τοῖς τε ἄλλοις καὶ μάλιστα" τῷ τοὺς ἀνταγωνιστάς
σφων ἐξαίρειν, "τοὺς μὲν μηδενὸς τοὺς δὲ βραχυτάτου τινὸς ἀξίους
ὄντας·" ὅτε Διονύσιος πρὸς τὸν αὐτοῦ ἴδιον Ἡλιόδωρον, τὸν τὰς 5
ἐπιστολὰς αὐτοῦ διαγαγόντα, εἰπεῖν λέγεται ὅτι Καῖσαρ χρήματα
μέν σοι καὶ τιμὴν δοῦναι δύναται, ῥήτορα δέ σε ποιῆσαι οὐ δύνα-
ται. καὶ ὁ Φαβωρῖνος μέλλων παρ' αὐτῷ περὶ τῆς ἀτελείας ἣν ἐν 6
τῇ πατρίδι ἔχειν ἠξίου δικάσασθαι, ὑποτοπήσας καὶ ἐλαττωθήσε-
σθαι καὶ προσυβρισθήσεσθαι, ἐσῆλθε μὲν ἐς τὸ δικαστήριον, εἶπε
δὲ οὐδὲν ἄλλο ἢ ὅτι ὁ διδάσκαλός μου ὄναρ τῆς νυκτὸς ταύτης
ἐπιστάς μοι ἐκέλευσε λειτουργεῖν τῇ πατρίδι ὡς καὶ ἐν ἐκείνῃ γε-
γεννημένον. Ἀδριανὸς δὲ τούτων μέν, καίπερ ἀχθεσθείς σφισιν, 4
ἐφείσατο, μηδεμίαν εὔλογον ὀλέθρου κατ' αὐτῶν ἀφορμὴν λαβών·
τὸν δ' Ἀπολλόδωρον τὸν ἀρχιτέκτονα τὸν τὴν ἀγορὰν καὶ τὸ ᾠδεῖον
τό τε γυμνάσιον, τὰ τοῦ Τραϊανοῦ ποιήματα, ἐν τῇ Ῥώμῃ κατα-
σκευάσαντα τὸ μὲν πρῶτον ἐφυγάδευσεν, ἔπειτα δὲ καὶ ἀπέκτεινε, 2
λόγῳ μὲν ὡς πλημμελήσαντά τι, τὸ δ' ἀληθὲς ὅτι τοῦ Τραϊανοῦ
κοινουμένου τι αὐτῷ περὶ τῶν ἔργων εἶπε τῷ Ἀδριανῷ παραλαλή-
σαντί τι ὅτι ἄπελθε καὶ τὰς κολοκύνθας γράφε· τούτων γὰρ οὐδὲν
ἐπίστασαι. ἐτύγχανε δ' ἄρα τότε ἐκεῖνος τοιούτῳ τινὶ γράμματι

3 1 et 2 " " V p. 713 3 3 ἰὼν?* 5 1 ὅ, τε* 2 διὰ χει-
ρὸς ἔχοντα?* cf. 71 12 3. an διοικοῦντα, ut 72 7 extr.



Digitized by Google

3 σεμνυνόμενος. αὐτοκρατορεύσας οὖν τότε ἐμνησικάκησε καὶ τὴν
παρρησίαν αὐτοῦ οὐκ ἤνεγκεν. αὐτὸς μὲν γὰρ τοῦ τῆς Ἀφροδίτης
τῆς τε Ῥώμης ναοῦ τὸ διάγραμμα αὐτῷ πέμψας, δι᾽ ἔνδειξιν ὅτι
καὶ ἄνευ ἐκείνου μέγα ἔργον γίγνεσθαι δύναται, ἤρετο εἰ εὖ ἔχοι τὸ
4 κατασκεύασμα· ὁ δ᾽ ἀντεπέστειλε περί τε τοῦ ναοῦ ὅτι καὶ μετέω-
ρον αὐτὸν καὶ ὑπεκκεκενωμένον γενέσθαι ἐχρῆν, ἵν᾽ ἔς τε τὴν ἱερὰν
ὁδὸν ἐκφανέστερος ἐξ ὑψηλοτέρου εἴη καὶ ἐς τὸ κοῖλον τὰ μηχανή-
ματα ἐσδέχοιτο, ὥστε καὶ ἀφανῶς συμπήγνυσθαι καὶ ἐξ οὐ προει-
δότος ἐς τὸ θέατρον ἐσάγεσθαι, καὶ περὶ τῶν ἀγαλμάτων ὅτι μεί-
5 ζονα ἢ κατὰ τὸν τοῦ ὕψους τοῦ μεγάρου λόγον ἐποιήθη· „ἂν γὰρ
αἱ θεαί" ἔφη „ἐξαναστήσεσθαί τε καὶ ἐξελθεῖν ἐθελήσωσιν, οὐ δυ-
νηθήσονται." ταῦτα γὰρ ἄντικρυς αὐτοῦ γράψαντος καὶ ἠγανά-
κτησε καὶ ὑπερήλγησεν ὅτι καὶ ἐς ἀδιόρθωτον ἁμαρτίαν ἐπεπτώκει,
καὶ οὔτε τὴν ὀργὴν οὔτε τὴν λύπην κατέσχεν, ἀλλ᾽ ἐφόνευσεν αὐτόν.
6 καὶ οὕτω γε "τῇ φύσει" τοιοῦτος ἦν· ὥστε "μὴ μόνον τοῖς ζῶσιν
ἀλλὰ καὶ τοῖς τελευτήσασι φθονεῖν· τὸν γοῦν" Ὅμηρον καταλύων
Ἀντίμαχον ἀντ᾽ αὐτοῦ ἐσῆγεν, οὗ μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον
ἠπίσταντο.

5 ᾐτιῶντο μὲν δὴ ταῦτά τε αὐτοῦ καὶ τὸ πάνυ ἀκριβὲς τό τε
περίεργον καὶ τὸ πολυπράγμον· ἐθεράπευε δὲ αὐτὰ καὶ ἀνελάμβανε
τῇ τε ἄλλῃ ἐπιμελείᾳ καὶ προνοίᾳ καὶ μεγαλοπρεπείᾳ καὶ δεξιότητι,
καὶ τῷ μήτε τινὰ πόλεμον ταράξαι καὶ τοὺς ὄντας παῦσαι, μήτε
τινὸς χρήματα ἀδίκως ἀφελέσθαι, καὶ πολλοῖς πολλά, καὶ δήμοις
2 καὶ ἰδιώταις καὶ βουλευταῖς τε καὶ ἱππεῦσι, χαρίσασθαι. οὐδὲ γὰρ
ἀνέμενεν αἰτηθῆναί τι, ἀλλὰ πάνυ πάντα πρὸς τὴν ἑκάστου χρείαν
ἐποίει. καὶ τά τε στρατιωτικὰ ἀκριβέστατα ἤσκησεν, ὥστ᾽ ἰσχύοντα
μήτ᾽ ἀπειθεῖν μήτε ὑβρίζειν, καὶ τὰς πόλεις τάς τε συμμαχίδας καὶ
3 τὰς ὑπηκόους μεγαλοπρεπέστατα ὠφέλησεν. πολλὰς μὲν γὰρ καὶ
εἶδεν αὐτῶν, ὅσας οὐδεὶς ἄλλος αὐτοκράτωρ, πάσαις δὲ ὡς εἰπεῖν
ἐπεκούρησε, ταῖς μὲν ὕδωρ ταῖς δὲ λιμένας σῖτόν τε καὶ ἔργα καὶ
χρήματα καὶ τιμὰς ἄλλαις ἄλλας διδούς.

6 ἦγε δὲ καὶ τὸν δῆμον τῶν Ῥωμαίων ἐμβριθῶς μᾶλλον ἢ θω-
πευτικῶς· καί ποτε ἰσχυρῶς αἰτοῦντί τι ἐν ὁπλομαχίᾳ οὔτε ἔνειμε,
καὶ προσέτι ἐκέλευσε τοῦτο δὴ τὸ τοῦ Δομιτιανοῦ κηρυχθῆναι
2 „σιωπήσατε." οὐκ ἐλέχθη μὲν γάρ· ὁ γὰρ κῆρυξ ἀνατείνας τὴν
χεῖρα καὶ ἐξ αὐτοῦ τούτου ἡσυχάσας, ὥσπερ εἰώθασι ποιεῖν (οὐ
γάρ ἐστιν ὁπότε ὑπὸ κηρύγματος σιγάζονται), ἐπειδὴ ἐσιώπησαν,

4 4 1 ὅτι] καὶ ὅτι* 5 1 μεγάλου 2 δυνήσονται?* 6 1 V p. 713
5 2 2 πάνυ ἑτοίμως π.?* 3 3 ὕδωρ καταγαγών, ταῖς δὲ λιμένας οἰκο-
δομήσας, ταῖς δὲ σῖτον — τιμὰς δούς Z p. 515 6 1 2 τι om

ἔφη "τοῦτ' ἐθέλει." καὶ οὐχ ὅτι τινὰ ὀργὴν τῷ κήρυκι ἔσχεν, ἀλλὰ
καὶ ἐτίμησεν αὐτὸν ὅτι τὴν δυσχέρειαν τοῦ κελεύσματος οὐκ ἐξέ-
φηνεν. ἔφερε γὰρ τὰ τοιαῦτα, καὶ οὐκ ἠγανάκτει εἴ τι καὶ παρὰ 3
γνώμην καὶ πρὸς τῶν τυχόντων ὠφελοῖτο. ἀμέλει γυναικὸς παριόν-
τος αὐτοῦ ὁδῷ τινὶ δεομένης, τὸ μὲν πρῶτον εἶπεν αὐτῇ ὅτι οὐ
σχολάζω, ἔπειτα ὡς ἐκείνη ἀνακραγοῦσα ἔφη "καὶ μὴ βασίλευε",
ἐπεστράφη τε καὶ λόγον αὐτῇ ἔδωκεν.

ἔπραττε δὲ καὶ διὰ τοῦ βουλευτηρίου πάντα τὰ μεγάλα καὶ 7
ἀναγκαιότατα, καὶ ἐδίκαζε μετὰ τῶν πρώτων τοτὲ μὲν ἐν τῷ πα-
λατίῳ τοτὲ δὲ ἐν τῇ ἀγορᾷ τῷ τε πανθείῳ καὶ ἄλλοθι πολλαχόθι,
ἀπὸ βήματος, ὥστε δημοσιεύεσθαι τὰ γιγνόμενα. καὶ τοῖς ὑπάτοις
ἔστιν ὅτε δικάζουσι συνεγίγνετο, ἔν τε ταῖς ἱπποδρομίαις αὐτοὺς
ἐτίμα. καὶ οἴκαδε ἀνακομιζόμενος ἐν φορείῳ ἐφέρετο, ὅπως μηδένα 2
συνακολουθοῦντά οἱ ἐνοχλοίη. ἐν δὲ ταῖς μήτε ἱεραῖς μήτε δημο-
σίοις ἡμέραις οἴκοι ἔμενε, καὶ οὐδένα οὐδ' ὅσον ἀσπάσασθαι προσ-
εδέχετο, εἰ μή τι ἀναγκαῖον εἴη, ἵνα μὴ πάνυ ταλαιπωροῖντο. ἀεί 3
τε περὶ ἑαυτὸν καὶ ἐν τῇ Ῥώμῃ καὶ ἔξω τοὺς ἀρίστους εἶχε, καὶ
συνῆν σφίσι καὶ ἐν τοῖς συμποσίοις, καὶ διὰ τοῦτο καὶ τέταρτος
πολλάκις ὠχεῖτο. ἐθήρα δὲ ὁσάκις ἐνεδέχετο, καὶ ἠρίστα ἄνευ οἴ-
νου· ἔπειτα μετὰ πάντων τῶν πρώτων καὶ ἀρίστων ἐδείπνει, καὶ
ἦν αὐτοῦ τὸ συσσίτιον παντοδαπῶν λόγων πλῆρες. τούς τε πάνυ 4
νοσοῦντας φίλους ἐπεσκέπτετο, καὶ ἑορτάζουσί σφισι συνδιητᾶτο,
τοῖς τε ἀγροῖς καὶ ταῖς οἰκίαις αὐτῶν ἡδέως ἐχρῆτο· ὅθεν καὶ εἰκό-
νας πολλοῖς μὲν ἀποθανοῦσι πολλοῖς δὲ καὶ ζῶσιν ἐς τὴν ἀγορὰν
ἔστησεν. οὐ μέντοι οὔτ' ἐξύβρισέ τις αὐτῶν οὔτ' ἀπέδοτό τι οὔθ'
ὧν ἔλεγεν οὔθ' ὧν ἔπραττεν, οἷα οἵ τε καισάρειοι καὶ οἱ ἄλλοι οἱ
περὶ τοὺς αὐτοκράτορας ἔχοντες ποιεῖν εἰώθασιν.

ταῦτα περί γε τοῦ τρόπου, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, προείρηκα· 8
λέξω δὲ καὶ τὰ καθ' ἕκαστον, ὅσα ἀναγκαῖόν ἐστι μνημονεύεσθαι.
ἐλθὼν γὰρ ἐς τὴν Ῥώμην ἀφῆκε τὰ ὀφειλόμενα τῷ τε βασιλικῷ a.C. 118
καὶ τῷ δημοσίῳ τῷ τῶν Ῥωμαίων, ἑκκαιδεκαετῆ ὁρίσας χρόνον ἀφ'
οὗ τε καὶ μέχρις οὗ τηρηθήσεσθαι τοῦτ' ἔμελλεν. ἔν τε τοῖς ἑαυ- 2
τοῦ γενεθλίοις προῖκα τῷ δήμῳ τὴν θέαν ἀπένειμε καὶ θηρία
πολλὰ ἀπέκτεινεν, ὥστε ἐφάπαξ καὶ λέοντας ἑκατὸν καὶ λεαίνας
ἴσας πεσεῖν, καὶ δῶρα διὰ σφαιρίων καὶ ἐν τῷ θεάτρῳ καὶ ἐν τῷ
ἱπποδρόμῳ χωρὶς μὲν τοῖς ἀνδράσι χωρὶς δὲ ταῖς γυναιξὶ διέρρι-
ψεν· καὶ γὰρ καὶ λούεσθαι χωρὶς ἀλλήλων αὐτοῖς προσέταξεν.

ἐν μὲν τῷ ἔτει ἐκείνῳ ταῦτά τε ἐγένετο καὶ ὁ Εὐφράτης ὁ φι- 3

3 3 τινὶ] τι?* 7 2 1 πολλάκις δὲ καὶ δικάζων μεταξὺ τροφῆς με-
τελάμβανε M p. 221 8 1 1 τε 2 λέγω*

Digitized by Google

λόσοφος ἀπέθανεν ἐθελοντής, ἐπιτρέψαντος αὐτῷ καὶ τοῦ Ἀδριανοῦ
9 κώνειον διὰ τὸ γῆρας καὶ διὰ τὴν νόσον πιεῖν. Ἀδριανὸς δὲ ἄλλην
ἀπ' ἄλλης διαπορευόμενος ἐπαρχίαν, τάς τε χώρας καὶ τὰς πόλεις
ἐπισκεπτόμενος, καὶ πάντα τὰ φρούρια καὶ τὰ τείχη περισκοπῶν
τὰ μὲν ἐς ἐπικαιροτέρους τόπους μεθίστη, τὰ δὲ ἔπαυε, τὰ δὲ
2 προσκαθίστατο, αὐτὸς πάντα ἁπλῶς, οὐχ ὅπως τὰ κοινὰ τῶν στρα-
τοπέδων, ὅπλα λέγω καὶ μηχανὰς καὶ τάφρους καὶ περιβόλους καὶ
χαρακώματα, ἀλλὰ καὶ τὰ ἴδια ἑνὸς ἑκάστου, καὶ τῶν ἐν τῷ τετα-
γμένῳ στρατευομένων καὶ τῶν ἀρχόντων αὐτῶν, τοὺς βίους τὰς
οἰκήσεις τοὺς τρόπους, καὶ ἐφορῶν καὶ ἐξετάζων· καὶ πολλά γε ἐς
τὸ ἁβρότερον ἐκδεδιῃτημένα καὶ κατεσκευασμένα καὶ μετερρύθμισε
3 καὶ μετεσκεύασεν. ἐγύμναζέ τε αὐτοὺς πρὸς πᾶν εἶδος μάχης, καὶ
τοὺς μὲν ἐτίμα τοὺς δὲ ἐνουθέτει, πάντας δὲ ἐδίδασκεν ἃ χρὴ ποι-
εῖν. καὶ ὅπως γε καὶ ὁρῶντες αὐτὸν ὠφελοῖντο, σκληρᾷ τε πανταχοῦ
χοῦ τῇ διαίτῃ ἐχρῆτο, καὶ ἐβάδιζεν ἢ καὶ ἵππευε πάντα, οὐδ' ἔστιν
4 ὁπότε οὔτε ὀχήματος τότε γε οὔτε τετρακύκλου ἐπέβη· οὐδὲ τὴν
κεφαλὴν οὐκ ἐν θάλπει, οὐκ ἐν ῥίγει ἐκαλύφθη, ἀλλὰ καὶ ἐν ταῖς
a.C. 119 χιόσι ταῖς Κελτικαῖς καὶ ἐν τοῖς καύμασι τοῖς Αἰγυπτιακοῖς γυμνῇ
αὐτῇ περιῄει. συνελόντι τε εἰπεῖν, οὕτω καὶ τῷ ἔργῳ καὶ τοῖς πα-
ραγγέλμασι πᾶν τὸ στρατιωτικὸν δι' ὅλης τῆς ἀρχῆς ἤσκησε καὶ
κατεκόσμησεν ὥστε καὶ νῦν τὰ τότε ὑπ' αὐτοῦ ταχθέντα νόμον
5 σφίσι τῆς στρατείας εἶναι. καὶ διὰ τοῦτο καὶ μάλιστα ἐν εἰρήνῃ
τὸ πλεῖστον πρὸς τοὺς ἀλλοφύλους διεγένετο· τήν τε γὰρ παρα-
σκευὴν αὐτοῦ ὁρῶντες, καὶ μήτε τι ἀδικούμενοι καὶ προσέτι καὶ
6 χρήματα λαμβάνοντες, οὐδὲν ἐνεόχμωσαν. οὕτω γὰρ καλῶς ἤσκητο
τὸ στρατιωτικὸν αὐτῷ ὥστε καὶ τὸ ἱππικὸν τῶν καλουμένων Βα-
τάβων τὸν Ἴστρον μετὰ τῶν ὅπλων διενήξαντο· ἃ ὁρῶντες οἱ βάρ-
βαροι τοὺς μὲν Ῥωμαίους κατεπλήττοντο, τρεπόμενοι δὲ ἐπὶ σφᾶς
αὐτοὺς ἐχρῶντο αὐτῷ διαιτητῇ τῶν πρὸς ἀλλήλους διαφορῶν.
10 ἐποίει δὲ καὶ θέατρα καὶ ἀγῶνας, περιπορευόμενος τὰς πόλεις,
ἄνευ τῆς βασιλικῆς μέντοι παρασκευῆς· οὐδὲ γὰρ ἔξω τῆς Ῥώμης
ἐχρήσατό ποτε αὐτῇ. τὴν δὲ πατρίδα καίπερ μεγάλα τιμήσας καὶ
2 πολλὰ καὶ ὑπερήφανα αὐτῇ δούς, ὅμως οὐκ εἶδεν. περὶ μέντοι τὰς
θήρας ἐσπουδακέναι λέγεται· καὶ γὰρ τὴν κλεῖν ἐν ταύταις κατέαξε
a.C. 121 καὶ τὸ σκέλος μικροῦ ἐπηρώθη, καὶ πόλιν ἐν τῇ Μυσίᾳ οἰκίσας
Ἀδριανοῦ θήρας αὐτὴν ὠνόμασεν. οὐ μέντοι τι παρὰ τοῦτ' ἄπρα-
κτον τῶν τῇ ἀρχῇ προσηκόντων κατέλιπεν. τῆς δὲ περὶ τὰς θήρας
σπουδῆς αὐτοῦ καὶ ὁ Βορυσθένης ὁ ἵππος, ᾧ μάλιστα θηρῶν ἡρέ-

9 1 4 ἐπικαιροτάτους* 4 1 οὔτε* 6 ἀχθέντα 6 4 περὶ

*σκετο, σημεῖόν ἐστιν· ἀποθανόντι γὰρ αὐτῷ καὶ τάφον κατεσκεύασε
καὶ στήλην ἔστησε καὶ ἐπιγράμματα ἐπέγραψεν. ὅθεν οὐ θαυμα-* 3
*στὸν εἰ καὶ τὴν Πλωτῖναν ἀποθανοῦσαν, δι' ἧς ἔτυχε τῆς ἀρχῆς
ἐρώσης αὐτοῦ, διαφερόντως ἐτίμησεν, ὡς καὶ ἐπὶ ἡμέρας ἐννέα με-
λανειμονῆσαι καὶ ναὸν αὐτῇ οἰκοδομῆσαι καὶ ὕμνους τινὰς ἐς αὐ-
τὴν ποιῆσαι. οὕτω δὲ περὶ τὴν θήραν ἐπιδέξιος ἦν ὡς καὶ μέγαν
ποτὲ σὺν μιᾷ πληγῇ καθελεῖν.*

*ἀφικόμενος δὲ ἐς τὴν Ἑλλάδα ἐπώπτευσε τὰ μυστήρια. διὰ* 11 a.C. 122
*δὲ τῆς Ἰουδαίας μετὰ ταῦτα ἐς Αἴγυπτον παριὼν καὶ ἐνήγισε τῷ
Πομπηίῳ· πρὸς ὃν καὶ τουτὶ τὸ ἔπος ἀπορρῖψαι λέγεται "τῷ ναοῖς
βρίθοντι πόση σπάνις ἔπλετο τύμβου." καὶ τὸ μνῆμα αὐτοῦ διε-
φθαρμένον ἀνῳκοδόμησεν. ἐν δὲ τῇ Αἰγύπτῳ καὶ τὴν Ἀντινόου* 2
*ὠνομασμένην ἀνῳκοδόμησε πόλιν. ὁ γὰρ Ἀντίνοος ἦν μὲν ἐκ Βι-
θυνίου πόλεως Βιθυνίδος, ἣν καὶ Κλαυδιούπολιν καλοῦμεν, παι-
δικὰ δὲ αὐτοῦ ἐγεγόνει, καὶ ἐν τῇ Αἰγύπτῳ ἐτελεύτησεν, εἴτ' οὖν ἐς
τὸν Νεῖλον ἐκπεσών, ὡς Ἁδριανὸς γράφει, εἴτε καὶ ἱερουργηθείς,
ὡς ἡ ἀλήθεια ἔχει· τά τε γὰρ ἄλλα περιεργότατος Ἁδριανός, ὥσπερ* 3
*εἶπον, ἐγένετο, καὶ μαντείαις μαγγανείαις τε παντοδαπαῖς ἐχρῆτο.
καὶ οὕτω γε τὸν Ἀντίνοον, ἤτοι διὰ τὸν ἔρωτα αὐτοῦ ἢ ὅτι ἐθε-
λοντὴς ἐθανατώθη (ἑκουσίου γὰρ ψυχῆς πρὸς ἃ ἔπραττεν ἐδεῖτο),
ἐτίμησεν ὡς καὶ πόλιν ἐν τῷ χωρίῳ, ἐν ᾧ τοῦτ' ἔπαθε, συνοικίσαι
καὶ ὀνομάσαι ἀπ' αὐτοῦ. καὶ ἐκείνου ἀνδριάντας ἐν πάσῃ ὡς εἰπεῖν* 4
*τῇ οἰκουμένῃ, μᾶλλον δὲ ἀγάλματα, ἀνέθηκεν. καὶ τέλος ἀστέρα
τινὰ αὐτός τε ὁρᾶν ὡς τοῦ Ἀντινόου ὄντα ἔλεγε, καὶ τῶν συνόντων
αὐτῷ μυθολογούντων ἡδέως ἤκουεν ἔκ τε τῆς ψυχῆς τοῦ Ἀντινόου
ὄντως τὸν ἀστέρα γεγενῆσθαι καὶ τότε πρῶτον ἀναπεφηνέναι.*

*διὰ ταῦτα μὲν οὖν ἐσκώπτετο, "καὶ ὅτι Παυλίνῃ τῇ ἀδελφῇ
ἀποθανούσῃ παραχρῆμα μὲν οὐδεμίαν τιμὴν ἔνειμεν..." ἐς δὲ τὰ* 12 a.C. 133
*Ἱεροσόλυμα πόλιν αὐτοῦ ἀντὶ τῆς κατασκαφείσης οἰκίσαντος, ἣν καὶ
Αἰλίαν Καπιτωλῖναν ὠνόμασε, καὶ ἐς τὸν τοῦ ναοῦ τοῦ θεοῦ τόπον
ναὸν τῷ Διὶ ἕτερον ἀντεγείραντος πόλεμος οὔτε μικρὸς οὔτ' ὀλι-
γοχρόνιος ἐκινήθη. Ἰουδαῖοι γὰρ δεινόν τι ποιούμενοι τὸ ἀλλοφύ-* 2
*λους τινὰς ἐς τὴν πόλιν σφῶν οἰκισθῆναι καὶ τὸ ἱερὰ ἀλλότρια ἐν
αὐτῇ ἱδρυθῆναι, παρόντος μὲν ἔν τε τῇ Αἰγύπτῳ καὶ αὖθις ἐν τῇ
Συρίᾳ τοῦ Ἁδριανοῦ ἡσύχαζον, πλὴν καθ' ὅσον τὰ ὅπλα τὰ ἐπιτα-
χθέντα σφίσιν ἧττον ἐπιτήδεια ἐξεπίτηδες κατεσκεύασαν ὡς ἀποδο-*

10 3 2 *ὅτι τῆς Πλωτίνης ἀποθανούσης ἐπήνει Ἁδριανός, λέγων ὅτι πολλὰ παρ' ἐμοῦ αἰτήσασα οὐδενὸς ἀπέτυχεν. τοῦτο δὲ οὐκ ἄλλως ἔλεγεν, ἀλλ' ὅτι τοιαῦτα ᾔτει οἷα οὔτε ἐβάρει με οὔτε συνεχώρει ἀντειπεῖν.* M p. 221
11 2 2 *συνῳκοδόμησε?** 4 *τε** 4 6 " " V p. 714

κιμασθεῖσιν αὐτοῖς ὑπ' ἐκείνων χρήσασθαι, ἐπεὶ δὲ πόρρω ἐγένετο,
3 φανερῶς ἀπέστησαν. καὶ παρατάξει μὲν φανερᾷ οὐκ ἐτόλμων διακινδυνεῦσαι πρὸς τοὺς Ῥωμαίους, τὰ δὲ τῆς χώρας ἐπίκαιρα κατελάμβανον καὶ ὑπονόμοις καὶ τείχεσιν ἐκρατύνοντο, ὅπως ἀναφυγάς τε ὁπόταν βιασθῶσιν ἔχωσι καὶ παρ' ἀλλήλους ὑπὸ γῆν διαφοιτῶντες λανθάνωσι, διατιτράντες ἄνω τὰς ὑπογείους ὁδοὺς ἵνα καὶ
13 ἄνεμον καὶ φέγγος ἐσδέχοιντο. καὶ τὸ μὲν πρῶτον ἐν οὐδενὶ αὐτοὺς λόγῳ οἱ Ῥωμαῖοι ἐποιοῦντο· ἐπεὶ δ' ἥ τε Ἰουδαία πᾶσα κεκίνητο, καὶ οἱ ἁπανταχοῦ γῆς Ἰουδαῖοι συνεταράττοντο καὶ συνῄεσαν, καὶ πολλὰ κακὰ ἐς τοὺς Ῥωμαίους τὰ μὲν λάθρᾳ τὰ δὲ καὶ φανε-
2 ρῶς ἐνεδείκνυντο, πολλοί τε ἄλλοι καὶ τῶν ἀλλοφύλων ἐπιθυμίᾳ κέρδους σφίσι συνελαμβάνοντο, καὶ πάσης ὡς εἰπεῖν κινουμένης ἐπὶ τούτῳ τῆς οἰκουμένης, τότε δὴ τότε τοὺς κρατίστους τῶν στρατηγῶν ὁ Ἀδριανὸς ἐπ' αὐτοὺς ἔπεμψεν, ὧν πρῶτος Ἰούλιος Σεβῆρος
3 ὑπῆρχεν, ἀπὸ Βρεττανίας ἧς ἦρχεν ἐπὶ τοὺς Ἰουδαίους σταλείς. ὃς ἄντικρυς μὲν οὐδαμόθεν ἐτόλμησε τοῖς ἐναντίοις συμβαλεῖν, τό τε πλῆθος καὶ τὴν ἀπόγνωσιν αὐτῶν ὁρῶν· λαμβάνων δ' ὡς ἑκάστους πλήθει τῶν στρατιωτῶν καὶ τῶν ὑπάρχων, καὶ τροφῆς ἀπείργων καὶ κατακλείων, ἠδυνήθη βραδύτερον μὲν ἀκινδυνότερον δὲ κατα-
14 τρῖψαι καὶ ἐκτρυχῶσαι καὶ ἐκκόψαι αὐτούς. ὀλίγοι γοῦν κομιδῇ περιεγένοντο. καὶ φρούρια μὲν αὐτῶν πεντήκοντα τά γε ἀξιολογώτατα, κῶμαι δὲ ἐνακόσιαι καὶ ὀγδοήκοντα καὶ πέντε ὀνομαστόταται κατεσκάφησαν, ἄνδρες δὲ ὀκτὼ καὶ πεντήκοντα μυριάδες ἐσφάγησαν ἔν τε ταῖς καταδρομαῖς καὶ ἐν ταῖς μάχαις (τῶν γὰρ λιμῷ καὶ νόσῳ
2 καὶ πυρὶ φθαρέντων τὸ πλῆθος ἀνεξερεύνητον ἦν), ὥστε πᾶσαν ὀλίγου δεῖν τὴν Ἰουδαίαν ἐρημωθῆναι, καθάπερ που καὶ πρὸ τοῦ πολέμου αὐτοῖς προεδείχθη· τὸ γὰρ μνημεῖον τοῦ Σολομῶντος, ὃν ἐν τοῖς σεβασμίοις οὗτοι ἄγουσιν, ἀπὸ ταὐτομάτου διελύθη τε καὶ συνέπεσε, καὶ λύκοι ὕαιναί τε πολλαὶ ἐς τὰς πόλεις αὐτῶν ἐσέπιπτον
3 ὠρυόμεναι. πολλοὶ μέντοι ἐν τῷ πολέμῳ τούτῳ καὶ τῶν Ῥωμαίων ἀπώλοντο· διὸ καὶ ὁ Ἀδριανὸς γράφων πρὸς τὴν βουλὴν οὐκ ἐχρήσατο τῷ προοιμίῳ τῷ συνήθει τοῖς αὐτοκράτορσιν, ὅτι εἰ αὐτοί τε καὶ οἱ παῖδες ὑμῶν ὑγιαίνετε, εὖ ἂν ἔχοι· ἐγὼ καὶ τὰ στρατεύματα
4 ὑγιαίνομεν. τὸν δὲ Σεβῆρον ἐς Βιθυνίαν ἔπεμψεν, ὅπλων μὲν οὐδέν, ἄρχοντος δὲ καὶ ἐπιστάτου καὶ δικαίου καὶ φρονίμου καὶ ἀξίωμα ἔχοντος δεομένην· ἃ πάντα ἐν ἐκείνῳ ἦν. καὶ ὁ μὲν διήγαγε καὶ διῴκησε καὶ τὰ ἴδια καὶ τὰ κοινὰ αὐτῶν οὕτως ὥσθ'

2 6 ἐκείνου? 13 1 1 ἀέρα?* 3 5 post κατακλείων Z p. 518: ἔστι δ' οὗ καὶ ὅπῃ παρείκοι τοὺς στρατιώτας μοίραις αὐτῶν ἐπάγων 14 1 1 δ' οὖν* 5 ἐν om* γὰρ] τε γὰρ* 2 3 ὅ?

Digitized by Google

*ἡμᾶς καὶ ἐς δεῦρο ἀεὶ αὐτοῦ μνημονεύειν, "τῇ δὲ δὴ βουλῇ καὶ τῷ κλήρῳ ἡ Παμφυλία ἀντὶ τῆς Βιθυνίας ἐδόθη."*

*ὁ μὲν οὖν τῶν Ἰουδαίων πόλεμος ἐς τοῦτο ἐτελεύτησεν, ἕτερος* 15 *δὲ ἐξ Ἀλβανῶν (εἰσὶ δὲ Μασσαγέται) ἐκινήθη ὑπὸ Φαρασμάνου, καὶ τὴν μὲν Μηδίαν ἰσχυρῶς ἐλύπησε, τῆς δ' Ἀρμενίας τῆς τε Καππαδοκίας ἁψάμενος, ἔπειτα τῶν Ἀλβανῶν τὰ μὲν δώροις ὑπὸ τοῦ Ὀλογαίσου πεισθέντων, τὰ δὲ καὶ Φλάβιον Ἀρριανὸν τὸν τῆς Καππαδοκίας ἄρχοντα φοβηθέντων, ἐπαύσατο.*

*"ὅτι πρεσβευτὰς πεμφθέντας παρὰ τοῦ Ὀλογαίσου καὶ παρὰ* 2 *τῶν Ἰαζύγων, ἐκείνου μὲν κατηγοροῦντός τινα Φαρασμάνου, τούτων δὲ τὴν εἰρήνην πιστουμένων, ἐς τὸ βουλευτήριον ἐσήγαγεν Ἀδριανός, καὶ παρ' αὐτοῦ τὰς ἀποκρίσεις ποιήσασθαι ἐπιτραπεὶς συνέγραψέ τε αὐτὰς καὶ ἀνέγνω σφίσιν.* U p. 407.

*"ὅτι Φαρασμάνῃ τῷ Ἴβηρι ἐς τὴν Ῥώμην μετὰ τῆς γυναικὸς* 3 *ἐλθόντι τήν τε ἀρχὴν ἐπηύξησε καὶ θῦσαι ἐν τῷ Καπιτωλίῳ ἐφῆκεν, ἀνδριάντα τε ἐπὶ ἵππου ἐν τῷ ἐνυείῳ ἔστησε, καὶ γυμνασίαν αὐτοῦ τε καὶ τοῦ υἱέος τῶν τε ἄλλων πρώτων Ἰβήρων ἐν ὅπλοις εἶδεν.* ib.

*Ἀδριανὸς δὲ τό τε ὀλύμπιον τὸ ἐν ταῖς Ἀθήναις, ἐν ᾧ καὶ* 16 *αὐτὸς ἵδρυται, ἐξεποίησε, καὶ δράκοντα ἐς αὐτὸ ἀπὸ Ἰνδίας κομισθέντα ἀνέθηκεν· τά τε Διονύσια, τὴν μεγίστην παρ' αὐτοῖς ἀρχὴν ἄρξας, ἐν τῇ ἐσθῆτι τῇ ἐπιχωρίῳ λαμπρῶς ἐπετέλεσεν. τόν τε ση-* 2 *κὸν τὸν ἑαυτοῦ, τὸ πανελλήνιον ὠνομασμένον, οἰκοδομήσασθαι τοῖς Ἕλλησιν ἐπέτρεψε, καὶ ἀγῶνα ἐπ' αὐτῷ κατεστήσατο, χρήματά τε πολλὰ καὶ σῖτον ἐτήσιον τήν τε Κεφαλληνίαν ὅλην τοῖς Ἀθηναίοις ἐχαρίσατο. ἐνομοθέτησε δὲ ἄλλα τε πολλά, καὶ ἵνα μηδεὶς βουλευτὴς μήτ' αὐτὸς μήτε δι' ἑτέρου τέλος τι μισθῶται. ἐς δὲ τὴν* 3 *Ῥώμην ἐλθών, ἐπεὶ ἔν τινι θέᾳ βοῶν ὁ δῆμος ἁρματηλάτην τινὰ* a.C. 135 *ἐλευθερωθῆναι ἐδεῖτο, ἀντεῖπε διὰ πινακίου γραφῆς, εἰπὼν ὅτι οὐ προσήκει ὑμῖν οὔτε παρ' ἐμοῦ αἰτεῖν ἵν' ἀλλότριον δοῦλον ἐλευθερώσω, οὔτε τὸν δεσπότην αὐτοῦ βιάζεσθαι τοῦτο ποιῆσαι.*

*ἀρξάμενος δὲ νοσεῖν (αἷμα γὰρ εἰώθει μὲν αὐτῷ καὶ πρότερον* 17 *διὰ τῆς ῥινὸς προχεῖσθαι, τότε δὲ ἰσχυρῶς ἐπλεόνασεν) ἀπεγνώσθη μὲν βιώσεσθαι, καὶ διὰ τοῦτο Κόμμοδον μὲν Λούκιον, καίτοι αἷμα ἐμοῦντα, Καίσαρα Ῥωμαίοις ἀπέδειξε, Σερβιανὸν δὲ καὶ Φοῦσκον* a.C. 136 *τὸν ἔγγονον αὐτοῦ ὡς καὶ ἀγανακτήσαντας ἐπὶ τούτῳ ἐφόνευσε, τὸν*

5 6 " " V p. 714 15 1 2 et 4 *Ἀλανῶν* alii 3 5 *ὅτι Ἀλεξανδρέων στασιασάντων οὐκ ἄλλως ἐπαύσαντο ἕως οὗ ἐπιστολὴν Ἀδριανοῦ ἐδέξαντο ἐπιτιμῶσαν αὐτοῖς. οὕτω που πλέον ἰσχύει αὐτοκράτορος λόγος τῶν ὅπλων.* M p. 221 16 3 2 *τινι*] *τε*

Digitized by Google

2 μὲν ἐνενηκοντούτην ὄντα τὸν δὲ ὀκτωκαιδεκέτην. πρὶν δὲ ἀποσφαγῆναι, ὁ Σερβιανὸς πῦρ τ' ᾔτησε, καὶ θυμιῶν ἅμα "ὅτι μὲν οὐδὲν ἀδικῶ" ἔφη "ὑμεῖς ὦ θεοὶ ἴστε· περὶ δὲ Ἁδριανοῦ τοσοῦτο μόνον εὔχομαι, ἵν' ἐπιθυμήσας ἀποθανεῖν μὴ δυνηθῇ." καὶ μέντοι καὶ διετέλεσεν Ἁδριανὸς ἐπὶ πλεῖστον νοσῶν, πολλάκις μὲν ἀποσβῆναι
3 εὐξάμενος, πολλάκις δὲ καὶ ἀποκτανεῖν ἑαυτὸν ἐθελήσας. ἔστι γε αὐτοῦ καὶ ἐπιστολὴ αὐτὸ τοῦτο ἐνδεικνυμένη, ὅσον κακόν ἐστιν ἐπιθυμοῦντά τινα ἀποθανεῖν μὴ δύνασθαι. τὸν δὲ Σερβιανὸν τοῦτον Ἁδριανὸς καὶ τῆς αὐταρχίας ἄξιον ἐνόμισεν εἶναι· εἰπὼν γοῦν ποτὲ ἐν συμποσίῳ τοῖς φίλοις ἵν' αὐτῷ δέκα ἄνδρας μοναρχεῖν δυναμένους ὀνομάσωσιν, εἶτ' ὀλίγον ἐπισχὼν ἔφη ὅτι ἐννέα δέομαι μαθεῖν· τὸν γὰρ ἕνα, τοῦτ' ἔστι Σερβιανόν, ἔχω.

18 γεγόνασι δὲ καὶ ἄλλοι τότε ἄριστοι ἄνδρες, ὧν ἐπιφανέστατοι Τούρβων τε καὶ Σίμιλις ἤστην, οἳ καὶ ἀνδριᾶσιν ἐτιμήθησαν, Τούρβων μὲν στρατηγικώτατος ἀνήρ, ὃς καὶ ἔπαρχος γεγονώς, εἴτ' οὖν ἄρχων τῶν δορυφόρων, οὔτε τι ἁβρὸν οὔτε τι ὑπερήφανον ἔπραξεν,
2 ἀλλ' ὡς εἷς τῶν πολλῶν διεβίω. τά τε γὰρ ἄλλα καὶ τὴν ἡμέραν πᾶσαν περὶ τὸν βασιλέα διέτριβε, καὶ πολλάκις καὶ πρὸ μέσων νυκτῶν πρὸς αὐτὸν ᾔει, ὅτε τινὲς τῶν ἄλλων καθεύδειν ἤρχοντο.
3 ἀμέλει καὶ Κορνήλιος Φρόντων ὁ τὰ πρῶτα τῶν τότε Ῥωμαίων ἐν δίκαις φερόμενος, ἑσπέρας ποτὲ βαθείας ἀπὸ δείπνου οἴκαδε ἐπανιών, καὶ μαθὼν παρά τινος ᾧ συνηγορήσειν ὑπέσχητο δικάζειν αὐτὸν ἤδη, ἔν τε τῇ στολῇ τῇ δειπνίτιδι, ὥσπερ εἶχεν, ἐς τὸ δικαστήριον αὐτοῦ ἐσῆλθε καὶ ἠσπάσατο, οὔτοι γε τῷ ἑωθινῷ προσρή-
4 ματι τῷ χαῖρε, ἀλλὰ τῷ ἑσπερινῷ τῷ ὑγίαινε χρησάμενος. οἴκοι δὲ ὁ Τούρβων οὔποτε ἡμέρας, οὐδὲ νοσήσας, ὤφθη, ἀλλὰ καὶ πρὸς τὸν Ἁδριανὸν συμβουλεύοντα αὐτῷ ἀτρεμίζειν, εἶπεν ὅτι τὸν ἔπαρ-
19 χον ἑστῶτα ἀποθνήσκειν δεῖ. ὁ δὲ δὴ Σίμιλις ἡλικίᾳ μὲν καὶ τάξει προήκων αὐτοῦ ἐν τρόποις οὐδενὸς τῶν πάνυ, ὥς γε ἐγὼ νομίζω, δεύτερος ἦν. ἔξεστι δὲ καὶ ἐξ ὀλιγοστῶν τεκμήρασθαι. τῷ τε γὰρ Τραϊανῷ ἑκατονταρχοῦντα αὐτὸν ἐσκαλέσαντί ποτε εἴσω πρὸ τῶν ἐπάρχων ἔφη "αἰσχρόν ἐστι, Καῖσαρ, ἑκατοντάρχῳ σε τῶν ἐπάρχων
2 ἔξω ἑστηκότων διαλέγεσθαι", καὶ τὴν τῶν δορυφόρων ἀρχὴν ἄκων τε ἔλαβε καὶ λαβὼν ἐξίστατο, μόλις τε ἀφεθεὶς ἐν ἀγρῷ ἥσυχος ἑπτὰ ἔτη τὰ λοιπὰ τοῦ βίου διήγαγε, καὶ ἐπί γε τὸ μνῆμα αὐτοῦ

17 2 4 καὶ — 3 3 δύνασθαι] ὅπερ εἰς ἔργον ἐξέβη· τὰς νόσους γὰρ καὶ τὰς ἀνάγκας μὴ φέρων Ἁδριανὸς ἑαυτὸν ἀποσφάξαι ἠθέλησεν, ὥστε ποτὲ ἀναβοήσαντα εἰπεῖν "ὦ Ζεῦ, πόσον κακόν ἐστιν ἐπ. τινα ἀπ. μὴ δύνασθαι" M p. 222   18 2 2 περὶ] πρὸς   3 3 ὑπέσχετο*   4 3 ἀτρεμήσειν

τοῦτο ἐπέγραψεν ὅτι Σίμιλις ἐνταῦθα κεῖται βιοὺς μὲν ἔτη τόσα,
ζήσας δὲ ἔτη ἑπτά.

Ἀδριανὸς δὲ φθόῃ τε ἐκ τῆς πολλῆς τοῦ αἵματος ῥύσεως ἐχρῆτο, 20
καὶ ἀπ᾽ αὐτῆς καὶ ὑδρωπίασεν. ἐπεὶ δὲ συνέβη τὸν Λούκιον τὸν
Κόμμοδον ἐξαίφνης ἐγκαταλειφθῆναι ὑπὸ τοῦ αἵματος πολλοῦ τε a.C.
καὶ ἀθρόου ἐκπεσόντος, συνεκάλεσε τοὺς πρώτους καὶ ἀξιολόγους 138
τῶν βουλευτῶν οἴκαδε, καὶ κατακείμενος εἶπεν αὐτοῖς τάδε. “ἐμοί, 2
ὦ ἄνδρες φίλοι, γόνον μὲν οὐκ ἔδωκεν ἡ φύσις ποιήσασθαι, νόμῳ
δὲ ὑμεῖς ἐδώκατε. διαφέρει δὲ τοῦτο ἐκείνου, ὅτι τὸ μὲν γεννώμε-
νον, ὁποῖον ἂν δόξῃ τῷ δαιμονίῳ, γίγνεται, τὸ δὲ δὴ ποιούμενον
αὐθαίρετόν τις αὐτὸς ἑαυτῷ προστίθεται, ὥστε παρὰ μὲν τῆς φύ- 3
σεως ἀνάπηρον καὶ ἄφρονα πολλάκις δίδοσθαί τινι, παρὰ δὲ τῆς
κρίσεως καὶ ἀρτιμελῆ καὶ ἀρτίνουν πάντως αἱρεῖσθαι. καὶ διὰ
τοῦτο πρότερον μὲν τὸν Λούκιον ἐξ ἁπάντων ἐξελεξάμην, οἷον οὐδ᾽
ἂν εὔξασθαι παῖδα ἠδυνήθην ἐμαυτῷ γενέσθαι· ἐπεὶ δ᾽ ἐκεῖνον τὸ 4
δαιμόνιον ἡμῶν ἀφείλετο, εὗρον ἀντ᾽ ἐκείνου αὐτοκράτορα ὑμῖν, ὃν
δίδωμι, εὐγενῆ πρᾷον εὔεικτον φρόνιμον, μήθ᾽ ὑπὸ νεότητος προ-
πετὲς μήθ᾽ ὑπὸ γήρως ἀμελὲς ποιῆσαί τι δυνάμενον, ἠγμένον κατὰ
τοὺς νόμους, ἡγεμονευκότα κατὰ τὰ πάτρια, ὥστε μήτε τι ἀγνοεῖν
τῶν ἐς τὴν ἀρχὴν φερόντων καὶ πᾶσιν αὐτοῖς καλῶς δύνασθαι χρή-
σασθαι. λέγω δὲ Αὐρήλιον Ἀντωνῖνον τουτονί· ὃν εἰ καὶ τὰ μά- 5
λιστα οἶδα ἀπραγμονέστατόν τε ἀνδρῶν ὄντα καὶ πόρρω τοιαύτης
ἐπιθυμίας καθεστηκότα, ἀλλ᾽ οὔτοι γε καὶ ἀφροντιστήσειν οἴομαι
οὔτε ἐμοῦ οὔτε ὑμῶν, ἀλλὰ καὶ ἄκοντα τὴν ἀρχὴν ὑποδέξεσθαι.”

οὕτω μὲν ὁ Ἀντωνῖνος αὐτοκράτωρ ἐγένετο· ἐπεὶ δὲ ἦν ἄπαις 21
ἀρρένων παίδων, τόν τε Κομμόδου υἱὸν Κόμμοδον ἐσεποίησεν αὐτῷ
καὶ ἔτι πρὸς τούτῳ Μάρκον Ἄννιον Οὐῆρον, βουληθεὶς ἐπὶ πλεῖστον
καὶ τοὺς μετὰ ταῦτα αὐταρχήσοντας ἀποδεῖξαι. ἦν δὲ οὗτος ὁ
Ἄννιος ὁ Μάρκος, ὁ Κατίλιος πρότερον ὀνομαζόμενος, Ἀννίου Οὐή-
ρου τοῦ τρὶς ὑπατεύσαντος καὶ πολιαρχήσαντος ἔγγονος. καὶ ἀμ- 2
φοτέρους μὲν ἐσποιήσασθαι τῷ Ἀντωνίνῳ ἐκέλευε, προετίμησε δὲ
τὸν Οὐῆρον διά τε τὴν συγγένειαν αὐτοῦ καὶ διὰ τὴν ἡλικίαν, καὶ
ὅτι φύσιν ψυχῆς ἐρρωμενεστάτην ἤδη ὑπέφαινεν· ἀφ᾽ οὗ καὶ Οὐη-
ρίσσιμον αὐτόν, πρὸς τὴν τοῦ Ῥωμαϊκοῦ ῥήματος ἔννοιαν κομψευό-
μενος, ἀπεκάλει.

Ἀδριανὸς δὲ μαγγανείαις μέν τισι καὶ γοητείαις ἐκενοῦτό ποτε 22
τοῦ ὑγροῦ, πάλιν δ᾽ αὐτοῦ διὰ ταχέος ἐπίμπλατο. ἐπεὶ οὖν πρὸς
τὸ χεῖρον ἀεὶ ἐπεδίδου καὶ καθ᾽ ἑκάστην τρόπον τινὰ ἡμέραν ἀπώλ-

19 2 4 τόσα] ν′ M p. 122, ος′ Cedrenus Leunclavii 20 2 3 ὑμεῖς υἱὸν ἐδ.?* 21 1 5 ὁ ante *M.* om* 2 1 χιλιαρχήσαντος

Digitized by Google

λυτο, ἀποθανεῖν ἐπεθύμησεν, καὶ ᾔτει μὲν πολλάκις καὶ φάρμακον
2 καὶ ξίφος, ἐδίδου δὲ οὐδείς. ὡς δ' οὖν οὐδεὶς αὐτῷ καίτοι χρή-
ματα καὶ ἄδειαν ὑπισχνουμένῳ ὑπήκουε, μετεπέμψατο Μάστορα
ἄνδρα βάρβαρον Ἰάζυγα, ᾧ αἰχμαλώτῳ γενομένῳ πρὸς τὰς θήρας
διά τε ἰσχὺν καὶ δι' εὐτολμίαν ἐκέχρητο, καὶ τὰ μὲν ἀπειλῶν αὐτῷ
τὰ δὲ ὑπισχνούμενος ἠνάγκασεν αὐτὸν ἐπαγγείλασθαι τὴν σφαγήν.
3 καί τι καὶ χωρίον ὑπὸ τὸν μαστόν, πρὸς Ἑρμογένους τοῦ ἰατροῦ
ὑποδειχθέν, χρώματί τινι περιέγραψεν, ὅπως κατ' αὐτὸ πληγεὶς και-
ρίαν ἀλύπως τελευτήσῃ. ἐπεὶ δ' οὐδὲ τοῦτο αὐτῷ προεχώρησεν
(ὁ γὰρ Μάστωρ φοβηθεὶς τὸ πρᾶγμα καὶ ἐκπλαγεὶς ὑπεχώρησεν),
πολλὰ μὲν ἑαυτὸν ἐπὶ τῇ νόσῳ ὠδύρατο πολλὰ δὲ καὶ ἐπὶ τῇ οὐκ
4 ἐξουσίᾳ, ὅτι μὴ οἷός τ' ἦν ἑαυτὸν ἀναχρήσασθαι, καίτοι τοὺς ἄλ-
λους ἔτι καὶ τότε δυνάμενος· καὶ τέλος τῆς τε ἀκριβείας τῆς κατὰ
τὴν δίαιταν ἀπέσχετο, καὶ ταῖς μὴ προσηκούσαις ἐδωδαῖς καὶ πο-
τοῖς χρώμενος ἐτελεύτησε, λέγων καὶ βοῶν τὸ δημῶδες, ὅτι πολλοὶ
ἰατροὶ βασιλέα ἀπώλεσαν.
23 ἔζησε δὲ ἔτη μὲν δύο καὶ ἑξήκοντα μῆνας δὲ πέντε καὶ ἡμέρας
ἐννεακαίδεκα, καὶ ἐμονάρχησεν ἔτη εἴκοσι καὶ μῆνας ἕνδεκα. ἐτάφη
δὲ πρὸς αὐτῷ τῷ ποταμῷ, πρὸς τῇ γεφύρᾳ τῇ Αἰλίᾳ· ἐνταῦθα
γὰρ τὸ μνῆμα κατεσκευάσατο. τὸ γὰρ τοῦ Αὐγούστου ἐπεπλήρωτο,
2 καὶ οὐκέτ' οὐδεὶς ἐν αὐτῷ ἐτέθη. οὗτος ἐμισήθη μὲν "ὑπὸ τοῦ δή-
μου, καίτοι τἆλλα ἄριστα αὐτῶν ἄρξας", διά τε τοὺς πρώτους καὶ
τοὺς τελευταίους φόνους ἅτε ἀδίκως καὶ ἀνοσίως γενομένους, ἐπεὶ
οὕτω γε ἥκιστα φονικὸς ἐγένετο ὥστε καὶ προσκρουσάντων αὐτῷ
τινῶν ἀρκοῦν νομίζειν τὸ ταῖς πατρίσιν αὐτῶν αὐτὸ τοῦτο γράψαι,
3 ὅτι αὐτῷ οὐκ ἀρέσκουσιν. εἴ τέ τινα τῶν τέκνα ἐχόντων ὀφλῆσαι
πάντως τι ἔδει, ἀλλ' οὖν πρός γε τὸν ἀριθμὸν τῶν παίδων καὶ τὰς
τιμωρίας αὐτῶν ἐπεκούφιζεν. "οὐ μέντοι ἀλλ' ἡ γερουσία ἐπὶ πολὺ
ἀντέσχε, τὰς τιμὰς μὴ ψηφίσασθαι ἐθέλουσα, καὶ αἰτιωμένη τινὰς
τῶν ἐπ' αὐτοῦ πλεονασάντων καὶ διὰ τοῦτο τιμηθέντων, οὓς καὶ
κολασθῆναι ἔδει."
4 "ὅτι ὁ Φάβιος ὁ Ἰούλιος μὴ φέρων τὴν τοῦ υἱέος μαλακίαν,
ῥῖψαι ἑαυτὸν εἰς τὸν ποταμὸν ἠθέλησεν. V p. 714.
O Ἰστέον ὅτι τὰ περὶ τοῦ Ἀντωνίνου τοῦ εὐσεβοῦς ἐν τοῖς ἀντι-
γράφοις τοῦ Δίωνος οὐχ εὑρίσκεται, παθόντων τι ὡς εἰκὸς τῶν
βιβλίων, ὥστε ἀγνοεῖσθαι τὴν κατ' αὐτὸν ἱστορίαν σχεδὸν σύμπα-
σαν, πλὴν ὅτι τοῦ Λουκίου τοῦ Κομμόδου, ὃν ὁ Ἁδριανὸς ἐποιή-
σατο, πρὸ τοῦ Ἁδριανοῦ τελευτήσαντος οὗτος παρ' ἐκείνου καὶ

23 2 et 3 " " V p. 714 2 5 ἀρκεῖν?* 4 1 ὁ post Φ. om*
1 1 4 τοῦ post Δ. om*

*ἐποιήθη καὶ αὐτοκράτωρ ἐγένετο, καὶ ὅτι μὴ βουλομένης τῆς γε-* 2
*ρουσίας τὰς ἡρωικὰς τιμὰς δοῦναι τῷ Ἁδριανῷ τελευτήσαντι διά*
*τινας φόνους ἐπιφανῶν ἀνδρῶν, ὁ Ἀντωνῖνος ἄλλα τε πολλὰ δα-*
*κρύων καὶ ὀδυρόμενος αὐτοῖς διελέχθη, καὶ τέλος εἶπεν "οὐδ' ἐγὼ*
*ἄρα ὑμῶν ἄρξω, εἴγε ἐκεῖνος καὶ κακὸς καὶ ἐχθρὸς ὑμῖν καὶ πολέ-*
*μιος ἐγένετο· πάντα γὰρ δῆλον ὅτι τὰ πραχθέντα ὑπ' αὐτοῦ, ὧν* 3
*ἓν καὶ ἡ ἐμὴ ποίησίς ἐστι, καταλύσετε." ἀκούσασα δὲ τοῦτο ἡ*
*γερουσία καὶ αἰδεσθεῖσα τὸν ἄνδρα, τὸ δέ τι καὶ τοὺς στρατιώτας*
*φοβηθεῖσα, ἀπέδωκε τῷ Ἁδριανῷ τὰς τιμάς.*

*ταῦτα μόνα περὶ τοῦ Ἀντωνίνου ἐν τῷ Δίωνι σώζεται, καὶ ὅτι* 2
*Αὔγουστον αὐτὸν καὶ εὐσεβῆ διὰ τοιαύτην αἰτίαν ἐπωνόμασεν ἡ*
*βουλή, ἐπειδὴ ἐν τῇ ἀρχῇ τῆς αὐτοκρατορίας αὐτοῦ πολλῶν αἰτια-*
*θέντων καὶ τινῶν καὶ ὀνομαστὶ ἐξαιτηθέντων ὅμως οὐδένα ἐκόλα-*
*σεν, εἰπὼν ὅτι οὐ δεῖ με ἀπὸ τοιούτων ἔργων τῆς προστασίας ὑμῶν*
*ἄρξασθαι.*

*οὐ σώζεται δὲ οὐδὲ τοῦ μετὰ Ἀντωνῖνον ἄρξαντος Μάρκου* 2
*Οὐήρου τὰ πρῶτα τῶν ἱστορουμένων, ὅσα περὶ τὸν Λούκιον τὸν τοῦ*
*Κομμόδου υἱόν, ὃν ὁ Μάρκος γαμβρὸν ἐποιήσατο, ἔπραξεν αὐτός,* a.C.
*καὶ ὅσα οὗτος ἐς τὸν κατὰ Οὐολογαίσου πόλεμον ὑπὸ τοῦ πενθεροῦ* **139**
*πεμφθεὶς ἔδρασεν. διὸ βραχέα περὶ τούτων ἐξ ἑτέρων ἀναλεξάμε-*
*νος βιβλίων ἐρῶ· εἶθ' οὕτως ἐπὶ τὰ ἑξῆς τοῦ Δίωνος μεταβήσομαι.*

*ὁ γὰρ Ἀντωνῖνος ὁμολογεῖται παρὰ πάντων καλός τε καὶ ἀγα-* 3
*θὸς γενέσθαι, καὶ οὔτε τῶν ἄλλων ὑπηκόων τισὶ βαρὺς οὔτε Χρι-*
*στιανοῖς ἐπαχθής, ἀλλὰ πολλήν τινα τούτοις νέμων αἰδῶ, καὶ τῇ*
*τοῦ Ἁδριανοῦ τιμῇ, ἣν ἐκεῖνος ἐτίμα Χριστιανούς, προστιθείς.* a.C. **153**
*ὁ γὰρ τοῦ Παμφίλου Εὐσέβιος καὶ ἐπιστολάς τινας τοῦ Ἁδριανοῦ* 2
*ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ παρατίθεται, ἐν αἷς ἐκεῖνος δεί-*
*κνυται τοῖς λυποῦσί τι ἢ κατηγοροῦσι τῶν Χριστιανῶν δεινὰ ἀπει-*
*λῶν, καὶ τὸν Ἡρακλέα ἐπομνύμενος ὡς τεύξονται τιμωρίας. λέγεται* 3
*δὲ ὁ Ἀντωνῖνος ζητητικὸς γενέσθαι, καὶ μηδὲ περὶ τὰ μικρὰ καὶ*
*τὰ τυχόντα τῆς ἀκριβολογίας ἀφίστασθαι· ὅθεν αὐτὸν οἱ σκώπτον-*
*τες καὶ κυμινοπρίστην ἐκάλουν. Κουαδρᾶτος δὲ γηραιὸν μέν φησιν*
*αὐτὸν τελευτῆσαι, τὴν δὲ τελευτὴν ἡδίστην αὐτῷ κατ' ἴσον ὕπνῳ* a.C. **161**
*τῷ μαλακωτάτῳ γενέσθαι.*

3 3 4 addit Z p. 524: *οὐ μὴν διὰ τοῦτο ἐκ τῶν ὑπηκόων ἐχρηματίζετο, ἀλλ' ἐν ἀπορίᾳ ποτὲ γεγονὼς ἀργυρίου πολέμων ἐπικειμένων οὔτε τέλος καινὸν ἐπενόησεν οὔτ' αἰτῆσαι παρά του ἠνέσχετο χρήματα, ἀλλ' ἐν τῇ ἀγορᾷ πάντα τὰ ἐν τοῖς βασιλείοις κειμήλια θέμενος, καὶ εἴ τι πρὸς κόσμον ἦν τῇ αὐτοῦ γαμετῇ, ὠνεῖσθαι ταῦτα τὸν βουλόμενον προετρέπετο· ὅθεν ἀθροίσας ἀργύρια τοῖς στρατιώταις διέδωκε. καὶ νικήσας τὸν πόλεμον ἐκτήσατο πολυπλάσια, καὶ κήρυγμα ἔθετο τὸν βουλόμενον ἐκ τῶν*

Digitized by Google

4 ἐπὶ τοῦ Ἀντωνίνου λέγεται καὶ φοβερώτατος περὶ τὰ μέρη τῆς
a.C. 177? Βιθυνίας καὶ τοῦ Ἑλλησπόντου σεισμὸς γενέσθαι, καὶ ἄλλας τε
πόλεις καμεῖν ἰσχυρῶς καὶ πεσεῖν ὁλοσχερῶς, καὶ ἐξαιρέτως τὴν
Κύζικον, καὶ τὸν ἐν αὐτῇ ναὸν μέγιστόν τε καὶ κάλλιστον ναῶν
2 ἁπάντων καταρριφῆναι, ᾧ τετραόργυιοι μὲν πάχος οἱ κίονες ἦσαν,
ὕψος δὲ πεντήκοντα πηχέων, ἕκαστος πέτρας μιᾶς, καὶ τἆλλα τὰ
ἐν αὐτῷ ἕκαστον θαυμάσαι πλέον ἢ ἐπαινέσαι. περὶ δὲ τὴν μεσό-
γειον ἄνω κορυφῆς ὄρους διαστάσης θαλάσσιόν φασιν ἐκχυθῆναι
κῦμα, ἐπὶ πολύ τε τῆς γῆς ἐλθεῖν ῥιπιζομένην τὴν ἄχνην ἀκράτου
καὶ διαυγοῦς θαλάσσης.

Περὶ μὲν οὖν τοῦ Ἀντωνίνου τό γε νῦν ἔχον τοσαῦτα, ἦρξε δὲ
ΟΑ εἴκοσι καὶ τέσσαρα ἔτη· Μάρκος δὲ Ἀντωνῖνος ἐπειδὴ τοῦ ποιησα-
a.C. 161 μένου αὐτὸν τελευτήσαντος Ἀντωνίνου τὴν ἀρχὴν ἔσχε, προσειλήφει
ἐς κοινωνίαν τοῦ κράτους εὐθὺς τὸν τοῦ Λουκίου τοῦ Κομμόδου
2 υἱὸν Λούκιον Οὐῆρον. αὐτὸς μὲν γὰρ ἀσθενὴς ἦν τῷ σώματι καὶ
τὰ πολλὰ λόγοις ἐσχόλαζεν (λέγεται γὰρ καὶ αὐτοκράτωρ ὢν μὴ
αἰδεῖσθαι [μηδὲ ὀκνεῖν] ἐς διδασκάλου φοιτᾶν, ἀλλὰ καὶ Σέξτῳ
προσιέναι τῷ ἐκ Βοιωτῶν φιλοσόφῳ, καὶ ἐς ἀκρόασιν τῶν ῥητορι-
3 κῶν Ἑρμογένους λόγων μὴ ὀκνῆσαι παραγενέσθαι· προσέκειτο δὲ
τοῖς ἐκ τῆς στοᾶς μάλιστα δόγμασιν), ὁ δὲ Λούκιος ἔρρωτό τε
καὶ νεώτερος ἦν, τοῖς στρατιωτικοῖς τε ἔργοις καταλληλότερος. ὅθεν
καὶ γαμβρὸν αὐτὸν ἐπὶ τῇ θυγατρὶ Λουκίλλῃ ὁ Μάρκος ποιήσας
2 ἐς τὸν πρὸς Πάρθους ἔπεμψε πόλεμον. ὁ γὰρ Οὐολόγαισος πολέμου
ἦρξε, καὶ στρατόπεδόν τε ὅλον Ῥωμαϊκὸν τὸ ὑπὸ Σεουηριανῷ τε-
ταγμένον ἐν τῇ Ἐλεγείᾳ, χωρίῳ τινὶ τῆς Ἀρμενίας, περισχὼν πάν-
τοθεν αὐτοῖς ἡγεμόσι κατετόξευσε καὶ διέφθειρε, καὶ τῆς Συρίας
2 ταῖς πόλεσι πολὺς ἐπῄει καὶ φοβερός. ὁ οὖν Λούκιος ἐλθὼν ἐς
a.C. 162 Ἀντιόχειαν καὶ πλείστους στρατιώτας συλλέξας, καὶ τοὺς ἀρίστους
τῶν ἡγεμόνων ὑφ' ἑαυτὸν ἔχων, αὐτὸς μὲν ἐν τῇ πόλει ἐκάθητο
διατάττων ἕκαστα καὶ τὰς τοῦ πολέμου χορηγίας ἀθροίζων, Κασσίῳ

ὠνησαμένων τὰ κτήματα τὰ βασιλικὰ ἀναδιδόναι τὸ ὠνηθὲν καὶ λαμβάνειν τὸ τίμημα. καὶ τινὲς μὲν τοῦτο ἐποίησαν, οἱ δὲ πλείους ἀνένευσαν, καὶ οὐδένα ἀναδοῦναι τὸ κτηθὲν αὐτῷ ἐβιάσατο.

τούτου λέγεται νομοθέτημα εἶναι τὸ τῶν τέκνων ἀδιαθέτων τελευτώντων κληρονόμους ἀναφαίνεσθαι τοὺς γονεῖς, καὶ διατιθεμένοις τοῖς παισὶν ἐν ἀπαιδίᾳ ἀνάγκην εἶναι τὸ νόμιμον μέρος τοῖς γονεῦσι καταλιμπάνειν.

4 2 6 post haec Z p. 525: περὶ τούτου τοῦ αὐτοκράτορος ᾄδεται ὅτι καὶ τὸ τῆς συγκλήτου κατέκαυσε ψήφισμα ὃ κατ' ἐπιταγὴν τοῦ Ἰουλίου γέγονε Καίσαρος, θεσπίζον μηδενὶ ἐφεῖσθαι διαθήκην ποιεῖν εἰ μὴ μέρος ὡρισμένον τῷ κοινῷ καταλείψει ταμιείῳ· ὅθεν νομίζεται καὶ μέχρι τοῦδε ταῖς διαθήκαις ἐγγράφεσθαι ὅτι καὶ τῷ βασιλικῷ ταμιείῳ καταλιμπάνω τόδε.
1 1 1 post ἔτη omisi quae ab Ioanne Antiocheno sumpta V p. 818 ima et Suidas t. 1 p. 234 Kust. habent. 3 τοῦ post Λ. om* 2 1 3 ἐπισχὼν

δὲ τὰ στρατεύματα ἐπέτρεψεν. καὶ ὃς ἐπιόντα τε τὸν Οὐολόγαισον 3
γενναίως ὑπέμεινε, καὶ τέλος ἐγκαταλειφθέντα ὑπὸ τῶν συμμάχων
καὶ ὀπίσω ἀναχωρήσαντα ἐπεδίωξε, μέχρι τε Σελευκείας καὶ Κτη- a.C. 165
σιφῶντος ἤλασε, καὶ τήν τε Σελεύκειαν διέφθειρεν ἐμπρήσας, καὶ
τὰ τοῦ Οὐολογαίσου βασίλεια τὰ ἐν τῇ Κτησιφῶντι κατέσκαψεν. 4
ἐν γε μὴν τῇ ὑποστροφῇ πλείστους τῶν στρατιωτῶν ὑπὸ λιμοῦ
καὶ νόσου ἀπέβαλεν, ἀπενόστησε δ' ὅμως ἐς τὴν Συρίαν μετὰ τῶν
λοιπῶν στρατιωτῶν. καὶ ὁ μὲν Λούκιος τούτοις ἐπεκυδαίνετο καὶ
μέγα ἐφρόνει, οὐ μὴν αὐτῷ καὶ τὰ τῆς ἄκρας εὐτυχίας ἐς ἀγαθόν
τι ἀνέβη· λέγεται γὰρ μετὰ ταῦτα καὶ τῷ πενθερῷ Μάρκῳ ἐπιβε- 3
βουλευκώς, πρίν τι καὶ δρᾶσαι, φαρμάκῳ διαφθαρῆναι. τὸν μέν- a.C. 169
τοι Κάσσιον ὁ Μάρκος τῆς Ἀσίας ἁπάσης ἐπιτροπεύειν ἐκέλευσεν.
αὐτὸς δὲ τοῖς περὶ τὸν Ἴστρον βαρβάροις, Ἰάζυξί τε καὶ Μαρκο- a.C. 172
μάνοις, ἄλλοτε ἄλλοις χρόνον συχνὸν ὡς εἰπεῖν δι' ὅλου τοῦ βίου, 2
τὴν Παννονίαν ἔχων ὁρμητήριον, ἐπολέμησεν. πολλοὶ δὲ καὶ τῶν
ὑπὲρ τὸν Ῥῆνον Κελτῶν μέχρι τῆς Ἰταλίας ἤλασαν, καὶ πολλὰ
ἔδρασαν ἐς τοὺς Ῥωμαίους δεινά· οἷς ὁ Μάρκος ἀντεπιὼν Πομπη-

3 1 1 ὅτι Μάρτιος Οὐῆρος τὸν Θουκυδίδην ἐκπέμπει καταγαγεῖν Σόαιμον ἐς Ἀρμενίαν· ὃς δέει τῶν ὅπλων καὶ τῇ οἰκείᾳ περὶ πάντα τὰ προσπίπτοντα εὐβουλίᾳ τοῦ πρόσω εἴχετο ἐρρωμένως. ἦν δὲ ἱκανὸς ὁ Μάρτιος οὐ μόνον ὅπλοις βιάσασθαι τοὺς ἀντιπολέμους ἢ ὀξύτητι προλαβεῖν ἢ ἀπάτῃ κατασοφίσασθαι, ἥπερ ἐστὶ στρατηγῶν ἀλκή, ἀλλὰ καὶ λόγῳ πιθανῷ πεῖσαι καὶ δωρεαῖς μεγαλόφροσιν οἰκειώσασθαι καὶ ἐλπίδι ἀγαθῇ δελεάσαι. χάρις τε ἦν ἐπὶ πᾶσι τοῖς πρασσομένοις ὑπ' αὐτοῦ καὶ λεγομένοις, τὸ μὲν ἀγανακτοῦν ἑκάστου καὶ τὸ θυμούμενον παραμυθουμένη, τὸ δὲ ἐλπίζον ἔτι μᾶλλον αὔξουσα. κολακείας τε καὶ δώρων καὶ τῆς παρὰ τραπέζαις δεξιώσεως καιρὸν ᾔδει. οἷς προσὸν τὸ πρὸς τὰς πράξεις σύντονον καὶ τὸ πρὸς τοὺς ἐχθροὺς σὺν ὀξύτητι δραστήριον, αἱρετώτερον ἐδείκνυε τοῖς βαρβάροις εἶναι τῆς φιλίας αὐτοῦ μᾶλλον ἢ τῆς ἔχθρας ἀντιποιεῖσθαι. ἀφικόμενος οὖν ἐς τὴν καινὴν πόλιν, ἣν φρουρὰ Ῥωμαίων κατεῖχεν ἐκ Πρίσκου καταστᾶσα, νεωτερίζειν πειρωμένους λόγῳ τε καὶ ἔργῳ σωφρονίσας, ἀπέφηνε πρώτην εἶναι τῆς Ἀρμενίας. Suidas v. Μάρτιος. ζεύγνυνται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα, ἅτε καὶ τοῦτο διὰ μελέτης ἀεὶ τοῖς στρατιώταις ὂν καὶ ὥσπερ ἄλλο τι τῶν πολεμικῶν ἀσκούμενον ἐπί τε Ἴστρῳ καὶ Ῥήνῳ καὶ Εὐφράτῃ. ἔστι δὲ ὁ τρόπος (οὐ γὰρ δὴ πάντας εἰδέναι) τοιόσδε. πλατεῖαι μέν εἰσιν αἱ νῆες δι' ὧν ὁ ποταμὸς ζεύγνυται, ἀνορμίζονται δὲ ὀλίγον ἄνω τοῦ ῥεύματος ὑπὲρ τὸν μέλλοντα ζεύγνυσθαι τόπον. ἐπὰν δὲ τὸ σημεῖον δοθῇ, ἀφιᾶσι πρώτην μίαν ναῦν κατὰ ῥοῦν φέρεσθαι πλησίον τῆς οἰκείας ὄχθης. ἐπὰν δὲ κατὰ τὸν ζευγνύμενον ἥκῃ τόπον, ἐμβάλλουσιν ἐς τὸ ῥεῦμα φορμὸν λίθων ἐμπεπλησμένον, καλωδίῳ δήσαντες, ὥσπερ ἄγκυραν· ἀφ' οὗ δεθεῖσα ἡ ναῦς πρὸς τῇ ὄχθῃ ἵσταται σανίσι καὶ ζεύγμασιν, ἅπερ ἄφθονα αὐτοῖς ἡ ναῦς φέρει, καὶ παραχρῆμα μέχρι τῆς ἀποβάσεως καταστρώννυται. εἶτα ἄλλην ἀφιᾶσιν ὀλίγον ἀπ' ἐκείνης, καὶ ἄλλην ἀπ' ἐκείνης, ἔστ' ἂν ἐπὶ τὴν ἀντιπέραν ὄχθην ἐλάσωσι τὸ ζεῦγμα. ἡ δὲ πρὸς τῇ πολεμίᾳ ναῦς καὶ πύργους ἐπ' αὐτῇ καὶ πυλίδα καὶ τοξότας καὶ καταπέλτας φέρει.

βαλλομένων δὲ τῶν βελῶν πολλῶν ἐπὶ τοὺς ζευγνύντας, ὁ Κάσσιος ἀφιέναι βέλη καὶ καταπέλτας κελεύει. πεσόντων δὲ τῶν βαρβάρων τῶν πρώτων ἐφεστηκότων ἕτεροι ἧκον. id. v. ζεῦγμα. 4 ὡς] μᾶλλον δ' ὡς?

Digitized by Google

ιανόν τε καὶ Περτίνακα τοὺς ὑποστρατήγους ἀντικαθίστη. καὶ
ἠρίστευσεν ὁ Περτίναξ, ὅστις καὶ ὕστερον αὐτοκράτωρ ἐγένετο. ἐν
μέντοι τοῖς νεκροῖς τῶν βαρβάρων καὶ γυναικῶν σώματα ὡπλισμένα
3 εὑρέθη. καίτοι δὲ ἰσχυροτάτου ἀγῶνος καὶ λαμπρᾶς νίκης γεγενη-
μένης, ὅμως ὁ αὐτοκράτωρ αἰτηθεὶς παρὰ τῶν στρατιωτῶν οὐκ
ἔδωκε χρήματα, αὐτὸ τοῦτο εἰπὼν ὅτι ὅσῳ ἂν πλεῖόν τι παρὰ τὸ
καθεστηκὸς λάβωσι, τοῦτ' ἐκ τοῦ αἵματος τῶν τε γονέων σφῶν
4 καὶ τῶν συγγενῶν ἐσπεπράξεται· περὶ γάρ τοι τῆς αὐταρχίας ὁ
θεὸς μόνος κρίνειν δύναται. οὕτω καὶ σωφρόνως καὶ ἐγκρατῶς
αὐτῶν ἦρχεν, ὥστε καίπερ ἐν τοσούτοις καὶ τηλικούτοις πολέμοις
ὢν μηδὲν ἔξω τοῦ προσήκοντος μήτ' ἐκ κολακείας εἰπεῖν μήτ' ἐκ
5 φόβου ποιῆσαι. τῶν δὲ Μαρκομάνων εὐτυχησάντων ἔν τινι μάχῃ
καὶ τὸν Οὐίνδικα τὸν Μακρῖνον ἔπαρχον ὄντα ἀποκτεινάντων, τούτῳ
μὲν τρεῖς ἀνδριάντας ἔστησε, κρατήσας δὲ αὐτῶν Γερμανικὸς ὠνο-
μάσθη· Γερμανοὺς γὰρ τοὺς ἐν τοῖς ἄνω χωρίοις οἰκοῦντας ὀνο-
μάζομεν.

4 καὶ οἱ καλούμενοι δὲ Βουκόλοι κατὰ τὴν Αἴγυπτον κινηθέντες
καὶ τοὺς ἄλλους Αἰγυπτίους προσαποστήσαντες ὑπὸ ἱερεῖ τινὶ Ἰσι-
δώρῳ, πρῶτον μὲν ἐν γυναικείοις στολαῖς τὸν ἑκατόνταρχον τῶν
Ῥωμαίων ἠπατηκότες ὡς δὴ γυναῖκες τῶν Βουκόλων καὶ χρυσία
δώσουσαι αὐτῷ ὑπὲρ τῶν ἀνδρῶν, προσιόντα σφίσι κατέκοψαν,
καὶ τὸν συνόντα αὐτῷ καταθύσαντες ἐπί τε τῶν σπλάγχνων αὐτοῦ
2 συνώμοσαν καὶ ἐκεῖνα κατέφαγον. ἦν δὲ Ἰσίδωρος ἀνδρίᾳ πάντων
τῶν καθ' ἑαυτὸν ἄριστος. ἔπειτα ἐκ παρατάξεως τοὺς ἐν Αἰγύπτῳ
Ῥωμαίους νικήσαντες μικροῦ καὶ τὴν Ἀλεξάνδρειαν εἷλον, εἰ μὴ
Κάσσιος ἐκ Συρίας πεμφθεὶς ἐπ' αὐτούς, καὶ στρατηγήσας ὥστε
τὴν πρὸς ἀλλήλους σφῶν ὁμόνοιαν λῦσαι καὶ ἀπ' ἀλλήλων ἀποχω-
ρίσαι (διὰ γὰρ τὴν ἀπόνοιαν καὶ τὸ πλῆθος αὐτῶν οὐκ ἐθάρρησε
συμβαλεῖν ἀθρόοις αὐτοῖς), οὕτω δὴ στασιάσαντας ἐχειρώσατο.

5 ἐν δὲ τῷ πολέμῳ τοῦ Μάρκου τῷ πρὸς τοὺς Γερμανούς, ἵνα
καὶ ταῦτα μνήμης ἀξιωθείη, μειράκιον μὲν αἰχμάλωτον ἐρωτηθέν
τι ὑπ' αὐτοῦ "οὐ δύναμαι" ἔφη "ἀποκρίνασθαί σοι ὑπὸ τοῦ ῥίγους·
ὥστε εἴ τι μαθεῖν ἐθέλεις, κέλευσόν μοι ἱματίδιόν τι, εἴγε ἔχεις, δο-
2 θῆναι·" στρατιώτης δέ τις νυκτὸς φυλακὴν τοῦ Ἴστρου ποιούμενος,
καί τινα βοὴν ἐκ τῆς περαίας στρατιωτῶν ἑαλωκότων ἀκούσας,
διενήξατο εὐθὺς ὥσπερ εἶχε, καὶ λύσας αὐτοὺς ἀνεκομίσθη. ἦν δὲ

3 3 ὅσῳ πλέον τοῦ καθεστηκότος λαμβάνουσιν οἱ στρατιῶται, τοσοῦτον ἐκ τοῦ αἵματος τῶν γονέων αὐτῶν καὶ τῶν συγγενῶν ἐξέρχεται, τὸ δὲ κράτος τῆς αὐταρχίας οὐκ ἐν τοῖς στρατιώταις ἀλλ' ἐν τῷ θεῷ κεῖται. M p. 223. 4 1 εἰσπράξεται 4 εἰπεῖν e Z p. 528 5 2 Μάρκον 4 1 2 τινὶ καὶ Ἰσ. 3 5 ἀλλήλων αὐτοὺς ἀπ.?*

*τῷ Μάρκῳ ὁ Ῥοῦφος ὁ Βασσαῖος ἔπαρχος, τὰ μὲν ἄλλα ἀγαθός,
ἀπαίδευτος δὲ ὑπ' ἀγροικίας, καὶ τὰ πρῶτά γε τοῦ βίου ἐν πενίᾳ
τραφείς· ἀναδενδράδα δέ ποτε αὐτὸν κλῶντα ἀνέλαβέ τις, καὶ ἐπειδή* 3
*γε μὴ εὐθὺς ἅμα τῷ πρώτῳ κελεύσματι κατέβη, ἐπετίμησεν αὐτῷ
καὶ ἔφη "εὖ γε ἔπαρχε, κατάβηθι." τοῦτο γὰρ ὡς καὶ πρὸς ὑπερη-
φανοῦντα καὶ τεταπεινωμένον αὐτὸν εἶπεν· ὅπερ ἡ τύχη μετὰ ταῦτα
αὐτῷ ἔδωκεν.*

*ὁ δ' αὐτοκράτωρ ὁσάκις ἀπὸ τοῦ πολέμου σχολὴν ἦγεν, ἐδί-* 6
*καζε, καὶ ὕδωρ πλεῖστον τοῖς ῥήτορσι μετρεῖσθαι ἐκέλευε, τάς τε
πύστεις καὶ τὰς ἀνακρίσεις ἐπὶ μακρότερον ἐποιεῖτο, ὥστε πανταχό-
χόθεν τὸ δίκαιον ἀκριβοῦν. καὶ κατὰ τοῦτο ἕνδεκα πολλάκις καὶ
δώδεκα ἡμέραις τὴν αὐτὴν δίκην, καίπερ νυκτὸς ἔστιν ὅτε δικάζων,
ἔκρινεν. φιλόπονος γὰρ ἦν, καὶ ἀκριβῶς πᾶσι τοῖς τῇ ἀρχῇ προσ-* 2
*ήκουσι προσεφέρετο, καὶ οὐδὲν ἐν παρέργῳ οὔτε ἔλεγεν οὔτε ἔγρα-
φεν οὔτε ἐποίει, ἀλλ' ἔστιν ὅτε καὶ περὶ τοῦ βραχυτάτου ἡμέρας
ὅλας ἀνήλισκεν, οὐκ ἀξιῶν τὸν αὐτοκράτορα ἐξ ἐπιδρομῆς τι πράτ-
τειν· καὶ γὰρ ἐνόμιζεν ὅτι κἂν ἐλάχιστόν τι παρίδῃ, διαβολὴν αὐτῷ
τοῦτο καὶ ἐπὶ τὰ ἄλλα πάντα οἴσει. καίτοι οὕτως ἀσθενὴς τῷ* 3
*σώματι ἐγένετο ὥστε μήτε τὸ ψῦχος τήν γε πρώτην ὑπομεῖναι,
ἀλλὰ καὶ πρὶν διαλεχθῆναι τοῖς στρατιώταις συνεληλυθόσιν ἤδη
κατὰ τὸ παρηγγελμένον ἀναχωρῆσαι, καὶ τροφὴν βραχυτάτην, καὶ
ταύτην ἐν νυκτὶ ἀεί, λαμβάνειν. οὐ γὰρ ἔστιν ὅ τι μεθ' ἡμέραν* 4
*πλὴν τοῦ φαρμάκου τοῦ θηριακοῦ καλουμένου ἐσιτεῖτο. ἐλάμβανε
δὲ τοῦ φαρμάκου οὐχ οὕτως ὅτι ἐδεδίει τι, ὡς ὅτι τοῦ τε στομάχου
καὶ τοῦ θώρακος φαύλως εἶχεν· καί φασιν ὅτι δι' ἐκεῖνο ἀνταρκεῖν
πρός τε τἆλλα καὶ πρὸς τοῦτο ἐδύνατο.*

*τοὺς δὲ Ἰάζυγας οἱ Ῥωμαῖοι ἔν τε τῇ γῇ τότε καὶ μετὰ τοῦτο* 7
*καὶ ἐν τῷ ποταμῷ ἐνίκησαν. λέγω δὲ οὐχ ὅτι ναυμαχία τις ἐγένετο,
ἀλλ' ὅτι διὰ τοῦ Ἴστρου πεπηγότος φεύγουσί σφισιν ἐπακολουθήσαν-
τες καὶ ἐκεῖ ὡς ἐν ἠπείρῳ ἐμαχέσαντο. αἰσθόμενοι γὰρ οἱ Ἰάζυγες* 2
*ὅτι ἐπιδιώκονται, ὑπέστησαν αὐτοὺς ἐλπίσαντες ῥᾳδίως ἅτε καὶ
ἀήθεις τοῦ κρυστάλλου ὄντας κατεργάσασθαι, καὶ οἱ μὲν κατὰ
πρόσωπον αὐτοῖς συνέρραξαν, οἱ δὲ ἐκ τῶν πλαγίων παριππεύσαν-*

5 2 4 *τὰ μὲν*] *ὅτι ὁ Μάρκος οὐδ' αὐτῷ ἐκείνῳ συνετὰ ἐφθέγγετο· ἦν γὰρ τὰ μὲν — ἀγροικίας.* V p. 717. *ὅτι ὁ Μάρκος ἐλάλει πρός τινα τῇ Λατίνων φωνῇ, καὶ οὐ μόνον ἐκεῖνος ἀλλ' οὐδὲ ἄλλος τις τῶν παρόντων ἔγνω τὸ λαληθέν, ὥστε Ῥοῦφον τὸν ἔπαρχον εἰπεῖν "εἰκός ἐστι, Καῖσαρ, μὴ γνῶναι αὐτὸν τὰ παρ' ὑμῶν λαληθέντα· οὔτε γὰρ ἑλληνιστὶ ἐπίσταται." καὶ γὰρ αὐτὸς ἠγνόηκε τὸ λεχθέν.* M p. 223 3 1 *ἀναδενδράδα*] *ὅτι οὐδὲ ἑκὼν ἐστράτευτο, ἀλλ' ἀναδενδράδα εὑρεθεὶς κλῶν. ὕστερον δὲ βασιλεύσας.* V p. 717 3 *εὖ*] *ὦ** 6 4 1 *ὅτε* 4 *ἐκεῖνα αὐταρκεῖν* 7 1 1 *τότε*] *ποτε τότε*

τες· οἱ γὰρ ἵπποι σφῶν δεδιδαγμένοι καὶ ἐν τῷ τοιούτῳ θεῖν
3 ἀσφαλῶς ἦσαν. ἰδόντες δὲ τοῦτο οἱ Ῥωμαῖοι οὐκ ἐφοβήθησαν, ἀλλὰ συστραφέντες καὶ πᾶσιν ἅμα αὐτοῖς ἀντιμέτωποι γενόμενοι τάς τε ἀσπίδας οἱ πλείους ἔθηκαν, καὶ τὸν ἕτερον πόδα ἐπ' αὐτῶν, ὅπως ἧττον ὀλισθαίνωσιν, ἀπερείσαντες ἐδέξαντό σφας προσπεσόντας, καὶ ἀντιλαμβανόμενοι οἱ μὲν τῶν χαλινῶν οἱ δὲ τῶν ἀσπίδων
4 τῶν τε κοντῶν ἐπεσπῶντο αὐτούς, κἀκ τούτου συμπλεκόμενοι κατέβαλλον καὶ τοὺς ἄνδρας καὶ τοὺς ἵππους· ἐκ γάρ τοι τῆς βίας οὐκέτ' ἀντέχειν πρὸς τὸν ὄλισθον ἐδύναντο. ὠλίσθαινον μὲν γὰρ καὶ οἱ Ῥωμαῖοι· ἀλλ' εἴθ' ὕπτιός τις αὐτῶν ἔπεσε, συνεφείλκετο τὸν ἀντίπαλον καὶ τοῖς ποσὶν ἐς τοὐπίσω ἀνερρίπτει ὥσπερ ἐν πάλῃ,
5 καὶ οὕτως ἐπάνωθεν αὐτοῦ ἐγίγνετο· εἴτε καὶ ἐπὶ στόμα, κατελάμβανεν αὐτὸν προκαταπίπτοντα αὐτῷ τῷ στόματι. οἱ γὰρ βάρβαροι καὶ ἄπειροι τοιουτοτρόπου ἀγωνίας καὶ κουφότεροι ὄντες οὐχ οἷοί τε ἦσαν ἀντέχειν, ὥστε καὶ ἀπὸ πολλῶν ὀλίγοι διέφυγον.

8 Μαρκομάνους μὲν οὖν καὶ Ἰάζυγας πολλοῖς καὶ μεγάλοις ἀγῶσι
a.C. 174 καὶ κινδύνοις Μάρκος ὑπέταξεν· ἐπὶ δὲ τοὺς καλουμένους Κουάδους καὶ πόλεμος αὐτῷ συνέστη μέγας καὶ νίκη παράδοξος εὐτυχήθη, μᾶλλον δὲ παρὰ θεοῦ ἐδωρήθη. κινδυνεύσαντας γὰρ ἐν τῇ μάχῃ
2 τοὺς Ῥωμαίους παραδοξότατα τὸ θεῖον ἐξέσωσεν. κυκλωσάντων γὰρ αὐτοὺς τῶν Κουάδων ἐν τόποις ἐπιτηδείοις συνασπίσαντες οἱ Ῥωμαῖοι προθύμως ἠγωνίζοντο, καὶ οἱ βάρβαροι τὴν μὲν μάχην ἐπέσχον, προσδοκήσαντές σφας ῥᾳδίως ὑπό τε τοῦ καύματος καὶ ὑπὸ τοῦ δίψους αἱρήσειν, πάντα δὲ τὰ πέριξ διαλαβόντες ἀπέφραξαν, ὅπως μηδαμόθεν ὕδωρ λάβωσιν· πολὺ γὰρ καὶ τῷ πλήθει
3 περιῆσαν. τῶν οὖν Ῥωμαίων ἐν παντὶ κακοῦ καὶ ἐκ τοῦ καμάτου καὶ ἐκ τῶν τραυμάτων τοῦ τε ἡλίου καὶ τοῦ δίψους γενομένων, καὶ μήτε μάχεσθαι διὰ ταῦτα μήτε χωρῆσαί πῃ δυναμένων, ἀλλ' ἔν τε τῇ τάξει καὶ ἐν τοῖς τόποις ἑστηκότων καὶ κατακαιομένων, νέφη πολλὰ ἐξαίφνης συνέδραμε καὶ ὑετὸς πολὺς οὐκ ἀθεεὶ κατερ-
4 ράγη· καὶ γάρ τοι λόγος ἔχει Ἀρνοῦφίν τινα μάγον Αἰγύπτιον συνόντα τῷ Μάρκῳ ἄλλους τέ τινας δαίμονας καὶ τὸν Ἑρμῆν τὸν ἀέριον ὅτι μάλιστα μαγγανείαις τισὶν ἐπικαλέσασθαι καὶ δι' αὐτῶν τὸν ὄμβρον ἐπισπάσασθαι.

9 ταῦτα μὲν περὶ τούτων ὁ Δίων φησίν, ἔοικε δὲ ψεύδεσθαι, εἴτε ἑκὼν εἴτε ἄκων. οἶμαι δὲ τὸ πλέον ἑκών· καὶ πῶς γὰρ οὔ, ὅστις οὐκ ἠγνόει τὸ τάγμα τῶν στρατιωτῶν τὸ κεραυνοβόλον ἰδίως καλούμενον (ἐν γὰρ τῷ τῶν λοιπῶν καταλόγῳ καὶ αὐτοῦ μνημονεύει),

5 3 τοιουτοτρόπως    καὶ om    8 3 4 ἐν om*

Digitized by Google

ὅπερ ἀπ' οὐδεμιᾶς ἑτέρας αἰτίας (οὐδὲ γὰρ ἄλλη τις λέγεται) ἢ 2
ἀπὸ τοῦ κατὰ τόνδε συμβάντος τὸν πόλεμον οὕτω προσηγορεύθη.
ὃ καὶ αἴτιον τότε τοῖς τε Ῥωμαίοις τῆς σωτηρίας ἐγένετο καὶ τοῖς
βαρβάροις τῆς ἀπωλείας, ἀλλ' οὐχ ὁ Ἀρνοῦφις ὁ μάγος· οὐδὲ γὰρ
μάγων συνουσίαις καὶ γοητείαις ὁ Μάρκος χαίρειν ἱστόρηται. ἔστι 3
δὲ ὃ λέγω τοιοῦτον. τάγμα ἦν τῷ Μάρκῳ (καλοῦσι δὲ τὸ τάγμα
οἱ Ῥωμαῖοι λεγεῶνα) τῶν ἀπὸ Μελιτηνῆς στρατιωτῶν· εἰσὶ δὲ τὸν
Χριστὸν πρεσβεύοντες ἅπαντες. ἐν οὖν τῇ μάχῃ ἐκείνῃ προσιόντα
τῷ Μάρκῳ τὸν ἔπαρχον, ἀμηχανοῦντι πρὸς τὴν περίστασιν καὶ
δεδιότι περὶ σύμπαντι τῷ στρατῷ, εἰπεῖν λέγεται ὡς οἱ καλούμενοι 4
Χριστιανοὶ οὐκ ἔστιν ὅ τι οὐ δύνανται ταῖς εὐχαῖς, καὶ ὅτι παρὰ
σφίσι τάγμα ὅλον τυγχάνει ὂν τούτου τοῦ γένους. τὸν οὖν Μάρκον
ἀκούσαντα παρακλήσει χρήσασθαι πρὸς αὐτοὺς ὡς ἂν εὔξωνται
τῷ σφετέρῳ θεῷ, εὐξαμένων δὲ αὐτῶν παραχρῆμα ἐπακούσαντα 5
τὸν θεὸν τοὺς μὲν πολεμίους κεραυνῷ βαλεῖν, τοὺς δὲ Ῥωμαίους
ὄμβρῳ παραμυθήσασθαι· ἐφ' οἷς καταπλαγέντα τὸν Μάρκον ἰσχυ-
ρῶς τούς τε Χριστιανοὺς κατὰ δόγμα τιμῆσαι καὶ τὴν λεγεῶνα
κεραυνοβόλον προσαγορεῦσαι. λέγεται δὲ καὶ ἐπιστολήν τινα περὶ 6
τούτων εἶναι τοῦ Μάρκου. ἀλλ' οἱ Ἕλληνες, ὅτι μὲν τὸ τάγμα κε-
ραυνοβόλον λέγεται, ἴσασι καὶ αὐτοὶ μαρτυροῦσι, τὴν δὲ αἰτίαν
τῆς προσηγορίας ἥκιστα λέγουσιν.

προστίθησι δὲ ὁ Δίων ὅτι τοῦ ὄμβρου καταρραγέντος πρῶτον 10
μὲν ἄνω πάντες ἀνέκυπτον καὶ ἐς τὰ στόματα αὐτὸν ἐδέχοντο,
ἔπειτα οἱ μὲν τὰς ἀσπίδας οἱ δὲ καὶ τὰ κράνη ὑποβάλλοντες αὐτοί
τε χανδὸν ἔσπων καὶ τοῖς ἵπποις πίνειν ἐδίδοσαν, καὶ τῶν βαρβά-
ρων σφίσιν ἐπιδραμόντων ἔπινόν τε ὁμοῦ καὶ ἐμάχοντο, καὶ ἤδη 2
γέ τινες τιτρωσκόμενοι τό τε αἷμα περιχεόμενον ἐς τὰ κράνη καὶ
τὸ ὕδωρ ἅμα ἀνερρόφουν. κἂν ἔπαθόν τι δεινὸν ὑπὸ τῶν πολεμίων
ἐπικειμένων αὐτοῖς, περὶ τὸ πίνειν οἱ πλείους ἠσχολημένοι, εἰ μὴ
χάλαζα ἰσχυρὰ καὶ κεραυνοὶ οὐκ ὀλίγοι τοῖς πολεμίοις ἐνέπεσον.
ἦν οὖν ὁρᾶν ἐν τῷ αὐτῷ χωρίῳ ὕδωρ τε ἅμα καὶ πῦρ ἐκ τοῦ οὐ- 3
ρανοῦ φερόμενα· καὶ οἱ μὲν ὑγραίνοντό τε καὶ ἔπινον, οἱ δὲ ἐπυ-
ροῦντο καὶ ἔθνησκον. καὶ οὔτε τῶν Ῥωμαίων τὸ πῦρ ἥπτετο, ἀλλ'
εἴ που καὶ προσέμιξε σφίσιν, εὐθὺς ἐσβέννυτο· οὔτε τοὺς βαρβάρους
ὁ ὑετὸς ὠφέλει, ἀλλὰ καὶ ἐπὶ μᾶλλον τὴν φλόγα αὐτῶν ὥσπερ
ἔλαιον ἤγειρεν, ὕδωρ τε ὑόμενοι ἐζήτουν. καὶ οἱ μὲν ἑαυτοὺς ἐτί- 4
τρωσκον ὡς καὶ τῷ αἵματι τὸ πῦρ κατασβέσοντες, οἱ δὲ καὶ πρὸς
τοὺς Ῥωμαίους προσέτρεχον ὡς καὶ μόνους σωτήριον ὕδωρ ἔχοντας·

10 1 2 αὐτῶν*



Digitized by Google

ἠλέησε γοῦν αὐτοὺς καὶ ὁ Μάρκος. παρὰ δὲ τῶν στρατιωτῶν τὸ
5 ἕβδομον αὐτοκράτωρ προσηγορεύθη. καίπερ δὲ οὐκ εἰωθώς, πρὶν
τὴν βουλὴν ψηφίσασθαι, τοιοῦτόν τι προσίεσθαι, ὅμως ἐδέξατό τε
αὐτὸ ὡς καὶ παρὰ θεοῦ λαμβάνων, καὶ τῇ γερουσίᾳ ἐπέστειλεν. ἡ
μέντοι Φαυστῖνα μήτηρ τῶν στρατοπέδων ἐπεκλήθη.

11 ὅτι ὁ Μάρκος [Ἀντωνῖνος] ἐν τῇ Παννονίᾳ κατέμεινεν, ἵνα
καὶ ταῖς τῶν βαρβάρων πρεσβείαις χρηματίζῃ. πολλοὶ γὰρ καὶ
τότε πρὸς αὐτὸν ἦλθον, οἱ μὲν συμμαχίας ὑπισχνούμενοι, ὧν ἡγεῖτο
Βαττάριος παῖς ἐτῶν δώδεκα, καὶ χρήματά τε ἔλαβον, καὶ Τάρβον
δυνάστην πλησιόχωρόν σφων, ἔς τε τὴν Δακίαν ἐλθόντα καὶ ἀρ-
γύριον αἰτοῦντα, ἀπειλοῦντά τε πολεμήσειν εἰ μὴ λάβοι, ἀνεῖρξαν·
2 οἱ δὲ εἰρήνην αἰτούμενοι, ὥσπερ οἱ Κούαδοι, καὶ ἔτυχόν γε αὐτῆς,
ἵνα τε ἀπὸ τῶν Μαρκομάνων ἀποσπασθῶσι, καὶ ὅτι ἵππους καὶ
βοῦς πολλὰς ἔδωκαν, τούς τε αὐτομόλους πάντας καὶ τοὺς αἰχμα-
λώτους, πρότερον μὲν ἐς μυρίους καὶ τρισχιλίους, ὕστερον δὲ καὶ
3 τοὺς λοιποὺς ἀποδώσειν ὑπέσχοντο. οὐ μέντοι καὶ τῆς ἐπιμιξίας
τῆς ἐν ταῖς ἀγοραῖς ἔτυχον, ἵνα μὴ καὶ οἱ Μαρκομάνοι οἵ τε Ἰά-
ζυγες, οὓς οὔτε δέξεσθαι οὔτε διήσειν διὰ τῆς χώρας ὁμωμόκεσαν,
ἅμα μιγνύωνταί σφισι καὶ ὡς Κούαδοι καὶ αὐτοὶ ὄντες τά τε τῶν
Ῥωμαίων κατασκέπτωνται καὶ τὰ ἐπιτήδεια ἀγοράζωσιν. οὗτοί τε
οὖν πρὸς τὸν Μάρκον ἀφίκοντο, καὶ ἕτεροι συχνοὶ παραδώσοντες
4 ἑαυτοὺς οἱ μὲν κατὰ γένη οἱ δὲ καὶ κατὰ ἔθνη ἐπρεσβεύσαντο. καὶ
αὐτῶν οἱ μὲν ἐστρατεύσαντο ἄλλοσέ ποι πεμφθέντες, ὥσπερ καὶ
τῶν ἁλισκομένων τῶν τε αὐτομολούντων οἱ δυνάμενοι, οἱ δὲ καὶ
γῆν οἱ μὲν ἐν Δακίᾳ οἱ δὲ ἐν Παννονίᾳ οἱ δὲ Μυσίᾳ καὶ Γερμανίᾳ
5 τῇ τε Ἰταλίᾳ αὐτῇ ἔλαβον. καὶ αὐτῶν ἐν Ῥαβέννῃ τινὲς οἰκοῦντες
ἐνεωτέρισαν, ὥστε καὶ τὴν πόλιν κατασχεῖν τολμῆσαι. καὶ διὰ τοῦτ'
οὐκέτ' ἐς τὴν Ἰταλίαν οὐδένα τῶν βαρβάρων ἐσήγαγεν, ἀλλὰ καὶ
τοὺς προαφιγμένους ἐξῴκισεν. U p. 407.

12 ὅτι Ἄστιγγοι, ὧν Ῥᾶός τε καὶ Ῥάπτος ἡγοῦντο, ἦλθον μὲν
ἐς τὴν Δακίαν οἰκῆσαι ἐλπίδι τοῦ καὶ χρήματα καὶ χώραν ἐπὶ
συμμαχίᾳ λήψεσθαι, μὴ τυχόντες δὲ αὐτῶν παρακατέθεντο τὰς γυ-
ναῖκας καὶ τοὺς παῖδας τῷ Κλήμεντι ὡς καὶ τὴν τῶν Κοστουβώκων
χώραν τοῖς ὅπλοις κτησόμενοι, νικήσαντες δὲ ἐκείνους καὶ τὴν Δα-
2 κίαν οὐδὲν ἧττον ἐλύπουν. δείσαντες δὲ οἱ Δάγκριγοι μὴ καὶ ὁ
Κλήμης φοβηθείς σφας ἐς τὴν γῆν ἣν αὐτοὶ ἐνῴκουν ἐσαγάγῃ,
ἐπέθεντο αὐτοῖς μὴ προσδεχομένοις καὶ πολὺ ἐκράτησαν, ὥστε μη-
δὲν ἔτι πολέμιον τοὺς Ἀστίγγους πρὸς τοὺς Ῥωμαίους πρᾶξαι,

11 3 2 τῆς] καὶ*    12 2 1 Latringes Capitolino

Digitized by Google

πολλὰ δὲ δὴ τὸν Μάρκον ἱκετεύσαντας χρήματά τε παρ' αὐτοῦ λαβεῖν καὶ χώραν γε ἐπαιτῆσαι, ἄν γέ τι κακὸν τοὺς τότε πολεμοῦντάς οἱ δράσωσιν. καὶ οὗτοι μὲν ἔπραξάν τι ὧν ὑπέσχοντο, 3
Κοτινοὶ δὲ ἐπηγγείλαντο μὲν αὐτοῖς ὅμοια, Ταρρουτήνιον δὲ Πάτερνον τὸν τὰς ἐπιστολὰς αὐτοῦ τὰς Λατίνας διὰ χειρὸς ἔχοντα παραλαβόντες ὡς καὶ ἐπὶ τοὺς Μαρκομάνους αὐτῷ συστρατεύσοντες οὐ μόνον οὐκ ἐποίησαν τοῦτο, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον δεινῶς ἐκάκωσαν, καὶ μετὰ ταῦτα ἀπώλοντο. U p. 408.

Ὅτι ἐπρεσβεύσαντο οἱ Ἰάζυγες εἰρήνης δεόμενοι πρὸς Μάρκον, 13
οὐ μέντοι καὶ ἔτυχον τινός· ἄπιστόν τε γὰρ τὸ φῦλον αὐτῶν ὁ Μάρκος εἰδὼς ὄν, καὶ προσέτι καὶ ὑπὸ τῶν Κουάδων ἀπατηθείς, ἐπίπαν ἐξελθεῖν ἠθέλησεν. οἱ γὰρ Κούαδοι οὐχ ὅτι ἐκείνοις τότε 2
συνεμάχησαν, ἀλλὰ καὶ τοὺς Μαρκομάνους πρότερον, ὡς ἔτι ἐπολέμουν, καταφεύγοντας ἐς τὴν σφετέραν ὅτε βιασθεῖεν ἐδέχοντο, καὶ οὔτ' ἄλλο τι ὧν ὡμολογήκεσαν ἐποίουν, οὔτε τοὺς αἰχμαλώτους πάντας ἀπέδοσαν ἀλλ' ὀλίγους, καὶ τούτους οἷς οὔτε ἐς πρᾶσιν οὔτε ἐς ὑπηρεσίαν τινὰ χρήσασθαι ἐδύναντο. εἰ δ' οὖν τινὰς καὶ 3
τῶν ἀκμαζόντων ἀπεδίδοσαν, ἀλλὰ τούς γε συγγενεῖς αὐτῶν οἴκοι κατεῖχον, ἵνα καὶ ἐκεῖνοι πρὸς αὐτοὺς αὐτομολῶσιν. καὶ τὸν βασιλέα σφῶν Φούρτιον ἐκβαλόντες Ἀριόγαισον αὐτοὶ ἐφ' ἑαυτῶν βασιλέα σφίσιν ἐστήσαντο. καὶ τούτοις διὰ ταῦτα ὁ αὐτοκράτωρ οὔτε ἐκεῖ- 4
νον ὡς καὶ νόμῳ τινὶ γεγονότα ἐβεβαίωσεν, οὔτε τὰς σπονδάς, καίπερ πέντε μυριάδας αἰχμαλώτων ἀποδώσειν ὑπισχνουμένοις, ἀνενεώσατο. U p. 409.

ὅτι τῷ Ἀριογαίσῳ ὁ Μάρκος οὕτω χαλεπῶς ἔσχεν ὥστε καὶ 14
ἐπικηρῦξαι ἵνα, ἂν μέν τις ζῶντα αὐτὸν ἀγάγῃ, χιλίους, ἂν δὲ ἀποκτείνας τὴν κεφαλὴν αὐτοῦ ἀποδείξῃ, πεντακοσίους χρυσοῦς λάβῃ, καίτοι τά τε ἄλλα ἀεί ποτε φιλανθρώπως καὶ τοῖς πολεμιωτάτοις χρώμενος, καὶ Τηριδάτην σατράπην τά τε ἐν τῇ Ἀρμενίᾳ 2
ταράξαντα καὶ τὸν τῶν Ἡνιόχων βασιλέα ἀποσφάξαντα, τῷ τε Οὐήρῳ ἐπιτιμῶντί οἱ περὶ τούτων τὸ ξίφος ἐπανατεινάμενον, μὴ κτείνας ἀλλ' ἐς Βρεττανίαν πέμψας. οὕτω μὲν οὖν τότε ἐπ' αὐτὸν παρωξύνθη, οὐ μέντοι καὶ κακόν τι ἁλόντα μετὰ ταῦτα ἔδρασεν, ἀλλ' ἐς Ἀλεξάνδρειαν ἀπέστειλεν. V p. 717.

Ὅτι τοῖς Μαρκομάνοις πρεσβεύσασιν, ὅτι πάντα τὰ προσταχθέντα σφίσι χαλεπῶς μὲν καὶ μόλις, ἐποίησαν δ' οὖν, τό τε ἥμισυ 15
τῆς χώρας τῆς μεθορίας ἀνῆκεν, ὥστε αὐτοὺς ὀκτώ που καὶ τριάκοντα σταδίους ἀπὸ τοῦ Ἴστρου ἀποικεῖν, καὶ τὰ χωρία τάς τε

12 2 6 ἀπαιτῆσαι* 3 1 μὲν om* 13 2 3 βιασθῇ ἐνεδέχοντο* 3 2 τε 14 2 3 ἐπανατεινόμενον*

*ἡμέρας τῆς ἐπιμιξίας ἀφώρισεν (πρότερον γὰρ οὐ διεκέκριντο), τούς τε ὁμήρους ἠλλάξατο.* U p. 410.

16 *"ὅτι οἱ Ἰάζυγες κακωθέντες ἐς ὁμολογίαν ἦλθον, αὐτοῦ Ζαντικοῦ τὸν Ἀντωνῖνον ἱκετεύσαντος. πρότερον μὲν γὰρ τὸν Βανάδασπον τὸν δεύτερόν σφων βασιλέα ἔδησαν, ὅτι διεκηρυκεύσατο αὐτῷ· τότε δὲ πάντες οἱ πρῶτοι μετὰ τοῦ Ζαντικοῦ ἦλθον, καὶ συνέθεντο τὰ αὐτὰ τοῖς Κουάδοις καὶ τοῖς Μαρκομάνοις, πλὴν καθ' ὅσον τὸ διπλάσιον αὐτῶν ἀπὸ τοῦ Ἴστρου ἀποικήσειν ἤθελον.*
2 *ὁ γὰρ αὐτοκράτωρ ἤθελε μὲν αὐτοὺς καὶ παντάπασιν ἐκκόψαι· ὅτι γὰρ καὶ τότε ἔτι ἔρρωντο καὶ ὅτι μεγάλα τοὺς Ῥωμαίους κακὰ ἔδρασαν, ἐξ ἐκείνου κατεφάνη ὅτι τῶν τε αἰχμαλώτων μυριάδας δέκα ἀπέδοσαν, οὓς μετὰ πολλοὺς μὲν πραθέντας πολλοὺς δὲ τελευτήσαντας πολλοὺς δὲ καὶ φυγόντας εἶχον, καὶ ἱππέας εὐθὺς ὀκτακισχιλίους ἐς συμμαχίαν οἱ παρέσχον, ἀφ' ὧν πεντακισχιλίους καὶ πεντακοσίους ἐς Βρεττανίαν ἔπεμψεν.* ib.

17 *"ὅτι Κάσσιος καὶ ἡ Συρία νεοχμώσαντες ἠνάγκασαν καὶ παρὰ γνώμην τὸν Μάρκον [Ἀντωνῖνον] τοῖς Ἰάζυξι συμβῆναι· οὕτω γὰρ πρὸς τὰ ἀγγελθέντα ἐξεπλάγη ὥστε μηδὲ ἐπιστεῖλαι τῷ συνεδρίῳ τὰς αἱρέσεις ἐφ' αἷς αὐτοῖς συνηλλάγη, καθάπερ ἐπὶ τῶν ἄλλων ἐποίει.* ib.

18 *"ὅτι οἱ Ἰάζυγες ἐπρεσβεύσαντο, καὶ ᾔτησάν τινα ἀφεθῆναί σφισιν ἐκ τῶν ὡμολογημένων· καὶ συνεχωρήθη τινὰ αὐτοῖς, ἵνα μὴ καὶ παντελῶς ἀλλοτριωθῶσιν. οὐ μέντοι πρότερον οὔτε οὗτοι οὔτε οἱ Βοῦρροι συμμαχῆσαι τοῖς Ῥωμαίοις ἠθέλησαν, πρὶν πίστεις παρὰ Μάρκου λαβεῖν ἦ μὴν μέχρι παντὸς τῷ πολέμῳ χρήσεσθαι· ἐφοβοῦντο γὰρ μὴ καταλλαγέντος αὐτοῦ τοῖς Κουάδοις, ὥσπερ καὶ πρότερον, πρόσοικός σφισι πόλεμος ὑπολείπηται.* ib.

19 *"ὅτι ὁ Μάρκος τοὺς πρεσβευομένους τῶν ἐθνῶν ἐδέχετο οὐκ ἐπὶ τοῖς αὐτοῖς πάντας, ἀλλ' ὡς που ἕκαστοι αὐτῶν ἢ πολιτείαν ἢ ἀτέλειαν αἴδιον ἢ καὶ πρὸς χρόνον τινὰ ἄνεσιν τοῦ φόρου λαβεῖν ἢ καὶ τὴν τροφὴν ἀθάνατον ἔχειν ἄξιοι ἦσαν. καὶ ἐπειδὴ οἱ Ἰάζυγες*
2 *χρησιμώτατοι αὐτῷ ἐγίγνοντο, πολλὰ καὶ ἐκ τῶν ἐπιτεταγμένων σφίσιν ἀφῆκε, μᾶλλον δὲ πάντα πλὴν τῶν κατά τε τὰς συνόδους αὐτῶν καὶ κατὰ τὰς ἐπιμιξίας συγκειμένων, τοῦ τε μὴ ἰδίοις πλοίοις σφᾶς χρῆσθαι καὶ τοῦ τῶν νήσων τῶν ἐν τῷ Ἴστρῳ ἀπέχεσθαι. καὶ ἐφῆκεν αὐτοῖς πρὸς τοὺς Ῥοξολάνους διὰ τῆς Δακίας ἐπιμίγνυσθαι, ὁσάκις ἂν ὁ ἄρχων αὐτῆς ἐπιτρέψῃ σφίσιν.* U p. 411.

20 *"ὅτι τοῖς Κουάδοις καὶ τοῖς Μαρκομάνοις πρεσβευσαμένοις*

15 1 6 *ἠλλάξαντο* 18 1 2 *συνεχωρήθησαν** 19 1 3 *αἴδιον*] *ἢ αἴδιον** 2 3 *τό τε* — 4 *καὶ τὸ*

Digitized by Google

δύο μυριάδες ἑκατέροις στρατιωτῶν ἐν τείχεσιν ὄντες οὔτε νέμειν
οὔτε γεωργεῖν οὔτ᾽ ἄλλο τι μετ᾽ ἀδείας ποιεῖν ..., ἀλλὰ καὶ αὐτο-
μόλους παρ᾽ αὐτῶν καὶ αἰχμαλώτους τῶν σφετέρων πολλοὺς ὑπε-
δέχοντο, μὴ πάνυ τι αὐτοὶ ταλαιπωρούμενοι διὰ τὸ καὶ βαλανεῖα
καὶ πάντα ἀφθόνως ἔχειν τὰ ἐπιτήδεια, ὥστε καὶ τοὺς Κουάδους 2
μὴ φέροντας τὸν ἐπιτειχισμὸν μεταναστῆναι πανδημὶ πρὸς Σεμνό-
νας ἐπιχειρῆσαι. ὁ δὲ Ἀντωνῖνος προμαθὼν τὴν διάνοιαν αὐτῶν,
τὰς διόδους ἀποφράξας ἐκώλυσεν. οὕτως οὐ τὴν χώραν αὐτῶν προσ-
κτήσασθαι ἀλλὰ τοὺς ἀνθρώπους τιμωρήσασθαι ἐπεθύμει. U p. 411.

21 ὅτι καὶ Ναρισταὶ ταλαιπωρήσαντες τρισχίλιοι ἅμα ηὐτομόλη-
σαν καὶ γῆν ἐν τῇ ἡμετέρᾳ ἔλαβον. U p. 412.

22 τοῦ δὲ Περτίνακος ἐπὶ ταῖς ἀνδραγαθίαις ὑπατείαν λαβόντος,
ὅμως ἦσαν οἱ νεμεσῶντες ἐπὶ τῷ εἶναι αὐτὸν τὸ γένος ἐξ ἀφανῶν
τὸ τῆς τραγῳδίας ἐπέλεγον, "τοιαῦθ᾽ ὁ τλήμων πόλεμος ἐξεργάζεται,"
οὐκ εἰδότες ὅτι καὶ μοναρχήσει.

τοῦ δὲ Κασσίου κατὰ τὴν Συρίαν νεωτερίσαντος σφόδρα ἐκ- 2 a C.
πλαγεὶς ὁ Μάρκος τὸν Κόμμοδον τὸν υἱὸν ἐκ τῆς Ῥώμης, ὡς καὶ 175
ἐς ἐφήβους ἤδη τελεῖν δυνάμενον, μετεπέμψατο. ὁ δὲ δὴ Κάσσιος
Σύρος μὲν ἐκ τῆς Κύρρου ἦν, ἀνὴρ δὲ ἄριστος ἐγένετο, καὶ ὁποῖον
ἄν τις αὐτοκράτορα ἔχειν εὔξαιτο, πλὴν καθ᾽ ὅσον Ἡλιοδώρου τινὸς
ἀγαπητῶς ἐς τὴν τῆς Αἰγύπτου ἡγεμονίαν ἐξ ἐμπειρίας ῥητορικῆς
προχωρήσαντος υἱὸς ἦν. τοῦτο δὲ δὴ δεινῶς ἥμαρτεν ὑπὸ Φαυστί- 3
νης ἀπατηθείς· αὕτη γὰρ τὸν ἄνδρα ἀρρωστήσαντα (ἦν δὲ τοῦ
εὐσεβοῦς Ἀντωνίνου θυγάτηρ) προσδοκήσασα ὅσον οὐκ ἤδη τελευ-
τήσειν, ἐφοβήθη μὴ τῆς ἀρχῆς ἐς ἄλλον τινά, ἅτε τοῦ Κομμόδου
καὶ νέου καὶ ἁπλουστέρου τοὺς τρόπους ὄντος, περιελθούσης ἰδιω-
τεύσῃ, καὶ ἔπεισε τὸν Κάσσιον δι᾽ ἀπορρήτων παρασκευάσασθαι
ἵν᾽, ἄν τι ὁ Ἀντωνῖνος πάθοι, καὶ αὐτὴν καὶ τὴν αὐταρχίαν λάβῃ.
ταῦτ᾽ οὖν αὐτῷ διανοουμένῳ ἀγγελία ἦλθε τὸν Μάρκον τεθνηκέναι, 23
οἷά που φιλεῖ τοιαῦτα ἐπὶ τὸ χεῖρον ἀεὶ θρυλεῖσθαι· καὶ εὐθύς,
οὐκ ἀναμείνας αὐτὴν ἀκριβῶσαι, ἔφεσιν τῆς ἀρχῆς ἐποιήσατο ὡς
καὶ πρὸς τῶν στρατιωτῶν τῶν ἐν τῇ Παννονίᾳ τότε ὄντων προ-
κεχειρισμένος. καὶ ὁ μέν, εἰ καὶ τὰ μάλιστα μὴ ἐς μακρὰν τἀληθὲς 2
ἔμαθεν, ὅμως ἐπειδή περ ἅπαξ ὑποκεκινήκει οὐ μετεβάλετο, ἀλλὰ
τά τε ἐντὸς τοῦ Ταύρου πάντα διὰ βραχέος προσεποιήσατο καὶ
παρεσκευάζετο ὡς καὶ πολέμῳ τὸ κράτος ἕξων· ὁ δὲ δὴ Μάρκος 3

20 1 3 ...] ἐπέτρεπον? 22 1 ὅτι ἐνόσησε σφόδρα ὁ Μάρκος ὥστε ὀλίγας ἐλπίδας ἔτι τῆς σωτηρίας ἔχειν, καὶ πολλάκις ἐν τῇ νόσῳ ἐπεφώνει τὸ τῆς τραγῳδίας ἰαμβεῖον "τοιαῦτα τλ. π. ἐξεργάζεται." M p. 223.
23 2 1 μακρὸν*

Digitized by Google

παρὰ τοῦ Οὐήρου τοῦ τῆς Καππαδοκίας ἄρχοντος τὴν ἐπανάστασιν
αὐτοῦ μαθὼν τέως μὲν συνέκρυπτεν αὐτά, ἐπεὶ δὲ οἱ στρατιῶται
τῇ τε φήμῃ ἰσχυρῶς ἐταράσσοντο καὶ ἐλογοποίουν πολλά, συνεκά-
λεσεν αὐτοὺς καὶ ἀνέγνω τοιάδε.
24 "οὐκ ἀγανακτήσων, ὦ συστρατιῶται, ἢ ὀδυρούμενος παρελήλυθα.
χαλεπαίνειν μὲν γὰρ τί δεῖ πρὸς τὸ δαιμόνιον, ᾧ πάντα ἔξεστιν;
ὀλοφύρεσθαι δὲ ἴσως ἀνάγκη τοὺς ἀδίκως δυστυχοῦντας· ὃ καὶ
ἐμοὶ νῦν συμβέβηκεν. πῶς γὰρ οὐ δεινὸν πολέμοις ἡμᾶς ἐκ πολέ-
μων συμφέρεσθαι; πῶς δ' οὐκ ἄτοπον καὶ ἐμφυλίῳ συμπλακῆναι;
2 πῶς οὐκ ἀμφότερα καὶ δεινότητι καὶ ἀτοπίᾳ νικᾷ τὸ μηδὲν πιστὸν
ἐν ἀνθρώποις εἶναι, ἀλλ' ἐπιβεβουλεῦσθαί τέ με ὑπὸ τοῦ φιλτάτου
καὶ ἐς ἀγῶνα ἀκούσιον καθίστασθαι μήτε τι ἠδικηκότα μήτε τι πε-
πλημμεληκότα; τίς μὲν γὰρ ἀρετὴ ἀσφαλής, τίς δὲ φιλία ἔτι νομισθή-
σεται ἐμοῦ ταῦτα πεπονθότος; πῶς δ' οὐκ ἀπόλωλε μὲν πίστις, ἀπό-
3 λωλε δὲ ἐλπὶς ἀγαθή; ἀλλ' εἰ μὲν μόνος ἐγὼ ἐκινδύνευον, παρ' οὐδὲν ἂν
τὸ πρᾶγμα ἐποιησάμην (οὐ γάρ που καὶ ἀθάνατος ἐγεννήθην)· ἐπεὶ δὲ
δημοσία τε ἀπόστασις, μᾶλλον δὲ ἐπανάστασις γέγονε, καὶ πόλεμος
πάντων ὁμοίως ἡμῶν ἅπτεται, ἐβουλόμην, εἰ οἷόν τε ἦν, προσκαλέ-
σασθαι τὸν Κάσσιον καὶ δικαιολογήσασθαι πρὸς αὐτὸν παρ' ὑμῖν
4 ἢ παρὰ τῇ γερουσίᾳ· καὶ ἡδέως ἂν ἀμαχὶ παρεχώρησα αὐτῷ τῆς
ἡγεμονίας, εἰ τοῦτο τῷ κοινῷ συμφέρειν ἐδόκει. ὑπὲρ τοῦ κοινοῦ
γὰρ καὶ πονῶν καὶ κινδυνεύων διατελῶ, τοσοῦτόν τε ἐνταυθοῖ χρό-
νον ἔξω τῆς Ἰταλίας πεποίηκα, ἄνθρωπος καὶ γέρων ἤδη καὶ ἀσθε-
νὴς καὶ οὔτε τροφὴν ἄλυπον οὔθ' ὕπνον ἄφροντιν λαβεῖν δυνάμενος.
25 ἐπεὶ δ' οὐκ ἄν ποτε συγκαθεῖναι ἐς τοῦτο ὁ Κάσσιος ἐθελήσειεν
(πῶς γὰρ ἂν πιστεύσειέ μοι, ἄπιστος οὕτω περὶ ἐμὲ γεγενημένος),
ὑμᾶς γε ὦ συστρατιῶται χρὴ θαρρεῖν. οὐ γάρ που κρείττους Κί-
λικες καὶ Σύροι καὶ Ἰουδαῖοι καὶ Αἰγύπτιοι ὑμῶν οὔτε ἐγένοντό
ποτε οὔτε ἔσονται, οὐδ' ἂν μυριάκις πλείους ὑμῶν, ὅσῳ νῦν ἐλάτ-
2 τους εἰσίν, ἀθροισθῶσιν. οὐ μὴν οὐδ' αὐτὸς ὁ Κάσσιος, εἰ καὶ τὰ
μάλιστα καὶ στρατηγικὸς εἶναι καὶ πολλὰ κατωρθωκέναι δοκεῖ, λό-
γου τινὸς ἄξιος νῦν ἂν φανείη· οὔτε γὰρ ἀετὸς κολοιῶν ἢ καὶ λέων
νεβρῶν ἡγησάμενος ἀξιόμαχος γίνεται, καὶ τὸν Ἀραβικὸν τόν τε
Παρθικὸν ἐκεῖνον πόλεμον οὐ Κάσσιος ἀλλ' ὑμεῖς κατειργάσασθε.
3 ἄλλως τε, εἰ καὶ ἐκεῖνος ἐκ τῶν πρὸς Πάρθους πραχθέντων εὐδό-
κιμός ἐστιν, ἔχετε καὶ ὑμεῖς Οὐῆρον, ὃς οὐδὲν ἧττον ἀλλὰ καὶ μᾶλ-
λον αὐτοῦ καὶ ἐνίκησε πλείω καὶ κατεκτήσατο. ἀλλὰ τάχα μὲν καὶ
ἤδη μετανενόηκε, ζῶντά με μεμαθηκώς· οὐ γάρ που καὶ ἄλλως ἢ

24 1 1 ἢ] μᾶλλον ἢ? an ἀλλ'?* ὀδυρόμενος 3 2 πω* 4 2 ἐδε-
δόχει 25 3 3 πολλά? an πλεῖστα?*

ὡς τετελευτηκότος μου τοῦτ' ἐποίησεν. ἂν δὲ καὶ ἐπὶ πλεῖον ἀν-
τίσχῃ, ἀλλ' ὅταν γε καὶ προσιόντας ἡμᾶς πύθηται, πάντως γνωσι-
μαχήσει, καὶ ὑμᾶς φοβηθεὶς καὶ ἐμὲ αἰδεσθείς. ἐγὼ γοῦν ἓν μόνον 26
ὦ συστρατιῶται δέδοικα (εἰρήσεται γὰρ πᾶσα πρὸς ὑμᾶς ἡ ἀλή-
θεια), μὴ ἤτοι αὐτὸς ἑαυτὸν ἀποκτείνῃ, αἰσχυνθεὶς ἐς τὴν ἡμετέραν
ὄψιν ἐλθεῖν, ἢ ἕτερός τις μαθὼν ὅτι τε ἥξω καὶ ὅτι ἐπ' αὐτὸν ὁρ-
μῶμαι τοῦτο ποιήσῃ. μέγα γάρ μου ἆθλον καὶ τοῦ πολέμου καὶ 2
τῆς νίκης, καὶ ἡλίκον οὐδεὶς πώποτε ἀνθρώπων ἔλαβεν, ἀφαιρήσε-
ται. τί δὲ τοῦτο ἐστίν; ἀδικήσαντα ἄνθρωπον ἀφεῖναι, πρὸς φι-
λίαν ὑπερβάντα φίλον μεῖναι, πίστιν καταλύσαντι πιστὸν διαγενέ-
σθαι. παράδοξα μὲν ἴσως ταῦθ' ὑμῖν φαίνεται, ἀλλ' οὐκ ἀπιστεῖν 3
ὑμᾶς αὐτοῖς δεῖ· οὐ γάρ που καὶ ἁπλῶς πάντα τὰ ἀγαθὰ ἐκ τῶν
ἀνθρώπων ἀπόλωλεν, ἀλλ' ἔστι καὶ παρ' ἡμῖν ἔτι τῆς ἀρχαίας ἀρε-
τῆς λείψανον. ἂν δέ που ἀπιστῇ τις, καὶ διὰ τοῦτο μεῖζόν ἐστί
μοι τὸ ἐπιθύμημα, ἵνα ὃ μηδεὶς ἂν πιστεύσειε γενέσθαι δύνασθαι,
τοῦτο ἴδῃ γενόμενον. ὡς ἔγωγε τοῦτ' ἂν μόνον ἐκ τῶν παρόντων 4
κακῶν κερδάναιμι, εἰ δυνηθείην καλῶς θέσθαι τὸ πρᾶγμα καὶ δεῖ-
ξαι πᾶσιν ἀνθρώποις ὅτι καὶ ἐμφυλίοις πολέμοις ἔστιν ὀρθῶς χρή-
σασθαι."

ταῦτα μὲν ὁ Μάρκος καὶ πρὸς τοὺς στρατιώτας εἶπε καὶ πρὸς 27
τὴν γερουσίαν ἔγραψεν, οὐδὲν οὐδαμοῦ τὸν Κάσσιον κακηγορήσας,
πλὴν ὅτι ἀχάριστον αὐτὸν συνεχῶς ἀνεκάλει. οὐ μὴν οὐδὲ ἐκεῖνος
ὑβριστικόν τι οὔτε εἶπέ ποτε ἐς τὸν Μάρκον οὔτ' ἔγραψεν. παρα- 2
σκευαζομένῳ δὲ Μάρκῳ πρὸς τὸν ἐμφύλιον πόλεμον ἄλλαι τε πολ-
λαὶ νῖκαι κατὰ διαφόρων βαρβάρων ἐν ταὐτῷ καὶ ὁ Κασσίου θά-
νατος ἀπηγγέλθη. προσπεσὼν γὰρ βαδίζοντι τῷ Κασσίῳ Ἀντώνιος
ἑκατόνταρχος ἐξαίφνης ἔτρωσε κατὰ τοῦ αὐχένος οὐ πάνυ πληγῇ
καιρίᾳ. καὶ ὁ μὲν τῇ ῥύμῃ τοῦ ἵππου ἐξαχθεὶς ἀτελὲς τὸ τόλμημα 3
κατέλιπεν, ὥστ' ὀλίγου διαφυγεῖν αὐτόν, ὁ δὲ δέκαρχος ἐν τούτῳ
τὸ λοιπὸν προσκατειργάσατο· καὶ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμόντες
πρὸς τὸν αὐτοκράτορα ὥρμησαν. καὶ ὁ μὲν οὕτω μῆνάς τε τρεῖς
καὶ ἡμέρας ἓξ τὴν ἀρχὴν ὀνειρώξας ἐσφάγη, καὶ ὁ υἱὸς αὐτοῦ ἐτέ-
ρωθι ὢν ἐφονεύθη· καὶ ὁ Μάρκος ἐπιὼν τὰ ἔθνη τὰ τῷ Κασσίῳ 4
συνεξαναστάντα πάνυ φιλανθρώπως πᾶσιν ἐχρήσατο, καὶ οὐδένα
οὔτε τῶν ἐλαττόνων οὔτε τῶν ἐπιφανεστέρων διεχρήσατο.

26 2 4 καταλύσαντα 3 2 ὑμᾶς] ὅμως?* 27 2 1 ὅτι παρασκευαζομένου τοῦ Μάρκου εἰς τὸν κατὰ Κασσίου πόλεμον, οὐδεμίαν βαρβαρικὴν συμμαχίαν ἐδέξατο, καίτοι πολλῶν συνδραμόντων αὐτῷ, λέγων μὴ χρῆναι τοὺς βαρβάρους εἰδέναι τὰ μεταξὺ Ῥωμαίων κινούμενα κακά. M p. 224

Digitized by Google

28 ὅτι ὁ Μάρκος τοσοῦτον ἤχθετο τῷ τοῦ Κασσίου ὀλέθρῳ ὥστε ἀποκεφαλισθέντος οὐδὲ τὴν κεφαλὴν αὐτοῦ ἰδεῖν ὑπέμεινεν, ἀλλὰ πρὶν πλησιάσαι τοὺς αὐτόχειρας ταφῆναί που ἐκέλευσεν. V p. 717.

2 ὅτι ὁ αὐτὸς τῶν βουλευτῶν τινὰ τῶν σὺν τῷ Κασσίῳ οὔτ' ἀπέσφαξεν οὔτε ἔδησεν οὔτε ἐν ἄλλῃ τινὶ φρουρᾷ οὐδένα ἐποιήσατο, οὐ μὴν οὐδὲ ἐς τὸ δικαστήριον αὐτοῦ ἐσήγαγεν, ἀλλ' ἁπλῶς ὡς καὶ ἄλλο τι ἐγκαλουμένους πρὸς τὴν γερουσίαν ἔπεμψεν, ἡμέραν αὐτοῖς 3 ῥητὴν δίκης προθείς. τῶν δ' ἄλλων ὀλίγους πάνυ, ὅσοι καὶ ἔργῳ τι οὐ μόνον τῷ Κασσίῳ συνεπεπράχεσαν ἀλλὰ καὶ καθ' ἑαυτοὺς ἐκεκακουργήκεσαν, ἐδικαίωσεν. τεκμήριον δὲ ὅτι Φλάουιον Καλουίσιον τὸν τῆς Αἰγύπτου ἄρχοντα οὔτε ἐφόνευσεν οὔτε τὴν οὐσίαν 4 ἀφείλετο, ἀλλ' ἐς νῆσον ἁπλῶς ἐνέβαλεν. τὰ δὲ ὑπομνήματα τὰ περὶ αὐτοῦ γενόμενα κατέκαυσεν, ἵνα μηδ' ὀνείδισμά τι ἐξ αὐτῶν σχῇ, καὶ πάντας τοὺς συγγενομένους αὐτῷ ἀφῆκεν. ib.

29 a.C. 176 κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον μετήλλαξε καὶ ἡ Φαυστῖνα, εἴτε ὑπὸ τῆς ποδάγρας ἣν εἶχεν, εἴτε ἄλλως, ἵνα μὴ ἐλεγχθῇ ἐφ' οἷς πρὸς τὸν Κάσσιον συνετέθειτο. καίτοι ὁ Μάρκος πάντα τὰ γράμματα "τὰ ἐν τοῖς κιβωτίοις εὑρεθέντα τοῦ Πούδεντος" διέφθειρε μηδὲ ἀναγνούς, ἵνα "μηδ' ὄνομα τινῶν τῶν ἐπιβούλων μάθῃ τῶν τι κατ' αὐτοῦ γεγραφότων, κἀκ τούτου" καὶ ἄκων αὐτοὺς 2 ἀναγκασθῇ μισῆσαι. λέγεται δὲ καὶ ὅτι Οὐῆρος ἐς τὴν Συρίαν, ἧς καὶ τὴν ἀρχὴν ἔλαβε, προπεμφθείς, καὶ εὑρὼν αὐτὰ ἐν τοῖς σκεύεσι τοῦ Κασσίου ἠφάνισεν, εἰπὼν ὅτι μάλιστα μὲν ἐκείνῳ τοῦτ' ἔσται κεχαρισμένον, ἂν δὲ καὶ χαλεπήνῃ τι, ἄμεινόν γε ἔσται ἕνα ἑαυτὸν 3 ἀντὶ πολλῶν ἀπολέσθαι. Μάρκος γε μὴν οὕτω τι φόνοις οὐκ ἔχαιρεν ὥστε καὶ τοὺς μονομάχους ἐν τῇ Ῥώμῃ ὥσπερ ἀθλητὰς ἀκινδύνως ἑώρα μαχομένους· σιδήριον γὰρ οὐδέποτε οὐδενὶ αὐτῶν ὀξὺ ἔδωκεν, ἀλλὰ καὶ ἀμβλέσιν ὥσπερ ἐσφαιρωμένοις πάντες ἐμάχοντο. 4 "καὶ οὕτω γε πόρρω παντὸς φόνου καθειστήκει ὥστε καὶ λέοντά τινα δεδιδαγμένον ἀνθρώπους ἐσθίειν ἐκέλευσε μὲν ἐσαχθῆναι αἰτησαμένου τοῦ δήμου, οὔτε δὲ ἐκεῖνον εἶδεν οὔτε τὸν διδάσκαλον αὐτοῦ ἠλευθέρωσε, καίπερ ἐπὶ πολὺ τῶν ἀνθρώπων ἐγκειμένων οἱ, ἀλλὰ καὶ κηρυχθῆναι προσέταξεν ὅτι οὐδὲν ἄξιον ἐλευθερίας πεποίηκεν."

30 τὴν δὲ Φαυστῖναν ἀποθανοῦσαν ἰσχυρῶς πενθήσας ἔγραψε τῇ βουλῇ μηδένα τῶν Κασσίῳ συναραμένων τεθνάναι, ὡς καὶ ἐκ μόνου τούτου παραμυθίου τινὸς ἐπὶ τῇ Φαυστίνῃ τυχεῖν δυνησόμενος.
2 "μὴ γὰρ γένοιτο" ἔφη "μηδένα ὑμῶν ἐπ' ἐμοὶ μήτε τῇ ἐμῇ μήτε

29 1 et 4 " " V p. 718 2 1 ὅτι καὶ* 30 2 1 ἐμοῦ?

Digitized by Google

τῇ ὑμετέρᾳ ψήφῳ σφαγῆναι." καὶ τέλος ἔφη ὅτι ἂν μὴ τούτου
τύχω, σπεύσω πρὸς τὸν θάνατον. οὕτω τι καθαρὸς διὰ πάντων
καὶ χρηστὸς καὶ εὐσεβὴς ἐγένετο, "καὶ οὐδὲν αὐτὸν ἐξεβιάσατο ἔξω
τι τῶν ἑαυτοῦ ἠθῶν πρᾶξαι, οὐχ ἡ ἀνοσιουργία τῶν τετολμημένων,
οὐχ ἡ προσδοκία τῶν ὁμοίων ἐκ τῆς πρὸς ἐκείνους συγγνώμης. το- 3
σοῦτον γὰρ ἀπέσχε συμπλάσαι τινὰ ἐπιβουλὴν ἐψευσμένην καὶ
σκευωρήσασθαί τινα τραγῳδίαν μὴ γεγενημένην, ὥστε καὶ τοὺς
φανερώτατα ἐπαναστάντας αὐτῷ καὶ ὅπλα κατά τε αὐτοῦ καὶ κατὰ
τοῦ υἱέος αὐτοῦ λαβόντας, καὶ στρατηγοὺς καὶ δημάρχους καὶ βα-
σιλέας, ἀφεῖναι, καὶ μηδένα αὐτῶν μήτε δι' ἑαυτοῦ μήτε διὰ τῆς
γερουσίας μήτε δι' ἄλλης προφάσεως μηδεμιᾶς ἀποκτεῖναι. ἐξ οὗ- 4
περ καὶ πάνυ τι πιστεύω ὅτι καὶ τὸν Κάσσιον αὐτόν, εἴπερ ἐζω-
γρήκει, πάντως ἂν ἐσεσώκει." καὶ γὰρ πολλοὺς καὶ εὐηργέτησε
τῶν σφαγέων, ὅσον τὸ ἐπ' αὐτοῖς, αὐτοῦ τε καὶ τοῦ υἱέος αὐτοῦ.

ἐνομοθετήθη δὲ τότε μηδένα ἐν τῷ ἔθνει ὅθεν τὸ ἀρχαῖον ἔστιν 31
ἄρχειν, ὅτι ὁ Κάσσιος ἐν τῇ Συρίᾳ τὴν πατρίδα αὐτοῦ ἐχούσῃ ἡγε-
μονεύων ἐνεόχμωσεν. τῷ δὲ Μάρκῳ καὶ τῇ Φαυστίνῃ ἐψηφίσατο
ἡ βουλὴ ἔν τε τῷ ἀφροδισίῳ τῷ τε ῥωμαίῳ εἰκόνας ἀργυρᾶς ἀνατε-
θῆναι καὶ βωμὸν ἱδρυθῆναι, καὶ ἐπ' αὐτοῦ πάσας τὰς κόρας τὰς 2
ἐν τῷ ἄστει γαμουμένας μετὰ τῶν νυμφίων θύειν, καὶ ἐς τὸ θέα-
τρον χρυσῆν εἰκόνα τῆς Φαυστίνης ἐπὶ δίφρου ἀεί, ὁσάκις γ' ἂν
ἐκεῖνος θεωρῇ, ἐσφέρεσθαί τε καὶ ἐν τῇ προεδρίᾳ ἐξ ἧς ζῶσα ἐθεᾶτο
τίθεσθαι, καὶ περὶ αὐτὴν τὰς γυναῖκας τὰς δυνάμει προεχούσας
συγκαθίζεσθαι.

ὁ δὲ Μάρκος ἐλθὼν ἐς τὰς Ἀθήνας καὶ μυηθεὶς ἔδωκε μὲν 3
τοῖς Ἀθηναίοις τιμάς, ἔδωκε δὲ καὶ πᾶσιν ἀνθρώποις διδασκάλους
ἐν ταῖς Ἀθήναις ἐπὶ πάσης λόγων παιδείας μισθὸν ἐτήσιον φέρον-
τας. ἐλθὼν δὲ ἐς τὴν Ῥώμην καὶ πρὸς τὸν δῆμον διαλεγόμενος, 32
ἐπειδὴ μεταξὺ λέγοντος αὐτοῦ τά τε ἄλλα καὶ ὅτι πολλοῖς ἔτεσιν
ἀποδεδημηκὼς ἦν, ἀνεβόησαν "ὀκτώ" καὶ τοῦτο καὶ ταῖς χερσίν,
ἵνα δὴ καὶ χρυσοῦς τοσούτους ἐς τὸ δεῖπνον λάβωσι, προσενεδεί-
ξαντο, διεμειδίασε καὶ ἔφη καὶ αὐτὸς "ὀκτώ", καὶ μετὰ ταῦτα ἀνὰ
διακοσίας δραχμὰς αὐτοῖς κατένειμεν, ὅσον οὔπω πρότερον εἰλήφε-
σαν. ταῦτά τε ἔπραξε, καὶ τοῖς ὀφείλουσί τι τῷ βασιλικῷ καὶ τῷ 2
δημοσίῳ πᾶσι πάντα τὰ ὀφειλόμενα ἀφῆκεν ἀπὸ ἐτῶν ἓξ καὶ τεσ-

30 2 3 ὅτι ἐγκειμένης τῆς βουλῆς θανατωθῆναι τοὺς συμπράξαντας Κασσίῳ καὶ τοὺς συγγενεῖς, ἀντέγραψεν ἄλλα τέ τινα καὶ ταῦτα. "δέομαι καὶ ἱκετεύω, καθαράν μου τὴν ἀρχὴν ἀπὸ παντὸς βουλευτικοῦ αἵματος φυλάξατε· μὴ γὰρ γένοιτο μηδένα ὑμῶν ὑπ' ἐμοῦ μήτε τῇ ἐμῇ μήτε τῇ ὑμετέρᾳ ψήφῳ ἀπολέσθαι." M p. 224 4 " " V p. 718 31 1 4 τε post τῷ om 3 3 φέροντας] ἐκ τοῦ ταμιείου κομιζομένους Z p. 530

σαράκοντα, χωρὶς τῶν ἑκκαίδεκα τοῦ Ἀδριανοῦ· καὶ πάντα τὰ περὶ
3 αὐτῶν γράμματα ἐν τῇ ἀγορᾷ κατθῆναι ἐκέλευσεν. χρήματά τε
a.C. 177 πολλαῖς πόλεσιν ἔδωκεν, ἐν αἷς καὶ τῇ Σμύρνῃ δεινῶς ὑπὸ σεισμοῦ
φθαρείσῃ· καὶ αὐτὴν καὶ βουλευτῇ ἐστρατηγηκότι ἀνοικοδομῆσαι
προσέταξεν. ἀφ᾽ οὗπερ καὶ νῦν θαυμάζω τῶν αἰτιωμένων αὐτὸν
4 ὡς οὐ μεγαλόφρονα γενόμενον· τὰ μὲν γὰρ ἄλλα οἰκονομικώτατος
ὡς ἀληθῶς ἦν, τῶν δ᾽ ἀναγκαίων ἀναλωμάτων οὐδὲ ἓν ἐξίστατο,
καίπερ μήτε τινὰ ἐσπράξει χρημάτων, ὥσπερ εἶπον, λυπῶν, καὶ
πλεῖστα ὅσα ἐξ ἀνάγκης ἔξω τῶν ἐγκυκλίων δαπανῶν.

33 ἐπειδὴ δὲ τὰ Σκυθικὰ αὖθις αὐτοῦ ἐδεήθη, γυναῖκα τῷ υἱεῖ
θᾶττον δι᾽ αὐτὰ ἢ ἐβούλετο Κρισπῖναν συνῴκισεν· οἱ γὰρ Κυιντί-
λιοι οὐκ ἠδυνήθησαν, καίπερ δύο τε ὄντες καὶ φρόνημα καὶ ἀνδρίαν
ἐμπειρίαν τε πολλὴν ἔχοντες, τὸν πόλεμον παῦσαι, καὶ διὰ τοῦτ᾽
2 ἀναγκαίως αὐτοὶ οἱ αὐτοκράτορες ἐξεστράτευσαν. ὁ δὲ Μάρκος
a.C. 178 καὶ χρήματα ἐκ τοῦ δημοσίου ᾔτησε τὴν βουλήν, οὐχ ὅτι μὴ ἔκειντο
ἐπὶ τῇ τοῦ κρατοῦντος ἐξουσίᾳ, ἀλλ᾽ ὅτι ὁ Μάρκος πάντα τῆς βου-
λῆς καὶ τοῦ δήμου καὶ αὐτὰ καὶ τἆλλα ἔλεγεν εἶναι· "ἡμεις γάρ"
ἔφη πρὸς τὴν βουλὴν λέγων "οὕτως οὐδὲν ἴδιον ἔχομεν ὥστε καὶ
3 ἐν τῇ ὑμετέρᾳ οἰκίᾳ οἰκοῦμεν." ταῦτά τε εἰπών, καὶ τὸ δόρυ τὸ
αἱματῶδες παρὰ τῷ ἐννείῳ ἐς τὸ πολέμιον δὴ χωρίον, ὥς γε καὶ
τῶν συγγενομένων αὐτῷ ἤκουσα, ἀκοντίσας ἐξωρμήθη, καὶ τῷ Πα-
τέρνῳ δοὺς χεῖρα μεγάλην ἔπεμψεν αὐτὸν ἐς τὸν τῆς μάχης ἀγῶνα.
καὶ οἱ βάρβαροι ἀντέτειναν μὲν διὰ τῆς ἡμέρας ἁπάσης, κατεκόπη-
4 σαν δὲ ὑπὸ τῶν Ῥωμαίων πάντες, καὶ ὁ Μάρκος τὸ δέκατον αὐτο-
κράτωρ προσηγορεύθη. καὶ εἴγε πλέον ἐβεβιώκει, πάντα τὰ ἐκεῖ
a.C. 180 ἂν ἐκεχείρωτο· νῦν δὲ τῇ ἑπτακαιδεκάτῃ τοῦ Μαρτίου μετήλλαξεν,
οὐχ ὑπὸ τῆς νόσου ἣν καὶ τότε ἐνόσησεν, ἀλλ᾽ ὑπὸ τῶν ἰατρῶν, ὡς
34 ἐγὼ σαφῶς ἤκουσα, τῷ Κομμόδῳ χαριζομένων. μέλλων οὖν ἀπο-
θνήσκειν τοῦτόν τε τοῖς στρατιώταις παρακατέθετο (οὐ γὰρ ἤθελε
δοκεῖν ὑπ᾽ αὐτοῦ θνήσκειν) καὶ τῷ χιλιάρχῳ τὸ σύνθημα αἰτοῦντι
ἔφη "ἄπελθε πρὸς τὸν ἀνατέλλοντα· ἐγὼ γὰρ ἤδη δύομαι." τελευ-
τήσας δὲ ἄλλα τε πολλὰ ἐς τιμὴν ἔλαβε καὶ χρυσοῦς ἐς αὐτὸ τὸ
συνέδριον ἔστη. ὁ μὲν οὖν Μάρκος οὕτω μετήλλαξεν.

2 ὅτι οὕτω θεοσεβὴς ἦν ὁ Μάρκος ὥστε καὶ ἐν ταῖς ἀποφράσιν
οἴκοι θύειν. V p. 721.

ὅτι εἶχε μὲν καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, καὶ ἄριστα δὴ
ἁπάντων τῶν ἐν κράτει τινὶ γενομένων ἦρξε, πλὴν καθ᾽ ὅσον οὐ
πολλὰ τῷ σώματι ἀνδρίζεσθαι ἐδύνατο· καίτοι τοῦτο ἐξ ἀσθενε-
3 στάτου καρτερικώτατον ἀπέδειξεν. πλεῖστον δὲ ἐν εὐεργεσίᾳ διῆ-
γεν· ὅθεν που καὶ ναὸν αὐτῆς ἐν τῷ Καπιτωλίῳ ἱδρύσατο, ὀνόματί

Digitized by Google

τινι ἰδιωτάτῳ καὶ μήπω ἀκουσθέντι προσκαλέσας αὐτήν. αὐτὸς
μὲν γὰρ ἁπάντων τῶν ἁμαρτημάτων ἀπείχετο, "καὶ οὔτε ἑκὼν οὔτε
ἄκων ἐπλημμέλει·" τὰ δὲ δὴ τῶν ἄλλων ἁμαρτήματα, καὶ μάλιστα
τὰ τῆς γυναικός, ἔφερε καὶ οὔτε ἐπολυπραγμόνει οὔτε ἐκόλαζεν, 4
ἀλλ' εἰ μέν τις χρηστόν τι ἔπραττεν, ἐπῄνει καὶ ἐχρῆτο ἐς ἐκεῖνο
αὐτῷ, τῶν δὲ ἑτέρων οὐ προσεποιεῖτο, "λέγων ὅτι ποιῆσαι μέν τινι
ἀνθρώπους ὁποίους βούλεται ἔχειν ἀδύνατόν ἐστι, τοῖς δὲ δὴ οὖσι
προσήκει, ἐς ὅ τι ἄν τις αὐτῶν τῷ κοινῷ χρήσιμος ᾖ, χρῆσθαι."
καὶ ὅτι οὐ προσποιητῶς ἀλλ' ἐξ ἀρετῆς πάντα ἔπραττε, πρόδηλον·
ἔτη γὰρ ὀκτὼ καὶ πεντήκοντα καὶ μῆνας δέκα ἡμέρας τε εἴκοσι καὶ 5
δύο ζήσας, κἀν τούτοις τῷ τε πρὶν Ἀντωνίνῳ συχνὸν χρόνον ὑπάρ-
ξας καὶ αὐτὸς ἐννέα καὶ δέκα ἔτη καὶ ἕνδεκα ἡμέρας αὐταρχήσας,
ὅμοιος διὰ πάντων ἐγένετο καὶ ἐν οὐδενὶ ἠλλοιώθη. οὕτως ὡς ἀλη-
θῶς ἀγαθὸς ἀνὴρ ἦν καὶ οὐδὲν προσποιητὸν εἶχεν. πάμπολλα μὲν 35
γὰρ καὶ ὑπὸ παιδείας ὠφελήθη, ἔν τε τοῖς ῥητορικοῖς ἔν τε τοῖς
ἐκ φιλοσοφίας λόγοις ἀσκηθείς· τῶν μὲν γὰρ τόν τε Φρόντωνα τὸν
Κορνήλιον καὶ τὸν Ἡρώδην τὸν Κλαύδιον διδασκάλους εἶχε, τῶν
δὲ τόν τε Ῥούστικον τὸν Ἰούνιον καὶ Ἀπολλώνιον τὸν Νικομηδέα,
τοὺς Ζηνωνείους λόγους μελετῶντας, ἀφ' οὗ δὴ παμπληθεῖς φιλο- 2
σοφεῖν ἐπλάττοντο, ἵν' ὑπ' αὐτοῦ πλουτίζωνται. πλεῖστον δὲ ὅμως
ὑπὸ τῆς φύσεως ἐξήρθη· καὶ γὰρ πρὶν ἐκείνοις ὁμιλῆσαι, ἰσχυρῶς
πρὸς ἀρετὴν ὥρμητο. τοῖς τε γὰρ συγγενέσι πᾶσι, πολλοῖς καὶ δυ-
νατοῖς πλουσίοις τε οὖσιν, οὕτω τι ἔτι παῖς ὢν ἤρεσεν ὥσθ' ὑπὸ 3
πάντων αὐτῶν ἀγαπηθῆναι, καὶ διὰ τοῦτο ὑπὸ τοῦ Ἀδριανοῦ ὅτι
μάλιστα ἐς τὸ γένος ποιηθεὶς οὐχ ὑπερεφρόνησεν, "ἀλλὰ καίτοι νέος
ὢν καὶ Καῖσαρ τῷ τε Ἀντωνίνῳ παρὰ πᾶσαν τὴν ἀρχὴν ἐμμελέ-
στατα ἐδούλευσε καὶ τοὺς ἄλλους τοὺς πρώτους ἀνεπαχθῶς ἐτίμη-
σεν. ἠσπάζετό τε τοὺς ἀξιωτάτους ἐν τῇ Τιβεριανῇ οἰκίᾳ ἐν ᾗ 4
ᾤκει, πρὶν τὸν πατέρα ἰδεῖν, οὐχ ὅπως τὴν στολὴν τὴν καθήκουσαν
ἐνδεδυκώς, ἀλλὰ καὶ ἰδιωτικῶς ἐσταλμένος, καὶ ἐν αὐτῷ γε τῷ δω-
ματίῳ ἐν ᾧ ἐκάθευδεν. καὶ πολλοὺς νοσοῦντας ἐπεσκέπτετο, καὶ
πρὸς τοὺς διδασκάλους οὐκ ἔστιν ὅτε οὐκ ἐφοίτα. μανδύας τε 5
φαιάς, ὁσάκις γε καὶ ἄνευ τοῦ πατρὸς προῄει, ἐνεδύετο, καὶ τῷ
φωτὶ τῷ προηγουμένῳ οὐκ ἔστιν ὅτε καθ' ἑαυτὸν ἐχρήσατο. καὶ
πρόκριτος τῆς ἱππάδος ἀποδειχθεὶς ἐσῆλθεν ἐς τὴν ἀγορὰν μετὰ
τῶν λοιπῶν, καίπερ Καῖσαρ ὤν. οὕτω μὲν οὖν ἄλλως τε καλῶς 6
ἐπεφύκει καὶ ἐκ τῆς παιδείας ἐπὶ πλεῖστον ὠφελήθη", Ἑλληνικῶν
τε καὶ Λατίνων ῥητορικῶν καὶ φιλοσόφων λόγων, "καίπερ ἐς ἄν-

34 1 3 οὐδὲν?* 35 3 1 τε om* 3 3 et 6 3 " " V p. 722

Digitized by Google

δρας ἤδη τελῶν καὶ ἐλπίδα αὐταρχήσειν ἔχων", ἀεὶ διεπίμπλατο.
36 καὶ πρὸ τοῦ Καῖσαρ ἀποδειχθῆναι ὄναρ ἔδοξεν ὤμους τε καὶ χεῖ-
ρας ἐλεφαντίνους ἔχειν καὶ αὐταῖς πάντα ὅσα τοῖς ἄλλοις χρῆσθαι.
ἐκ δ' οὖν τῆς πολλῆς ἀσχολίας τε καὶ ἀσκήσεως ἀσθενέστατον τὸ
2 σῶμα ἔσχε, καίτοι τοσαύτῃ εὐεξίᾳ ἀπ' ἀρχῆς χρησάμενος ὥστε καὶ
ὁπλομαχεῖν καὶ σῦς ἀγρίους ἐν θήρᾳ καταβάλλειν ἀπὸ ἵππου, "τάς
τε ἐπιστολὰς τὰς πλείστας οὐ μόνον ἐν τῇ πρώτῃ ἡλικίᾳ ἀλλὰ καὶ
3 μετὰ ταῦτα αὐτοχειρίᾳ τοῖς πάνυ φίλοις γράφειν." οὐ μέντοι καὶ
ἐπαξίως ἑαυτοῦ εὐδαιμόνησεν· οὔτε γὰρ "τὸ σῶμα" ἔρρωτο, καὶ κα-
κοῖς πλείστοις παρὰ πᾶσαν ὡς εἰπεῖν τὴν ἡγεμονίαν περιέπεσεν.
ἀλλ' ἔγωγε ἐξ αὐτῶν τούτων μᾶλλον αὐτὸν τεθαύμακα, ὅτι ἔν τε
ἀλλοκότοις καὶ ἐν ἐξαισίοις πράγμασι καὶ αὐτὸς διεγένετο καὶ τὴν
4 ἀρχὴν διεσώσατο. ἓν δ' οὖν τοῦτο ἐς τὴν οὐκ εὐδαιμονίαν αὐτοῦ
συνηνέχθη, ὅτι τὸν υἱὸν καὶ θρέψας καὶ παιδεύσας ὡς οἷόν τε ἦν
ἄριστα, πλεῖστον αὐτοῦ ὅσον διήμαρτεν. περὶ οὗ ἤδη ῥητέον, ἀπὸ
χρυσῆς τε βασιλείας ἐς σιδηρᾶν καὶ κατιωμένην τῶν τε πραγμάτων
τοῖς τότε Ῥωμαίοις καὶ ἡμῖν νῦν καταπεσούσης τῆς ἱστορίας.

ΟΒ οὗτος πανοῦργος μὲν οὐκ ἔφυ, ἀλλ' εἰ καί τις ἄλλος ἀνθρώπων
ἄκακος, ὑπὸ δὲ δὴ τῆς πολλῆς ἁπλότητος καὶ προσέτι καὶ δειλίας
ἐδούλευσε τοῖς συνοῦσι, καὶ ὑπ' αὐτῶν ἀγνοίᾳ τὸ πρῶτον τοῦ κρείτ-
τονος ἁμαρτὼν ἐς ἔθος κἀκ τούτου ἐς φύσιν ἀσελγῆ καὶ μιαιφόνον
2 προήχθη. "καί μοι δοκεῖ καὶ τοῦτο καὶ ὁ Μάρκος σαφῶς προγνῶ-
ναι." ἦν δὲ ἐννεακαιδεκαέτης ὅτε μετήλλαξεν ὁ πατὴρ αὐτοῦ, πολ-
λοὺς αὐτῷ καὶ τοὺς κρατίστους τῶν βουλευτῶν ἐπιτρόπους κατα-
λιπών· ὧν ὁ Κόμμοδος ταῖς ὑποθήκαις καὶ συμβουλίαις χαίρειν
εἰπών, καὶ τοῖς βαρβάροις σπεισάμενος, ἐς τὴν Ῥώμην ἠπείχθη.

2 "ὅτι οἱ Μαρκομάνοι οὔτε τροφὴν οὔτ' ἄνδρας συχνοὺς ὑπό τε
τοῦ πλήθους τῶν ἀπολλυμένων καὶ ὑπὸ τῆς ἀεὶ τῶν χωρίων κακώ-
σεως ἔτι εἶχον· δύο γοῦν μόνους τῶν πρώτων καὶ δύο ἄλλους τῶν
καταδεεστέρων πρέσβεις πρὸς αὐτὸν ὑπὲρ τῆς εἰρήνης ἔπεμψαν.
2 καὶ ἐξεργάσασθαι αὐτοὺς δυνάμενος ῥᾳδίως, μισόπονος δὲ δὴ ὢν
καὶ πρὸς τὰς ἀστικὰς ῥᾳστώνας ἐπειγόμενος ἐσπείσατο αὐτοῖς ἐπί
τε τοῖς ἄλλοις ἐφ' οἷς ὁ πατὴρ αὐτοῦ συνετέθειτο, καὶ ἵνα τούς τε
αὐτομόλους καὶ τοὺς αἰχμαλώτους, οὓς μετὰ ταῦτα ἔλαβον, ἀπο-
δῶσιν αὐτῷ, καὶ σῖτόν τινα κατ' ἔτος τακτὸν τελῶσιν, ὃν ὕστερον
3 αὐτοῖς ἀφῆκεν. ὅπλα τέ τινα παρ' αὐτῶν ἔλαβε, καὶ στρατιώτας
παρὰ μὲν τῶν Κουάδων μυρίους καὶ τρισχιλίους, παρὰ δὲ τῶν
Μαρκομάνων ἐλάττους· ἀνθ' ὧν ἀνῆκεν αὐτοῖς τῶν κατ' ἔτος δι-

36 1 2 ἄλλοις] ἀνθρώποις* 2 2 καταβαλεῖν* 4 4 καταιτιωμένων | 1 2 " " V p. 722 2 3 3 τῶν] τὸ ?*

δόναι τινάς. προσεπέταξε μέντοι σφίσιν ἵνα μήτε πολλάκις μήτε 4
πολλαχοῦ τῆς χώρας ἀθροίζωνται, ἀλλ' ἅπαξ ἐν ἑκάστῳ μηνὶ καὶ
ἐς τόπον ἕνα, ἑκατοντάρχου τινὸς Ῥωμαίου παρόντος, πρὸς δὲ καὶ
ἵνα μήτε τοῖς Ἰάζυξι μήτε τοῖς Βούρροις μήτε τοῖς Ὀανδήλοις πο-
λεμῶσιν. ἐπὶ μὲν τούτοις συνηλλάγη, καὶ τὰ φρούρια πάντα τὰ ἐν
τῇ χώρᾳ αὐτῶν ὑπὲρ τὴν μεθορίαν τὴν ἀποτετμημένην ὄντα ἐξέλι-
πεν. U p. 412.

ὅτι τοῖς Βούρροις ὁ Κόμμοδος εἰρήνην ἔδωκε πρεσβεύσασιν. 3
πρότερον μὲν γάρ, καίτοι πολλάκις αὐτὴν αἰτηθείς, οὐκ ἐποιήσατο,
ὅτι τε ἔρρωντο καὶ ὅτι οὐκ εἰρήνην ἀλλ' ἀνοχὴν ἐς τὸ παρασκευά-
σασθαι λαβεῖν ἤθελον· τότε δέ, ἐπειδὴ ἐξετρυχώθησαν, συνηλλάγη 2
σφίσιν ὁμήρους λαβὼν καὶ αἰχμαλώτους παρά τε τῶν Βούρρων
πολλοὺς καὶ παρὰ τῶν ἄλλων μυρίους καὶ πεντακισχιλίους κομισά-
μενος, καὶ ἀναγκάσας τοὺς ἄλλους ὀμόσαι ὥστε μήτ' ἐνοικήσειν
ποτὲ μήτ' ἐννεμεῖν τεσσαράκοντα στάδια τῆς χώρας σφῶν τῆς πρὸς
τῇ Δακίᾳ οὔσης. ὁ δὲ Σαβινιανὸς καὶ Δακῶν τῶν προσόρων μυ- 3
ρίους καὶ δισχιλίους ἐκ τῆς οἰκείας ἐκπεσόντας καὶ μέλλοντας τοῖς
ἄλλοις βοηθήσειν ὑπηγάγετο, γῆν τινὰ αὐτοῖς ἐν τῇ Δακίᾳ τῇ ἡμε-
τέρᾳ δοθήσεσθαι ὑποσχόμενος. U p. 413.

ὅτι ὁ Κόμμοδος πολλὰ μὲν καὶ ἀπρεπῆ ἔπραξε, πλείστους δὲ
ἐφόνευσεν. V p. 722.

καὶ ἐπεβουλεύθη μὲν πολλάκις ὑπό τινων, πλείστους δὲ ἐφό- 4
νευσε καὶ ἄνδρας καὶ γυναῖκας, τοὺς μὲν φανερῶς τοὺς δὲ λάθρᾳ
φαρμάκοις, καὶ ὡς εἰπεῖν πάντας τοὺς ἐπὶ τοῦ πατρὸς αὐτοῦ καὶ
ἐπ' αὐτοῦ ἐκείνου ἀνθήσαντας, πλὴν τοῦ τε Πομπηιανοῦ καὶ τοῦ 2
Περτίνακος καὶ τοῦ Ὀικτωρίνου· τούτους γὰρ οὐκ οἶδ' ὅπως οὐκ
ἀπέκτεινεν. λέγω δὲ ταῦτά τε καὶ τὰ λοιπὰ οὐκ ἐξ ἀλλοτρίας ἔτι
παραδόσεως ἀλλ' ἐξ οἰκείας ἤδη τηρήσεως. ἐλθὼν δὲ ἐς τὴν Ῥώ-
μην καὶ πρὸς τὴν γερουσίαν διαλεχθεὶς ἄλλα τέ τινα ἀπελήρησε, 3
καί τι καὶ τοιοῦτον ἐν τοῖς αὑτοῦ ἐπαίνοις εἶπεν, ὅτι τὸν πατέρα
ποτὲ ἐς πηλὸν βαθὺν ἐμπεσόντα ἱππεύων ἐρρύσατο. τοιαῦτα μὲν
τὰ σεμνολογήματα αὐτοῦ ἦν, ἐσιόντι δὲ αὐτῷ ἐς τὸ θέατρον τὸ 4
κυνηγετικὸν Κλαύδιος Πομπηιανὸς ἐπεβούλευσεν· ξίφος γάρ τι ἐν a.C. 182
αὐτῇ τῇ τῆς ἐσόδου στενοχωρίᾳ ἀνατείνας "ἰδού" ἔφη, "τοῦτό σοι
ἡ βουλὴ πέπομφεν." οὗτος ἐνεγεγύητο μὲν τὴν θυγατέρα Λουκίλ-
λης, ἐχρῆτο δὲ καὶ αὐτῇ ταύτῃ καὶ τῇ τῆς κόρης μητρί, καὶ διὰ
ταῦτα τῷ Κομμόδῳ ᾠκείωτο ὡς καὶ συνεστιᾶσθαι καὶ συννεανιεύ- 5
εσθαι αὐτῷ. ἡ γὰρ Λουκίλλα οὐδὲν ἐπιεικεστέρα οὐδὲ σωφρονε-

•3 2 3 ἄλλων et 4 ἄλλους et 3 3 ἄλλοις] latet populi nomen, velut Ἀλανῶν* 2 4 μή*

στέρα τοῦ ἀδελφοῦ Κομμόδου ὑπάρχουσα ἤχθετο μὲν τῷ ἀνδρὶ
αὐτῆς τῷ Πομπηιανῷ· ὅθεν καὶ ἀνέπεισε τὸν εἰρημένον ἐπιθέσθαι
τῷ Κομμόδῳ, καὶ αὐτόν τε ἀπώλεσε καὶ αὐτὴ φωραθεῖσα ἐπανη-
6 ρέθη. ἀπέκτεινε δὲ καὶ τὴν Κρισπῖναν ὁ Κόμμοδος, ἐπὶ μοιχείᾳ
δή τινι ὀργισθεὶς αὐτῇ. πρὸ δὲ τοῦ ἀναιρεθῆναι καὶ ἀμφότεραι
ἐς τὴν νῆσον τὴν Καπρίαν ὑπερωρίσθησαν. Μαρκία δέ τις Κουα-
δράτου τῶν τότε φονευθέντων ἑνὸς παλλακή, καὶ Ἔκλεκτος πρόκοι-
τος, ὁ μὲν καὶ τοῦ Κομμόδου πρόκοιτος ἡ δὲ παλλακὴ ἐγένετο, καὶ
7 τοῦ Ἐκλέκτου μετὰ ταῦτα γυνή· καὶ ἐπεῖδε καὶ ἐκείνους βιαίως
ἀποθνήσκοντας. ἱστορεῖται δὲ αὕτη πολλά τε ὑπὲρ τῶν Χριστια-
νῶν σπουδάσαι καὶ πολλὰ αὐτοὺς εὐηργετηκέναι, ἅτε καὶ παρὰ τῷ
Κομμόδῳ πᾶν δυναμένη.

5 "ὅτι ὁ Κόμμοδος καὶ Ἰουλιανὸν τὸν Σάλβιον καὶ Πάτερνον
Ταρρουτήνιον ἐς τοὺς ὑπατευκότας κατειλεγμένον, ἄλλους τε μετ'
αὐτῶν καί τινα καὶ γυναῖκα εὐπατρίδα ἀπέσφαξεν. καίτοι καὶ Ἰου-
λιανὸς δυνηθεὶς ἂν μετὰ τὴν Μάρκου τελευτὴν πᾶν εὐθὺ κατ' αὐ-
2 τοῦ ὅ τι καὶ ἐβούλετο, ἅτε καὶ ἐλλογιμώτατος ὢν καὶ στρατιὰν
μεγάλην ἐπιτετραμμένος τούς τε στρατιώτας ἀνηρτημένος, πρᾶξαι,
οὐδὲν ἠθέλησε διά τε τὴν ἑαυτοῦ ἐπιείκειαν καὶ διὰ τὴν ἐκείνου
καὶ τεθνηκότος εὔνοιαν νεοχμῶσαι· καὶ ὁ Πάτερνος ῥᾳδίως ἂν αὐ-
τόν, εἴπερ ἐπιβεβουλεύκει οἱ ὥσπερ ᾐτιάθη, φονεύσας ἕως ἔτι τῶν
3 δορυφόρων ἦρχεν, οὐκ ἐποίησεν." ἐφόνευσε δὲ καὶ τοὺς Κυιντι-
λίους, τόν τε Κονδιανὸν καὶ τὸν Μάξιμον· μεγάλην γὰρ εἶχον δόξαν
ἐπὶ παιδείᾳ καὶ ἐπὶ στρατηγίᾳ καὶ ὁμοφροσύνῃ καὶ πλούτῳ. ἐκ
γὰρ δὴ τῶν προσόντων σφίσιν ὑπωπτεύοντο καλῶν, εἰ καὶ μηδὲν
4 νεώτερον ἐνενόουν, ἄχθεσθαι τοῖς παροῦσιν. καὶ οὕτως αὐτοί,
ὥσπερ ἔζησαν ἅμα, οὕτω καὶ ἀπέθανον μεθ' ἑνὸς τέκνου· διαπρε-
πέστατα γὰρ τῶν πώποτε ἐφίλησαν ἀλλήλους, καὶ οὐκ ἔστιν ὅτε
οὐδ' ἐν ταῖς ἀρχαῖς διεχωρίσθησαν. ἐγένοντο δὲ καὶ πολυκτήμονες
καὶ παμπλούσιοι, καὶ ἦρχον ὁμοῦ καὶ παρήδρευον ἀλλήλοις.

6 Κονδιανὸς δὲ Σέξτος ὁ τοῦ Μαξίμου υἱός, φύσει τε καὶ παι-
δείᾳ τῶν ἄλλων διαφέρων, ἐπειδὴ ᾔσθετο καὶ τῆς ἐς αὐτὸν φερού-
σης θανατηφόρου ψήφου (διέτριβε δὲ ἐν Συρίᾳ), αἷμα λαγὼ ἔπιε,
καὶ μετὰ τοῦτ' ἐπί τε ἵππον ἀνέβη καὶ κατέπεσεν ἀπ' αὐτοῦ ἐπιτη-
δές, τό τε αἷμα ἤμεσεν ὡς ἴδιον, καὶ ἀρθεὶς ὡς καὶ παραχρῆμα
2 τελευτήσων ἐς οἴκημα ἐκομίσθη, καὶ αὐτὸς μὲν ἀφανὴς ἐγένετο,
κριοῦ δὲ σῶμα ἐς λάρνακα ἀντ' αὐτοῦ ἐμβληθὲν ἐκαύθη. καὶ ἐκ
τούτου ὁ μὲν ἀμείβων ἀεὶ τὸ σχῆμα καὶ τὴν ἐσθῆτα ἄλλοτε ἄλλῃ

5 1 et 2 " " V p. 725    2 4 αὐτός

ἐπλανᾶτο, διαδοθέντος δὲ τοῦ λόγου τούτου (οὐ γάρ οἷόν τ' ἐστὶ
τὰ τηλικαῦτα ἐπὶ πολὺν χρόνον λανθάνειν) ζήτησις αὐτοῦ μεγάλη
πανταχοῦ ὁμοίως ἐγένετο, καὶ πολλοὶ μὲν ἀντ' αὐτοῦ δι' ὁμοιότητα 3
πολλοὶ δὲ ὡς καὶ συνεγνωκότες τι αὐτῷ ἢ καὶ ὑποδεδεγμένοι πῃ
αὐτὸν ἐκολάσθησαν, ἔτι δὲ πλείους οὐδὲ ἑωρακότες ποτὲ ἴσως αὐ-
τὸν τῶν οὐσιῶν ἐστερήθησαν. καὶ ὁ μὲν εἴτε ὄντως ἐσφάγη (πλεῖ- 4
σται γὰρ κεφαλαὶ ὡς ἐκείνου οὖσαι ἐς τὴν Ῥώμην ἐκομίσθησαν)
εἴτε καὶ ἀπέφυγεν, οὐδεὶς οἶδεν· ἕτερος δέ τις ἐτόλμησε μετὰ τὸν
τοῦ Κομμόδου θάνατον Σέξτος τε εἶναι φῆσαι καὶ πρὸς ἀνάληψιν
τοῦ τε πλούτου καὶ τοῦ ἀξιώματος αὐτοῦ ὁρμῆσαι. καὶ πολλά γε
ὑπὸ πολλῶν ἀνακριθεὶς ἐκομψεύσατο, ὡς μέντοι καὶ τῶν Ἑλληνι- 5
κῶν τι αὐτὸν ὁ Περτίναξ, ὧν ἐκεῖνος διεπεφύκει, ἀνήρετο, πλεῖστον
ἐσφάλη, μηδὲ συνεῖναι τὸ λεγόμενον δυνηθείς. "οὕτω που τὸ μὲν
εἶδος ἐκ φύσεως καὶ τἆλλα ἐξ ἐπιτηδεύσεως αὐτῷ ἐῴκει, τῆς δὲ δὴ
παιδείας αὐτοῦ οὐ μετεσχήκει."

τοῦτό τε οὖν αὐτὸς ἤκουσα παρών, καὶ ἕτερον τοιόνδε εἶδον. 7
ἔστιν ἐν Μαλλῷ πόλει τῆς Κιλικίας Ἀμφιλόχου χρηστήριον, καὶ
χρᾷ δι' ὀνειράτων. ἔχρησεν οὖν καὶ τῷ Σέξτῳ, ὃ διὰ γραφῆς ἐκεῖ-
νος ἐδήλωσεν· παιδίον γὰρ τῷ πίνακι ἐνεγέγραπτο δύο δράκοντας
ἀποπνῖγον καὶ λέων νεβρὸν διώκων. οὐδὲ ἔσχον αὐτὰς συμβαλεῖν, 2
τῷ πατρὶ συνὼν ἄρχοντι τῆς Κιλικίας, πρὶν πυθέσθαι τούς τε
ἀδελφοὺς ὑπὸ τοῦ Κομμόδου, ὃς μετὰ ταῦτα τὸν Ἡρακλέα ἐζήλωσε
τρόπον τινά, πνιγέντας, ὥσπερ καὶ ὁ Ἡρακλῆς ἔτι νήπιος ὢν ἱστό-
ρηται τοὺς ὑπὸ τῆς Ἥρας ἐπιπεμφθέντας αὐτῷ δράκοντας ἀποπνῖ-
ξαι (καὶ γὰρ οἱ Κυιντίλιοι ἀπηγχονήθησαν), καὶ τὸν Σέξτον φεύ-
γοντα καὶ διωκόμενον ὑπὸ τοῦ κρείττονος.

πάμπολυν ἂν ὄχλον τῇ συγγραφῇ παράσχοιμι, εἰ ἀκριβῶς καθ' 3
ἕκαστον τοὺς θανατωθέντας ὑπ' αὐτοῦ γράφοιμι, ὁπόσους ἐκεῖνος
ἢ διὰ συκοφαντίας ψευδεῖς ἢ δι' ὑποψίας οὐκ ἀληθεῖς ἢ διὰ πλοῦ-
τον λαμπρὸν ἢ διὰ γένος εὐδόκιμον ἢ διὰ παιδείας ὑπεροχὴν ἢ δι'
ἄλλην τινὰ ἀρετὴν διεχρήσατο.

"ὅτι ὁ Κόμμοδος πολλὰ μὲν πλούτου ἐπιδείγματα, πολλῷ δὲ 4
πλείω καὶ φιλοκαλίας ἐν αὐτῇ τῇ Ῥώμῃ παρέσχετο. ἔστι δέ τι καὶ
δημωφελὲς ὑπ' αὐτοῦ πραχθέν· Μανιλίου γὰρ τῷ Κασσίῳ συγγενο-
μένου καὶ τὰς ἐπιστολὰς αὐτοῦ τὰς Λατίνας διοικήσαντος καὶ μέ-
γιστον παρ' αὐτῷ δυνηθέντος καὶ φυγόντος, εἶτα φωραθέντος, οὔτε
τι ἀκοῦσαι καίτοι πολλὰ μηνύσειν ὑπισχνουμένου ἠθέλησε, καὶ τὰ
γράμματα αὐτοῦ πάντα κατέκαυσε πρὶν ἀναγνωσθῆναι. V p. 725.

6 5 " " V p. 725 7 2 1 αὐτὰ? 6 καὶ — ἀπηγχ.] haec
male abundant 4 1 μὲν om* 5 αὐτοῦ

8 ἐγένοντο δὲ καὶ πόλεμοί τινες αὐτῷ πρὸς τοὺς ὑπὲρ τὴν Δακίαν
a.C. 182 βαρβάρους, ἐν οἷς ὅ τε Ἀλβῖνος καὶ ὁ Νίγρος οἱ τῷ αὐτοκράτορι
Σεβήρῳ μετὰ ταῦτα ἀντιπολεμήσαντες εὐδοκίμησαν, μέγιστος δὲ ὁ
2 Βρεττανικός. τῶν γὰρ ἐν τῇ νήσῳ ἐθνῶν ὑπερβεβηκότων τὸ τεῖχος
τὸ διορίζον αὐτούς τε καὶ τὰ τῶν Ῥωμαίων στρατόπεδα, καὶ πολλὰ
κακουργούντων, στρατηγόν τέ τινα μετὰ τῶν στρατιωτῶν οὓς εἶχε
κατακοψάντων, φοβηθεὶς ὁ Κόμμοδος Μάρκελλον Οὔλπιον ἐπ' αὐ-
3 τοὺς ἔπεμψεν. οὗτοσὶ δὲ ὁ ἀνὴρ μέτριος καὶ εὐτελὴς ὤν, στρατιω-
τικῶς τε ἀεὶ καὶ περὶ τὴν τροφὴν καὶ περὶ πάντα τἆλλα ζῶν, ὅτε
ἐπολέμει, ὑψηλόφρων καὶ φρονηματώδης ἐγίγνετο, χρημάτων τε
διαφανῶς ἀδωρότατος ἦν, οὐ μὴν καὶ ἡδὺς τὸ ἦθος ἢ φιλάνθρω-
4 πος. ἀυπνότατος δὲ τῶν στρατηγῶν γενόμενος, καὶ τοὺς ἄλλους
τοὺς συνόντας αὐτῷ ἐγρηγορέναι βουλόμενος, δώδεκα γραμματεῖα,
οἷά γε ἐκ φιλύρας ποιεῖται, καθ' ἑκάστην ἑσπέραν ὡς εἰπεῖν συνέ-
γραφε, καὶ προσέταττέ τινι ἄλλο ἄλλῃ ὥρᾳ κομίζειν τισίν, ἵν' ἐγρη-
γορέναι τὸν στρατηγὸν ἀεὶ νομίζοντες μηδὲ αὐτοὶ ἄδην καθεύδοιεν.
ἦν μὲν γὰρ καὶ ἄλλως ὑπνομαχεῖν πεφυκώς, ἐπὶ πλέον δὲ τοῦτο ἐκ
5 τῆς ἀσιτίας ἠσκήκει. "τά τε γὰρ ἄλλα ἥκιστα ἄδην ἐσιτεῖτο, καὶ"
ὅπως μηδὲ τῶν ἄρτων διαπιμπλᾶται, ἐκ τῆς Ῥώμης αὐτοὺς μετε-
πέμπετο, "οὐχ ὡς οὐ δυνάμενος τῶν ἐπιχωρίων ἐσθίειν, ἀλλ'" ἵν'
ὑπὸ τῆς παλαιότητος αὐτῶν μὴ δύνηται μηδὲ σμικρῷ πλέον τοῦ
πάνυ ἀναγκαίου φαγεῖν· "τὰ γὰρ οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥᾳδίως
ὑπὸ τῆς τῶν ἄρτων ξηρότητος ᾑμάσσετο. ἐπετήδευε δ' οὖν ἐπὶ
μεῖζον αὐτὸ πλάττεσθαι, ἵν' ὡς μάλιστα διαγρυπνεῖν δοκῇ."
6 Μάρκελλος μὲν δὴ τοιοῦτος ὢν τούς τε βαρβάρους τοὺς ἐν
Βρεττανίᾳ δεινῶς ἐκάκωσεν, καὶ μικροῦ δεῖν ὑπὸ τοῦ Κομμόδου
μετὰ ταῦτα διὰ τὴν ἰδίαν ἀρετὴν ἀποθανεῖν μελλήσας ὅμως ἀφείθη·
9 Περέννιον δὲ τῶν δορυφόρων μετὰ τὸν Πάτερνον ἄρχοντα συν-
a.C. 186 έβη διὰ τοὺς στρατιώτας στασιάσαντας ἀναιρεθῆναι. τοῦ γὰρ
Κομμόδου ἁρματηλασίαις καὶ ἀσελγείαις ἐκδεδωκότος ἑαυτόν, καὶ
τῶν τῇ ἀρχῇ προσηκόντων οὐδὲν ὡς εἰπεῖν πράττοντος, ὁ Περέννιος
ἠναγκάζετο οὐχ ὅτι τὰ στρατιωτικὰ ἀλλὰ καὶ τἆλλα διὰ χειρὸς
2 ἔχειν καὶ τοῦ κοινοῦ προστατεῖν. οἱ οὖν στρατιῶται, ὁπότε τι σφίσι
μὴ καταθύμιον ἀπαντήσαι, τὴν αἰτίαν ἐπὶ τὸν Περέννιον ἀναφέ-
ροντες ἐμηνίων αὐτῷ. καὶ οἱ ἐν Βρεττανίᾳ τοίνυν ὑπάρχοντες,
ἐπειδή τι καὶ ἐπετιμήθησαν ἐφ' οἷς ἐστασίαζον (οὐ γὰρ πρὶν ἡσύ-

8 3 3 δωροδοκίας τοσοῦτον ἀπεῖχεν ὅσον τῆς φιλανθρωπίας καὶ τῆς ἡμερότητος V et, qui μετεῖχε addit post ἡμερότητος, Suidas v. Μάρκελλος 4 4 ἵν' ὡς καὶ ἀεὶ ἐγρηγορὼς θαυμάζηται V cum Suida 5 1 et 3 " " V p. 726
9 2 4 ὅτι οἱ ἐν Βρεττανίᾳ στρατιῶται Πρίσκον ὑποστράτηγον εἵλοντο αὐτοκράτορα· ὁ δὲ παρῃτήσατο εἰπὼν ὅτι τοιοῦτος ἐγώ εἰμι αὐτοκράτωρ οἷοι

Digitized by Google

χασαν ἢ αὐτοὺς τὸν Περτίνακα παῦσαι), χιλίους καὶ πεντακοσίους
ἀκοντιστὰς ἀπὸ σφῶν ἀπολέξαντες ἐς τὴν Ἰταλίαν ἔπεμψαν· ὧν 3
μηδενὸς κωλύοντος τῇ Ῥώμῃ πλησιασάντων, ὁ Κόμμοδος ἀπήντησέ
τε αὐτοῖς καὶ ἐπύθετο "τί ταῦτα, ὦ συστρατιῶται; τί βουλόμενοι
πάρεστε;" εἰπόντων δὲ αὐτῶν "ἥκομεν· Περέννιος γάρ σοι ἐπιβου-
λεύει, ἵν' αὐτοκράτορα τὸν υἱὸν ἀποδείξῃ" ἐπείσθη τε αὐτοῖς, ἄλ-
λως τε καὶ τοῦ Κλεάνδρου ἐνάγοντος, ὃς κωλυόμενος ὑπὸ τοῦ Πε-
ρεννίου ποιεῖν ὅσα ἠβούλετο δεινῶς αὐτὸν ἐμίσει, καὶ ἐξέδωκε τὸν 4
ἔπαρχον τοῖς στρατιώταις ὧν ἦρχεν, οὐδὲ ἐτόλμησε καταφρονῆσαι
χιλίων καὶ πεντακοσίων, πολλαπλασίους αὐτῶν δορυφόρους ἔχων.
καὶ αὐτὸν ἐκεῖνοι καὶ ᾐκίσαντο καὶ κατέκοψαν, καὶ ἡ γυνὴ αὐτοῦ
καὶ ἡ ἀδελφὴ καὶ υἱεῖς δύο προσδιεφθάρησαν.

ὁ μὲν οὖν οὕτως ἐσφάγη, ἥκιστα δὴ τοῦτο παθεῖν καὶ δι' ἑαυτὸν 10
καὶ διὰ τὴν πᾶσαν τῶν Ῥωμαίων ἀρχὴν ὀφείλων, πλὴν καθ' ὅσον
διὰ τὴν φιλαρχίαν αἰτιώτατος τῷ Πατέρνῳ τῷ συνάρχοντι τοῦ
ὀλέθρου ἐγένετο· ἰδίᾳ μὲν γὰρ οὐδὲν πώποτε οὔτε πρὸς δόξαν οὔτε
πρὸς πλοῦτον περιεβάλετο, ἀλλὰ καὶ ἀδωρότατα καὶ σωφρονέστατα
διήγαγεν, τοῦ δὲ Κομμόδου καὶ τῆς ἀρχῆς αὐτοῦ πᾶσαν ἀσφάλειαν
ἐποιεῖτο. καὶ οἱ καισάρειοι τούτου ἀπαλλαγέντες (ἦν δὲ αὐτῶν 2
κορυφαῖος ὁ Κλέανδρος) οὐδὲν ὅ τι κακὸν οὐκ ἔδρων, πωλοῦντες
πάντα, ὑβρίζοντες, ἀσελγαίνοντες. Κόμμοδος δὲ τὸ πλεῖστον τοῦ
βίου περί τε τὰς ῥᾳστώνας καὶ τοὺς ἵππους περί τε τὰς μάχας
τῶν τε θηρίων καὶ τῶν ἀνδρῶν εἶχεν. ἄνευ γὰρ ὧν οἴκοι ἔδρα, 3
πολλοὺς μὲν ἄνδρας ἐν τῷ δημοσίῳ πολλὰ δὲ καὶ θηρία πολλάκις
ἔφθειρεν· καὶ πέντε γοῦν ἵππους ποταμίους ἅμα καὶ δύο ἐλέφαντας
ἄλλῃ καὶ ἄλλῃ ἡμέρᾳ χωρὶς αὐτὸς ταῖς ἑαυτοῦ χερσὶ κατεχρήσατο,
καὶ προσέτι καὶ ῥινοκέρωτας ἀπέκτεινε καὶ καμηλοπάρδαλιν. ταῦτα
μέν μοι κατὰ παντὸς τοῦ περὶ αὐτὸν λόγου γέγραπται.

"Ὅτι τῷ Οὐικτωρίνῳ πολιαρχήσαντι ἀνδριὰς ἔστη. ἀπέθανε δὲ 11
οὐκ ἐξ ἐπιβουλῆς, καὶ δή ποτε πολλῆς μὲν φήμης πολλῶν δὲ καὶ
λόγων ὡς εἰπεῖν περὶ τοῦ ὀλέθρου αὐτοῦ γιγνομένων ἀπεθρασύνατο,
καὶ προσελθὼν τῷ Περεννίῳ. [ποτὲ] "ἀκούω" ἔφη "ὅτι με ἀποκτεῖναι

ὑμεῖς στρατιῶται ἐστέ. M p. 224 4 3 χιλίους καὶ πεντακοσίους 4 ἐκεῖνον 10 1 1 δὲ 6 καὶ om 2 3 ὅτι ὁ Κόμμοδος εὐθυμίαις τε πάνυ προσέκειτο καὶ ἁρματηλασίᾳ προσεῖχεν, καὶ οὔτ' ἀρχὴν τῶν τοιούτων τι αὐτῷ ἔμελεν, οὔτ' εἰ καὶ σφόδρα ἐπεφροντίκει, διαθέσθαι γε αὐτὰ ὑπὸ τῆς ἁβρότητος καὶ τῆς ἀπειρίας ἐδύνατο. V p. 726 11 1 1 V. X: Οὐικτωρίνῳ δὲ τῷ πολιαρχήσαντι τελευτήσαντι ὁ ἀνδριὰς ἐδόθη. οὗτος βουλομένου πολλάκις ἀνελεῖν αὐτὸν τοῦ Κομμόδου, ἀναβαλλομένου δὲ καὶ ὀκνοῦντος τὴν πρᾶξιν (ὁ γὰρ Οὐικτωρῖνος τῇ τε τῆς ψυχῆς ἀρετῇ καὶ τῇ τῶν λόγων παρασκευῇ οὐδενὸς τῶν καθ' ἑαυτὸν δεύτερος ἐγένετο) προσελθὼν
3 ἀπεθρασύνετο*

ἐθέλετε· τί οὖν μέλλετε; τί δὲ ἀναβάλλεσθε, ἐξὸν ὑμῖν ἤδη καὶ
2 τήμερον αὐτὸ δρᾶσαι;" "ἀλλ' οὐδὲ ἐκ τούτου δεινὸν ὑπ' ἄλλου τινὸς
ἔπαθεν, ἀλλ' αὐτομάτῳ θανάτῳ ἐχρήσατο, καίπερ καὶ ὑπὸ τοῦ
Μάρκου ἐν τοῖς πάνυ τιμηθείς, καὶ τῇ τῆς ψυχῆς ἀρετῇ καὶ τῇ
τῶν λόγων παρασκευῇ οὐδενὸς τῶν καθ' ἑαυτὸν δεύτερος γενόμενος.
3 ἀμέλει δύο ταῦτ' εἰπὼν πάντα τὸν τρόπον αὐτοῦ δηλώσω." τῆς τε
Γερμανίας ποτὲ ἄρχων τὸ μὲν πρῶτον οἴκοι καθ' ἑαυτὸν ἐπειράθη
τὸν ὑποστράτηγον πεῖσαι μὴ δωροδοκεῖν, ἐπεὶ δ' οὐκ ἐσήκουεν
αὐτοῦ, ἀνέβη τε ἐπὶ τὸ βῆμα καὶ "σιγὴν τῷ κήρυκι κηρῦξαι προσ-
4 τάξας" ὤμοσε μήτ' εἰληφέναι δῶρά ποτε μήτε λήψεσθαι, ἔπειτα
καὶ ἐκεῖνον ὀμόσαι ἐκέλευσεν, ὡς δ' οὐκ ἠθέλησεν ἐπιορκῆσαι, ἐκέ-
λευσεν αὐτὸν πάντα ἀπαλλάξαι· "καὶ μετὰ τοῦτο τῆς Ἀφρικῆς ἡγε-
μονεύσας ἕνα τῶν παρέδρων ὁμοιότροπόν πως ἐκείνῳ ὄντα τοῦτο
μὲν οὐκ ἐποίησεν, ἐπὶ πλοῖον δέ τι ἐπιθεὶς ἐς τὴν Ῥώμην ἀπέπεμψεν."

12 τοιοῦτος μέν τις ὁ Οὐικτωρῖνος ἦν, ὁ δὲ δὴ Κλέανδρος ὁ μετὰ
τὸν Περέννιον μέγιστον δυνηθεὶς καὶ ἐπράθη μετὰ τῶν ὁμοδούλων,
μεθ' ὧν καὶ ἀχθηφορήσων ἐς τὴν Ῥώμην ἐκεκόμιστο, χρόνου δὲ
προϊόντος οὕτως ηὐξήθη ὥστε καὶ τοῦ Κομμόδου προκοιτῆσαι,
2 τήν τε παλλακίδα αὐτοῦ Δαμοστρατίαν γῆμαι, καὶ τὸν Σαώτερον
τὸν Νικομηδέα τὸν πρὸ αὐτοῦ τὴν τιμὴν ἔχοντα ταύτην ἀποκτεῖναι
πρὸς πολλοῖς καὶ ἄλλοις· καίτοι καὶ ἐκεῖνος μέγιστον ἠδυνήθη, καὶ
διὰ τοῦτο καὶ οἱ Νικομηδεῖς καὶ ἀγῶνα ἄγειν καὶ νεὼν τοῦ Κομ-
3 μόδου ποιήσασθαι παρὰ τῆς βουλῆς ἔλαβον. ὁ δ' οὖν Κλέανδρος
μέγας ὑπὸ τῆς τύχης ἀρθεὶς καὶ ἐχαρίσατο καὶ ἐπώλησε βουλείας
στρατείας ἐπιτροπείας ἡγεμονίας, πάντα πράγματα. καὶ ἤδη τινὲς
πάντα τὰ ὑπάρχοντά σφισιν ἀναλώσαντες βουλευταὶ ἐγένοντο, ὥστε
καὶ λεχθῆναι ἐπ' Ἰουλίου Σόλωνος ἀνδρὸς ἀφανεστάτου ὅτι ἐς τὸ
4 συνέδριον τῆς οὐσίας στερηθεὶς ἐξωρίσθη. ταῦτά τε ὁ Κλέανδρος
a.C. 189 ἐποίει, καὶ ὑπάτους ἐς ἕνα ἐνιαυτὸν πέντε καὶ εἴκοσιν ἀπέδειξεν· ὃ
μήτε πρότερόν ποτε μήθ' ὕστερον ἐγένετο· καὶ ἐν αὐτοῖς καὶ Σεβῆ-
5 ρος ὁ μετὰ ταῦτα αὐταρχήσας ὑπάτευσεν. ἠργυρολόγει μὲν οὖν
πανταχόθεν, καὶ ἐκτήσατο πλεῖστα τῶν πώποτε ὀνομασθέντων προ-
κοίτων, καὶ ἀπ' αὐτῶν πολλὰ μὲν τῷ Κομμόδῳ ταῖς τε παλλακαῖς
αὐτοῦ ἐδίδου, πολλὰ δὲ καὶ ἐς οἰκίας καὶ ἐς βαλανεῖα ἄλλα τέ
τινα χρήσιμα καὶ ἰδιώταις καὶ πόλεσιν ἐδαπάνα.

13 οὗτος οὖν ὁ Κλέανδρος ἐς τοσοῦτον ὄγκον ἀρθεὶς ἔπεσε καὶ
αὐτὸς ἐξαίφνης καὶ ἀπώλετο μετ' ἀτιμίας. ἀπέκτειναν δὲ αὐτὸν
οὐχ οἱ στρατιῶται ὥσπερ τὸν Περέννιον, ἀλλ' ὁ δῆμος. ἐγένετο

2 1 οὐδὲν ἐκ τούτου δεινὸν οὔθ' ὑπ' ἐκείνων οὔθ' ὑπ' ἄλλου?
3 4 σιγὴν] ἑαυτὸν 4 3 αὐτὸν ἀπαλλαγῆναι τῆς ἀρχῆς X 12 3 1 γοῦν

Digitized by Google

μὲν γὰρ καὶ ἄλλως ἰσχυρὰ σιτοδεία, ἐπὶ πλεῖστον δ' αὐτὴν Παπί-
ριος Διονύσιος ἐπὶ τοῦ σίτου τεταγμένος ἐπηύξησεν, ἵν' ὡς αἰτιώ-
τατον αὐτῆς τὸν Κλέανδρον ἀπὸ τῶν κλεμμάτων ὄντα καὶ μισή-
σωσιν οἱ Ῥωμαῖοι καὶ διαφθείρωσιν. καὶ ἔσχεν οὕτως. ἱπποδρομία 3
τις ἦν, μελλόντων δὲ τὸ ἕβδομον τῶν ἵππων ἀγωνιεῖσθαι πλῆθός
τι παιδίων ἐς τὸν ἱππόδρομον ἐσέδραμε, καὶ αὐτῶν παρθένος τις
μεγάλη καὶ βλοσυρὰ ἡγεῖτο, ἣν δαίμονα ἐκ τῶν μετὰ ταῦτα συμ-
βάντων ἐνόμισαν γεγονέναι. τά τε γὰρ παιδία συνεβόησαν πολλὰ 4
καὶ δεινά, καὶ ὁ δῆμος παραλαβὼν αὐτὰ οὐδὲν ὅ τι οὐκ ἐξέκραγεν,
καὶ τέλος καταπηδήσας ὥρμησε πρὸς τὸν Κόμμοδον ἐν τῷ Κυιντι-
λίῳ προαστείῳ ὄντα, πολλὰ μὲν ἐκείνῳ κἀγαθὰ ἐπευχόμενος, πολλὰ
δὲ καὶ κακὰ τοῦ Κλεάνδρου καταρώμενος. καὶ ὃς στρατιώτας τινὰς
ἐπ' αὐτοὺς ἔπεμψε, καὶ ἔτρωσάν τινας καὶ ἀπέκτειναν· οὐ μέντοι 5
καὶ ἀνείρχθη διὰ τοῦτο ὁ δῆμος, ἀλλὰ τῷ τε πλήθει σφῶν καὶ
τῇ τῶν δορυφόρων ἰσχύι θαρρήσας ἐπὶ μᾶλλον ἠπείχθη. πλησια-
ζόντων δὲ αὐτῶν τῷ Κομμόδῳ, καὶ μηδενός οἱ μηνύοντος τὸ γιγνό-
μενον, Μαρκία ἐκείνη ἡ τοῦ Κουαδράτου ἐσήγγειλε τὸ πραττόμε-
νον· καὶ ὁ Κόμμοδος οὕτως ἔδεισεν, ἄλλως τε καὶ δειλότατος ὤν, 6
ὥστε αὐτίκα καὶ τὸν Κλέανδρον καὶ τὸ παιδίον αὐτοῦ, ὃ καὶ ἐν
ταῖς τοῦ Κομμόδου χερσὶν ἐτρέφετο, σφαγῆναι κελεῦσαι. καὶ τὸ
μὲν παιδίον προσουδίσθη καὶ διεφθάρη, τὸ δὲ τοῦ Κλεάνδρου σῶμα
παραλαβόντες οἱ Ῥωμαῖοι ἔσυραν καὶ ᾐκίσαντο, καὶ τὴν κεφαλὴν
αὐτοῦ διὰ πάσης τῆς πόλεως ἐπὶ κοντοῦ περιήνεγκαν, καί τινας
καὶ ἄλλους τῶν μέγα ἐπ' αὐτοῦ δυναμένων ἐφόνευσαν.

Κόμμοδος δὲ ἀπὸ τῶν εὐθυμιῶν καὶ παιδιῶν ἀνανεύων ἐφόνα 14
καὶ τοὺς ἐπιφανεῖς ἄνδρας διεχειρίζετο· ὧν ἦν καὶ Ἰουλιανὸς ὁ
ἔπαρχος, ὃν καὶ δημοσίᾳ περιελάμβανέ τε καὶ κατεφίλει καὶ πατέρα
ὠνόμαζεν, Ἰούλιός τε Ἀλέξανδρος, οὗτος μὲν ὡς καὶ λέοντα ἀπὸ
τοῦ ἵππου κατακοντίσας· ὅστις ἐπειδὴ καὶ τοὺς σφαγέας παρόντας 2
ᾔσθετο, ἐκείνους τε τῆς νυκτὸς ἐφόνευσε, καὶ τῶν Ἐμεσηνῶν, ὅθεν
ἦν, τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ πάντας προσκατεχρήσατο, ποιήσας
δὲ ταῦτα ἵππον τε ἀνέβη καὶ πρὸς τοὺς βαρβάρους ὥρμησεν. κἂν
ἐξέφυγεν, εἰ μὴ παιδικά τινα συνεπῆκτο· αὐτὸς μὲν γὰρ κράτιστα 3
ἵππευε, τὸ δὲ μειράκιον καμὸν οὐχ ὑπέμεινε καταλιπεῖν, ἀλλ' ὡς
κατελαμβάνετο, ἀπέκτεινε καὶ ἐκεῖνο καὶ ἑαυτόν. ἀνῃρέθη δὲ καὶ
Διονύσιος πρὸς τοῦ Κομμόδου, ὁ ἐπὶ τοῦ σίτου ταχθείς. γέγονε
δὲ καὶ νόσος μεγάλη ὧν ἐγὼ οἶδα· δισχίλιοι γοῦν πολλάκις ἡμέρας
μιᾶς ἐν τῇ Ῥώμῃ ἐτελεύτησαν. πολλοὶ δὲ καὶ ἄλλως οὐκ ἐν τῷ 4

13 4 5 κατὰ* 14 3 5 μεγίστη?

Digitized by Google

ἄστει μόνον ἀλλὰ καὶ ἐν ὅλῃ ὡς εἰπεῖν τῇ ἀρχῇ ὑπ' ἀνδρῶν κακούργων ἀπέθανον· βελόνας γὰρ μικρὰς δηλητηρίοις τισὶ φαρμάκοις ἐγχρίοντες ἐνίεσαν δι' αὐτῶν ἐς ἑτέρους ἐπὶ μισθῷ τὸ δεινόν· ὅπερ που καὶ ἐπὶ τοῦ Δομιτιανοῦ ἐγεγόνει.

15 καὶ οὗτοι μὲν ἐν οὐδενὶ λόγῳ ἀπώλλυντο, ἦν δὲ ἁπάντων νοσηa.C.
190 μάτων καὶ ἁπάντων κακουργημάτων χαλεπώτερος Ῥωμαίοις ὁ Κόμμοδος, διά τε τἆλλα καὶ ὅτι ἠναγκάζοντο, ἃ τῷ πατρὶ αὐτοῦ κατ' εὔνοιαν ἐψηφίζοντο, ταῦτ' ἐκείνῳ διὰ φόβον ἀπονέμειν ἐξ ἐπιτάγ-
2 ματος. Κομμοδιανὴν γοῦν τήν τε Ῥώμην αὐτὴν καὶ τὰ στρατόπεδα Κομμοδιανά, τήν τε ἡμέραν ἐν ᾗ ταῦτα ἐψηφίζετο Κομμοδίαν καλεῖσθαι προσέταξεν. ἑαυτῷ δὲ ἄλλας τε παμπόλλους ἐπωνυμίας καὶ τὴν Ἡρακλέους ἀπήνεγκεν. τὴν δὲ Ῥώμην ἀθάνατον εὐτυχῆ κολωνίαν οἰκουμένην τῆς γῆς (καὶ γὰρ ἄποικον αὐτὴν ἑαυτοῦ δοκεῖν
3 ἐβούλετο) ἐπωνόμασεν. καὶ ἀνδριάς τε αὐτῷ χρυσοῦς χιλίων λιτρῶν μετά τε ταύρου καὶ βοὸς θηλείας ἐγένετο, καὶ τέλος καὶ οἱ μῆνες ἀπ' αὐτοῦ πάντες ἐπεκλήθησαν, ὥστε καταριθμεῖσθαι αὐτοὺς οὕτως, Ἀμαζόνιος Ἀνίκητος Εὐτυχὴς Εὐσεβὴς Λούκιος Αἴλιος Αὐρήλιος
4 Κόμμοδος Αὔγουστος Ἡράκλειος Ῥωμαῖος Ὑπεραίρων. αὐτὸς μὲν γὰρ ἄλλοτε ἄλλα μετελάμβανε τῶν ὀνομάτων, τὸν δ' Ἀμαζόνιον καὶ τὸν Ὑπεραίροντα παγίως ἑαυτῷ ἔθετο ὡς καὶ πᾶσιν ἁπλῶς πάντας ἀνθρώπους καθ' ὑπερβολὴν νικῶν· οὕτω καθ' ὑπερβολὴν
5 ἐμεμήνει τὸ κάθαρμα. καὶ τῇ βουλῇ οὕτως ἐπέστελλεν "αὐτοκράτωρ Καῖσαρ, Λούκιος Αἴλιος Αὐρήλιος Κόμμοδος, Αὔγουστος εὐσεβὴς εὐτυχής, Σαρματικός, Γερμανικὸς μέγιστος, Βρεττανικός, εἰρηνοποιὸς τῆς οἰκουμένης ἀνίκητος, Ῥωμαῖος Ἡρακλῆς, ἀρχιερεύς, δημαρχικῆς ἐξουσίας τὸ ὀκτωκαιδέκατον, αὐτοκράτωρ τὸ ὄγδοον, ὕπατος τὸ ἕβδομον, πατὴρ πατρίδος, ὑπάτοις στρατηγοῖς δημαρχι-
6 κοῖς, γερουσίᾳ Κομμοδιανῇ εὐτυχεῖ χαίρειν." καὶ ἀνδριάντες αὐτοῦ παμπληθεῖς ἐν Ἡρακλέους σχήματι ἔστησαν. καὶ τὸν αἰῶνα τὸν ἐπ' αὐτοῦ χρυσοῦν τε ὀνομάζεσθαι καὶ ἐς τὰ γράμματα πάντα ὁμοίως ἐσγράφεσθαι ἐψηφίσθη.

16 οὗτος οὖν ὁ χρυσοῦς, οὗτος ὁ Ἡρακλῆς, οὗτος ὁ θεός (καὶ γὰρ τοῦτ' ἤκουεν) ἐξαίφνης ποτὲ μετὰ μεσημβρίαν ἐκ τοῦ προαστείου σπουδῇ ἐς τὴν Ῥώμην ἐλάσας τριάκοντα ἵππων ἁμίλλας ἐν δυσὶν ὥραις ἐποίησεν. ὅθεν οὐχ ἥκιστα καὶ τὰ χρήματα αὐτὸν
2 ἐπέλιπεν. ἦν μὲν γὰρ καὶ φιλόδωρος, καὶ πολλάκις τῷ δήμῳ κατ' ἄνδρα δραχμὰς ἑκατὸν καὶ τεσσαράκοντα ἔδωκεν· τὸ δὲ πλεῖστον ἐς ἐκεῖνα ἃ εἶπον ἐδαπάνα. ὅθεν καὶ ἐγκλήματα καὶ γυναιξὶ καὶ

16 2 3 ὅτι ὁ Κόμμοδος πολλὰ παραλόγως ἐδαπάνα, καὶ διὰ τοῦτο οὔτε τἆλλα αὐτῷ οὔτε τὰ πρὸς τοῦ Κλεάνδρου πορισθέντα, καίπερ ἀμύθητα

Digitized by Google

ἀνδράσιν ἐπιφέρων οὓς μὲν ἐφόνευσεν, οἷς δὲ τὴν σωτηρίαν τῆς
οὐσίας αὐτῶν ἐπίπρασκεν. καὶ τέλος ἐν τοῖς γενεθλίοις τοῖς ἑαυτοῦ 3
ἡμᾶς τε καὶ τὰς γυναῖκας ἡμῶν καὶ τοὺς παῖδας δύο χρυσοῦς
ἕκαστον, ὥσπερ τινὰ ἀπαρχήν, "κατ' ἔτος" ἐκέλευσέν οἱ ἀποφέρειν,
τούς τε ἐν ταῖς ἄλλαις ἁπάσαις πόλεσι βουλευτὰς κατὰ πέντε δρα-
χμάς: "καὶ οὐδὲν ἐκ τούτων περιεποιεῖτο, ἀλλὰ πάντα κακῶς ἐς
τὰ θηρία καὶ τοὺς μονομάχους ἀνήλισκεν." καὶ ἐν μὲν τῷ δημοσίῳ 17
οὐδαμόθεν ἅρματα ἤλασε, πλὴν εἰ μή που ἐν ἀσελήνῳ νυκτί, ἐπι- a. C. 192
θυμήσας μὲν καὶ δημοσίᾳ ἁρματηλατῆσαι, αἰσχυνθεὶς δὲ καὶ ὀφθῆ-
ναι τοῦτο ποιῶν· οἴκοι δὲ συνεχῶς τοῦτ' ἔπραττε, τῇ πρασίνῳ
σκευῇ χρώμενος. θηρία μέντοι πολλὰ μὲν οἴκοι ἀπέσφαξε, πολλὰ 2
δὲ καὶ ἐν τῷ δημοσίῳ. καὶ μέντοι καὶ ἐμονομάχει, οἴκοι μὲν ὥστε
καὶ φονεύειν τινά (ἐν ξυρῷ τε ἑτέρων, ὡς καὶ τὰς τρίχας ἀφαιρῶν,
παρέτεμνε τῶν μὲν ῥῖνα τῶν δὲ οὖς τῶν δὲ ἄλλο τι), ἐν δὲ τῷ
κοινῷ ἄνευ σιδήρου καὶ ἄνευ αἵματος ἀνθρωπείου. ἐνέδυνε δέ, πρὶν 3
μὲν ἐς τὸ θέατρον ἐσιέναι, χιτῶνα χειριδωτὸν σηρικὸν λευκὸν διά-
χρυσον (καὶ ἐν τούτῳ γε αὐτὸν τῷ σχήματι ὄντα ἠσπαζόμεθα),
ἐσιὼν δὲ ὁλοπόρφυρον χρυσῷ κατάπαστον, χλαμύδα τε ὁμοίαν τὸν
Ἑλληνικὸν τρόπον λαμβάνων, καὶ στέφανον ἔκ τε λίθων Ἰνδικῶν
καὶ ἐκ χρυσοῦ πεποιημένον, κηρύκειόν τε τοιοῦτον φέρων ὁποῖον ὁ
Ἑρμῆς. ἡ γὰρ λεοντῆ τό τε ῥόπαλον ἔν τε ταῖς ὁδοῖς προεφέρετο 4
αὐτοῦ, καὶ ἐν τοῖς θεάτροις ἐπὶ δίφρου ἐπιχρύσου, εἴτε παρείη εἴτε
καὶ ἀπείη, ἐτίθετο· αὐτὸς δὲ ἐν τῷ τοῦ Ἑρμοῦ σχήματι ἐσῄει τε
ἐς τὸ θέατρον, καὶ ἀπορρίψας τὰ ἄλλα οὕτως ἐν τῷ χιτῶνι ἀνυ-
πόδετος ἔργου εἴχετο. καὶ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ ἄρκτους τε ἑκα- 18
τὸν αὐτὸς μόνος, ἄνωθεν ἀπὸ τῆς περιβολῆς τῆς κρηπῖδος ἀκοντί-
ζων, ἀπέκτεινεν· διείληπτο γὰρ τὸ θέατρον πᾶν συμπήκτοις τισὶ
διαμέτροις, τήν τε στέγην περίδρομον ἔχουσι καὶ διχῇ τέμνουσιν
ἄλληλα, ἵν' ἐξ ὀλίγου πανταχόθεν τετραχῇ τὰ θηρία μεμερισμένα
ῥᾷον ἀκοντίζηται. καὶ ἔπιεν ἐν μέσῃ τῇ ἀγωνίᾳ καμών, κύλικι ῥο- 2
παλωτῇ παρὰ γυναικὸς γλυκὺν οἶνον ἐψυγμένον λαβών, ἀμυστί·
ἐφ' ᾧ καὶ ὁ δῆμος καὶ ἡμεῖς παραχρῆμα πάντες τοῦτο δὴ τὸ ἐν
τοῖς συμποσίοις εἰωθὸς λέγεσθαι ἐξεβοήσαμεν, "ζήσειας."

καὶ μή μέ τις κηλιδοῦν τὸν τῆς ἱστορίας ὄγκον, ὅτι καὶ τὰ 3
τοιαῦτα συγγράφω, νομίσῃ. ἄλλως μὲν γὰρ οὐκ ἂν εἶπον αὐτά·
ἐπειδὴ δὲ πρός τε τοῦ αὐτοκράτορος ἐγένετο καὶ παρὼν αὐτὸς ἐγὼ

ὄντα, ἐξήρκεσεν, ἀλλ' ἠναγκάσθη ἐγκλήματα καὶ γυναιξὶ καὶ ἀνδράσι, θα-
νάτου μὲν οὐκ ἄξια φόβου δέ τινος καὶ ἀπειλῆς γέμοντα, ἐπιφέρειν. κἀκ
τούτου πολλοῦ τὴν σωτηρίαν αὐτοῖς ἐπίπρασκε καὶ ὡς παρ' ἑκόντων αὐτῶν
τινὰ ἀνάγκῃ ἐλάμβανεν. V p. 729 17 3 1 ἐνέδυ* 3 τε*
4 2 παρήει 3 ἀπήει

καὶ εἶδον ἕκαστα καὶ ἤκουσα καὶ ἐλάλησα, δίκαιον ἡγησάμην μηδὲν
αὐτῶν ἀποκρύψασθαι, ἀλλὰ καὶ αὐτά, ὥσπερ τι ἄλλο τῶν μεγίστων
καὶ ἀναγκαιοτάτων, τῇ μνήμῃ τῶν ἐσέπειτα ἐσομένων παραδοῦναι.
4 καὶ μέντοι καὶ τἆλλα πάντα τὰ ἐπ' ἐμοῦ πραχθέντα καὶ λεπτουργήσω
καὶ λεπτολογήσω μᾶλλον ἢ τὰ πρότερα, ὅτι τε συνεγενόμην
αὐτοῖς, καὶ ὅτι μηδένα ἄλλον οἶδα τῶν τι δυναμένων ἐς συγγραφὴν
ἄξιον λόγου καταθέσθαι διηκριβωκότα αὐτὰ ὁμοίως ἐμοί.

19 ἐν μὲν οὖν τῇ πρώτῃ ἡμέρᾳ ταῦτ' ἐγένετο· ἐν δὲ ταῖς ἄλλαις
τοτὲ μὲν βοτά, κάτω ἐς τὸ τοῦ κύκλου ἔδαφος καταβαίνων ἄνωθεν,
ὅσα ἐπλησίαζε, τὰ δὲ καὶ προσαγόμενα ἢ καὶ ἐν δικτύοις αὐτῷ
προσφερόμενα, κατέκοπτε, καὶ τίγριν ἔσφαξεν ἵππον τε ποτάμιον
2 καὶ ἐλέφαντα. πράξας δὲ ταῦτα ἀπηλλάττετο, καὶ μετὰ τοῦτο ἐξ
ἀρίστου ἐμονομάχει. ἤσκει δὲ καὶ ἐχρῆτο τῇ ὁπλίσει τῇ τοῦ σεκούτορος
καλουμένου, τὴν μὲν ἀσπίδα ἐν τῇ δεξιᾷ τὸ δὲ ξίφος τὸ ξύλινον
ἐν τῇ ἀριστερᾷ ἔχων· καὶ πάνυ καὶ ἐπὶ τούτῳ μέγα ἐφρόνει
3 ὅτι ἦν ἐπαρίστερος. ἀντηγωνίζετο δὲ αὐτῷ γυμναστής τις ἢ καὶ
μονομάχος νάρθηκα ἔχων, ἔστι μὲν ὅτε ὃν αὐτὸς προεκαλεῖτο, ἔστι
δὲ ὅτε ὃν ὁ δῆμος ᾑρεῖτο· καὶ γὰρ τοῦτο καὶ τἆλλα ἐξ ἴσου τοῖς
ἄλλοις μονομάχοις ἐποίει, πλὴν καθ' ὅσον ἐκεῖνοι μὲν ὀλίγον τι
λαμβάνοντες ἐσίασι, τῷ δὲ δὴ Κομμόδῳ πέντε καὶ εἴκοσι μυριάδες
καθ' ἑκάστην ἡμέραν ἐκ τῶν μονομαχικῶν χρημάτων ἐδίδοντο.
4 παρειστήκεσαν δὲ αὐτῷ μαχομένῳ Αἰμίλιός τε Λαῖτος ὁ ἔπαρχος
καὶ Ἔκλεκτος ὁ πρόκοιτος, οὓς καὶ σκιαμαχήσας καὶ νικήσας δῆλον
ὅτι ἐφίλει ὥσπερ εἶχε διὰ τοῦ κράνους. καὶ μετὰ τοῦτο καὶ οἱ ἄλλοι
ἐμάχοντο. καὶ τῇ γε πρώτῃ ἡμέρᾳ αὐτὸς πάντας σφᾶς κάτωθεν,
τό τε τοῦ Ἑρμοῦ σχῆμα πᾶν μετ' ἐπιχρύσου ῥάβδου λαβὼν καὶ
ἐπὶ βῆμα ὅμοιον ἀναβάς, συνέβαλεν· ὅπερ που καὶ ἐν τέρατος
5 λόγῳ ἔσχομεν. καὶ μετὰ τοῦτο ἐπί τε τὴν συνήθη ἕδραν ἀνήει καὶ
ἐκεῖθεν τὰ λοιπὰ μεθ' ἡμῶν ἐθεώρει· ἐπράττετο δ' οὐδὲν ἔτι παιδιᾶς
ἐχόμενον, ἀλλ' ὥστε πάνυ πολλοὺς ἀποθνήσκειν. καὶ δή ποτε
βραδυνάντων τινῶν περὶ τὰς σφαγὰς τούς τε ἀντιπάλους συνέδησεν
6 ἀλλήλοις καὶ πάντας ἅμα μάχεσθαι ἐκέλευσεν. κἀκ τούτου ἠγωνίσαντο
μὲν εἷς πρὸς ἕνα οἱ συνδεδεμένοι, ἔσφαξαν δέ τινες καὶ τοὺς
οὐδὲν προσήκοντάς σφισιν, ὑπό τε τοῦ ὄχλου καὶ τῆς στενοχωρίας
ἐμπλασθέντες αὐτοῖς.

20 τοιαύτη μὲν τὸ σύμπαν ἡ θέα ἐκείνη τεσσαρσικαίδεκα ἡμέραις
ἐγένετο· ἀγωνιζομένου δ' αὐτοῦ ἡμεῖς μὲν οἱ βουλευταὶ ἀεὶ μετὰ
τῶν ἱππέων συνεφοιτῶμεν, χωρὶς ἢ ὅτι Πομπηιανὸς Κλαύδιος ὁ

19 1 4 καὶ] τοτὲ δὲ καὶ?* 4 2 καὶ ὁ Ἔ. ὁ* οὓς om
6 4 ἐμπελασθέντες

γέρων οὐκ ἔστιν ὅτε ἀπήντησεν, ἀλλὰ τοὺς μὲν υἱεῖς ἔπεμπεν, αὐτὸς δὲ οὐδέποτε ἀφίκετο, αἱρούμενος ἀποσφαγῆναι ἐπὶ τούτῳ μᾶλλον ἢ τὸν αὐτοκράτορα τὸν τοῦ Μάρκου παῖδα ἐπιδεῖν τοιαῦτα ποιοῦντα. πρὸς γὰρ τοῖς ἄλλοις καὶ ἐπεβοῶμεν τά τε ἄλλα ὅσα ἐκε- 2
λευόμεθα, καὶ αὐτὸ τοῦτο συνεχῶς, "καὶ κύριος εἶ καὶ πρῶτος εἶ καὶ πάντων εὐτυχέστατος. νικᾷς, νικήσεις. ἀπ' αἰῶνος, Ἀμαζόνιε, νικᾷς." τοῦ δὲ δὴ λοιποῦ δήμου πολλοὶ μὲν οὐδ' ἐσῆλθον ἐς τὸ θέατρον, εἰσὶ δ' οἳ παρακύψαντες ἀπηλλάττοντο τὸ μέν τι αἰσχυνόμενοι τοῖς ποιουμένοις, τὸ δὲ καὶ δεδιότες, ἐπειδὴ λόγος διῆλθεν ὅτι τοξεῦσαί τινας ἐθελήσει ὥσπερ ὁ Ἡρακλῆς τὰς Στυμφαλίδας. καὶ ἐπιστεύθη γε οὗτος ὁ λόγος, ἐπειδή ποτε πάντας τοὺς τῶν πο- 3
δῶν ἐν τῇ πόλει ὑπὸ νόσου ἤ ἑτέρας τινὸς συμφορᾶς ἐστερημένους ἀθροίσας δρακόντων τέ τινα αὐτοῖς εἴδη περὶ τὰ γόνατα περιέπλεξε, καὶ σπόγγους ἀντὶ λίθων βάλλειν δοὺς ἀπέκτεινέ σφας ῥοπάλῳ παίων ὡς γίγαντας.

οὗτος μὲν ὁ φόβος πᾶσι κοινὸς καὶ ἡμῖν καὶ τοῖς ἄλλοις ἦν· 21
ἔπραξε δὲ καὶ ἕτερόν τι τοιόνδε πρὸς ἡμᾶς τοὺς βουλευτάς, ἐξ οὗ οὐχ ἥκιστα ἀπολεῖσθαι προσεδοκήσαμεν. στρουθὸν γὰρ ἀποκτείνας καὶ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμὼν προσῆλθεν ἔνθα ἐκαθήμεθα, τῇ τε ἀριστερᾷ χειρὶ ἐκείνην καὶ τῇ δεξιᾷ τὸ ξίφος ἡματωμένον ἀνατείνας, καὶ εἶπε μὲν οὐδέν, τὴν δὲ κεφαλὴν τὴν ἑαυτοῦ σεσηρὼς 2
ἐκίνησεν, ἐνδεικνύμενος ὅτι καὶ ἡμᾶς τὸ αὐτὸ τοῦτο δράσοι. κἂν συχνοὶ παραχρῆμα ἐπ' αὐτῷ γελάσαντες ἀπηλλάγησαν τῷ ξίφει (γέλως γὰρ ἡμᾶς ἀλλ' οὐ λύπη ἔλαβεν), εἰ μὴ δάφνης φύλλα, ἃ ἐκ τοῦ στεφάνου εἶχον, αὐτός τε διέφαγον καὶ τοὺς ἄλλους τοὺς πλησίον μου καθημένους διατραγεῖν ἔπεισα, ἵν' ἐν τῇ τοῦ στόματος συνεχεῖ κινήσει τὸν τοῦ γελᾶν ἔλεγχον ἀποκρυψώμεθα.

τοιούτων δ' οὖν τούτων γενομένων παρεμυθήσατο ἡμᾶς ὅτι 3
μέλλων αὖθις μονομαχῆσαι παρήγγειλεν ἡμῖν ἔν τε τῇ στολῇ τῇ ἱππάδι καὶ ἐν ταῖς μανδύαις ἐς τὸ θέατρον ἐσελθεῖν, ὅπερ οὐκ ἄλλως ποιοῦμεν ἐσιόντες ἐς τὸ θέατρον εἰ μὴ τῶν αὐτοκρατόρων τις μεταλλάξειεν, καὶ ὅτι ἐν τῇ τελευταίᾳ ἡμέρᾳ τὸ κράνος αὐτοῦ κατὰ τὰς πύλας καθ' ἃς οἱ τελευτῶντες ἐκφέρονται ἐξεκομίσθη. ἐκ γὰρ τούτων καὶ πάνυ πᾶσι πάντως ἀπαλλαγή τις αὐτοῦ γενήσεσθαι ἐνομίζετο. ἀπέθανέ γέ τοι, μᾶλλον δὲ ἀνῃρέθη, οὐκ ἐς μακράν. ὁ 22
γὰρ Λαῖτος καὶ ὁ Ἔκλεκτος ἀχθόμενοι αὐτῷ δι' ἃ ἐποίει, καὶ προσέτι καὶ φοβηθέντες (ἠπείλει γάρ σφισιν, ὅτι ἐκωλύετο ταῦτα ποιεῖν), ἐπεβούλευσαν αὐτῷ. ὁ γὰρ Κόμμοδος ἀμφοτέρους ἀνελεῖν 2
ἐβούλετο τοὺς ὑπάτους, Ἐρύκιόν τε Κλᾶρον καὶ Σόσσιον Φάλκωνα, καὶ ὕπατός τε ἅμα καὶ σεκούτωρ ἐν τῇ νουμηνίᾳ ἐκ τοῦ χωρίου

Digitized by Google

ἐν ᾧ οἱ μονομάχοι τρέφονται προελθεῖν· καὶ γὰρ τὸν οἶκον τὸν
3 πρῶτον παρ' αὐτοῖς, ὡς καὶ εἷς ἐξ αὐτῶν ὤν, εἶχεν. καὶ μηδεὶς
ἀπιστήσῃ· καὶ γὰρ τοῦ κολοσσοῦ τὴν κεφαλὴν ἀποτεμὼν καὶ ἑτέραν
ἑαυτοῦ ἀντιθείς, καὶ ῥόπαλον δοὺς λέοντά τέ τινα χαλκοῦν ὑποθεὶς
ὡς Ἡρακλεῖ ἐοικέναι, ἐπέγραψε πρὸς τοῖς δηλωθεῖσιν αὐτοῦ ἐπω-
νύμιοις καὶ τοῦτο, "πρωτόπαλος σεκουτόρων, ἀριστερὸς μόνος νική-
4 σας δωδεκάκις" οἶμαι "χιλίους." διὰ μὲν δὴ ταῦτα ὅ τε Λαῖτος
καὶ ὁ Ἔκλεκτος ἐπέθεντο αὐτῷ, κοινωσάμενοι καὶ τῇ Μαρκίᾳ τὸ
βούλευμα. ἐν γοῦν τῇ τελευταίᾳ τοῦ ἔτους ἡμέρᾳ, ἐν τῇ νυκτί, τῶν
ἀνθρώπων ἀσχολίαν περὶ τὴν ἑορτὴν ἐχόντων, φάρμακον διὰ τῆς
5 Μαρκίας ἐν κρέασι βοείοις αὐτῷ ἔδωκαν. ἐπεὶ δ' οὐκ ἠδυνήθη
παραχρῆμα ὑπό τε τοῦ οἴνου ὑπό τε τῶν λουτρῶν, οἷς ἀεὶ ἀπλή-
στως ἐχρῆτο, φθαρῆναι, ἀλλὰ καὶ ἐξήμεσέ τι κἀκ τούτου ὑποτο-
πήσας αὐτὸ ἠπείλει τινά, οὕτω δὴ Νάρκισσόν τινα γυμναστὴν
6 ἐπέπεμψαν αὐτῷ, καὶ δι' ἐκείνου λουόμενον αὐτὸν ἀπέπνιξαν. τῷ
μὲν οὖν Κομμόδῳ τοῦτο τὸ τέλος ἐγένετο ἔτη δώδεκα καὶ μῆνας
ἐννέα καὶ ἡμέρας τεσσαρασκαίδεκα ἄρξαντι, ἐβίω δὲ ἔτη τριάκοντα
ἓν καὶ μῆνας τέσσαρας· καὶ ἐς αὐτὸν ἡ οἰκία ἡ τῶν ὡς ἀληθῶς
Αὐρηλίων αὐταρχοῦσα ἐπαύσατο.

23 πόλεμοι δὲ μετὰ τοῦτο καὶ στάσεις μέγισται συνέβησαν, συνέ-
θηκα δ' ἐγὼ τούτων τὴν συγγραφὴν ἐξ αἰτίας τοιᾶσδε. βιβλίον τι
περὶ τῶν ὀνειράτων καὶ τῶν σημείων δι' ὧν ὁ Σεβῆρος τὴν αὐτο-
2 κράτορα ἀρχὴν ἤλπισε, γράψας ἐδημοσίευσα· καὶ αὐτῷ καὶ ἐκεῖνος
πεμφθέντι παρ' ἐμοῦ ἐντυχὼν πολλά μοι καὶ καλὰ ἀντεπέστειλεν.
ταῦτ' οὖν ἐγὼ τὰ γράμματα πρὸς ἑσπέραν ἤδη λαβὼν κατέδαρθον,
καί μοι καθεύδοντι προσέταξε τὸ δαιμόνιον ἱστορίαν γραφῆναι.
3 καὶ οὕτω δὴ ταῦτα περὶ ὧν νῦν καθίσταμαι ἔγραψα. καὶ ἐπειδή
γε τοῖς τε ἄλλοις καὶ αὐτῷ τῷ Σεβήρῳ μάλιστα ἤρεσε, τότε δὴ καὶ
τἆλλα πάντα τὰ τοῖς Ῥωμαίοις προσήκοντα συνθεῖναι ἐπεθύμησα·
καὶ διὰ τοῦτο οὐκέτ' ἰδίᾳ ἐκεῖνο ὑπολιπεῖν ἀλλ' ἐς τήνδε τὴν συγ-
γραφὴν ἐμβαλεῖν ἔδοξέ μοι, ἵν' ἐν μιᾷ πραγματείᾳ ἀπ' ἀρχῆς πάντα,
4 μέχρις ἂν καὶ τύχῃ δόξῃ, γράψας καταλίπω. τὴν δὲ δὴ θεὸν ταύ-
την ἐπιρρωννύουσάν με πρὸς τὴν ἱστορίαν εὐλαβῶς πρὸς αὐτὴν
καὶ ὀκνηρῶς διακείμενον, καὶ πονούμενον ἀπαγορεύοντά τε ἀνακτω-
μένην δι' ὀνειράτων, καὶ καλὰς ἐλπίδας περὶ τοῦ μέλλοντος χρόνου
διδοῦσάν μοι ὡς ὑπολείψοντος τὴν ἱστορίαν καὶ οὐδαμῶς ἀμαυρώ-

22 3 2 ὅτι τοῦ κολοσσοῦ τοῦ ἐν Ῥώμῃ Κόμοδος τὴν κεφαλὴν ἀφελόμενος, καὶ ῥόπαλον αὐτῷ καὶ λεοντῆν ἐπιθείς, ἔγραψε Λούκιος Κόμοδος Ἡρακλῆς· ἐφ' ᾧ τὸ φερόμενον ἐπίγραμμα γέγονεν, "ὁ τοῦ Διὸς παῖς, καλλίνικος Ἡρακλῆς, οὐκ εἰμὶ Λούκιος, ἀλλ' ἀναγκάζουσί με." M p. 225
6 1 ἔπεμψαν 23 2 4 γράφειν? 3 1 ἃ? 4 5 ὑπολειψόμενος

Digitized by Google

σοντος, ἐπίσκοπον τῆς τοῦ βίου διαγωγῆς, ὡς ἔοικεν, εἴληχα, καὶ
διὰ τοῦτο αὐτῇ ἀνάκειμαι. συνέλεξα δὲ πάντα τὰ ἀπ᾽ ἀρχῆς τοῖς
Ῥωμαίοις μέχρι τῆς Σεβήρου μεταλλαγῆς πραχθέντα ἐν ἔτεσι δέκα,
καὶ συνέγραψα ἐν ἄλλοις δώδεκα· τὰ γὰρ λοιπά, ὅπου ἂν καὶ προ-
χωρήσῃ, γεγράψεται.

πρὸ δὲ τῆς τοῦ Κομμόδου τελευτῆς σημεῖα τάδε ἐγένετο· ἀετοί 24
τε γὰρ περὶ τὸ Καπιτώλιον πολλοὶ καὶ ἔξεδροι ἐπλανῶντο, προσ-
επιφθεγγόμενοι οὐδὲν εἰρηναῖον, καὶ βύας ἀπ᾽ αὐτοῦ ἔβυξε, πῦρ τε
νύκτωρ ἀρθὲν ἔξ οἰκίας τινὸς καὶ ἐς τὸ εἰρηναῖον ἐμπεσὸν τὰς a.C. 191
ἀποθήκας τῶν τε Αἰγυπτίων καὶ τῶν Ἀραβίων φορτίων ἐπενείματο,
ἔς τε τὸ παλάτιον μετεωρισθὲν ἐσῆλθε καὶ πολλὰ πάνυ αὐτοῦ κατέ- 2
καυσεν, ὥστε καὶ τὰ γράμματα τὰ τῇ ἀρχῇ προσήκοντα ὀλίγου
δεῖν πάντα φθαρῆναι. ἀφ᾽ οὗ δὴ καὶ τὰ μάλιστα δῆλον ἐγένετο
ὅτι οὐκ ἐν τῇ πόλει τὸ δεινὸν στήσεται, ἀλλὰ καὶ ἐπὶ πᾶσαν τὴν
οἰκουμένην αὐτῆς ἀφίξεται. οὐδὲ γὰρ κατασβεσθῆναι ἀνθρωπίνῃ 3
χειρὶ ἠδυνήθη, καίτοι παμπόλλων μὲν ἰδιωτῶν παμπόλλων δὲ στρα-
τιωτῶν ὑδροφορούντων, καὶ αὐτοῦ τοῦ Κομμόδου ἐπελθόντος ἐκ
τοῦ προαστείου καὶ ἐπισπέρχοντος. ἀλλ᾽ ἐπειδὴ πάντα ὅσα κατέσχε
διέφθειρεν, ἐξαναλωθὲν ἐπαύσατο.

Περτίναξ δὲ ἦν μὲν τῶν καλῶν κἀγαθῶν, ἦρξε δὲ πάνυ βραχύν ΟΓ
τινα χρόνον, εἶτα πρὸς τῶν στρατιωτῶν ἀνῃρέθη. λανθάνοντος γὰρ a.C. 193
ἔτι τοῦ γεγενημένου περὶ τὸν Κόμμοδον ἦλθον πρὸς αὐτὸν οἱ περὶ
τὸν Ἔκλεκτον καὶ Λαῖτον, καὶ τὸ πραχθὲν ἐμήνυσαν· διὰ τὴν ἀρε-
τὴν γὰρ καὶ τὸ ἀξίωμα αὐτοῦ ἡδέως αὐτὸν ἐπελέξαντο. ἰδὼν δὲ 2
αὐτοὺς ἐκεῖνος, καὶ ἀκούσας ὧν ἔλεγον, ἔπεμψε τὸν πιστότατον τῶν
ἑταίρων τὸ σῶμα τὸ τοῦ Κομμόδου ὀψόμενον. ὡς δὲ τὸ πραχθὲν
ἐβεβαιώσατο, οὕτω δὴ ἐς τὸ στρατόπεδον κρύφα ἐσεκομίσθη, καὶ
ἔκπληξιν μὲν τοῖς στρατιώταις παρέσχε, τῇ δὲ δὴ παρουσίᾳ τῶν
περὶ τὸν Λαῖτον, καὶ ἐξ ὧν ὑπέσχετο (τρισχιλίας γὰρ αὐτοῖς δρα-
χμὰς κατ᾽ ἄνδρα δώσειν ἐπηγγείλατο), προσεποιήσατο αὐτούς. κἂν 3
πάντως ἡσύχασαν, εἰ μὴ τελευτὴν τὴν τῶν λόγων ὧδέ πως εἶπεν,
“πολλὰ μέν, ὦ ἄνδρες συστρατιῶται, καὶ δυσχερῆ τῶν παρόντων
ἐστίν, ἀλλὰ τὰ μὲν ἄλλα αὖθις σὺν ὑμῖν ἐπανορθώσεται·” ἀκού-
σαντες γὰρ τοῦτο ὑπετόπησαν πάντα τὰ ἑαυτοῖς ὑπὸ τοῦ Κομμόδου
παρὰ τὸ καθεστηκὸς δεδομένα καταλυθήσεσθαι, καὶ ἐδυσκόλαναν
μέν, ἡσύχασαν δὲ ὅμως ἐπικρύπτοντες τὴν ὀργήν. ἐξελθὼν δὲ ἐκ 4
τοῦ τείχους πρὸς τὸ συνέδριον νυκτὸς ἔτι οὔσης ἀφίκετο, καὶ ἀσπα-
σάμενος ἡμᾶς ὅπως τις, οἷα ἐν ὁμίλῳ καὶ ἐν ὠθισμῷ τοσούτῳ,

1 1 4 ἐνόμισαν   3 1 ἐψηφίσατο*   2 τελευτῶν τὸν λόγον?*

Digitized by Google

προσελθεῖν αὐτῷ ἠδυνήθη, ἔπειτα ἐκ τοῦ αὐτοσχεδίου εἶπεν ὅτι
ὠνόμασμαι μὲν ὑπὸ τῶν στρατιωτῶν αὐτοκράτωρ, οὐδὲν μέντοι
τῆς ἀρχῆς δέομαι, ἀλλ' ἐξίσταμαι ἤδη καὶ τήμερον αὐτῆς διά τε
τὴν ἐμαυτοῦ ἡλικίαν καὶ ἀρρωστίαν καὶ διὰ τὴν τῶν πραγμάτων
5 δυσχέρειαν. λεχθέντων δὲ καὶ ἐπῃνοῦμεν αὐτὸν ἀπὸ γνώμης καὶ ὡς
ἀληθῶς ᾑρούμεθα· τήν τε γὰρ ψυχὴν ἄριστος ἦν καὶ τῷ σώματι
ἔρρωτο, πλὴν καθ' ὅσον βραχύ τι ὑπὸ τῶν ποδῶν ἐνεποδίζετο.
2 καὶ οὕτως ὅ τε Περτίναξ αὐτοκράτωρ καὶ ὁ Κόμμοδος πολέμιος
ἀπεδείχθη, πολλά γε ἐς αὐτὸν καὶ δεινὰ καὶ τῆς βουλῆς καὶ τοῦ
δήμου συμβοησάντων. ἠθέλησαν μὲν γὰρ καὶ τὸ σῶμα αὐτοῦ σῦραι
καὶ διασπάσαι ὥσπερ καὶ τὰς εἰκόνας, εἰπόντος δὲ τοῦ Περτίνακος
τῇ γῇ ἤδη τὸν νεκρὸν κεκρύφθαι, τοῦ μὲν σώματος ἀπέσχοντο,
2 τῶν δ' ἄλλων ἐνεφοροῦντο, οὐδὲν ὅ τι οὐκ ἐπιλέγοντες· Κόμμοδον
μὲν γὰρ οὐδεὶς οὐδ' αὐτοκράτορα αὐτὸν ὠνόμαζεν, ἀλιτήριον δέ
τινα καὶ τύραννον ἀποκαλοῦντες προσετίθεσαν ἐπισκώπτοντες τὸν
3 μονομάχον, τὸν ἁρματηλάτην, τὸν ἀριστερόν, τὸν κηλήτην. τοῖς τε
βουλευταῖς, ὅσοις καὶ μάλιστα ἐκ τοῦ Κομμόδου φόβος ἐπῃώρητο,
ὁ ὄχλος ἐπέλεγεν "εὖγε εὖγε, ἐσώθης, ἐνίκησας." ὅσα τε εἰώθεσαν
ἐν τοῖς θεάτροις ἐπὶ τῇ τοῦ Κομμόδου θεραπείᾳ εὐρύθμως πως
ἐκβοᾶν, ταῦτα τότε μετασχηματίζοντες ἐς τὸ γελοιότατον ἐξῇδον.
4 τοῦ μὲν γὰρ ἀπηλλαγμένοι, τὸν δὲ οὐδέπω φοβούμενοι, τό τε διὰ
μέσου αὐτῶν ὡς ἐλεύθεροι ἐκαρποῦντο, καὶ ἀξίωμα παρρησίας ἐν
τῷ ἀδεεῖ αὐτοῦ ἐλάμβανον· οὐ γὰρ ἐξήρκει σφίσι τὸ μηκέτι φοβεῖ-
σθαι, ἀλλ' ἐν τῷ θαρσοῦντι καὶ ἐξυβρίζειν ἤθελον.
5 Ὅτι τοσοῦτον τὸ διάφορον τῆς περὶ Περτίνακος δόξης πρὸς
τὸν Κόμμοδον πάντες εἶχον, ὥστε τοὺς ἀκούοντας τὰ γεγονότα
ὑποπτεύειν ὑπὸ τοῦ Κομμόδου τὸν λόγον τοῦτον ἐπὶ πείρᾳ καθεῖ-
σθαι, καὶ διὰ τοῦτο πολλοὺς τῶν ἐν τοῖς ἔθνεσιν ἀρχόντων τοὺς
6 ἀγγείλαντάς σφισιν αὐτὰ καταδῆσαι, οὐχ ὅτι οὐκ ἤθελον ἀληθῆ
εἶναι, ἀλλ' ὅτι μᾶλλον ἐφοβοῦντο δόξαι τὸν Κόμμοδον ἀπολωλέ-
ναι ἢ τῷ Περτίνακι μὴ προστίθεσθαι, διότι τὸν μὲν καὶ ἁμαρ-
τών τι τοιοῦτο πᾶς ἐθάρσει, τὸν δὲ οὐδεὶς οὐδ' ἀναμάρτητος ὤν.
V p. 729.
3 ἦν δὲ ὁ Περτίναξ Λίγυς ἐξ Ἄλβης Πομπηίας, πατρὸς οὐκ
εὐγενοῦς, γράμματα ὅσον ἀποζῆν ἐξ αὐτῶν ἠσκημένος. κατὰ τοῦτο
καὶ τῷ Πομπηιανῷ τῷ Κλαυδίῳ συνεγεγόνει, καὶ δι' αὐτὸν ἐν
τοῖς ἱππεῦσι χιλιαρχήσας ἐς τοῦτο προεχώρησεν ὥστε καὶ ἐκείνου
2 αὐτοῦ αὐταρχῆσαι. καὶ ἔγωγε τότε ἐπὶ τοῦ Περτίνακος καὶ πρῶτον

5 1 δὲ τούτων καὶ? 2 3 2 ἐπῇρτο* 3 ἄγε ἄγε 3 1 3 δι' αὐτὸν] κατὰ τοῦτ'*

*καὶ ἔσχατον "ἐν τῷ βουλευτηρίῳ" τὸν Πομπηιανὸν εἶδον· ἐν γὰρ* 2
*τοῖς ἀγροῖς τὰ πλεῖστα διὰ τὸν Κόμμοδον διῆγε "καὶ ἐς τὸ ἄστυ
ἐλάχιστα κατέβαινε," τό τε γῆρας καὶ τὸ τῶν ὀφθαλμῶν νόσημα
προβαλλόμενος, "οὐδὲ ἔστιν ὅτε πρότερον ἐμοῦ παρόντος ἐς τὴν
γερουσίαν ἐσῆλθεν." καὶ μέντοι καὶ μετὰ τὸν Περτίνακα πάλιν* 3
*ἐνόσει· "ἐπὶ γὰρ ἐκείνου καὶ ἔβλεπε καὶ ἔρρωτο καὶ ἐβούλευεν,"
καὶ αὐτὸν ὁ Περτίναξ τά τε ἄλλα ἰσχυρῶς ἐτίμα καὶ ἐπὶ τοῦ βά-
θρου ἐν τῷ συνεδρίῳ παρεκάθιζεν. "καὶ τοῦτο καὶ τὸν Γλαβρίωνα
τὸν Ἀκίλιον ἐποίει· καὶ γὰρ ἐκεῖνος τότε καὶ ἤκουε καὶ ἔβλεπεν.
τούτους μὲν οὖν ἐς ὑπερβολὴν ἐτίμα," ἐχρῆτο δὲ καὶ ἡμῖν δημοτι-* 4
*κώτατα· καὶ γὰρ εὐπροσήγορος ἦν, ἤκουέ τε ἑτοίμως ὅ τι τις ἀξιοίη,
καὶ ἀπεκρίνετο ἀνθρωπίνως ὅσα αὐτῷ δοκοίη. εἱστία τε ἡμᾶς σω-
φρόνως· καὶ ὁπότε μὴ τοῦτο ποιοίη, διέπεμπεν ἄλλοις ἄλλα καὶ
τὰ εὐτελέστατα. καὶ αὐτὸν ἐπὶ τούτῳ οἱ μὲν πλούσιοι καὶ μεγά-
λαυχοι διεγέλων, οἱ δὲ ἄλλοι, οἷς ἀρετὴ ἀσελγείας προτιμοτέρα ἦν,
ἐπῃνοῦμεν.*

*ἔτι δὲ ὄντος αὐτοῦ ἐν Βρεττανίᾳ μετὰ τὴν μεγάλην ἐκείνην* 4
*στάσιν ἣν ἔπαυσε, καὶ ἐπαίνων παρὰ πᾶσιν ἀξιουμένου, ἵππος τις
ὄνομα Περτίναξ ἐνίκησεν ἐν τῇ Ῥώμῃ· ἦν δὲ τῶν πρασίνων καὶ
ὑπὸ τοῦ Κομμόδου ἐσπουδάζετο. τῶν οὖν στασιωτῶν αὐτοῦ μέγα* 2
*ἀναβοησάντων, καὶ εἰπόντων τοῦτο, "Περτίναξ ἐστίν," οἱ ἕτεροι οἱ
ἀντιστασιασταί σφων, οἷα που ἀχθόμενοι τῷ Κομμόδῳ, προσεπεύ-
ξαντο, εἰπόντες οὐ πρὸς τὸν ἵππον ἀλλὰ πρὸς τὸν ἄνδρα "εἰ γὰρ
ὤφειλεν εἶναι." ὕστερον δὲ τὸν αὐτὸν τοῦτον ἵππον ἀπαλλαγέντα* 3
*τε τῶν δρόμων ὑπὸ τοῦ γήρως καὶ ἐν ἀγρῷ ὄντα μετεπέμψατο ὁ
Κόμμοδος, καὶ ἐσήγαγεν ἐς τὸν ἱππόδρομον τάς τε ὁπλὰς αὐτοῦ
καταχρυσώσας καὶ τὰ νῶτα δέρματι ἐπιχρύσῳ κοσμήσας· καὶ αὐτὸν
οἱ ἄνθρωποι ἐξαπίνης ἰδόντες ἀνεβόησαν αὖθις "Περτίναξ ἐστίν."
καὶ ἦν μέν που μαντικὸν αὐτὸ καθ' ἑαυτὸ τὸ λεχθέν, ἐπειδὴ τῇ* 4
*ἐσχάτῃ ἐν τῷ ἔτει ἐκείνῳ ἱπποδρομίᾳ ἐγένετο, καὶ εὐθὺς ἐπ' αὐτῇ
τὸ κράτος ἐς τὸν Περτίνακα περιῆλθεν· ἐλογοποιήθη δὲ καὶ ἐπὶ
τοῦ ῥοπάλου τὰ ὅμοια, ἐπειδὴ τῷ Περτίνακι αὐτὸ ὁ Κόμμοδος
μονομαχήσειν τῇ τελευταίᾳ ἡμέρᾳ μέλλων ἔδωκεν.*

*οὕτω μὲν ἐς τὴν ἀρχὴν ὁ Περτίναξ κατέστη, καὶ ἔλαβε τάς τε* 5
*ἄλλας ἐπικλήσεις τὰς προσηκούσας καὶ ἑτέραν ἐπὶ τῷ δημοτικὸς
εἶναι βούλεσθαι· πρόκριτος γὰρ τῆς γερουσίας κατὰ τὸ ἀρχαῖον ἐπω-
νομάσθη. καὶ εὐθὺς ἐς κόσμον, ὅσα πρὶν πλημμελῶς εἶχε καὶ ἀτάκ-
τως, καθίστατο· φιλανθρωπία τε γὰρ καὶ χρηστότης καὶ οἰκονομία* 2

2 et 3 " " V p. 729   3 2 ἔρρωτο] ἑώρα   4 1 3 πρασίων

Digitized by Google

*βελτίστη καὶ πρόνοια τοῦ κοινοῦ ἐπιμελεστάτη περὶ τὸν αὐτοκράτορα διεδείκνυτο. τά τε γὰρ ἄλλα, ὅσα ἂν ἀγαθὸς αὐτοκράτωρ, ἔπραττεν ὁ Περτίναξ, καὶ τὴν ἀτιμίαν ἀφεῖλε τῶν ἀδίκως πεφονευμένων, καὶ προσέτι καὶ ἐπώμοσε μηδέποτε τοιαύτην δίκην προσ-*
3 *δέξεσθαι. καὶ αὐτίκα οἱ μὲν τοὺς συγγενεῖς οἱ δὲ τοὺς φίλους ἀνεκάλουν μετὰ δακρύων ὁμοῦ καὶ χαρᾶς· οὐδὲ γὰρ οὐδὲ τοῦτο πρὶν ἐξῆν ποιεῖν· καὶ μετὰ ταῦτα ἀνορύττοντες τὰ σώματα, οἱ μὲν ὁλόκληρα οἱ δὲ μέρη, ὥς που ἕκαστον αὐτῶν ἢ τοῦ ὀλέθρου ἢ τοῦ χρόνου εἶχεν, εὐθέτουν καὶ ἐς τὰ προγονικὰ μνημεῖα ἀπετίθεντο.*
4 *τοσαύτη δ' ἄρα τότε τὸ βασίλειον εἶχεν ἀχρηματία ὥστε πέντε καὶ εἴκοσι μυριάδες δραχμῶν μόναι εὑρέθησαν. χαλεπῶς δ' οὖν ὁ Περτίναξ ἔκ τε τῶν εἰκόνων καὶ τῶν ὅπλων τῶν τε ἵππων καὶ τῶν ἐπίπλων καὶ τῶν παιδικῶν τῶν τοῦ Κομμόδου ἀγείρας ἀργύριον, τοῖς τε δορυφόροις ἔδωκεν ὅσα ὑπέσχητο, καὶ τῷ δήμῳ καθ' ἑκα-*
5 *τὸν δραχμάς. σύμπαντα γὰρ ὅσα ὁ Κόμμοδος ἐπί τε τῇ τρυφῇ καὶ ἐς ὁπλομαχίαν ἢ καὶ ἐς ἁρματηλασίαν ἐκέκτητο, ἐς τὸ πωλητήριον ἐξετέθη, τὸ μὲν πλεῖστον πράσεως ἕνεκα, ἤδη δὲ καὶ ἐς ἐπίδειξιν τῶν τε ἔργων αὐτοῦ καὶ τῶν διαιτημάτων, καὶ προσέτι καὶ ἐς ἔλεγχον τῶν ὠνησομένων αὐτά.*

6 *ὁ δὲ Λαῖτος τὸν Περτίνακα δι' εὐφημίας ἦγε καὶ τὸν Κόμμοδον ὕβριζεν. βαρβάρους γοῦν τινὰς χρυσίον παρ' αὐτοῦ πολὺ ἐπ' εἰρήνῃ εἰληφότας μεταπεμψάμενος (ἔτι γὰρ ἐν ὁδῷ ἦσαν) ἀπῄτησεν αὐτό, εἰπὼν ὅτι λέγετε τοῖς οἴκοι Περτίνακα ἄρχειν· ᾔδεσαν γὰρ καὶ πάνυ τὸ ὄνομα αὐτοῦ ἐξ ὧν πεπόνθεσαν ὅτε μετὰ τοῦ Μάρκου*
2 *ἐστρατεύετο. καὶ ἕτερον δέ τι τοιόνδε ἐπὶ τῇ τοῦ Κομμόδου διαβολῇ ὁμοίως ἔπραξεν. κοπρίας τινὰς καὶ γελωτοποιοὺς αἴσχιστα μὲν τὰ εἴδη αἰσχίω δὲ τὰ ὀνόματα καὶ τὰ ἐπιτηδεύματα ἔχοντας καὶ διὰ τὴν ὕβριν τήν τε ἀσέλγειαν ὑπὸ τοῦ Κομμόδου ὑπερπλουτοῦντας εὑρών, ἐδημοσίευσε τάς τε προσηγορίας αὐτῶν καὶ τὸ πλῆθος ὧν ἐκέκτηντο, καὶ ἦν ἐπὶ μὲν τοῖς γέλως, ἐπὶ δὲ τοῖς ὀργὴ καὶ λύπη· τοσαῦτα γάρ τινες αὐτῶν ἔχοντες ἦσαν ἐφ' ὅσοις ἐκεῖνος*
3 *πολλοὺς καὶ τῶν βουλευτῶν ἐσφάκει. οὐ μέντοι γε καὶ δι' ὅλου ὁ Λαῖτος πιστὸς ἔμεινε τῷ Περτίνακι, μᾶλλον δὲ οὐδ' ἐν ἀκαρεῖ· ὧν γὰρ ἤθελε μὴ τυγχάνων προσπαρώξυνε τοὺς στρατιώτας, ὡς λελέξεται, κατ' αὐτοῦ.*

7 *τὸν μὲν οὖν πενθερὸν αὐτοῦ ὁ Περτίναξ τὸν Σουλπικιανὸν τὸν Φλάβιον πολιαρχεῖν ἔταξε, καὶ ἄλλως ἄξιον ὄντα τούτου τυχεῖν·*

4 3 *τῶν* ante *ἐπ.* om* 5 *ὑπέσχετο** 6 1 1 *ὁ* — 2 *ὕβριζεν*] *ὅτι ὁ Λαῖτος ὁ ὕπατος ὅσα κακῶς ἐποίησεν ὁ Κόμμοδος ἐξήλεγχεν.* V p. 730
7 1 2 *Φλάκον*

Digitized by Google

οὔτε δὲ τὴν γυναῖκα Αὐγοῦσταν οὔτε τὸν υἱὸν Καίσαρα, καίπερ ψηφισαμένων ἡμῶν, ποιῆσαι ἠθέλησεν, ἀλλ' ἑκάτερον ἰσχυρῶς διεκρούσατο, εἴτ' οὖν ὅτι μηδέπω τὴν ἀρχὴν ἐρριζώκει, εἴτε καὶ ὅτι 2
ἐκείνην τε ἀκολασταίνουσαν οὐκ ἠβουλήθη τὸ τῆς Αὐγούστης ὄνομα μιᾶναι, καὶ τὸν υἱὸν παιδίον ἔτι ὄντα οὐκ ἠθέλησε, πρὶν παιδευθῆναι, τῷ τε ὄγκῳ καὶ τῇ ἐλπίδι τῇ ἐκ τοῦ ὀνόματος διαφθαρῆναι. ἀλλ' οὐδ' ἐν τῷ παλατίῳ αὐτὸν ἔτρεφεν, ἀλλὰ καὶ πάντα τὰ ὑπάρ- 3
χοντα αὐτῷ πρότερον ἐν τῇ πρώτῃ εὐθὺς ἡμέρᾳ ἀποθέμενος, ταῦτά τε τοῖς τέκνοις διένειμε (καὶ γὰρ καὶ θυγατέρα εἶχε) καὶ παρὰ τῷ πάππῳ διαιτᾶσθαι αὐτὰ ἐκέλευσεν, ὀλίγ' ἄττα αὐτοῖς, ὡς πατὴρ καὶ οὐχ ὡς αὐτοκράτωρ, συγγινόμενος.

ἐπεὶ οὖν οὔτε τοῖς στρατιώταις ἁρπάζειν οὔτε τοῖς καισαρείοις 8
ἀσελγαίνειν ἔτι ἐξῆν, δεινῶς οὗτοι ἐμίσουν αὐτόν. ἀλλ' οἱ μὲν καισάρειοι οὐδέν, ἅτε καὶ ἄοπλοι ὄντες, ἐνεωτέρισαν, οἱ δὲ δὴ στρατιῶται οἱ δορυφόροι καὶ ὁ Λαῖτος ἐπεβούλευσαν αὐτῷ. καὶ πρῶτα 2
μὲν τὸν ὕπατον Φάλκωνα, ὅτι καὶ γένει καὶ χρήμασιν ἤκμαζεν, αὐτοκράτορα ἐπιλέγονται, καὶ ἐς τὸ στρατόπεδον αὐτὸν ἐσάξειν, τοῦ Περτίνακος ἐπὶ τῇ θαλάσσῃ τὴν τοῦ σίτου παρασκευὴν ἐξετάζοντος, ἔμελλον. μαθὼν δὲ τοῦτ' ἐκεῖνος σπουδῇ ἐς τὴν πόλιν ἦλθε, 3
καὶ παρελθὼν ἐς τὴν γερουσίαν ἔφη "οὐ χρὴ ὑμᾶς ἀγνοεῖν, ὦ πατέρες, ὅτι πέντε που καὶ εἴκοσι μυριάδας δραχμῶν εὑρὼν τοσοῦτον τοῖς στρατιώταις διένειμα ὅσον Μάρκος τε καὶ Λούκιος, οἷς ἑξακισμύριαι καὶ ἑπτακισχίλιαι καὶ πεντακόσιαι μυριάδες κατελείφθησαν. ἀλλ' αἴτιοι τῆς ἀχρηματίας ταύτης οἱ θαυμαστοὶ καισάρειοι 4
γεγόνασιν." καὶ ἐψεύσατο μὲν ὁ Περτίναξ ὅτι ἐπ' ἴσης τῷ Λουκίῳ καὶ τῷ Μάρκῳ τοῖς στρατιώταις ἐδωρήσατο (ὁ μὲν γὰρ ἐς πεντακισχιλίας ὁ δὲ ἐς τρισχιλίας αὐτοῖς ἐδεδώκει), οἱ δὲ δὴ στρατιῶται καὶ οἱ καισάρειοι παρόντες ἐν τῷ συνεδρίῳ (πάμπολλοι δὲ ἦσαν) δεινῶς ἠγανάκτησαν καὶ φοβερόν τι διετονθόρυσαν. μελλόντων δὲ 5
ἡμῶν καταψηφιεῖσθαι τοῦ Φάλκωνος, "καὶ ἤδη γε αὐτὸν πολέμιον ὀνομαζόντων," ἀναστὰς ὁ Περτίναξ καὶ ἀνακραγών "μὴ γένοιτο" ἔφη "μηδένα βουλευτὴν ἐμοῦ ἄρχοντος μηδὲ δικαίως θανατωθῆναι." "καὶ ὁ μὲν οὕτως ἐσώθη," ὁ δὲ Λαῖτος παραλαβὼν τὴν κατὰ τὸν 9
Φάλκωνα ἀφορμήν, πολλοὺς τῶν στρατιωτῶν ὡς καὶ ἐκείνου κελεύοντος διέφθειρεν. οἱ δὲ λοιποὶ τοῦτο αἰσθόμενοι, καὶ φοβηθέντες μὴ καὶ αὐτοὶ προσαπόλωνται, ἐθορύβησαν. διακόσιοι δὲ οἱ τῶν 2
ἄλλων θρασύτεροι καὶ ἐς τὸ παλάτιον τὰ ξίφη ἀνατετακότες ὥρμησαν. οὐδὲ ἔγνω πρότερον προσιόντας ὁ Περτίναξ αὐτοὺς πρὶν

2 4 ὄγκῳ  8 2 3 εἰς αὐτοκρ.*  5 2 " " V p. 730

Digitized by Google

ἄνω γενέσθαι· τότε δὲ ἡ γυνὴ αὐτοῦ ἐσδραμοῦσα ἐμήνυσεν αὐτῷ
3 τὸ γενόμενον. μαθὼν οὖν ταῦτ᾽ ἐκεῖνος πρᾶγμα εἴτ᾽ οὖν γενναῖον
εἴτε ἀνόητον, εἴθ᾽ ὅπως τις αὐτὸ ὀνομάσαι ἐθέλει, ἔπραξεν. δυνη-
θεὶς γὰρ ἂν μάλιστα μὲν ἀποκτεῖναι τοὺς ἐπελθόντας (τῇ τε γὰρ
νυκτερινῇ φυλακῇ καὶ τοῖς ἱππεῦσιν ὥπλιστο, καὶ ἦσαν καὶ ἄλλοι
ἐν τῷ παλατίῳ τότε ἄνθρωποι πολλοί), εἰ δὲ μή, κατακρυφθῆναί
4 γε καὶ διαφυγεῖν ποι τάς τε πύλας τοῦ παλατίου καὶ τὰς ἄλλας
τὰς διὰ μέσου θύρας κλείσας, τούτων μὲν οὐδέτερον ἐποίησεν,
ἐλπίσας δὲ καταπλήξειν αὐτοὺς ὀφθεὶς καὶ πείσειν ἀκουσθεὶς ἀπήν-
τησε τοῖς προσιοῦσιν ἐν τῇ οἰκίᾳ ἤδη οὖσιν· οὔτε γὰρ τῶν συστρα-
τιωτῶν τις αὐτοὺς εἶρξε, καὶ οἱ πυλωροὶ οἵ τε ἄλλοι καισάρειοι οὐχ
10 ὅτι τι συνέκλεισαν, ἀλλὰ καὶ πάντα ἁπλῶς προσανέῳξαν. ἰδόντες
δ᾽ οὖν οἱ στρατιῶται τὸ μὲν πρῶτον ᾐδέσθησαν, πλὴν ἑνός, καὶ
τούς τε ὀφθαλμοὺς ἐς τὸ δάπεδον ἤρεισαν καὶ τὰ ξίφη ἐς τοὺς
κουλεοὺς ἐναπέθεντο· ἐπεὶ δὲ ἐκεῖνος προπηδήσας εἶπέ τε ὅτι τοῦτό
σοι τὸ ξίφος οἱ στρατιῶται πεπόμφασιν, καὶ προσπεσὼν εὐθὺς
ἔπληξεν αὐτόν, οὐκ ἐπέσχον ἀλλὰ τόν τε αὐτοκράτορά σφων κατέ-
2 κοψαν καὶ τὸν Ἔκλεκτον. μόνος γὰρ δὴ οὗτος οὔτ᾽ ἐγκατέλιπεν
αὐτὸν καὶ ἐπήμυνεν αὐτῷ ὅσον ἠδυνήθη, ὥστε καὶ τρῶσαι τινάς·
ὅθεν ἐγὼ καὶ πρὸ τοῦ ἄνδρα αὐτὸν ἀγαθὸν γεγονέναι νομίζων, τότε
δὴ καὶ πάνυ ἐθαύμασα. ἀποτεμόντες δὲ οἱ στρατιῶται τὴν κεφαλὴν
τοῦ Περτίνακος περί τε δόρυ περιέπειραν, τῷ ἔργῳ ἐλλαμπρυνόμε-
3 νοι. οὕτω μὲν ὁ Περτίναξ ἐπιχειρήσας ἐν ὀλίγῳ πάντα ἀνακαλέσα-
σθαι ἐτελεύτησεν, οὐδὲ ἔγνω, καίπερ ἐμπειρότατος πραγμάτων ὤν,
ὅτι ἀδύνατόν ἐστιν ἀθρόα τινὰ ἀσφαλῶς ἐπανορθοῦσθαι, ἀλλ᾽
εἴπερ τι ἄλλο, καὶ πολιτικὴ κατάστασις καὶ χρόνου καὶ σοφίας
χρήζει. ἐβίω δὲ ἔτη ἑπτὰ καὶ ἑξήκοντα τεσσάρων μηνῶν καὶ τριῶν
ἡμερῶν δέοντα, ἦρξε δὲ ἡμέρας ὀγδοήκοντα καὶ ἑπτά.
11 διαγγελλομένου δὲ τοῦ κατὰ τὸν Περτίνακα πάθους οἱ μὲν ἐς
τὰς οἰκίας ἔτρεχον οἱ δὲ ἐς τὰς τῶν στρατιωτῶν, καὶ τῆς ἑαυτῶν
ἀσφαλείας πρόνοιαν ἐποιοῦντο. Σουλπικιανὸς δέ (ἔτυχε γὰρ παρὰ
τοῦ Περτίνακος ἀποσταλεὶς ἐς τὸ στρατόπεδον, ἵνα τὰ ἐκεῖ κατα-
στήσηται) ἔμεινέ τε ἐν αὐτῷ, καὶ ἔπραττεν ὅπως ἂν αὐτοκράτωρ
2 ἀποδειχθῇ. κἀν τούτῳ Ἰουλιανὸς ὁ Δίδιος, χρηματιστής τε ἄπλη-
στος καὶ ἀναλωτὴς ἀσελγής, νεωτέρων τε ἀεὶ πραγμάτων ἐπιθυμῶν,
διὸ καὶ πρὸς τοῦ Κομμόδου ἐς τὴν ἑαυτοῦ πατρίδα τὸ Μεδιόλανον

10 1 2 καὶ post 3 ὀφθαλμούς 2 5 δόρατι περιπείραντες περιῆγον Z p. 542 11 2 1 ὅτι ὁ Ἰουλιανὸς ὁ Δίδιος ἦν τὸ μὲν γένος βουλευτικὸν τὸν δὲ τρόπον δεινὸν ἔχων· τά τε γὰρ ἄλλα καὶ χρημάτων ἐπιθυμητὴς ἄπληστος καὶ ἀναλωτὴς ἀσελγὴς ἐγένετο, ὅθεν που νεωτέρων πραγμάτων ἀεὶ ἐπεθύμει. V p. 730

Digitized by Google

ἐξελήλατο, οὗτος οὖν ἀκούσας τὸν θάνατον τοῦ Περτίνακος σπουδῇ
ἐς τὸ στρατόπεδον παρεγένετο, καὶ πρὸς ταῖς πύλαις τοῦ τείχους
ἑστὼς παρεκάλει τοὺς στρατιώτας ὑπὲρ τῆς τῶν Ῥωμαίων ἡγεμο-
νίας. ὅτε δὴ καὶ πρᾶγμα αἴσχιστόν τε καὶ ἀνάξιον τῆς Ῥώμης 3
ἐγένετο· ὥσπερ γὰρ ἐν ἀγορᾷ καὶ ἐν πωλητηρίῳ τινὶ καὶ αὐτὴ καὶ
ἡ ἀρχὴ αὐτῆς πᾶσα ἀπεκηρύχθη. καὶ αὐτὰς ἐπίπρασκον μὲν οἱ
τὸν αὐτοκράτορά σφων ἀπεκτονότες, ὠνητίων δὲ ὅ τε Σουλπικιανὸς
καὶ ὁ Ἰουλιανὸς ὑπερβάλλοντες ἀλλήλους, ὁ μὲν ἔνδοθεν ὁ δὲ ἔξω-
θεν. καὶ μέχρι γε πεντακισχιλίων δραχμῶν κατ᾽ ἄνδρα κατὰ βραχὺ 4
προστιθέντες προῆλθον, διαγγελλόντων τινῶν καὶ λεγόντων τῷ τε
Ἰουλιανῷ ὅτι Σουλπικιανὸς τοσοῦτον δίδωσιν· τί οὖν σὺ προστίθης;
καὶ τῷ Σουλπικιανῷ ὅτι Ἰουλιανὸς τοσοῦτον ἐπαγγέλλεται· τί οὖν
σὺ προσυπισχνῇ; κἂν ἐπεκράτησεν ὁ Σουλπικιανὸς ἔνδον τε ὢν καὶ 5
πολιαρχῶν, τάς τε πεντακισχιλίας πρότερος ὀνομάσας, εἰ μὴ ὁ
Ἰουλιανὸς οὐκέτι κατ᾽ ὀλίγον ἀλλὰ χιλίαις καὶ διακοσίαις καὶ πεν-
τήκοντα ἅμα δραχμαῖς ὑπερέβαλε, καὶ τῇ φωνῇ μέγα βοῶν καὶ
ταῖς χερσὶν ἐνδεικνύμενος. τῇ τε γὰρ ὑπερβολῇ αὐτοῦ δουλωθέντες, 6
καὶ ἅμα καὶ τὸν Σουλπικιανὸν ὡς καὶ τιμωρήσοντα τῷ Περτίνακι
φοβηθέντες, ὅπερ ὁ Ἰουλιανὸς αὐτοῖς ὑπέτεινεν, ἐσεδέξαντό τε αὐτὸν
καὶ αὐτοκράτορα ἀπέδειξαν.

καὶ ὁ μὲν οὕτω πρὸς ἑσπέραν ἔς τε τὴν ἀγορὰν καὶ πρὸς τὸ 12
βουλευτήριον ἠπείχθη, παμπληθεῖς δορυφόρους μετὰ σημείων συ-
χνῶν ὥσπερ ἐς παράταξίν τινα ἄγων, ἵνα καὶ ἡμᾶς καὶ τὸν δῆμον
προκαταπλήξας πρόσθηται· καὶ αὐτὸν οἱ στρατιῶται τά τε ἄλλα
ἐμεγάλυνον καὶ Κόμμοδον ἐπωνόμαζον. ἡμεῖς δὲ πυνθανόμενοι ταῦτα, 2
ὥς που ἑκάστῳ διηγγέλλετο, ἐφοβούμεθα μὲν τὸν Ἰουλιανὸν καὶ
τοὺς στρατιώτας, καὶ μάλιστα ὅσοις τι ἢ πρὸς τὸν Περτίνακα ἐπι-
τήδειον ... (καὶ γὰρ ἐγὼ εἷς ἐξ αὐτῶν ἦν, ἐπειδὴ ὑπό τε τοῦ Περ-
τίνακος τά τε ἄλλα ἐτετιμήμην καὶ στρατηγὸς ἀπεδεδείγμην, καὶ
ἐκεῖνον πολλὰ πολλάκις ἐν δίκαις συναγορεύων τισὶν ἀδικοῦντα
ἐπεδεδείχειν)· ὅμως δ᾽ οὖν καὶ διὰ ταῦτα (οὐ γὰρ ἐδόκει ἡμῖν 3
ἀσφαλὲς εἶναι οἴκοι, μὴ καὶ ἐξ αὐτοῦ τούτου ὑποπτευθῶμεν, κατα-
μεῖναι) προήλθομεν, οὐχ ὅτι λελουμένοι ἀλλὰ καὶ δεδειπνηκότες,
καὶ ὠσάμενοι διὰ τῶν στρατιωτῶν ἐς τὸ βουλευτήριον ἐσήλθομεν,
καὶ ἠκούσαμεν αὐτοῦ τά τε ἄλλα ἀξίως ἑαυτοῦ λέγοντος, καὶ ὅτι 4
ὑμᾶς τε ὁρῶ ἄρχοντος δεομένους, καὶ αὐτός, εἰ καί τις ἄλλος,
ἀξιώτατός εἰμι ὑμῶν ἡγεμονεῦσαι. καὶ εἶπον ἂν πάντα τὰ προσόντα

5 2 τούς τε πεντακισχιλίους 4 προσκαταπλήξας 3 3 δεδουλωμένοι 6 2 Π. οἷα δὴ κηδεστῇ Z 12 1 3 πρᾶξίν 2 4 ...] ἢ πρὸς τοῦτον ἐπαχθὲς ἐγεγένητο?*



Digitized by Google

μοι ἀγαθά, εἰ μὴ καὶ ᾔδειτε καὶ πεπειραμένοι μου ἦτε. διὸ οὐδὲ
ἐδεήθην πολλοὺς στρατιώτας ἐπάγεσθαι, ἀλλ' αὐτὸς μόνος πρὸς
5 ὑμᾶς ἀφῖγμαι, ἵνα μοι τὰ ὑπ' ἐκείνων δοθέντα ἐπικυρώσητε. μόνος
τε γὰρ ἥκω ἔλεγε, πᾶν μὲν ἔξωθεν τὸ βουλευτήριον ὁπλίταις περι-
εστοιχισμένος, πολλοὺς δὲ καὶ ἐν αὐτῷ τῷ συνεδρίῳ στρατιώτας
ἔχων· καὶ τοῦ συνειδότος ἡμᾶς τοῦ περὶ αὐτὸν ἀνεμίμνησκεν, ἐξ
οὗ καὶ ἐμισοῦμεν αὐτὸν καὶ ἐφοβούμεθα.
13 καὶ ὁ μὲν οὕτω τὴν αὐταρχίαν καὶ ἐκ τῶν τῆς βουλῆς δογμά-
των βεβαιωσάμενος ἀνῆλθεν ἐς τὸ παλάτιον, καὶ εὑρὼν τὸ δεῖπνον
τὸ τῷ Περτίνακι παρεσκευασμένον πολλά τε αὐτοῦ κατεγέλασε, καὶ
μεταπεμψάμενος ὅθεν τι καὶ ὁπωσοῦν εὑρεθῆναι τότε ἠδυνήθη
πολυτίμητον, διεπίμπλατο ἔνδον ἔτι τοῦ νεκροῦ κειμένου, καὶ ἐκύ-
2 βευεν, ἄλλους τε καὶ Πυλάδην τὸν ὀρχηστὴν παραλαβών. τῇ δὲ
δὴ ὑστεραίᾳ ἡμεῖς μὲν ἀνῄειμεν ὡς αὐτόν, πλαττόμενοι τρόπον τινὰ
καὶ σχηματιζόμενοι ὅπως μὴ κατάφωροι ἐπὶ τῇ λύπῃ γενώμεθα·
ὁ δὲ δῆμος ἐσκυθρώπαζε φανερῶς, καὶ διελάλουν ὅσα ἤθελον, καὶ
3 παρεσκευάζοντο πρᾶξαι ὅσα ἐδύναντο. καὶ τέλος, ἐπειδὴ πρὸς τὸ
συνέδριον ἦλθε καὶ τῷ Ἰανῷ τῷ πρὸ τῶν θυρῶν αὐτοῦ θύσειν
ἔμελλεν, ἐξέκραγον πάντες ὥσπερ ἐκ συγκειμένου τινός, τῆς τε ἀρ-
χῆς ἅρπαγα αὐτὸν καὶ πατροφόνον ὀνομάζοντες. ὡς δὲ προσποιη-
σάμενος μὴ χαλεπαίνειν ἀργύριόν τι αὐτοῖς ὑπέσχετο, ἀγανακτή-
σαντες ὡς καὶ δεκαζόμενοι ἀνεβόησαν ἅμα πάντες "οὐ θέλομεν, οὐ
4 λαμβάνομεν." καὶ αὐτοῖς καὶ τὰ πέριξ οἰκοδομήματα φρικῶδές τι
συνεπήχησεν. ἀκούσας δὲ ταῦτα ὁ Ἰουλιανὸς οὐκέτ' ἐκαρτέρησεν,
ἀλλὰ τοὺς ἐγγὺς προσεστηκότας κτείνεσθαι προσέταξεν. καὶ ὁ δῆ-
μος ἔτι καὶ μᾶλλον ἐπιπαρωξύνθη, καὶ οὐκ ἐπαύσατο οὔτε τὸν
Περτίνακα ποθῶν οὔτε τὸν Ἰουλιανὸν λοιδορῶν οὔτε τοὺς θεοὺς
ἐπιβοώμενος οὔτε τοῖς στρατιώταις ἐπαρώμενος, ἀλλὰ καίτοι πολλοὶ
πολλαχοῦ τῆς πόλεως καὶ τιτρωσκόμενοι καὶ φονευόμενοι ἀντεῖχον.
5 καὶ τέλος ὅπλα ἁρπάσαντες συνέδραμον ἐς τὸν ἱππόδρομον, κἀν-
ταῦθα διετέλεσαν τὴν νύκτα καὶ τὴν μετ' αὐτὴν ἡμέραν ἄσιτοι καὶ
ἄποτοι βοῶντες, τούς τε λοιποὺς στρατιώτας καὶ μάλιστα τὸν Νί-
γρον τὸν Πεσκέννιον καὶ τοὺς μετ' αὐτοῦ ἐν τῇ Συρίᾳ ὄντας ἐπα-
μῦναί σφισι δεόμενοι. καὶ μετὰ τοῦτο τῇ τε κραυγῇ καὶ τῷ λιμῷ
τῇ τε ἀγρυπνίᾳ κακωθέντες διελύθησαν καὶ ἡσυχίαν ἦγον, τὰς ἔξω-
θεν ἐλπίδας ἀναμένοντες.
14 Ἰουλιανὸς δὲ οὕτω τὴν ἀρχὴν ἁρπάσας ἀνελευθέρως τοῖς πρά-
γμασιν ἐχρῆτο, θωπεύων τὴν βουλὴν καὶ τούς τι δυναμένους καὶ

13 1 1 πραγμάτων    4 6 πολλοὶ καὶ π.

Digitized by Google

τὰ μὲν ἐπαγγελλόμενος τὰ δὲ χαριζόμενος, προσεγέλα τε καὶ προσ-
έπαιζε πρὸς τοὺς τυχόντας, ἔς τε τὰ θέατρα συνεχῶς ἐσεφοίτα, καὶ
συμπόσια πολλὰ συνεκρότει, τό τε σύμπαν οὐδὲν ὅ τι οὐκ ἐπὶ θε- 2
ραπείᾳ ἡμῶν ἐποίει. οὐ μέντοι καὶ πιθανὸς ἦν, ἀλλ' ὡς ἀκράτῳ
τῇ θωπείᾳ χρώμενος ὑπωπτεύετο· πᾶν γὰρ τὸ ἔξωθεν τοῦ εἰκότος,
κἂν χαρίζεσθαί τισι δοκῇ, δολερὸν τοῖς νοῦν ἔχουσι νομίζεται.
ἐν μὲν δὴ τῇ Ῥώμῃ ταῦτα ἐγένετο, περὶ δὲ τῶν ἔξω ταύτης 3
γενομένων καὶ νεωτερισθέντων ἤδη ἐρῶ. τρεῖς γὰρ δὴ τότε ἄνδρες,
τριῶν ἕκαστος πολιτικῶν στρατοπέδων καὶ ἄλλων ξενικῶν συχνῶν
ἄρχοντες, ἀντελάβοντο τῶν πραγμάτων, ὅ τε Σεβῆρος καὶ ὁ Νίγρος
καὶ ὁ Ἀλβῖνος, οὗτος μὲν τῆς Βρεττανίας ἄρχων, Σεβῆρος δὲ τῆς
Παννονίας, Νίγρος δὲ τῆς Συρίας. καὶ τούτους ἄρα οἱ ἀστέρες οἱ 4
τρεῖς οἱ ἐξαίφνης φανέντες καὶ τὸν ἥλιον περισχόντες, ὅτε τὰ ἐσι-
τήρια πρὸ τοῦ βουλευτηρίου ἔθυεν ὁ Ἰουλιανὸς παρόντων ἡμῶν,
ὑπῃνίττοντο. οὕτω γὰρ ἐκφανέστατοι ἦσαν ὥστε καὶ τοὺς στρα-
τιώτας συνεχῶς τε αὐτοὺς ὁρᾶν καὶ ἀλλήλοις ἀντεπιδεικνύειν, καὶ
προσέτι καὶ διαθροεῖν ὅτι δεινὸν αὐτῷ συμβήσεται. ἡμεῖς γὰρ εἰ 5
καὶ τὰ μάλιστα καὶ ηὐχόμεθα ταῦθ' οὕτω γενέσθαι καὶ ἠλπίζομεν,
ἀλλ' ὑπό γε τοῦ παρόντος δέους οὐδ' ἀναβλέπειν ἐς αὐτούς, εἰ μὴ
παρορῶντές πως, ἐτολμῶμεν. καὶ τοιοῦτο μὲν τοῦτο οἶδα γενόμε-
νον· τῶν δὲ δὴ τριῶν ἡγεμόνων ὧν εἴρηκα δεινότατος ὁ Σεβῆρος 15
ὤν, καὶ προγνοὺς ὅτι μετὰ τὸ καταλῦσαι τὸν Ἰουλιανὸν καὶ σφίσιν
αὐτοῖς οἱ τρεῖς συναράξουσι καὶ ἀντιπολεμήσουσιν ὑπὲρ τῆς ἀρχῆς,
ἐγνώκει τὸν ἕνα τὸν ἐγγύτερον αὐτῷ προσποιήσασθαι, καὶ γράμ-
ματά τινι τῶν πιστῶν δοὺς τῷ Ἀλβίνῳ ἐπεπόμφει, Καίσαρα αὐτὸν
ποιῶν· τὸν γὰρ δὴ Νίγρον φρόνημα ἔχοντα ἐκ τοῦ ἐπίκλητον ὑπὸ 2
τοῦ δήμου γεγονέναι ἀπέγνω. καὶ ὁ μὲν Ἀλβῖνος ὡς καὶ κοινωνὸς τῆς
ἀρχῆς τῷ Σεβήρῳ ἐσόμενος κατὰ χώραν ἔμεινεν, ὁ δὲ Σεβῆρος τὰ
ἐν τῇ Εὐρώπῃ πάντα πλὴν τοῦ Βυζαντίου προσποιησάμενος ἐπὶ τὴν
Ῥώμην ἠπείγετο, οὐδέποτε ἔξω τῶν ὅπλων γινόμενος, ἀλλ' ἑξακο- 3
σίους τοὺς ἀρίστους ἐπιλεξάμενος ἐν μέσοις αὐτοῖς μεθ' ἡμέραν καὶ

14 2 1 ὅτι Ἰουλιανὸς ὁ μετὰ Περτίνακα τὴν ἀρχὴν ἁρπάσας πάντας ἐκολάκευεν. ψηφισαμένης δὲ τῆς βουλῆς χρυσοῦν ἀνδριάντα αὐτοῦ οὐ προσεδέξατο, εἰπὼν ὅτι χαλκοῦν μοι δότε, ἵνα καὶ μείνῃ· καὶ γὰρ τῶν πρὸ ἐμοῦ αὐτοκρατόρων τοὺς μὲν χρυσοῦς καὶ ἀργυροῦς ὁρῶ καθαιρεθέντας, τοὺς δὲ χαλκοῦς μένοντας, οὐκ ὀρθῶς τοῦτο εἰπών· ἀρετὴ γὰρ ἡ διαφυλάττουσα τὴν μνήμην τῶν κρατούντων· ὁ γὰρ δοθεὶς αὐτῷ χαλκοῦς ἀναιρεθέντος αὐτοῦ καθῃρέθη. M p. 226 5 4 γινόμενον* 15 1 1 ὅτι ὁ Σεβῆρος δεινότατος ἦν τό τε μέλλον ἀκριβῶς προνοῆσαι καὶ τὸ παρὸν ἀσφαλῶς διοικῆσαι, καὶ πᾶν μὲν τὸ κεκρυμμένον ὡς καὶ ἐμφανὲς ἐξευρεῖν, πᾶν δὲ τὸ δυσδιάθετον ὡς καὶ ῥᾷστον ἐξεργάσασθαι. V p. 730 2 2 μὲν om*



Digitized by Google

*νύκτωρ διῆγεν· οὐδὲ ἀπεδύσαντό ποτε ἐκεῖνοι τοὺς θώρακας πρὶν
ἐν τῇ Ῥώμῃ γενέσθαι.*

16 *καὶ ὁ Ἰουλιανὸς ταῦτα μαθὼν πολέμιόν τε τὸν Σεβῆρον διὰ
τῆς βουλῆς ἐποιήσατο, καὶ παρεσκευάζετο κατ' αὐτοῦ· "καὶ γὰρ
τάφρευμα ἐν τῷ προαστείῳ διετάφρευσε καὶ πύλας ἐπ' αὐτῷ ἐπέ-*
2 *στησεν ὡς καὶ ἐνταῦθα ἐκστρατεύσων καὶ ἐκεῖθεν πολεμήσων." καὶ
ἐγένετο ἡ πόλις ἐν ταῖς ἡμέραις ταύταις οὐδὲν ἄλλο ἢ στρατόπεδον,
ὥσπερ ἐν πολεμίᾳ. πολλὴ μὲν γὰρ ταραχὴ καὶ αὐλιζομένων καὶ
γυμναζομένων ὡς ἑκάστων, ἀνδρῶν ἵππων ἐλεφάντων, πολὺς δὲ
καὶ φόβος ἐς τοὺς λοιποὺς ἐκ τῶν ὡπλισμένων, "ἅτε καὶ μισούντων*
3 *σφᾶς", ἐγίγνετο. ἔστι δ' ὅτε καὶ γέλως ἡμᾶς ἐλάμβανεν· οὔτε γὰρ
οἱ δορυφόροι ἄξιόν τι τοῦ τε ὀνόματος καὶ τῆς ἐπαγγελίας σφῶν,
ἅτε καὶ ἁβρῶς διαιτᾶσθαι μεμαθηκότες, ἐποίουν, καὶ οἱ ἐκ τοῦ
ναυτικοῦ τοῦ ἐν τῷ Μισηνῷ ναυλοχοῦντος μεταπεμφθέντες οὐδ'
ὅπως γυμνάσωνται ᾔδεσαν, οἵ τε ἐλέφαντες ἀχθόμενοι τοῖς πύργοις
οὐδ' αὐτοὺς ἔτι τοὺς ἐπιβάτας ἔφερον, "ἀλλὰ καὶ ἐκείνους κατέβαλ-*
4 *λον." μάλιστα δὲ ἐγελῶμεν ὅτι τὸ παλάτιον κιγκλίσι τε καὶ θύραις
ἰσχυραῖς ἐκρατύνατο· ἐπεὶ γὰρ τὸν Περτίνακα οὐκ ἄν ποτε οἱ στρα-
τιῶται ῥᾳδίως οὕτως, εἴπερ συνεκέκλειστο, πεφονευκέναι ἐδόκουν,
ἐπίστευεν ὅτι δυνήσεται κατακλεισθεὶς ἐν αὐτῷ, ἂν ἡττηθῇ, περι-*
5 *γενέσθαι. ἔσφαξε μὲν οὖν καὶ τὸν Λαῖτον καὶ τὴν Μαρκίαν, ὥστε
σύμπαντας τοὺς ἐπιβουλεύσαντας τῷ Κομμόδῳ φθαρῆναι (καὶ γὰρ
τὸν Νάρκισσον ὕστερον ὁ Σεβῆρος θηρίοις ἔδωκεν, αὐτὸ τοῦτο κη-
ρύξας ὅτι οὗτός ἐστιν ὁ Κόμμοδον ἀποπνίξας), ἔκτεινε δὲ καὶ παῖ-
δας συχνοὺς ἐπὶ μαγγανεύμασιν, ὡς καὶ ἀποστρέψαι τι τῶν μελ-
λόντων, εἰ προμάθοι αὐτά, δυνησόμενος. ἐπί τε τὸν Σεβῆρον ἀεί*
17 *τινας ὡς δολοφονήσοντας αὐτὸν ἀπέστειλεν. ἐπεὶ δὲ ἐκεῖνος ἐς τὴν
Ἰταλίαν ἀφίκετο καὶ τὴν Ῥάβενναν ἀκονιτὶ παρέλαβε, καὶ οὓς ἐκεῖ-
νος ἐπ' αὐτὸν ἔπεμπεν ἢ πείσοντας ὑποστρέψαι ἢ εἴρξοντας τῶν*
2 *παρόδων, προσεχώρουν αὐτῷ, οἵ τε δορυφόροι, οἷς μάλιστα ὁ Ἰου-
λιανὸς ἐθάρρει, τῇ τε συνεχείᾳ τῶν πόνων ἀπεκναίοντο καὶ πρὸς
τὴν φήμην τῆς τοῦ Σεβήρου παρουσίας δεινῶς ἐξεπλήττοντο, συγ-
καλέσας ἡμᾶς ὁ Ἰουλιανὸς κοινωνὸν αὐτῷ τῆς ἀρχῆς ἐκέλευε τὸν*
3 *Σεβῆρον ψηφίσασθαι. οἱ δὲ δὴ στρατιῶται ἐκ γραμμάτων τοῦ*

16 1 " " V p. 730  2 et 3 " " V p. 733  4 4 *ἐς αὐτὸ* V  5 2 *γὰρ* om*  17 1 1 *ὅτι Ὀυεσπρώνιος Κάνδιδος ἀξιώσει μὲν ἐς τὰ πρῶτα ἀνήκων, σκυθρωπότητι δὲ καὶ ἀγροικίᾳ πολὺ πλεῖον προφέρων, ἐκινδύνευσεν ἀποθανεῖν ὑπὸ τῶν στρατιωτῶν.* V  3 1 *ὅτι οὗτος ὁ Φούλβιος ἐπὶ πονηρίᾳ καὶ ἀπληστίᾳ ἀσελγείᾳ τε ὑπὸ τοῦ Περτίνακος, ὅτε τῆς Ἀφρικῆς ἦρχε, κατεδεδίκαστο, τότε δὲ ἐν τοῖς πρώτοις ὑπ' αὐτοῦ ἐκείνου τῇ τοῦ Σεβήρου χάριτι ἀπεδέδεικτο.* V p. 730

Digitized by Google

Σεβήρου πεισθέντες ὅτι οὐδὲν κακόν, ἂν τοὺς σφαγέας τοῦ Περτί-
νακος ἐκδῶσι καὶ αὐτοὶ τὴν ἡσυχίαν ἄγωσι, πείσονται, τούς τε ἀπο-
κτείναντας τὸν Περτίνακα συνέλαβον, καὶ αὐτὸ τοῦτο Σιλίῳ Μεσ-
σάλᾳ τῷ ὑπατεύοντι τότε ἐμήνυσαν. καὶ ὃς συναγαγὼν ἡμᾶς ἐς τὸ 4
ἀθήναιον καλούμενον ἀπὸ τῆς ἐν αὐτῷ τῶν παιδευομένων ἀσκή-
σεως, τὰ παρὰ τῶν στρατιωτῶν ἐδήλωσεν· καὶ τοῦ τε Ἰουλιανοῦ
θάνατον κατεψηφισάμεθα καὶ τὸν Σεβῆρον αὐτοκράτορα ὠνομάσα-
μεν, τῷ τε Περτίνακι ἡρωικὰς τιμὰς ἀπεδώκαμεν. ὁ μὲν οὖν Ἰου- 5
λιανὸς οὕτως ἐν αὐτῷ τῷ παλατίῳ κατακείμενος ἐφονεύθη, τοσοῦ-
τον μόνον εἰπών, "καὶ τί δεινὸν ἐποίησα; τίνα ἀπέκτεινα"; ἔζησε
δὲ ἑξήκοντά τε ἔτη καὶ μῆνας τέσσαρας καὶ ἡμέρας ἴσας, ἀφ' ὧν
ἓξ καὶ ἑξήκοντα ἦρξεν ἡμέρας.

Σεβῆρος μὲν δὴ αὐτοκράτωρ οὕτω γενόμενος τοὺς μὲν χειρουρ- ΟΔ
γήσαντας τὸ κατὰ τὸν Περτίνακα ἔργον θανάτῳ ἐζημίωσε, τοὺς δὲ
ἄλλους δορυφόρους, πρὶν ἐν τῇ Ῥώμῃ γενέσθαι, μεταπεμψάμενος
καὶ ἐν πεδίῳ περισχὼν οὐκ εἰδότας τὸ μέλλον σφίσι συμβήσεσθαι,
πολλά τε καὶ πικρὰ ὑπὲρ τῆς ἐς τὸν αὐτοκράτορά σφων παρανο-
μίας ὀνειδίσας αὐτούς, τῶν τε ὅπλων ἀπέλυσε τούς τε ἵππους ἀφεί-
λετο καὶ τῆς Ῥώμης ἀπήλασεν. ἔνθα δὴ οἱ μὲν ἄλλοι καὶ ἄκοντες 2
τά τε ὅπλα ἀπερρίπτουν καὶ τοὺς ἵππους ἠφίεσαν, ἔν τε τοῖς χιτῶ-
σιν ἄζωστοι ἐσκεδάννυντο· εἷς δέ τις, οὐκ ἐθελήσαντος τοῦ ἵππου
ἀποστῆναι ἀλλ' ἐπακολουθοῦντος αὐτῷ καὶ χρεμετίζοντος, καὶ ἐκεῖ-
νον καὶ ἑαυτὸν κατεχρήσατο· καὶ ἐδόκει τοῖς ὁρῶσι καὶ ὁ ἵππος
ἡδέως ἀποθνήσκειν. πράξας δὲ ὁ Σεβῆρος ταῦτα ἐς τὴν Ῥώμην 3
ἐσῄει, μέχρι μὲν τῶν πυλῶν ἐπί τε τοῦ ἵππου καὶ ἐν ἐσθῆτι ἱππικῇ
ἐλθών, ἐντεῦθεν δὲ τήν τε πολιτικὴν ἀλλαξάμενος καὶ βαδίσας· καὶ
αὐτῷ καὶ ὁ στρατὸς πᾶς, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, ὡπλισμένοι
παρηκολούθησαν. καὶ ἐγένετο ἡ θέα πασῶν ὧν ἑώρακα λαμπρο- 4
τάτη· ἥ τε γὰρ πόλις πᾶσα ἄνθεσί τε καὶ δάφναις ἐστεφάνωτο καὶ
ἱματίοις ποικίλοις ἐκεκόσμητο, φωτί τε καὶ θυμιάμασιν ἔλαμπεν,
καὶ οἱ ἄνθρωποι λευχειμονοῦντες καὶ γαννύμενοι πολλὰ ἐπευφήμουν,
οἵ τε στρατιῶται ἐν τοῖς ὅπλοις ὥσπερ ἐν πανηγύρει τινὶ πομπεύον-
τες ἐκπρεπῶς ἀνεστρέφοντο, καὶ προσέτι ἡμεῖς ἐν κόσμῳ περιῄει-
μεν. ὁ δ' ὅμιλος ἰδεῖν τε αὐτὸν καί τι φθεγγομένου ἀκοῦσαι, ὥσπερ 5
τι ὑπὸ τῆς τύχης ἠλλοιωμένου, ποθοῦντες ἠρεθίζοντο· καί τινες καὶ
ἐμετεώριζον ἀλλήλους, ὅπως ἐξ ὑψηλοτέρου αὐτὸν κατίδωσιν.

ἐσελθὼν δὲ οὕτως ἐνεανιεύσατο μὲν οἷα καὶ οἱ πρώην ἀγαθοὶ 2
αὐτοκράτορες πρὸς ἡμᾶς, ὡς οὐδένα τῶν βουλευτῶν ἀποκτείνῃ· καὶ

1 4 5 πομπῆς ἐκπρεπόντως* 6 προῄειμεν? an παρῄειμεν? 2 1 2 ἀπο-
κτενεῖ?

Digitized by Google

ὤμοσε περὶ τούτου, καὶ τό γε μεῖζον, ψηφίσματι κοινῷ αὐτὸ κυρωθῆναι προσετετάχει, πολέμιον καὶ τὸν αὐτοκράτορα καὶ τὸν ὑπηρετήσοντα αὐτῷ ἔς τι τοιοῦτον, αὐτούς τε καὶ τοὺς παῖδας αὐτῶν,
2 νομίζεσθαι δογματίσας. πρῶτος μέντοι αὐτὸς τὸν νόμον τουτονὶ παρέβη καὶ οὐκ ἐφύλαξε, πολλοὺς ἀνελών· καὶ γὰρ καὶ αὐτὸς ὁ Σόλων ὁ Ἰούλιος, ὁ καὶ τὸ δόγμα τοῦτο κατὰ πρόσταξιν αὐτοῦ συγγράψας, οὐ πολλῷ ὕστερον ἐσφάγη. καὶ πολλὰ μὲν ἡμῖν οὐ
3 καταθύμια ἔπραττεν, "αἰτίαν τε ἔσχεν ἐπὶ τῷ πλήθει στρατιωτῶν ὀχλώδη τὴν πόλιν ποιῆσαι καὶ δαπάνῃ χρημάτων περιττῇ τὸ κοινὸν βαρῦναι, καὶ τὸ μέγιστον ὅτι μὴ ἐν τῇ τῶν συνόντων οἱ εὐνοίᾳ
4 ἀλλ' ἐν τῇ ἐκείνων ἰσχύι τὴν ἐλπίδα τῆς σωτηρίας ἐποιεῖτο·" μάλιστα δὲ ἐπεκάλουν αὐτῷ τινὲς ὅτι καθεστηκότος ἔκ τε τῆς Ἰταλίας καὶ τῆς Ἰβηρίας τῆς τε Μακεδονίας καὶ τοῦ Νωρικοῦ μόνον τοὺς σωματοφύλακας εἶναι, κἀκ τούτου καὶ τοῖς εἴδεσιν αὐτῶν ἐπιεικεστέρων καὶ τοῖς ἤθεσιν ἁπλουστέρων ὄντων, τοῦτο μὲν κατέλυσεν,
5 "ἐκ δὲ δὴ τῶν στρατοπέδων ὁμοίως πάντων τὸ ἀεὶ ἐνδεὲς ὂν ἀντικαθίστασθαι τάξας, αὐτὸς μὲν ὡς καὶ ἐπιστησόμενος διὰ τοῦτο τὰ στρατιωτικὰ μᾶλλον αὐτοῖς χρησάμενος, καί τι καὶ ἆθλον τοῖς ἀγαθοῖς τὰ πολέμια προθήσων ἐποίησεν αὐτό, τῷ δὲ δὴ ἔργῳ σαφέστατα τήν τε ἡλικίαν τὴν ἐκ τῆς Ἰταλίας παραπώλεσε πρὸς λῃστείας
6 καὶ μονομαχίας ἀντὶ τῆς πρὶν στρατείας τραπομένην", καὶ τὸ ἄστυ ὄχλου στρατιωτῶν συμμίκτων καὶ ἰδεῖν ἀγριωτάτων καὶ ἀκοῦσαι φοβερωτάτων. ὁμιλῆσαί τε ἀγροικοτάτων ἐπλήρωσεν.

3 σημεῖα δὲ αὐτῷ ἐξ ὧν τὴν ἡγεμονίαν ἤλπισε, ταῦτα ἐγένετο. ὅτε γὰρ ἐς τὸ βουλευτήριον ἐσεγράφη, ὄναρ ἔδοξε λύκαινάν τινα κατὰ ταὐτὰ τῷ Ῥωμύλῳ θηλάζειν. μέλλοντί τε αὐτῷ τὴν Ἰουλίαν ἄγεσθαι ἡ Φαυστῖνα ἡ τοῦ Μάρκου γυνὴ τὸν θάλαμόν σφισιν ἐν
2 τῷ ἀφροδισίῳ τῷ κατὰ τὸ παλάτιον παρεσκεύασεν. ὕδωρ τε ἐκ τῆς χειρὸς αὐτῷ καθεύδοντί ποτε, ὥσπερ ἐκ πηγῆς, ἀνεδόθη. καὶ ἐν Λουγδούνῳ ἄρχοντι πᾶσα αὐτῷ ἡ τῶν Ῥωμαίων δύναμις προσῆλθέ τε καὶ ἠσπάσατο, ὄναρ φημί. καὶ ἄλλοτε ἀνήχθη ἐς περιωπὴν ὑπό τινος, καὶ καθορῶν ἀπ' αὐτῆς πᾶσαν μὲν τὴν γῆν πᾶσαν δὲ τὴν θάλατταν ἐφήπτετο αὐτῶν. ὥσπερ παναρμονίου τινὸς ὀργά-
3 νου, καὶ ἐκεῖνα συνεφθέγγετο. καὶ αὖθις ἵππον ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ τὸν μὲν Περτίνακα ἀναβεβηκότα ἀπορρῖψαι, ἑαυτὸν δὲ ἑκόντα ἀναλαβεῖν ἐνόμισεν. ταῦτα μὲν ἐκ τῶν ὀνειράτων ἔμαθεν, ὕπαρ δὲ ἐς τὸν βασιλικὸν δίφρον ἔφηβος ὢν ἔτι ἀγνοίᾳ ἐνιδρύθη.

τὴν μὲν οὖν ἡγεμονίαν μετὰ τῶν ἄλλων καὶ ταῦτα αὐτῷ προ-

3 et 5 " " V p. 733 3 3 ἐβάρυνεν 5 4 σαφεστάτην τε 3 3 2 περτίνακα καὶ ἀναβ. 4 ἔς τε τὸν

ἐδήλωσεν· καταστὰς δὲ ἐς αὐτὴν ἡρῷον τῷ Περτίνακι κατεσκεύασε, 4
τό τε ὄνομα αὐτοῦ ἐπί τε ταῖς εὐχαῖς ἁπάσαις καὶ ἐπὶ τοῖς ὅρκοις
ἅπασιν προσέταξεν ἐπιλέγεσθαι, καὶ χρυσῆν εἰκόνα αὐτοῦ ἐφ' ἅρ-
ματος ἐλεφάντων ἐς τὸν ἱππόδρομον ἐσάγεσθαι, καὶ ἐς τὰ λοιπὰ
ἐκέλευσε θέατρα θρόνους [τε] τρεῖς καταχρύσους αὐτῷ ἐσκομί-
ζεσθαι. ἡ δὲ δὴ ταφὴ καίτοι πάλαι τεθνηκότος αὐτοῦ τοιάδε ἐγέ- 2
νετο. ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ βῆμα ξύλινον ἐν χρῷ τοῦ λιθίνου
κατεσκευάσθη, καὶ ἐπ' αὐτοῦ οἴκημα ἄτοιχον περίστυλον, ἔκ τε
ἐλέφαντος καὶ χρυσοῦ πεποικιλμένον, ἐτέθη, καὶ ἐν αὐτῷ κλίνη
ὁμοία, κεφαλὰς πέριξ θηρίων χερσαίων τε καὶ θαλασσίων ἔχουσα, 3
ἐκομίσθη στρώμασι πορφυροῖς καὶ διαχρύσοις κεκοσμημένη, καὶ ἐς
αὐτὴν εἴδωλόν τι τοῦ Περτίνακος κήρινον, σκευῇ ἐπινικίῳ εὐθετη-
μένον, ἀνετέθη, καὶ αὐτοῦ τὰς μυίας παῖς εὐπρεπής, ὡς δῆθεν κα-
θεύδοντος, πτεροῖς ταῶνος ἀπεσόβει. προκειμένου δ' αὐτοῦ ὅ τε 4
Σεβῆρος καὶ ἡμεῖς οἱ βουλευταὶ αἵ τε γυναῖκες ἡμῶν προσῄειμεν
πενθικῶς ἐσταλμένοι· καὶ ἐκεῖναι μὲν ἐν ταῖς στοαῖς, ἡμεῖς δὲ ὑπαί-
θριοι ἐκαθεζόμεθα. κἀκ τούτου πρῶτον μὲν ἀνδριάντες πάντων
τῶν ἐπιφανῶν Ῥωμαίων τῶν ἀρχαίων, ἔπειτα χοροὶ παίδων καὶ 5
ἀνδρῶν θρηνώδη τινὰ ὕμνον ἐς τὸν Περτίνακα ᾄδοντες παρῆλθον·
καὶ μετὰ τοῦτο τὰ ἔθνη πάντα τὰ ὑπήκοα ἐν εἰκόσι χαλκαῖς, ἐπι-
χωρίως σφίσιν ἐσταλμένα, καὶ τὰ ἐν τῷ ἄστει αὐτῷ γένη, τό τε
τῶν ῥαβδούχων καὶ τὸ τῶν γραμματέων τῶν τε κηρύκων καὶ ὅσα
ἄλλα τοιουτότροπα, ἐφείπετο. εἶτ' εἰκόνες ἦκον ἀνδρῶν ἄλλων, οἷς 6
τι ἔργον ἢ καὶ ἐξεύρημα ἢ καὶ ἐπιτήδευμα λαμπρὸν ἐπέπρακτο, καὶ
μετ' αὐτοὺς οἵ τε ἱππεῖς καὶ οἱ πεζοὶ ὡπλισμένοι οἵ τε ἀθληταὶ
ἵπποι καὶ τὰ ἐντάφια, ὅσα ὅ τε αὐτοκράτωρ καὶ ἡμεῖς αἵ τε γυ-
ναῖκες ἡμῶν καὶ οἱ ἱππεῖς οἱ ἐλλόγιμοι οἵ τε δῆμοι καὶ τὰ ἐν τῇ
πόλει συστήματα ἐπέμψαμεν· καὶ αὐτοῖς βωμὸς περίχρυσος, ἐλέ-
φαντί τε καὶ λίθοις Ἰνδικοῖς ἠσκημένος, ἠκολούθει. ὡς δὲ παρ- 5
εξῆλθε ταῦτα, ἀνέβη ὁ Σεβῆρος ἐπὶ τὸ βῆμα τὸ τῶν ἐμβόλων, καὶ
ἀνέγνω ἐγκώμιον τοῦ Περτίνακος. ἡμεῖς δὲ πολλὰ μὲν καὶ διὰ μέ-
σου τῶν λόγων αὐτοῦ ἐπεβοῶμεν, τὰ μὲν ἐπαινοῦντες τὰ δὲ καὶ
θρηνοῦντες τὸν Περτίνακα, πλεῖστα δὲ ἐπειδὴ ἐπαύσατο. καὶ τέλος, 2
μελλούσης τῆς κλίνης κινηθήσεσθαι, πάντες ἅμα ὠλοφυράμεθα καὶ
πάντες ἐπεδακρύσαμεν. κατεκόμισαν δὲ αὐτὴν ἀπὸ τοῦ βήματος οἵ
τε ἀρχιερεῖς καὶ αἱ ἀρχαὶ αἵ τε ἐνεστῶσαι καὶ αἱ ἐς νέωτα ἀποδε-
δειγμέναι, καὶ ἱππεῦσί τισι φέρειν ἔδοσαν. οἱ μὲν οὖν ἄλλοι πρὸ 3
τῆς κλίνης προῄειμεν, καί τινες ἐκόπτοντο ἑτέρων πένθιμόν τι ὑπαυ-

4 4 3 μυθικῶς    5 2 2 ὠλοφυρόμεθα*

Digitized by Google

λούντων· ὁ δ᾽ αὐτοκράτωρ ἐφ᾽ ἅπασιν εἵπετο, καὶ οὕτως ἐς τὸ ἄρειον πεδίον ἀφικόμεθα. ἐπεσκεύαστο δὲ ἐν αὐτῷ πυρὰ πυργοειδὴς τρίβολος, ἐλέφαντι καὶ χρυσῷ μετ᾽ ἀνδριάντων τινῶν κεκοσμημένη, καὶ ἐπ᾽ αὐτῆς τῆς ἄκρας ἅρμα ἐπίχρυσον, ὅπερ ὁ Περτίναξ
4 ἤλαυνεν. ἐς οὖν ταύτην τὰ ἐντάφια ἐνεβλήθη καὶ ἡ κλίνη ἐνετέθη, καὶ μετὰ τοῦτο τὸ εἴδωλον ὅ τε Σεβῆρος καὶ οἱ συγγενεῖς τοῦ Περτίνακος ἐφίλησαν. καὶ ὁ μὲν ἐπὶ βῆμα ἀνέβη, ἡμεῖς δὲ ἡ βουλὴ πλὴν τῶν ἀρχόντων ἐπ᾽ ἰκρία, ὅπως ἀσφαλῶς τε ἅμα καὶ ἐπιτη-
5 δείως τὰ γινόμενα θεωρήσωμεν. οἱ δὲ ἄρχοντες καὶ ἡ ἱππὰς τὸ τέλος προσφόρως σφίσιν ἐσκευασμένοι, οἵ τε ἱππεῖς οἱ στρατιῶται καὶ οἱ πεζοὶ περὶ τὴν πυρὰν πολιτικάς τε ἅμα καὶ ποιητικὰς διεξόδους διελίττοντες διεξῆλθον· εἶθ᾽ οὕτως οἱ ὕπατοι πῦρ ἐς αὐτὴν ἐνέβαλον. γενομένου δὲ τούτου ἀετός τις ἐξ αὐτῆς ἀνέπτατο.

6 "ὅτι ὁ Περτίναξ, τὸ μὲν εὐπόλεμον ἄγροικον τὸ δὲ εἰρηναῖον δειλὸν ὡς τὸ πολὺ ἐκβαῖνον, ἀμφότερα κράτιστος ὁμοίως ἐγένετο, φοβερὸς μὲν πολεμῆσαι σοφὸς δὲ εἰρηνεῦσαι ὤν· καὶ τὸ μὲν θρασύ, οὗ τὸ ἀνδρεῖον μετέχει, πρός τε τὸ ἀλλόφυλον καὶ πρὸς τὸ στασιάζον, τὸ δὲ ἐπιεικές, οὗ τὸ δίκαιον μεταλαμβάνει, πρός τε τὸ οἰκεῖον
7 καὶ πρὸς τὸ σῶφρον ἐνεδείκνυτο. προαχθεὶς δὲ ἐς τὴν τῆς οἰκουμένης προστασίαν οὐκ ἠλέγχθη ποτὲ ὑπὸ τῆς τοῦ μείζονος αὐξήσεως, ὥστε ἐν μὲν τοῖς ταπεινότερος ἐν δὲ τοῖς ὀγκωδέστερος τοῦ καθήκοντος γενέσθαι, ἀλλ᾽ ὁμοίως ἀπ᾽ ἀρχῆς διὰ πάντων μέχρι τῆς τελευτῆς διετέλεσε σεμνὸς ἔξω τοῦ σκυθρωποῦ, πρᾶος ἔξω τοῦ ταπεινοῦ, φρόνιμος ἄνευ κακουργίας, δίκαιος ἄνευ ἀκριβολογίας, οἰκονομικὸς χωρὶς ῥυπαρίας, μεγαλόνους χωρὶς αὐχήματος. V p. 734.

6 καὶ ὁ μὲν Περτίναξ οὕτως ἠθανατίσθη, ὁ δὲ Σεβῆρος ἐξεστράτευσε κατὰ τοῦ Νίγρου. οὗτος δὲ Ἰταλὸς μὲν ἦν, ἐξ ἱππέων, οὔτε δὲ ἐς τὸ κρεῖττον οὔτε ἐς τὸ χεῖρον ἐπίσημος, ὥστε τινὰ ἢ πάνυ αὐτὸν ἐπαινεῖν ἢ πάνυ ψέγειν· "διὸ καὶ τῇ Συρίᾳ ὑπὸ Κομμόδου
2 προσετάχθη." ἐχρῆτο δὲ ὑποστρατήγῳ μετὰ καὶ τῶν ἄλλων τῷ Αἰμιλιανῷ, ὅτι τε "μεσεύων καὶ ἐφεδρεύων τοῖς πράγμασι" πάντων τῶν τότε βουλευόντων καὶ συνέσει καὶ ἐμπειρίᾳ πραγμάτων προφέρειν ἐδόκει (ἐπὶ πολλῶν γὰρ ἐθνῶν ἐξήταστο, "ὑφ᾽ ὧνπερ καὶ ἐξώγ-
3 κωτο"), ὅτι τε τοῦ Ἀλβίνου προσήκων ἦν. συνερρωγότος δὲ τοῦ πολέμου ἦλθέ τε ἐς τὸ Βυζάντιον, καὶ ἐντεῦθεν ἐπὶ τὴν Πέρινθον ἐπεστράτευσεν. γενομένων δὲ αὐτῷ σημείων οὐκ ἀγαθῶν ἐταράχθη· ἀετός τε γὰρ ἐπ᾽ ἄγαλμα στρατιωτικὸν ἵζήσας ἐπὶ τοσοῦτον ἐπέμεινε, καίπερ ἀποσοβούμενος, ὥστε καὶ ἁλῶναι, καὶ μέλισσαι κηρία

5 3 ὁπλιτικάς? ἱππικάς?* 4 ἐπ᾽* 6 1 ἐς πόλεμον
6 1 et 2 " " V p. 734

περὶ τὰ σημεῖα τὰ στρατιωτικά, τάς τε εἰκόνας αὐτοῦ μάλιστα, περιέπλασσον. διὰ ταῦτα οὖν ἀπῆρεν ἐς τὸ Βυζάντιον. ὁ Αἰμι- 4
λιανὸς δὲ περὶ Κύζικον συμβαλὼν τισι τῶν στρατηγῶν τῶν τοῦ a.C. 194
Σεβήρου ἡττήθη πρὸς αὐτῶν καὶ ἐσφάγη. καὶ μετὰ ταῦτα μεταξὺ τῶν στενῶν τῆς τε Νικαίας καὶ τῆς Κίου πόλεμος αὐτοῖς μέγας γίνεται καὶ πολύτροπος· οἱ μὲν γὰρ ἐν τῷ πεδίῳ συστάδην ἐμά- 5
χοντο, οἱ δὲ τοὺς λόφους καταλαβόντες ἐξ ὑπερδεξίων ἔβαλλον καὶ ἠκόντιζον ἐς τοὺς ἐναντίους, οἱ δὲ καὶ ἀπὸ τῆς λίμνης ἐς πλοῖα ἐμβεβηκότες τοῖς πολεμίοις ἐπετοξάζοντο. κατ' ἀρχὰς μὲν οὖν ἐνίκων οἱ Σεβήρειοι, ὑπὸ τῷ Κανδίδῳ ταττόμενοι, καὶ τοῖς χωρίοις ὅθεν ἐμάχοντο, ὑπερδεξίοις οὖσι, πλεονεκτοῦντες· μετὰ δὲ ταῦτα 6
αὐτοῦ τοῦ Νίγρου ἐπιφανέντος παλινδίωξις γίνεται καὶ νίκη τῶν Νιγρείων. ἔπειτα τοῦ Κανδίδου τῶν σημειοφόρων ἐπιλαμβανομένου, καὶ στρέφοντος αὐτοὺς ἀντιπροσώπους τοῖς πολεμίοις, τοῖς τε στρατιώταις τὴν φυγὴν ὀνειδίζοντος, *αἰσχυνθέντες οἱ περὶ αὐτὸν ὑπέστρεψαν καὶ τῶν ἐναντίων ἀντεπεκράτησαν. κἂν πανωλεθρίᾳ τούτους διέφθειραν, εἰ μὴ ἡ πόλις ἐγγὺς ἦν καὶ νὺξ σκοτεινὴ ἐγένετο.

μετὰ δὲ ταῦτα ἐν Ἰσσῷ πρὸς ταῖς καλουμέναις πύλαις μεγίστη 7
γίνεται μάχη, τῷ μὲν Σεβηρείῳ στρατεύματι Οὐαλεριανοῦ τε καὶ Ἀνυλίνου ἐπιστατούντων, Νίγρου δὲ αὐτοῦ τοῖς οἰκείοις παρόντος τάγμασι καὶ συντάσσοντος ἐς τὸν πόλεμον. ἡ δὲ ἐσβολὴ αὕτη, αἱ Κιλίκειοι πύλαι, διὰ τὴν στενότητα οὕτω προσαγορεύονται· ἔνθεν 2
μὲν γὰρ ὄρη ἀπότομα ἀνατείνει, ἔνθεν δὲ κρημνοὶ βαθεῖς ἐς τὴν θάλασσαν καθήκουσιν. ὁ οὖν Νίγρος στρατόπεδον ἐνταῦθα ἐπὶ λόφου τινὸς ἰσχυροῦ ἐποιήσατο, καὶ πρώτως μὲν τοὺς ὁπλίτας, ἔπειτα τοὺς ἀκοντιστὰς τούς τε λιθοβόλους, καὶ τοξότας ἐπὶ πᾶσιν ἔταξεν, ἵν' οἱ μὲν ἐκ χειρὸς τοὺς προσμιγνύντας σφίσιν ἀμύνοιντο, οἱ δ' ἐκ πολλοῦ τῇ ἰσχύι καὶ ὑπὲρ ἐκείνων χρῷντο· τό τε γὰρ ἐπ' 3
ἀριστερὰ καὶ τὸ ἐπὶ δεξιὰ ὑπό τε τῶν κρημνῶν πρὸς τῇ θαλάσσῃ ὑπό τε τῆς ὕλης ἀνεκβάτου οὔσης ἐπέφρακτο. τό τε οὖν στράτευμα οὕτω διέταξε, καὶ τὰ σκευοφόρα ἐπ' αὐτῷ κατεχώρισεν, ὅπως, ἄν τις αὐτῶν φυγεῖν ἐθελήσῃ, μὴ δυνηθῇ. ὁ οὖν Ἀνυλῖνος συνιδὼν 4
τοῦτο τὴν μὲν ἀσπίδα προεβάλετο, καὶ ἐπ' αὐτῇ τὸ κοῦφον πᾶν ἐπέταξεν, ἵν' οἱ μὲν πόρρωθεν ὑπὲρ αὐτῶν ἀνείργωσι τοὺς ἐναντίους, οἱ δ' ἀσφαλῆ τὴν ἄνοδόν σφισιν ἀντιπαράσχωσιν· τοὺς δ'

6 1 ταῦτα om  2 πάλιν δίωξις*  7 ὅτι ὁ Νίγρος ἦν μὲν οὐδ' ἄλλως ἀρτίφρων, ἀλλὰ καὶ πάνυ πολλὰ δυνηθεὶς ἐπλημμέλησεν· τότε δὲ καὶ μᾶλλον ὠγκώθη, ὥστε τοῖς μὲν Ἀλέξανδρον αὐτὸν νέον ὀνομάζουσι χαίρειν, τῷ δὲ ἐρομένῳ "τίς σοι ταῦτα ποιεῖν ἐπιτέτροφεν" τὸ ξίφος δεῖξαι, καὶ εἰπεῖν ὅτι τοῦτο. V p. 734  7 4 1 ἀνιδὼν

ἱππέας μετὰ Οὐαλεριανοῦ ἔπεμψε, τήν τε ὕλην τρόπον τινὰ περιελ-
θεῖν καὶ κατὰ νώτου τοῖς Νιγρείοις αἰφνίδιον ἐπιπεσεῖν κελεύσας.
5 ἐπεὶ δὲ ἐς χεῖρας ᾖεσαν, τῶν Σεουηρείων τὰς ἀσπίδας τὰς μὲν προ-
βαλομένων τὰς δὲ ἐπιβαλομένων ἐς χελώνης τρόπον, καὶ οὕτω πλη-
σιασάντων τοῖς ἐναντίοις, ἐγένετο μὲν ἰσόρροπος ἡ μάχη ἐπὶ μα-
κρότατον, ἔπειτα οἱ τοῦ Νίγρου πολὺ τῷ πλήθει σφῶν καὶ τῇ τοῦ
6 χωρίου φύσει προέσχον. κἂν παντελῶς ἐκράτησαν, εἰ μὴ νέφη ἐξ
αἰθρίας καὶ ἄνεμος ἐκ νηνεμίας βρονταί τε σκληραὶ καὶ ἀστραπαὶ
ὀξεῖαι μεθ' ὑετοῦ λάβρου κατὰ πρόσωπον αὐτοῖς προσέπεσον· τοὺς
μὲν γὰρ Σεουηρείους ἅτε καὶ κατόπιν ὄντα οὐκ ἐλύπει ταῦτα, τοὺς
7 δὲ Νιγρείους ἐμπίπτοντα ἐξ ἐναντίας ἰσχυρῶς ἐτάραττεν. μέγιστον
δ' αὕτη ἡ συντυχία τοῦ γενομένου τοῖς μὲν θάρσος ὡς καὶ παρὰ
τοῦ θείου βοηθουμένοις, τοῖς δὲ δέος ὡς καὶ ὑπ' αὐτοῦ πολεμου-
μένοις ἐμβαλοῦσα τοὺς μὲν καὶ ὑπὲρ τὴν ἰσχὺν ἐπέρρωσε, τοὺς δὲ
8 καὶ παρὰ τὴν δύναμιν ἐξεφόβησεν· καί σφισι φεύγουσιν ἤδη ὁ Οὐα-
λεριανὸς ἐπεφάνη. ἰδόντες οὖν αὐτὸν ἀνάπαλιν ἐτράποντο, καὶ μετὰ
τοῦτο τοῦ Ἀνυλίνου σφᾶς ἀνακόψαντος ἀνέστρεψαν· εἶτ' ἄνω καὶ
8 κάτω διατρέχοντες, ὅπῃ διαπέσοιεν, ἐπλανῶντο. καὶ φθόρον δὴ
τοῦτον πλεῖστον ἐν τῷδε τῷ πολέμῳ συνέβη γενέσθαι· δύο γὰρ μυ-
ριάδες τῶν μετὰ τοῦ Νίγρου διώλοντο. καὶ τοῦτ' ἄρα τὸ τοῦ
2 ἱερέως ὄναρ ἐδήλου· ἐν γὰρ τῇ Παννονίᾳ ὄντος τοῦ Σεουήρου ὁ
ἱερεὺς τοῦ Διὸς ὄναρ εἶδεν ἄνδρα τινὰ μέλανα ἐς τὸ στρατόπεδον
αὐτοῦ ἐσβιαζόμενον καὶ ὑπὸ χειρῶν ἀπολλύμενον· τὸ γὰρ ὄνομα
τοῦ Νίγρου ἐξελληνίζοντες οἱ ἄνθρωποι τὸν μέλανα ἐκεῖνον εἶναι
3 ἔγνωσαν. ἁλούσης δὲ τῆς Ἀντιοχείας οὐ πολλῷ ὕστερον ἔφυγε μὲν
ἀπ' αὐτῆς ὡς πρὸς τὸν Εὐφράτην ὁ Νίγρος, διανοούμενος ἐς τοὺς
βαρβάρους φυγεῖν, ἑάλω δὲ ὑπὸ τῶν καταδιωξάντων καὶ ἀπετμήθη
τὴν κεφαλήν. καὶ ταύτην ὁ Σεουῆρος ἐς τὸ Βυζάντιον πέμψας ἀνε-
σταύρωσεν, ἵν' ἰδόντες αὐτὴν οἱ Βυζάντιοι προσχωρήσωσιν. μετὰ
δὲ ταῦτα ὁ Σεουῆρος τοὺς τὰ τοῦ Νίγρου φρονήσαντας ἐδικαίου.
4 "ὅτι ὁ Σεουῆρος τὰς πόλεις τούς τε ἰδιώτας τοὺς μὲν ἐκόλαζε
τοὺς δὲ ἠμείβετο, τῶν δὲ δὴ βουλευτῶν τῶν Ῥωμαίων ἀπέκτεινε
μὲν οὐδένα, τοὺς δὲ πλείους τὰς οὐσίας ἀφείλετο καὶ ἐς νήσους
κατέκλεισεν. ἠργυρολόγησέ τε δεινῶς· τά τε γὰρ ἄλλα καὶ ὅσα τῷ
Νίγρῳ καὶ ἰδιῶταί τινες καὶ δῆμοι, οὐχ ὅτι ἑκούσιοι ἀλλὰ καὶ
5 ἀναγκαστοί, ἐδεδώκεσαν, τετραπλάσια ἐπεσέπραξεν. καὶ ᾐσθάνετο
μέν που καὶ αὐτὸς τοῦτο, πολλῶν δὲ δὴ χρημάτων χρῄζων ἐν οὐ-
δενὶ λόγῳ τὰ θρυλούμενα ἐποιεῖτο. V p. 734.

5 1 προβαλλομένων* 2 ἐπιβαλλομένων* 6 4 ὄντας 7 1 ἐμπί-
πτοντας 8 4 3 δὲ] δὲ δὴ 5 2 τοῦτο] μισούμενος (κακηγορούμε-

*Κάσσιος δὲ Κλήμης βουλευτὴς παρ᾽ αὐτῷ τῷ Σεουήρῳ κρινό- 9
μενος οὐκ ἀπεκρύψατο τὴν ἀλήθειαν, ἀλλ᾽ ὧδέ πως ἐπαρρησιάσατο.
“ἐγὼ” ἔφη “οὔτε σὲ οὔτε Νίγρον ἠπιστάμην, καταληφθεὶς δὲ δὴ
ἐν τῇ ἐκείνου μερίδι τὸ παρὸν ἀναγκαίως ἐθεράπευσα, οὐχ ὡς σοὶ
πολεμήσων ἀλλ᾽ ὡς Ἰουλιανὸν καταλύσων. οὔτ᾽ οὖν ἐν τούτῳ τι 2
ἠδίκησα, τὰ αὐτά σοι κατ᾽ ἀρχὰς σπουδάσας, οὔθ᾽ ὅτι μὴ πρὸς σὲ
ὕστερον, ἐγκαταλιπὼν ἅπαξ ὃν ὑπὸ τοῦ δαιμονίου ἔλαβον, μετέστην·
οὐδὲ γὰρ οὐδὲ σὺ τῶν παρακαθημένων σοι καὶ συνδικαζόντων τού-
των οὐδένα ἂν ἠθέλησας προδόντα σε πρὸς ἐκεῖνον αὐτομολῆσαι.
ἐξέταζε οὖν μὴ τὰ σώματα ἡμῶν μηδὲ τὰ ὀνόματα, ἀλλ᾽ αὐτὰ τὰ 3
πράγματα. πᾶν γὰρ ὅ τι ἂν ἡμῶν καταγνῷς, τοῦτο καὶ σεαυτοῦ
καὶ τῶν σῶν ἑταίρων καταψηφιῇ· καὶ γὰρ εἰ τὰ μάλιστα μήτε
δίκῃ μήτ᾽ ἀποφάσει τινὶ ἁλώσῃ, ἀλλὰ τῇ παρὰ τοῖς ἀνθρώποις
φήμῃ, ἧς ἐς ἀίδιον μνήμη καταλελείψεται, δόξεις ταῦτα ἐφ᾽ οἷς
σὺ ἐνέχῃ ἑτέροις ἐγκαλεῖν.” τοῦτον μὲν οὖν ὁ Σεουῆρος τῆς παρρη- 4
σίας θαυμάσας, τὴν ἡμίσειαν αὐτῷ τῆς οὐσίας ἔχειν συνεχώρησεν.*

*ὅτι συχνοὶ ὡς καὶ τὰ τοῦ Νίγρου φρονήσαντες, καὶ τῶν οὔτ᾽
ἰδόντων ποτὲ αὐτὸν οὔτε συναραμένων οἱ, ἐπηρεάσθησαν.* V p. 737.

*ὅτι ὁ Σεουῆρος ἐπεχείρησε τοὺς τιμωρουμένους ὑπ᾽ αὐτοῦ . . . 5
τῷ Κλάρῳ τῷ Ἐρυκίῳ μηνυτῇ κατ᾽ αὐτῶν χρήσασθαι, ἵνα τόν τε
ἄνδρα διαβάλῃ καὶ τὸν ἔλεγχον ἀξιοχρεώτερον πρός τε τὸ γένος
αὐτοῦ καὶ πρὸς τὴν δόξαν ποιεῖσθαι νομισθείη· καὶ τήν γε σωτη-
ρίαν τήν τε ἄδειαν αὐτῷ δώσειν ὑπέσχετο. ἐπεὶ δὲ ἐκεῖνος ἀπο- 6
θανεῖν μᾶλλον ἢ τοιοῦτό τι ἐνδεῖξαι εἵλετο, πρὸς τὸν Ἰουλιανὸν
ἐτράπετο, καὶ τοῦτον ἀνέπεισεν. καὶ διὰ τοῦτ᾽ αὐτὸν ἀφῆκεν, ὅσον
γε μήτ᾽ ἀποκτεῖναι μήτ᾽ ἀτιμάσαι· ταῖς γὰρ δὴ βασάνοις ἰσχυρῶς
πάντα ὑπ᾽ αὐτοῦ ἠκρίβωσεν, ἐν οὐδενὶ λόγῳ τὸ ἀξίωμα τὸ τότε
αὐτοῦ ποιησάμενος.* ib.

*οἱ δὲ δὴ Βυζάντιοι καὶ ζῶντος τοῦ Νίγρου καὶ τελευτήσαντος 10
πολλὰ καὶ θαυμαστὰ ἔδρασαν. ἡ δὲ πόλις αὐτῶν ἐν καιρῷ πάνυ a.C. 195
καὶ τῶν ἠπείρων καὶ τῆς διὰ μέσου σφῶν θαλάσσης κεῖται, τῇ τε
τοῦ χωρίου ἅμα καὶ τῇ τοῦ Βοσπόρου φύσει ἰσχυρῶς παρεσκευασ-
μένη. αὐτή τε γὰρ ἐπὶ μετεώρου πεπόλισται, προέχουσα ἐς τὴν* 2

νος*) διὰ τοῦτο? 9 2 3 ἔλαχον?* 3 5 καταλείψεται 4 1 σὺ ἐνέχῃ] συνέβη* 5 1 ...] διελέγξαι βουλόμενος?* M certe p. 227: ὅτι Σεουῆρος τοὺς βουλευτὰς τοὺς γράψαντας κατ᾽ αὐτοῦ πρὸς Ἀλβῖνον διελέγξαι βουλόμενος ἐβουλήθη καὶ Βιβιανὸν ἄνδρα ὑπατευκότα καὶ τὰ Ἀλβίνου δοκοῦντα φρονεῖν ὑποφθεῖραι, ἵνα τῇ μαρτυρίᾳ αὐτοῦ χρώμενος κατὰ τῶν βουλευτῶν ἀξιόπιστον τὴν κατηγορίαν ποιήσῃ. ὁ δὲ εἵλατο σφαγῆναι ἢ πρᾶξαί τι ἐλευθερίας ἀλλότριον. Ἰουλιανὸν οὖν εὑρὼν πρὸς τοῦτο ἀνέπεισε καὶ κατηγόρῳ ἐχρήσατο 6 5 ἀπ᾽?

θάλασσαν· καὶ ἐκείνη χειμάρρου δίκην ἐκ τοῦ Πόντου καταθέουσα
τῇ τε ἄκρᾳ προσπίπτει, καὶ μέρει μέν τινι ἐς τὰ δεξιὰ ἀποτρέπεται
κἀνταῦθα τόν τε κόλπον καὶ τοὺς λιμένας ποιεῖ, τῷ δὲ δὴ πλείονι
πρὸς τὴν Προποντίδα παρ' αὐτὴν τὴν πόλιν πολλῇ σπουδῇ χωρεῖ.
3 καὶ μέντοι καὶ τὰ τείχη καρτερώτατα εἶχον. ὅ τε γὰρ θώραξ αὐ-
τῶν λίθοις τετραπέδοις παχέσι συνῳκοδόμητο, πλαξὶ χαλκαῖς συν-
δουμένοις, καὶ τὰ ἐντὸς αὐτῶν καὶ χώμασι καὶ οἰκοδομήμασιν ὠχύ-
ρωτο, ὥστε καὶ ἓν τεῖχος παχὺ τὸ πᾶν εἶναι δοκεῖν, καὶ ἐπάνωθεν
4 αὐτοῦ περίδρομον καὶ στεγανὸν καὶ εὐφύλακτον ὑπάρχειν. πύργοι
τε πολλοὶ καὶ μεγάλοι ἔξω τε ἐκκείμενοι καὶ θυρίδας πέριξ ἐπαλ-
λήλους ἔχοντες ἦσαν, ὥστε τοὺς προσβάλλοντας τῷ κύκλῳ ἐντὸς αὐ-
τῶν ἀπολαμβάνεσθαι· δι' ὀλίγου τε γὰρ καὶ οὐ κατ' εὐθύ, ἀλλ' οἱ
μὲν τῇ οἱ δὲ τῇ σκολιώτερον ᾠκοδομημένοι, πᾶν τὸ προσπῖπτόν
5 σφισιν ἐνεκυκλοῦντο. τοῦ δὲ δὴ περιβόλου τὰ μὲν πρὸς τῆς ἠπεί-
ρου ἐς μέγα ὕψος ἦρτο, ὥστε καὶ τοὺς τυχόντας ἀπ' αὐτῶν ἀμύ-
νασθαι, τὰ δὲ πρὸς τῇ θαλάττῃ ἧττον ὑψοῦτο· αἵ τε γὰρ πέτραι
ἐφ' ὧν ἐπῳκοδόμηντο καὶ ἡ τοῦ Βοσπόρου δεινότης θαυμαστῶς
σφίσι συνεμάχουν. οἵ τε λιμένες ἐντὸς τείχους ἀμφότεροι κλειστοὶ
ἁλύσεσιν ἦσαν, καὶ αἱ χηλαὶ αὐτῶν πύργους ἐφ' ἑκάτερα πολὺ προ-
έχοντας ἔφερον, ὥστ' ἄπορον τῷ πολεμίῳ τὸν πρόσπλουν ποιεῖν.
6 τὸ δ' ὅλον ὁ Βόσπορός σφας μέγιστα ὠφελεῖ· ἀνάγκη γὰρ πᾶσα,
ἂν ἅπαξ τις ἐς τὸ ῥεῦμα ἐμπέσῃ, καὶ ἄκοντα αὐτὸν πρὸς τὴν γῆν
ἐκπεσεῖν. τοῦτο δὲ τῷ μὲν φίλῳ ἥδιστόν ἐστιν, τῷ δὲ ἐναντίῳ
ἀπορώτατον.

11 οὕτω μὲν οὖν τὸ Βυζάντιον ἐτετείχιστο, καὶ προσέτι καὶ μη-
χαναὶ κατὰ παντὸς τοῦ τείχους ποικιλώταται ἦσαν. τοῦτο μὲν γὰρ
ἐπὶ τοὺς πλησιάζοντας καὶ πέτρας καὶ δοκοὺς ἐνέβαλλον, τοῦτο δ'
ἐπὶ τοὺς ἀφεστηκότας καὶ λίθους καὶ βέλη δόρατά τε ἠφίεσαν,
ὥστε ἐντὸς πολλοῦ χωρίου μηδένα αὐτῶν ἀκινδύνως πελάσαι δύ-
2 νασθαι· ἁρπάγας τε ἕτεραι ἔχουσαι καὶ καθίεντο ἐξαπιναίως καὶ
ἀνέσπων διὰ βραχέος καὶ πλοῖα καὶ μηχανήματα. Πρίσκος πολίτης
ἐμὸς τὰ πλείω αὐτῶν ἐτεκτήνατο, καὶ διὰ τοῦτο θανάτου τε ἅμα
ὦφλε καὶ ἐσώθη· ὁ γὰρ Σεβῆρος τὴν τέχνην αὐτοῦ μαθὼν ἐκώλυ-
σεν αὐτὸν ἀποθανεῖν, κἀκ τούτου ἔς τε ἄλλα τινὰ αὐτῷ ἐχρήσατο
καὶ ἐς τὴν τῶν Ἄτρων πολιορκίαν, καὶ μόνα γε τὰ ἐκείνου μηχα-
3 νήματα οὐκ ἐκαύθη ὑπὸ τῶν βαρβάρων. καὶ πλοῖα δὲ τοῖς Βυζαν-
τίοις πεντακόσια, τὰ μὲν πλεῖστα μονήρη, ἔστι δ' ἃ καὶ δίκροτα,
κατεσκεύαστο ἐμβόλους ἔχοντα· καί τινα αὐτῶν ἑκατέρωθεν καὶ

10 5 1 πρὸ    6 3 ἐμπεσεῖν

ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρῴρας πηδαλίοις ἤσκητο καὶ κυβερνή-
τας ναύτας τε διπλοῦς εἶχεν, ὅπως αὐτοὶ μὴ μεταστρεφόμενοι καὶ
ἐπιπλέωσι καὶ ἀναχωρῶσι, καὶ τοὺς ἐναντίους καὶ ἐν τῷ πρόσπλῳ
καὶ ἐν τῷ ἀπόπλῳ σφῶν σφάλλωσιν.

πολλὰ μὲν οὖν καὶ ἔδρασαν καὶ ἔπαθον οἱ Βυζάντιοι, ἅτε τοῖς 12
ἐκ τῆς οἰκουμένης ὡς εἰπεῖν στόλοις ἐπὶ ὅλον τριετῆ χρόνον πολιορ-
κούμενοι· λελέξεται δὲ ὀλίγα καὶ τὰ ἐχόμενά τινος θαύματος. ᾕρουν
μὲν γὰρ πλοῖά τινα παραπλέοντα εὐκαίρως ἐπιτιθέμενοι, ᾕρουν δὲ
καὶ τριήρεις τῶν ἐν τῷ ὅρμῳ τῶν ἐναντίων οὐσῶν· τὰς γὰρ ἀγκύ- 2
ρας αὐτῶν ὑφύδροις κολυμβηταῖς ὑποτέμνοντες, καὶ ἥλους ἐς τοὺς
ταρσοὺς σφων, καλωδίοις ἐκ τῆς φιλίας ἐκδεδεμένους ἐμπηγνύντες,
ἐπεσπῶντο, ὥστ' αὐτὰς ἐφ' ἑαυτῶν αὐτομάτας προσπλεούσας ὁρᾶ-
σθαι, μήτ' ἐρέτου μήτ' ἀνέμου μηδενὸς ἐπισπέρχοντος. ἤδη δὲ καὶ 3
ἐθελονταί τινες ἔμποροι, ὡς καὶ ἄκοντες, ὑπ' αὐτῶν ἡλίσκοντο, καὶ
τὰ ἀγώγιμα μεγάλων χρημάτων πωλήσαντες ἐξέπλεον ἐκδιδράσκον-
τες. ἐπεὶ δὲ πάντων αὐτοῖς ἐκδαπανηθέντων τῶν ἔνδον ἐς τὸ στε- a C. 196
νὸν κομιδῇ τῶν τε πραγμάτων καὶ τῶν ἐλπίδων τῶν ἐπ' αὐτοῖς
ἐληλύθεσαν, πρότερον μέν, καίπερ πάνυ πιεζόμενοι ἅτε καὶ τῶν ἔξω 4
πάντων ἀποκεκλεισμένοι, ὅμως ἀντεῖχον, καὶ ἔς τε τὰς ναῦς τοῖς
τε ξύλοις τοῖς ἐκ τῶν οἰκιῶν καὶ ταῖς θριξὶ ταῖς [ἐκ] τῶν γυναι-
κῶν, σχοινία ἀπ' αὐτῶν πλέκοντες, ἐχρῶντο, καὶ ὁπότε τινὲς τῷ
τείχει προσβάλοιεν, τούς τε λίθους σφίσι τοὺς ἐκ τῶν θεάτρων καὶ
ἵππους χαλκοῦς καὶ ἀνδριάντας ὅλους ἐπερρίπτουν· ἐπεὶ δὲ καὶ ἡ 5
τροφή σφας ἐπέλιπεν ἡ νενομισμένη καὶ δέρματα διαβρέχοντες
ἤσθιον, εἶτα καὶ ταῦτα καταναλώθη, οἱ μὲν πλείους ἐξέπλευσαν,
τηρήσαντες ζάλην καὶ καταιγίδα ὥστε μηδένα ἀνταναχθῆναι σφί-
σιν, ἵν' ἢ ἀπόλωνται ἢ ἐπισιτίσωνται, καὶ προσπίπτοντες ἀπροσδο-
κήτως τοῖς ἀγροῖς πάνθ' ὁμοίως ἐλῄζοντο, οἱ δ' ὑπολειπόμενοι 6
δεινότατον ἔργον ἔδρασαν· ἐπεὶ γὰρ ἐν τῷ ἀσθενεστάτῳ ἐγένοντο,
ἐπ' ἀλλήλους ἐτράποντο καὶ ἀλλήλων ἐγεύοντο. οὗτοι μὲν οὖν ἐν 13
τούτοις ἦσαν, οἱ δ' ἄλλοι ἐπεὶ τὰ σκάφη καὶ ὑπὲρ τὴν δύναμιν
αὐτῶν κατεγέμισαν, ἦραν χειμῶνα μέγαν καὶ τότε ἐπιτηρήσαντες.
οὐ μὴν καὶ ὤναντό γε αὐτοῦ· οἱ γὰρ Ῥωμαῖοι καταβαρεῖς αὐτοὺς
καὶ βραχὺ πάνυ τοῦ ὕδατος ὑπερέχοντας ἰδόντες ἀντανήχθησαν,
καὶ αὐτοῖς ἐσκεδασμένοις, ὥς που καὶ ὁ ἄνεμος καὶ ὁ κλύδων ἦγε, 2
προσπίπτοντες ναυμαχίας μὲν οὐδὲν ἔργον ἔσχον, τὰ δὲ δὴ πλοῖα
αὐτῶν ἀφειδῶς ἔκοπτον, πολλὰ μὲν τοῖς κοντοῖς ὠθοῦντες, πολλὰ
δὲ καὶ τοῖς ἐμβόλοις ἀναρρηγνύντες, ἔστι δ' ἃ καὶ αὐτῇ τῇ προσ-

12 3 4 τὸ] οὐ    5 1 χ. καὶ ἀνδρ. χαλκοῦς ὅλ.*    6 2 ἐν τῷ ἀσθενεστάτῳ Thuc. 3 52

Digitized by Google

3 βολῇ σφῶν ἀνατρέποντες. καὶ ἐκεῖνοι δρᾶσαι μὲν οὐδέν, οὐδ' εἰ
τὰ μάλιστα ἤθελον, ἐδύναντο· διαφυγεῖν δέ πῃ πειρώμενοι οἱ μὲν
ὑπὸ τοῦ πνεύματος, ἀπλήστως αὐτῷ χρώμενοι, ἐβαπτίζοντο, οἱ δ'
4 ὑπὸ τῶν ἐναντίων καταλαμβανόμενοι διώλλυντο. θεώμενοι δὲ ταῦτα
οἱ ἐν τῷ Βυζαντίῳ τέως μὲν ἐθεοκλύτουν καὶ ἐπεβόων ἄλλοτε ἄλ-
λοις τοῖς γινομένοις, ὡς ἑκάστῳ τι τῆς θέας ἐκείνης ἢ τοῦ πάθους
προσέπιπτεν· ἐπεὶ δὲ πασσυδὶ αὐτοὺς ἀπολλυμένους εἶδον, τότε δὴ
ἀθρόοι καὶ ἀνῴμωξαν καὶ ἀνεθρήνησαν, κἀκ τούτου τό τε λοιπὸν
5 τῆς ἡμέρας καὶ τὴν νύκτα πᾶσαν ἐπένθουν. τοσαῦτα γὰρ τὰ πάντα
ναυάγια ἐγένετο ὥστε καὶ ἐς τὰς νήσους καὶ ἐς τὴν Ἀσίαν ἐξενε-
χθῆναι τινά, καὶ ἀπ' αὐτῶν καὶ τὴν ἧττάν σφων, καὶ πρὶν ἀκου-
σθῆναι, γνωσθῆναι. καὶ τῇ ὑστεραίᾳ τοῖς Βυζαντίοις ἐπὶ μεῖζον
6 τὸ δεινὸν ηὐξήθη· ὡς γὰρ ὁ κλύδων ἐστόρεστο, πᾶσα ἡ θάλασσα
ἡ πρὸς τῷ Βυζαντίῳ καὶ τῶν νεκρῶν καὶ τῶν ναυαγίων καὶ τοῦ
αἵματος ἐπληρώθη, πολλὰ δὲ καὶ ἐς τὴν γῆν ἐξεβράσθη, ὥστε καὶ
χαλεπώτερον ἐκ τῆς ὄψεώς σφων τὸ δεινὸν αὐτοῦ τοῦ ἔργου φα-
νῆναι.

14 παρέδοσαν μὲν οὖν αὐτίκα τὴν πόλιν καὶ ἄκοντες οἱ Βυζάντιοι,
Ῥωμαῖοι δὲ τοὺς μὲν στρατιώτας καὶ τοὺς ἐν τέλει διεχρήσαντο
πάντας, πλὴν τοῦ πύκτου ὃς πολλὰ τοὺς Βυζαντίους ὠφέλησε καὶ
τοὺς Ῥωμαίους ἔβλαψεν· οὗτος γὰρ παραχρῆμα πύξ τε παίσας τῶν
στρατιωτῶν τινὰ καὶ ἑτέρῳ λὰξ ἐνθορών, ὅπως ὀργισθέντες δια-
2 φθείρωσιν αὐτόν, προαπώλετο. ὁ δὲ Σεβῆρος οὕτως ἥσθη ἐπὶ τῇ
ἁλώσει τοῦ Βυζαντίου ὡς καὶ πρὸς τοὺς στρατιώτας, ἐν τῇ Μεσο-
ποταμίᾳ τότε ὤν, αὐτὸ τοῦτο εἰπεῖν, "εἵλομεν δὲ καὶ τὸ Βυζάν-
3 τιον." ἔπαυσε δὲ τὴν πόλιν τῆς τε ἐλευθερίας καὶ τοῦ ἀξιώματος
τοῦ πολιτικοῦ, καὶ δασμοφόρον ἀποφήνας, τάς τε οὐσίας τῶν πολι-
τῶν δημεύσας, αὐτήν τε καὶ τὴν χώραν αὐτῆς Περινθίοις ἐχαρί-
σατο, καὶ αὐτῇ ἐκεῖνοι οἷα κώμῃ χρώμενοι οὐδὲν ὅ τι οὐχ ὕβριζον.
4 ταῦτα μὲν οὖν δικαίως πως ποιῆσαι ἔδοξεν· τὰ δὲ δὴ τείχη τῆς
πόλεως διαλύσας ἐκείνους μὲν οὐδὲν πλέον τῆς στερήσεως τῆς δό-
ξης, ἣν ἐκ τῆς ἐπιδείξεως αὐτῶν ἐκαρποῦντο, ἐλύπησε, τῶν δὲ δὴ
Ῥωμαίων μέγα καὶ φυλακτήριον καὶ ὁρμητήριον πρὸς τοὺς ἐκ τοῦ
5 Πόντου καὶ τῆς Ἀσίας βαρβάρους καθεῖλεν. καὶ εἶδον ἐγὼ τὰ
τείχη πεπτωκότα ὥσπερ ὑπ' ἄλλων τινῶν ἀλλ' οὐχ ὑπὸ Ῥωμαίων
ἑαλωκότα, ἐτεθεάμην δὲ αὐτὰ καὶ ἑστηκότα καὶ ἠκηκόειν αὐτῶν
καὶ λαλούντων. ἑπτὰ μὲν γὰρ ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι
καθήκοντες πρὸς τὴν θάλασσαν ἦσαν, τούτων δ' εἰ μέν τις ἄλλῳ

14 2 1 προσαπώλετο* 5 1 τά τε τ.*

τῷ προσέμιξεν, ἥσυχος ἦν, εἰ δὲ δὴ τῷ πρώτῳ ἐνεβόησέ τινα ἢ καὶ 6
λίθον ἐνέρριψεν, αὐτός τε ἤχει καὶ ἐλάλει καὶ τῷ δευτέρῳ τὸ αὐτὸ
τοῦτο ποιεῖν παρεδίδου, καὶ οὕτω διὰ πάντων ὁμοίως ἐχώρει,. οὐδ'
ἐπετάραττον ἀλλήλους, ἀλλ' ἐν τῷ μέρει πάντες, παρὰ τοῦ πρὸ
αὐτοῦ ἕτερος, τήν τε ἠχὴν καὶ τὴν φωνὴν διεδέχοντό τε καὶ παρεπέμποντο.

τοιαῦτα μὲν τὰ τῶν Βυζαντίων τείχη ἦν, Σεβῆρος δέ, ἐν ᾧ ΟΕ
ταῦτα ἐπολιορκεῖτο, κατὰ τῶν βαρβάρων ἐπιθυμίᾳ δόξης ἐστράτευσε,
τῶν τε Ὀσροηνῶν καὶ τῶν Ἀδιαβηνῶν καὶ τῶν Ἀραβίων.

ὅτι οἱ Ὀσροηνοὶ καὶ οἱ Ἀδιαβηνοὶ ἀποστάντες καὶ Νίσιβιν 2
πολιορκοῦντες, καὶ ἡττηθέντες ὑπὸ Σεβήρου, ἐπρεσβεύσαντο πρὸς
αὐτὸν μετὰ τὸν τοῦ Νίγρου θάνατον, οὐχ ὅπως ὡς καὶ ἠδικηκότες
τι παραιτούμενοι, ἀλλὰ καὶ εὐεργεσίαν ἀπαιτοῦντες ὡς καὶ ὑπὲρ
αὐτοῦ τοῦτο πεποιηκότες· τοὺς γὰρ στρατιώτας τὰ τοῦ Νίγρου
φρονήσαντας ἔλεγον ἐκείνου ἕνεκα ἐφθαρκέναι. καί τινα καὶ δῶρα 3
αὐτῷ ἔπεμψαν, τούς τε αἰχμαλώτους καὶ τὰ λάφυρα τὰ περιόντα
ἀποδώσειν ὑπέσχοντο. οὐ μέντοι οὔτε τὰ τείχη ἃ ᾐρήκεσαν ἐκλιπεῖν
οὔτε φρουροὺς λαβεῖν ἤθελον, ἀλλὰ καὶ τοὺς λοιποὺς ἐξαχθῆναι
ἐκ τῆς χώρας ἠξίουν. διὰ ταῦτα ὁ πόλεμος οὗτος συνέστη. U p. 413.

ὅτι οἱ Ἀράβιοι, ἐπειδὴ μηδείς σφισι τῶν πλησιοχώρων βοηθῆσαι ἠθέλησε, πρὸς Σεβῆρον αὖθις ἐπρεσβεύσαντο, ἐπιεικέστερά 4
τινα προτεινόμενοι. οὐ μέντοι καὶ ἔτυχον ὧν ἐβούλοντο, ἐπειδὴ μὴ
καὶ αὐτοὶ ἦλθον. U p. 414.

ἐπεὶ δὲ τὸν Εὐφράτην διαβὰς ἐς τὴν πολεμίαν ἐσέβαλεν, ἀνύδρου τῆς χώρας οὔσης ἄλλως τε δὴ καὶ τότε πλέον ὑπὸ τοῦ θέρους ἐξικμασμένης ἐκινδύνευσε παμπληθεῖς στρατιώτας ἀποβαλεῖν· 2
κεκμηκόσι γὰρ αὐτοῖς ἐκ τῆς πορείας καὶ τοῦ ἡλίου καὶ κονιορτὸς 2
ἐμπίπτων ἰσχυρῶς ἐλύπησεν, ὥστε μήτε βαδίζειν μήτε λαλεῖν ἔτι
δύνασθαι, τοῦτο δὲ μόνον φθέγγεσθαι, "ὕδωρ ὕδωρ." ἐπεὶ δὲ
ἀνεφάνη μὲν ἰκμάς, ἐξ ἴσου δὲ τῷ μὴ εὑρεθέντι ἀρχὴν ὑπὸ τῆς
ἀτοπίας ἦν, ὁ Σεβῆρος κύλικά τε ᾔτησε καὶ τοῦ ὕδατος πληρώσας
ἁπάντων ὁρώντων ἐξέπιεν. καὶ τότε μὲν οὕτω καὶ ἄλλοι τινὲς προσπιόντες ἀνερρώσθησαν· μετὰ δὲ ταῦτα ἐς τὴν Νίσιβιν ὁ Σεβῆρος 3
ἐλθὼν αὐτὸς μὲν ἐνταῦθα ὑπέμεινε, Λατερανὸν δὲ καὶ Κάνδιδον
καὶ Λαῖτον ἐς τοὺς προειρημένους βαρβάρους ἄλλον ἄλλῃ ἀπέστειλε,
καὶ ἐπερχόμενοι οὗτοι τήν τε χώραν τῶν βαρβάρων ἐδῄουν καὶ τὰς
πόλεις ἐλάμβανον. μέγα δὲ καὶ ἐπὶ τούτῳ τῷ Σεβήρῳ φρονοῦντι, 4
ὡς καὶ πάντας ἀνθρώπους καὶ συνέσει καὶ ἀνδρίᾳ ὑπερβεβηκότι,

6 5 ἕκαςος? an ἅτερος?* 1 3 4 φόρους 2 1 2 δή] δὲ

πρᾶγμα παραδοξότατον συνηνέχθη· Κλαύδιος γάρ τις λῃστὴς καὶ
τὴν Ἰουδαίαν καὶ τὴν Συρίαν κατατρέχων καὶ πολλῇ διὰ τοῦτο
σπουδῇ ζητούμενος, προσῆλθέ τε αὐτῷ ποτὲ μεθ' ἱππέων ὡς καὶ
χιλίαρχός τις ὤν, καὶ ἠσπάσατο αὐτὸν καὶ ἐφίλησε, καὶ οὔτε εὐθὺς
ἐφωράθη οὔθ' ὕστερον συνελήφθη.
3 ἐν δὲ τῷ καιρῷ τούτῳ τοὺς Σκύθας πολεμησείοντας βρονταί
τε καὶ ἀστραπαὶ μετ' ὄμβρου καὶ κεραυνοὶ βουλευομένοις σφίσιν
ἐξαίφνης ἐμπεσόντες, καὶ τοὺς πρώτους αὐτῶν τρεῖς ἄνδρας ἀπο-
2 κτείναντες, ἐπέσχον. ὁ δὲ Σεβῆρος αὖθις τρία τέλη τοῦ στρατοῦ
ποιήσας, καὶ τὸ μὲν τῷ Λαίτῳ τὸ δὲ τῷ Ἀνυλίνῳ καὶ τῷ Πρόβῳ
δούς, ἐπὶ τὴν Ἀρχὴν ἐξέπεμψεν. καὶ οἱ μὲν ταύτην, τριχῇ ἐσβα-
λόντες, οὐκ ἀμογητὶ ἐχειροῦντο· ὁ δὲ Σεβῆρος ἀξίωμα τῇ Νισίβει
δοὺς ἱππεῖ ταύτην ἐπέτρεψεν, ἔλεγέ τε μεγάλην τέ τινα χώραν
3 προσκεκτῆσθαι καὶ πρόβολον αὐτὴν τῆς Συρίας πεποιῆσθαι. ἐλέγ-
χεται δὲ ἐξ αὐτοῦ τοῦ ἔργου καὶ πολέμων ἡμῖν συνεχῶν, ὡς καὶ
δαπανημάτων πολλῶν, αἰτία οὖσα· δίδωσι μὲν γὰρ ἐλάχιστα, ἀνα-
λίσκει δὲ παμπληθῆ, καὶ πρὸς ἐγγυτέρους καὶ τῶν Μήδων καὶ τῶν
Πάρθων προσεληλυθότες ἀεὶ τρόπον τινὰ ὑπὲρ αὐτῶν μαχόμεθα.
4 τῷ δὲ Σεβήρῳ πόλεμος αὖθις, μήπω ἐκ τῶν βαρβαρικῶν ἀνα-
πνεύσαντι, ἐμφύλιος πρὸς τὸν Ἀλβῖνον τὸν Καίσαρα συνηνέχθη.
ὁ μὲν γὰρ οὐδὲ τὴν τοῦ Καίσαρος αὐτῷ ἔτι ἐδίδου τιμήν, ἐπειδὴ
τὸν Νίγρον ἐκποδὼν ἐποιήσατο, τά τε ἄλλα τὰ ἐνταῦθα ὡς ἐβού-
λετο κατεστήσατο· ὁ δὲ καὶ τὴν τοῦ αὐτοκράτορος ἐζήτει ὑπεροχήν.
2 συγκινουμένης οὖν διὰ ταῦτα τῆς οἰκουμένης ἡμεῖς μὲν οἱ βουλευταὶ
ἡσυχίαν ἤγομεν, ὅσοι μὴ πρὸς τοῦτον ἢ ἐκεῖνον φανερῶς ἀποκλί-
ναντες ἐκοινώνουν σφίσι καὶ τῶν κινδύνων καὶ τῶν ἐλπίδων, ὁ δὲ
δῆμος οὐκ ἐκαρτέρησεν ἀλλ' ἐκφανέστατα κατωδύρατο. ἦν μὲν γὰρ
ἡ τελευταία πρὸ τῶν κρονίων ἱπποδρομία, καὶ συνέδραμεν ἐς αὐτὸ
3 ἄπλετόν τι χρῆμα ἀνθρώπων· παρῆν δὲ καὶ ἐγὼ τῇ θέᾳ διὰ τὸν
ὕπατον φίλον μου ὄντα, καὶ πάντα τὰ λεχθέντα ἀκριβῶς ἤκουσα,
ὅθεν καὶ γράψαι τι περὶ αὐτῶν ἠδυνήθην. ἐγένετο δὲ ὧδε. συνῆλ-
θον μὲν ὥσπερ εἶπον ἀμύθητοι, καὶ τὰ ἅρματα ἑξαχῶς ἁμιλλώμενα
ἐθεάσαντο, ὅπερ που καὶ ἐπὶ τοῦ Κλεάνδρου ἐγεγόνει, μηδὲν μηδένα
4 παράπαν ἐπαινέσαντες, ὅπερ εἴθισται· ἐπειδὴ δὲ ἐκεῖνοί τε οἱ δρό-
μοι ἐπαύσαντο καὶ ἔμελλον οἱ ἡνίοχοι ἑτέρου ἄρξασθαι, ἐνταῦθα
σιγάσαντες ἀλλήλους ἐξαίφνης τάς τε χεῖρας πάντες ἅμα συνεκρό-
τησαν καὶ προσεπεβόησαν, εὐτυχίαν τῇ τοῦ δήμου σωτηρίᾳ αἰτού-
5 μενοι. εἶπόν τε τοῦτο, καὶ μετὰ τοῦτο τὴν Ῥώμην καὶ βασιλίδα

3 2 2 τὰ δὲ?* 3 Ἀδιαβηνὴν? an Ἀτρηνὴν? 4 2 5 αὐτὴν?

Digitized by Google

καὶ ἀθάνατον ὀνομάσαντες "μέχρι πότε τοιαῦτα πάσχομεν" ἔκραξαν
"καὶ μέχρι ποῦ πολεμούμεθα;" εἰπόντες δὲ καὶ ἄλλα τινὰ τοιουτό-
τροπα τέλος ἐξεβόησαν ὅτι ταῦτα ἐστίν, καὶ πρὸς τὸν ἀγῶνα τῶν
ἵππων ἐτράποντο. οὕτω μὲν ἔκ τινος θείας ἐπιπνοίας ἐνεθουσίασαν·
οὐ γὰρ ἂν ἄλλως τοσαῦται μυριάδες ἀνθρώπων οὔτ' ἤρξαντο τὰ 6
αὐτὰ ἅμα ἀναβοᾶν ὥσπερ τις ἀκριβῶς χορὸς δεδιδαγμένος, οὔτ'
εἶπον αὐτὰ ἀπταίστως ὡς καὶ μεμελετημένα. ταῦτά τε οὖν ἔτι καὶ
μᾶλλον ἡμᾶς ἐτάραττε, καὶ πῦρ αἰφνίδιον νυκτὸς ἐν τῷ ἀέρι τῷ
πρὸς βορρᾶν τοσοῦτον ὤφθη ὥστε τοὺς μὲν τὴν πόλιν ὅλην τοὺς
δὲ καὶ τὸν οὐρανὸν αὐτὸν καίεσθαι δοκεῖν. ὃ δὲ δὴ μάλιστα θαυ- 7
μάσας ἔχω, ψεκὰς ἐν αἰθρίᾳ ἀργυροειδὴς ἐς τὴν τοῦ Αὐγούστου
ἀγορὰν κατερρύη. φερομένην μὲν γὰρ αὐτὴν οὐκ εἶδον, πεσούσης
δὲ αὐτῆς ᾐσθόμην, καὶ κέρματά τινα ἀπ' αὐτῆς χαλκᾶ κατηργύ-
ρωσα, ἃ καὶ ἐπὶ τρεῖς ἡμέρας τὴν αὐτὴν ὄψιν εἶχεν· τῇ γὰρ τετάρτῃ
πᾶν τὸ ἐπαλειφθὲν αὐτοῖς ἠφανίσθη.

Νουμεριανός τις γραμματιστὴς τῶν τὰ παιδία γράμματα δι- 5
δασκόντων, ἐκ τῆς Ῥώμης ἐς τὴν Γαλατίαν, οὐκ οἶδ' ὅ τι δόξαν
αὐτῷ, ἀφορμηθείς, βουλευτής τε εἶναι τῶν Ῥωμαίων πλασάμενος
καὶ ἐπὶ στρατιᾶς ἄθροισιν ὑπὸ τοῦ Σεβήρου πεμφθῆναι, συνήγαγέ
τινα βραχεῖαν πρῶτον ἰσχύν, καί τινας τῶν τοῦ Ἀλβίνου ἱππέων
διέφθειρε, καὶ ἄλλα τινὰ ὑπὲρ τοῦ Σεβήρου ἐνεανιεύσατο. ἀκούσας 2
δὲ ὁ Σεβῆρος, καὶ νομίσας ὄντως τινὰ τῶν βουλευτῶν εἶναι, ἐπέ-
στειλεν ἐπαινῶν τε αὐτὸν καὶ δύναμιν κελεύων πλείονα προσλαβεῖν·
καὶ ὃς λαβὼν πλείονα δύναμιν ἄλλα τε θαυμαστὰ ἐπεδείξατο, καὶ
χιλίας καὶ ἑπτακοσίας καὶ πεντήκοντα μυριάδας δραχμῶν ἑλὼν τῷ
Σεβήρῳ ἔπεμψεν. νικήσαντος δὲ τοῦ Σεβήρου πρὸς αὐτὸν ἐλθὼν 3
οὔτ' ἀπεκρύψατό τι οὔτ' ᾔτησεν ὡς ἀληθῶς βουλευτὴς γενέσθαι,
καὶ τιμαῖς μεγάλαις πλούτῳ τε ἂν αὐξηθῆναι δυνηθεὶς οὐκ ἠθέ-
λησεν, ἀλλ' ἐν ἀγρῷ τινί, σμικρόν τι ἐφ' ἡμέραν λαμβάνων παρ'
αὐτοῦ, διεβίω.

"ὅτι διὰ τὸ τοὺς Καληδονίους μὴ ἐμμεῖναι ταῖς ὑποσχέσεσι, 4
τοῖς Μαιάταις παρεσκευασμένους ἀμῦναι, καὶ διὰ τὸ τότε τὸν Σε- a.C. 197
βῆρον τῷ παρθικῷ πολέμῳ προσκεῖσθαι, κατηναγκάσθη ὁ Λοῦπος cf. Hübner in [illegible]
μεγάλων χρημάτων τὴν εἰρήνην παρὰ τῶν Μαιατῶν ἐκπρίασθαι, XII 67
αἰχμαλώτους τινὰς ὀλίγους ἀπολαβών. U p. 414.

ὁ δὲ δὴ ἀγὼν τῷ τε Σεβήρῳ καὶ τῷ Ἀλβίνῳ πρὸς τῷ Λουγ- 6
δούνῳ τοιόσδε ἐγένετο. πεντεκαίδεκα μὲν μυριάδες στρατιωτῶν
συναμφοτέροις ὑπῆρχον, παρῆσαν δὲ καὶ ἀμφότεροι τῷ πολέμῳ

6 1 3 σὺν ἀμφοτέροις*

ἅτε περὶ ψυχῆς θέοντες, καίτοι τοῦ Σεβήρου μηδεμιᾷ πω μάχῃ
2 ἑτέρᾳ παραγεγονότος. ἦν δὲ ὁ μὲν Ἀλβῖνος καὶ τῷ γένει καὶ τῇ
παιδείᾳ προήκων, ἅτερος δὲ τὰ πολέμια κρείττων καὶ δεινὸς στρα-
τηγῆσαι. συνέβη δὲ τὸν Ἀλβῖνον προτέρᾳ μάχῃ νικῆσαι τὸν Λοῦπον
τῶν τοῦ Σεβήρου στρατηγῶν ὄντα, καὶ πολλοὺς τῶν σὺν αὐτῷ
διαφθεῖραι στρατιωτῶν. ὁ δὲ τότε ἀγὼν πολλὰς ἔσχεν ἰδέας τε καὶ
3 τροπάς. τὸ μὲν γὰρ λαιὸν κέρας τοῦ Ἀλβίνου ἡττήθη τε καὶ κατέ-
φυγεν ἐς τὸ ἔρυμα, καὶ οἱ Σεβήρειοι στρατιῶται διώκοντες συνεσ-
έπεσον, καὶ ἐκείνους τε ἐφόνευον καὶ τὰς σκηνὰς διήρπαζον. ἐν δὲ
τούτῳ οἱ περὶ τὸ δεξιὸν κέρας τεταγμένοι τοῦ Ἀλβίνου στρατιῶται,
κρυπτὰς τάφρους ἔχοντες πρὸ αὐτῶν καὶ ὀρύγματα γῇ ἐπιπολαίως
κεκαλυμμένα, μέχρι μὲν ἐκείνων προῄεσαν καὶ ἠκόντιζον πόρρωθεν,
περαιτέρω δὲ οὐ προεχώρουν, ἀλλὰ καὶ ὡς δεδιότες ἀνέστρεφον,
4 ὅπως ἐπισπάσωνται τοὺς ἐναντίους ἐς δίωξιν· ὃ δή ποτε καὶ ἐγέ-
νετο. ἀγανακτήσαντες γὰρ οἱ Σεβήρειοι πρὸς τὴν δι' ὀλίγου αὐτῶν
ἐξόρμησιν, καὶ καταφρονήσαντες αὖ πρὸς τὴν ἐκ βραχέος ἀνάφευξιν,
ὥρμησαν ἐπ' αὐτοὺς ὡς καὶ παντὸς τοῦ μεταιχμίου σφῶν ἐμβατοῦ
ὄντος, καὶ γενόμενοι κατὰ τὰς τάφρους παθήματι δεινῷ συνηνέχθη-
5 σαν· οἵ τε γὰρ πρωτοστάται καταρραγέντων εὐθὺς τῶν ἐξ ἐπιπολῆς
ἐπικειμένων ἐς τὰ ὀρύγματα ἐνέπεσον, καὶ οἱ ἐπιτεταγμένοι σφίσιν
ἐμπίπτοντες αὐτοῖς ἐσφάλλοντο καὶ κατέπιπτον, καὶ οἱ λοιποὶ δεί-
σαντες ἀνεχώρουν ὀπίσω καὶ ἅτε ἐξαίφνης ἀναστρεφόμενοι αὐτοί
τε ἔπταιον καὶ τοὺς οὐραγοῦντας ἀνέτρεπον, ὥστε καὶ ἐς φάραγγα
6 αὐτοὺς βαθεῖαν συνῶσαι. ἐγένετο δὴ τούτων τε καὶ τῶν ἐς τὰς
τάφρους πεσόντων φόνος πολὺς ἀναμὶξ ἵππων τε καὶ ἀνδρῶν. ἐν
δὲ τῷ θορύβῳ τούτῳ καὶ οἱ μεταξὺ τῆς τε φάραγγος καὶ τῶν
τάφρων βαλλόμενοί τε καὶ τοξευόμενοι διεφθείροντο. ἰδὼν δὲ ταῦτα
ὁ Σεβῆρος ἐπεκούρησε μὲν αὐτοῖς μετὰ τῶν δορυφόρων, τοσοῦτον
δὲ ἐδέησεν αὐτοὺς ὠφελῆσαι ὥστε καὶ τοὺς δορυφόρους ὀλίγου δεῖν
7 προσαπώλεσε καὶ αὐτὸς τὸν ἵππον ἀποβαλὼν ἐκινδύνευσεν. ὡς δὲ
εἶδε φεύγοντας πάντας τοὺς ἑαυτοῦ, τὴν χλαμύδα περιρρηξάμενος
καὶ τὸ ξίφος σπασάμενος ἐς τοὺς φεύγοντας ἐσεπήδησεν, ὅπως ἢ
αἰσχυνθέντες ὑποστρέψωσιν ἢ καὶ αὐτὸς αὐτοῖς συναπόληται. ἔστη-
σαν οὖν τινὲς τοιοῦτον αὐτὸν ἰδόντες καὶ ὑπέστρεψαν, κἂν τούτῳ
τοῖς ἐφεπομένοις σφίσιν ἐναντίοι ἐξαίφνης φανέντες συχνοὺς μὲν
ἐκείνων ὡς καὶ Ἀλβινείους κατέκοψαν, πάντας δὲ τοὺς ἐπιδιώκοντάς
8 σφας ἔτρεψαν. καὶ αὐτοῖς ἐνταῦθα ἱππεῖς ἐκ πλαγίου οἱ μετὰ τοῦ
Λαίτου ἐπιγενόμενοι τὸ λοιπὸν ἐξειργάσαντο. ὁ γὰρ Λαῖτος, ἕως

2 2 τὰ om     7 5 γοῦν*

μὲν ἀγχωμάλως ἠγωνίζοντο, περιεωρᾶτο ἐλπίζων ἐκείνους τε ἀμφοτέρους ἀπολεῖσθαι καὶ ἑαυτῷ τὸ κράτος τοὺς λοιποὺς στρατιώτας ἑκατέρωθεν δώσειν, ἐπεὶ δὲ εἶδεν ἐπικρατέστερα τὰ τοῦ Σεβήρου γενόμενα, προσεπελάβετο τοῦ ἔργου.

ὁ μὲν δὴ Σεβῆρος οὕτως ἐνίκησεν, ἡ δὲ δύναμις ἡ τῶν Ῥω- 7
μαίων ἰσχυρῶς ἔπταισεν ἅτε ἀμφοτέρωθεν ἀναριθμήτων πεσόντων.
καὶ πολλοὶ καὶ τῶν κρατησάντων ὠλοφύραντο τὸ πάθος· τό τε
γὰρ πεδίον πᾶν μεστὸν νεκρῶν καὶ ἀνδρῶν καὶ ἵππων ἑωρᾶτο, καὶ 2
αὐτῶν οἱ μὲν τραύμασι πολλοῖς κατακεκομμένοι καὶ οἷα κρεουργηθέντες
ἔκειντο, οἱ δὲ καὶ ἄτρωτοι ἐσεσώρευντο, τά τε ὅπλα ἔρριπτο,
καὶ τὸ αἷμα πολὺ ἐρρύη, ὥστε καὶ ἐς τοὺς ποταμοὺς ἐσπεσεῖν.
ὁ δ' Ἀλβῖνος καταφυγὼν ἐς οἰκίαν τινὰ πρὸς τῷ Ῥοδανῷ κειμένην, 3
ἐπειδὴ πάντα τὰ πέριξ φρουρούμενα ᾔσθετο, ἑαυτὸν ἀπέκτεινεν·
λέγω γὰρ οὐχ ὅσα ὁ Σεβῆρος ἔγραψεν, ἀλλ' ὅσα ἀληθῶς ἐγένετο.
ἰδὼν δ' οὖν τὸ σῶμα αὐτοῦ, καὶ πολλὰ μὲν τοῖς ὀφθαλμοῖς πολλὰ
δὲ τῇ γλώττῃ χαρισάμενος, τὸ μὲν ἄλλο ῥιφῆναι ἐκέλευσε, τὴν δὲ
κεφαλὴν ἐς τὴν Ῥώμην πέμψας ἀνεσταύρωσεν. ἐφ' οἷς δῆλος γενό- 4
μενος ὡς οὐδὲν εἴη αὐτοκράτορος ἀγαθοῦ, ἔτι μᾶλλον ἡμᾶς τε καὶ
τὸν δῆμον, οἷς ἐπέστειλεν, ἐξεφόβησεν· ἅτε γὰρ παντὸς ἤδη τοῦ
ὡπλισμένου κεκρατηκὼς ἐξέχεεν ἐς τοὺς ἀνόπλους πᾶν ὅσον ὀργῆς
ἐς αὐτοὺς ἐκ τοῦ πρὶν χρόνου ἠθροίκει. μάλιστα δ' ἡμᾶς ἐξέπληξεν
ὅτι τοῦ τε Μάρκου υἱὸν καὶ τοῦ Κομμόδου ἀδελφὸν ἑαυτὸν ἔλεγε,
τῷ τε Κομμόδῳ, ὃν πρώην ὕβριζεν, ἡρωικὰς ἐδίδου τιμάς. πρός 8
τε τὴν βουλὴν λόγον ἀναγινώσκων, καὶ τὴν μὲν Σύλλου καὶ Μα-
ρίου καὶ Αὐγούστου αὐστηρίαν τε καὶ ὠμότητα ὡς ἀσφαλεστέραν
ἐπαινῶν, τὴν δὲ Πομπηίου καὶ Καίσαρος ἐπιείκειαν ὡς ὀλεθρίαν
αὐτοῖς ἐκείνοις γεγενημένην κακίζων, ἀπολογίαν τινὰ ὑπὲρ τοῦ Κομ-
μόδου ἐπήγαγε, καθαπτόμενος τῆς βουλῆς ὡς οὐ δικαίως ἐκεῖνον 2
ἀτιμαζούσης, εἴγε καὶ αὐτῆς οἱ πλείους αἴσχιον βιοτεύουσιν. "εἰ γὰρ
τοῦτο ἦν" ἔφη "δεινόν, ὅτι αὐτοχειρίᾳ ἐφόνευεν ἐκεῖνος θηρία,
ἀλλὰ καὶ ὑμῶν τις χθὲς καὶ πρώην ἐν Ὠστίοις, ὑπατευκὼς γέρων,
δημοσίᾳ μετὰ πόρνης πάρδαλιν μιμουμένης ἔπαιζεν. ἀλλ' ἐμονο- 3
μάχει νὴ Δία. ὑμῶν δ' οὐδεὶς μονομαχεῖ; πῶς οὖν καὶ ἐπὶ τί
τάς τε ἀσπίδας αὐτοῦ καὶ τὰ κράνη τὰ χρυσᾶ ἐκεῖνα ἐπρίαντο
τινές;" ἀναγνοὺς δὲ ταῦτα τριάκοντα μὲν καὶ πέντε ἀπέλυσε τῶν
τὰ Ἀλβίνου φρονῆσαι αἰτιαθέντων, καὶ ὡς μηδεμίαν τὸ παράπαν 4
αἰτίαν ἐσχηκόσιν αὐτοῖς προσεφέρετο (ἦσαν δὲ ἐν τοῖς πρώτοις
τῆς γερουσίας), ἐννέα δὲ καὶ εἴκοσιν ἀνδρῶν θάνατον κατεψηφί-

7 2 2 οἷα] οἱ* 4 2 εἴη] οἱ ἐνείη? an ἔχοι?

σατο, ἐν οἷς ἄρα καὶ Σουλπικιανὸς ὁ τοῦ Περτίνακος πενθερὸς
ἠριθμεῖτο.

9 μετὰ δὲ ταῦτα ὁ Σεβῆρος ἐκστρατεύει κατὰ τῶν Πάρθων·
a.C. 199 ἀσχολουμένου γὰρ αὐτοῦ ἐς τοὺς ἐμφυλίους πολέμους ἐκεῖνοι ἀδείας
λαβόμενοι τήν τε Μεσοποταμίαν εἷλον, στρατεύσαντες παμπληθεί,
καὶ μικροῦ καὶ τὴν Νίσιβιν ἐχειρώσαντο, εἰ μὴ Λαῖτος αὐτήν, πο-
2 λιορκούμενος ἐν αὐτῇ, διεσώσατο. καὶ ἀπ' αὐτῆς ἐπὶ πλεῖον ἐδοξάσθη,
ὢν καὶ ἐς τὰ ἄλλα καὶ τὰ ἴδια καὶ τὰ δημόσια καὶ ἐν τοῖς πολέμοις
καὶ ἐν τῇ εἰρήνῃ ἄριστος. ἀφικόμενος δὲ ἐς τὴν προειρημένην Νί-
σιβιν ὁ Σεβῆρος ἐνέτυχε συῒ μεγίστῳ· ἱππέα τε γὰρ ἔκτεινεν ὁρμή-
σας καταβαλεῖν αὐτὸν πειρώμενον καὶ τῇ ἑαυτοῦ ἰσχύι θαρρήσαντα,
μόλις δὲ ὑπὸ πολλῶν στρατιωτῶν συλληφθείς τε καὶ σφαγείς, τριά-
κοντα τὸν ἀριθμὸν ὄντων τῶν συλλαβόντων αὐτόν, τῷ Σεβήρῳ
3 προσεκομίσθη. τῶν δὲ Πάρθων οὐ μεινάντων αὐτὸν ἀλλ' οἴκαδε
ἀναχωρησάντων (ἦρχε δὲ αὐτῶν Ὀολόγαισος, οὗ ἀδελφὸς συνῆν
τῷ Σεβήρῳ) πλοῖα κατασκευάσας ὁ Σεβῆρος ἐν τῷ Εὐφράτῃ, καὶ
πλέων τε καὶ βαδίζων παρ' αὐτόν, διὰ τὸ εἶναι λίαν ὀξύτατα καὶ
ταχινὰ καὶ εὖ ἐσταλμένα, τῆς παρὰ τὸν Εὐφράτην ὕλης καὶ τῶν
ἐκεῖσε χωρίων ἄφθονον διδούσης αὐτῷ τὴν τῶν ξύλων χορηγίαν,
τὰ κατασκευασθέντα, ταχέως τήν τε Σελεύκειαν καὶ τὴν Βαβυλῶνα
4 ἐκλειφθείσας ἔλαβεν. καὶ μετὰ τοῦτο καὶ τὴν Κτησιφῶντα ἑλὼν
ἐκείνην τε πᾶσαν διαρπάσαι τοῖς στρατιώταις ἐφῆκε, φόνον τε
ἀνθρώπων πλεῖστον εἰργάσατο, καὶ ζῶντας ἐς δέκα μυριάδας εἷλεν.
οὐ μέντοι οὔτε τὸν Ὀολόγαισον ἐπεδίωξεν οὔτε τὴν Κτησιφῶντα
κατέσχεν, ἀλλ' ὥσπερ ἐπὶ τοῦτο μόνον ἐστρατευκὼς ἵν' αὐτὴν διαρ-
πάσῃ ᾤχετο, τὸ μὲν ἀγνωσίᾳ τῶν χωρίων τὸ δ' ἀπορίᾳ τῶν ἐπι-
5 τηδείων. ὑπέστρεψε δὲ καθ' ἑτέραν ὁδόν· τά τε γὰρ ξύλα καὶ ὁ
χόρτος ὁ ἐν τῇ προτέρᾳ εὑρεθεὶς κατανάλωτο· καὶ οἱ μὲν αὐτῷ
τῶν στρατιωτῶν πεζῇ ἄνω παρὰ τὸν Τίγριν, οἱ δὲ καὶ ἐπὶ πλοίων
ἀνεπορεύθησαν.

6 ὅτι τῷ Ὀολογαίσῳ τῷ Σανατρούκου παιδὶ ἀντιπαραταξαμένῳ
τοῖς περὶ Σεβῆρον, καὶ διακωχὴν πρὶν συμμῖξαί σφισιν αἰτήσαντι
καὶ λαβόντι, πρέσβεις τε ἀπέστειλε καὶ μέρος τι τῆς Ἀρμενίας ἐπὶ
τῇ εἰρήνῃ ἐχαρίσατο. U p. 414.

4 5 ὅτι πάντες μὲν ἐπλάττοντο τὰ τοῦ Σεβήρου φρονεῖν, ἠλέγχοντο δὲ ἐν ταῖς αἰφνιδίοις ἀπαγγελίαις, μὴ δυνάμενοι ἐπικαλύπτειν τὸ ἐν τῇ ψυχῇ κεκρυμμένον· τῆς γὰρ ἀκοῆς ἐξαπίνης αὐτοῖς προσπιπτούσης ἀφυλάκτως ἐκινοῦντο, καὶ ὑπὸ τούτων καὶ ὑπὸ τῆς ὄψεως καὶ τῶν ἠθῶν ὡς ἕκαστοι κατάδηλοι ἐγένοντο. τινὲς δὲ καὶ ἐκ τοῦ σφόδρα προσποιεῖσθαι πλέον ἐγινώσκοντο. M p. 227 · 9 3 1 οἴκοι 5 1 ξύλα] σιτία? 2 προτεραίᾳ
6 3 τε] τε πρὸς αὐτὸν apud U

Digitized by Google

καὶ μετὰ τοῦτο ὁ Σεβῆρος τὴν Μεσοποταμίαν διαβὰς ἐπειράθη 10
μὲν καὶ τῶν Ἄτρων οὐ πόρρω ὄντων, ἐπέρανε δ' οὐδέν, ἀλλὰ καὶ
τὰ μηχανήματα κατεκαύθη καὶ στρατιῶται συχνοὶ μὲν ἀπώλοντο
πάμπολλοι δὲ καὶ ἐτρώθησαν. ἀπανέστη οὖν ἀπ' αὐτῶν καὶ ἀνέ-
ζευξεν ὁ Σεβῆρος. ἐν ᾧ δὲ ἐπολέμει, δύο ἄνδρας τῶν ἐπιφανῶν 2
ἀπέκτεινεν, Ἰούλιον Κρίσπον χιλιαρχοῦντα τῶν δορυφόρων, ὅτι
ἀχθεσθεὶς τῇ τοῦ πολέμου κακώσει ἔπος τι τοῦ Μάρωνος τοῦ
ποιητοῦ παρεφθέγξατο, ἐν ᾧ ἐνῆν στρατιώτης τις τῶν μετὰ Τούρ-
νου τῷ Αἰνείᾳ ἀντιπολεμούντων ὀδυρόμενος καὶ λέγων ὅτι, ἵνα δὴ
τὴν Λαβινίαν ὁ Τοῦρνος ἀγάγηται, ἡμεῖς ἐν οὐδενὶ λόγῳ παρα-
πολλύμεθα. καὶ τὸν κατηγορήσαντα αὐτοῦ στρατιώτην Οὐαλέριον
χιλίαρχον ἀντ' αὐτοῦ ὁ Σεβῆρος ἀπέδειξεν. ἀπέκτεινε δὲ καὶ τὸν 3
Λαῖτον, ὅτι τε φρόνημα εἶχε καὶ ὅτι ὑπὸ τῶν στρατιωτῶν ἠγαπᾶτο
καὶ οὐκ ἄλλως στρατεύσειν ἔλεγον, εἰ μὴ Λαῖτος αὐτῶν ἡγοῖτο.
καὶ τούτου τὸν φόνον, διότι οὐκ εἶχε φανερὰν αἰτίαν εἰ μὴ τὸν
φθόνον, τοῖς στρατιώταις προσῆπτεν ὥσπερ παρὰ γνώμην αὐτοῦ
τοῦτο τετολμηκόσιν.

αὐτὸς δὲ πάλιν ἐπὶ τὰ Ἄτρα ἐστράτευσε, πολλὰ μὲν σιτία πα- 11
ρασκευάσας πολλὰ δὲ καὶ μηχανήματα ἑτοιμασάμενος· καὶ γὰρ
δεινὸν ἐποιεῖτο, τῶν ἄλλων κεχειρωμένων, μόνην ταύτην ἐν μέσῳ
κειμένην ἀντέχειν. καὶ ἀπώλεσε καὶ χρήματα πλεῖστα καὶ τὰ μηχα-
νήματα πάντα, πλὴν τῶν Πρισκείων, ὡς ἀνωτέρω ἔφην, καὶ σὺν
τούτοις καὶ στρατιώτας πολλούς. συχνοὶ μὲν γὰρ καὶ ἐν ταῖς προ- 2
νομαῖς ἐφθείροντο, τῆς βαρβαρικῆς ἵππου (φημὶ δὴ τῆς τῶν Ἀρα-
βίων) πανταχοῦ ὀξέως τε καὶ σφοδρῶς ἐπιπιπτούσης αὐτοῖς· καὶ
οἱ Ἀτρηνοὶ ἐξικνοῦντο μὲν καὶ ταῖς τοξείαις ἐπὶ μακρότατον (καὶ
γὰρ ἐκ μηχανῶν βέλη τινὰ ἐξέκρουον, ὥστε πολλοὺς καὶ τῶν τοῦ 3
Σεβήρου ὑπασπιστῶν βαλεῖν, σύνδυό τε αὐτῶν βέλη ὑπὸ τὴν αὐτὴν
ῥύμην ἱέντων, πολλαῖς τε ἅμα χερσὶ καὶ πολλοῖς τοξεύμασι βαλλόν-
των), πλεῖον δὲ ὅμως ἐκάκωσαν αὐτοὺς ἐπειδὴ τῷ τείχει προσέμιξαν,
καὶ πολὺ πλεῖστον ἐπεὶ καὶ διέρρηξάν τι αὐτοῦ· τά τε γὰρ ἄλλα 4
καὶ τὸ νάφθα τὸ ἀσφαλτῶδες ἐκεῖνο, περὶ οὗ ἄνω μοι γέγραπται,
ἀφιέντες σφίσι τά τε μηχανήματα καὶ τοὺς στρατιώτας πάντας,
οἷς ἐπεβλήθη, κατέπρησαν. καὶ αὐτὰ ὁ Σεβῆρος ἀπὸ βήματος ὑψη-
λοῦ ἐθεώρει. πεσόντος δέ πῃ τοῦ ἔξωθεν περιβόλου, καὶ τῶν 12
στρατιωτῶν πάντων προθυμουμένων ἐς τὸν λοιπὸν ἐσβιάσασθαι,
ἐκώλυσεν αὐτοὺς ὁ Σεβῆρος τοῦτο πρᾶξαι, τορῶς πανταχόθεν τὸ
ἀνακλητικὸν σημανθῆναι κελεύσας· δόξα τε γὰρ τοῦ χωρίου ὡς 2

10 2 2 Ἰ. μὲν Κ.?*   3 Virgil. Aen. 11 371   11 3 4 πλεῖστον*
4 1 πλεῖον*   12 1 3 τοῦτο] τοῦ

Digitized by Google

καὶ πάμπολλα τά τε ἄλλα χρήματα καὶ τὰ τοῦ ἡλίου ἀναθήματα
ἔχοντος μεγάλη ἦν, καὶ προσεδόκησεν ἐθελοντὶ τοὺς Ἀραβίους, ἵνα
3 μὴ βίᾳ ἁλόντες ἀνδραποδισθῶσιν, ὁμολογήσειν. μίαν γοῦν διαλιπὼν
ἡμέραν, ὡς οὐδεὶς αὐτῷ ἐπεκηρυκεύσατο, προσέταξεν αὖθις τοῖς
στρατιώταις τῷ τείχει, καίπερ ἀνοικοδομηθέντι νυκτός, προσβαλεῖν·
καὶ αὐτῷ τῶν μὲν Εὐρωπαίων τῶν δυναμένων τι κατεργάσασθαι
οὐδεὶς ἔτ᾽ ὀργῇ ὑπήκουσεν, ἕτεροι δὲ δὴ Σύροι ἀναγκασθέντες ἀντ᾽
4 αὐτῶν προσβαλεῖν κακῶς ἐφθάρησαν. καὶ οὕτω θεὸς ὁ ῥυσάμενος
τὴν πόλιν τοὺς μὲν στρατιώτας δυνηθέντας ἂν ἐς αὐτὴν ἐσελθεῖν
διὰ τοῦ Σεβήρου ἀνεκάλεσεν, καὶ τὸν Σεβῆρον αὖ βουληθέντα αὐ-
5 τὴν μετὰ τοῦτο λαβεῖν διὰ τῶν στρατιωτῶν ἐκώλυσεν. οὕτω γοῦν
ὁ Σεβῆρος ἐπὶ τούτοις διηπορήθη ὥστε τινὸς τῶν ἀμφ᾽ αὐτὸν ὑπο-
σχομένου αὐτῷ, ἐάν γε αὐτῷ δώσῃ πεντακοσίους καὶ πεντήκοντα
μόνους τῶν Εὐρωπαίων στρατιωτῶν, ἄνευ τοῦ τῶν ἄλλων κινδύ-
νου τὴν πόλιν ἐξαιρήσειν, ἔφη πάντων ἀκουόντων "καὶ πόθεν το-
σούτους στρατιώτας ἔχω;" πρὸς τὴν ἀπείθειαν τῶν στρατιωτῶν
τοῦτο εἰπών.

13 εἴκοσι δ᾽ οὖν ἡμέρας τῇ πολιορκίᾳ προσεδρεύσας ἐς τὴν Πα-
a.C. 200 λαιστίνην μετὰ τοῦτο ἦλθε καὶ τῷ Πομπηίῳ ἐνήγισεν. καὶ ἐς τὴν
Αἴγυπτον "τὴν ἄνω διὰ τοῦ Νείλου ἀνέπλευσε, καὶ εἶδε πᾶσαν
αὐτὴν πλὴν βραχέων· οὐ γὰρ ἠδυνήθη πρὸς τὰ τῆς Αἰθιοπίας
2 μεθόρια διὰ λοιμώδη νόσον ἐσβαλεῖν." καὶ ἐπολυπραγμόνησε πάντα
καὶ τὰ πάνυ κεκρυμμένα· ἦν γὰρ οἷος μηδὲν μήτε ἀνθρώπινον μήτε
θεῖον ἀδιερεύνητον καταλιπεῖν· κἀκ τούτου τά τε βιβλία πάντα τὰ
ἀπόρρητόν τι ἔχοντα, ὅσα καὶ εὑρεῖν ἠδυνήθη, ἐκ πάντων ὡς εἰπεῖν
τῶν ἀδύτων ἀνεῖλε καὶ τῷ τοῦ Ἀλεξάνδρου μνημείῳ συνέκλεισεν,
ἵνα μηδεὶς ἔτι μήτε τὸ τούτου σῶμα ἴδῃ μήτε τὰ ἐν ἐκείνοις γε-
γραμμένα ἀναλέξηται.

3 καὶ ὁ μὲν ταῦτ᾽ ἐποίει· ἐγὼ δὲ τὰ μὲν ἄλλα τῆς Αἰγύπτου
οὐδὲν δέομαι γράφειν, ὃ δὲ δὴ περὶ τοῦ Νείλου πολλαχόθεν ἀκρι-
βώσας ἔχω, δικαιότατός εἰμι εἰπεῖν. ἐκ γὰρ τοῦ Ἄτλαντος τοῦ ὄρους
σαφῶς ἀναδίδοται. τοῦτο δ᾽ ἔστιν ἐν τῇ Μακεννίτιδι παρ᾽ αὐτῷ
τῷ ὠκεανῷ πρὸς ἑσπέραν, καὶ ὑπεραίρει πολὺ πλεῖστον ἁπάντων
ὀρῶν, ὅθεν οἱ ποιηταὶ κίονα αὐτὸν τοῦ οὐρανοῦ εἶναι ἔφησαν· οὔτε
γὰρ ἀνέβη ποτέ τις ἐπ᾽ ἄκρον αὐτοῦ οὔτε τὰς κορυφὰς αὐτοῦ εἶδεν.
4 χιόνος τε οὖν ἀεὶ διὰ ταῦτα πεπλήρωται, καὶ τὸ ὕδωρ ἐξ αὐτῆς
παμπληθὲς ὑπὸ τὸ θέρος ἀφίησιν. ἔστι μὲν γὰρ καὶ ἄλλως ἑλώδη
πάντα τὰ περὶ τοὺς πρόποδας αὐτοῦ, τότε δὲ ἐπὶ μᾶλλον πληθύ-

5 3 δφ?* 13 1 3 " " V p. 737

Digitized by Google

νεται, καὶ ἐκ τούτου τὸν Νεῖλον τὴν ὡραίαν ἐπαύξει· πηγὴ γάρ
ἐστιν αὐτοῦ, ὥσπερ που καὶ τοῖς κροκοδείλοις καὶ ἄλλοις ἑκατέρωθι
ὁμοίως γεννωμένοις τεκμηριοῦται. καὶ θαυμάσῃ μηδεὶς εἰ τὰ τοῖς 5
ἀρχαίοις Ἕλλησιν ἄγνωστα ἐξευρήκαμεν· πλησίον γὰρ οἱ Μακεννῖται
τῇ Μαυριτανίᾳ τῇ κάτω οἰκοῦσι, καὶ πολλοὶ τῶν ἐκεῖ στρατευομέ-
νων καὶ πρὸς τὸν Ἄτλαντα ἀφικνοῦνται.

τοῦτο μὲν οὕτως ἔχει, Πλαυτιανὸς δὲ παραδυναστεύων τῷ 14
Σεουήρῳ καὶ τὴν ἐπαρχικὴν ἔχων ἐξουσίαν, πλεῖστά τε ἀνθρώπων
καὶ μέγιστα δυνηθείς, πολλοὺς μὲν τῶν ἐλλογίμων ἀνδρῶν καὶ ὁμο-
τίμων αὑτῷ ἐθανάτωσε, "καὶ ἀποκτείνας τὸν Αἰμίλιον τὸν Σατορ- 2
νῖνον τῶν ἄλλων τῶν μετ' αὐτὸν ἀρξάντων τοῦ δορυφορικοῦ πάντα
τὰ ἰσχυρότατα περιέκοψεν, ὅπως μηδεὶς φρόνημα ἀπὸ τῆς προστα-
σίας αὐτῶν σχὼν τῇ τῶν σωματοφυλάκων ἡγεμονίᾳ ἐφεδρεύσῃ·
ἤδη γὰρ οὐχ ὅπως μόνος ἀλλὰ καὶ ἀθάνατος ἔπαρχος εἶναι ἤθελεν."
πάντων δὲ ἐπεθύμει καὶ πάντα παρὰ πάντων ᾔτει καὶ πάντα ἐλάμ- 3
βανεν, καὶ οὔτε ἔθνος οὐδὲν οὔτε πόλιν οὐδεμίαν ἀσύλητον εἴασεν,
ἀλλὰ πάντα δὴ πανταχόθεν ἥρπαζε καὶ συνεφόρει· καὶ πολὺ πλείονα
αὐτῷ ἢ τῷ Σεουήρῳ πάντες ἔπεμπον. καὶ τέλος ἵππους ἡλίῳ τιγρο-
ειδεῖς ἐκ τῶν ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ νήσων, πέμψας ἑκατοντάρχους,
ἐξέκλεψεν· ἓν γὰρ τοῦτο εἰπὼν πᾶσαν αὐτοῦ τὴν περιεργίαν καὶ 4
τὴν ἀπληστίαν δεδηλωκέναι νομίζω. καίτοι καὶ ἐκεῖνο προσθήσω,
ὅτι ἀνθρώπους ἑκατὸν εὐγενεῖς Ῥωμαίους ἐξέτεμεν οἴκοι, καὶ τοῦτο
οὐδεὶς ἡμῶν πρὸ τοῦ τελευτῆσαι αὐτὸν ᾔσθετο· πᾶσαν γὰρ ἐκ τού-
του τήν τε παρανομίαν αὐτοῦ καὶ ἐξουσίαν ἄν τις καταμάθοι.
ἐξέτεμε δὲ οὐ παῖδας μόνον οὐδὲ μειράκια, ἀλλὰ καὶ ἄνδρας, καὶ 5
ἔστιν οὓς αὐτῶν καὶ γυναῖκας ἔχοντας, ὅπως ἡ Πλαυτίλλα ἡ θυ-
γάτηρ αὐτοῦ, ἣν ὁ Ἀντωνῖνος μετὰ ταῦτ' ἔγημε, δι' εὐνούχων τήν
τε ἄλλην θεραπείαν "καὶ τὰ περὶ τὴν μουσικὴν τήν τε λοιπὴν θεω-
ρίαν" ἔχῃ. καὶ εἴδομεν τοὺς αὐτοὺς ἀνθρώπους εὐνούχους τε καὶ
ἄνδρας, καὶ πατέρας καὶ ἀόρχεις, ἐκτομίας τε καὶ πωγωνίας. ἀφ' 6
οὗ δὴ οὐκ ἀπεικότως ὑπὲρ πάντας τὸν Πλαυτιανόν, καὶ ἐς αὐτοὺς
τοὺς αὐτοκράτορας, ἰσχῦσαι ἄν τις εἴποι. τά τε γὰρ ἄλλα καὶ ἀν-
δριάντες αὐτοῦ εἰκόνες οὐ μόνον πολλῷ πλείους ἀλλὰ καὶ μείζους
τῶν ἐκείνων, οὐδ' ἐν ταῖς ἄλλαις πόλεσι μόνον ἀλλὰ καὶ ἐν αὐτῇ 7
τῇ Ῥώμῃ, οὐδ' ὑπ' ἰδιωτῶν ἢ δήμων μόνον ἀλλὰ καὶ ὑπ' αὐτῆς
τῆς γερουσίας ἀνετίθεντο· τήν τε τύχην αὐτοῦ πάντες οἱ στρατιῶ-
ται καὶ οἱ βουλευταὶ ὤμνυσαν, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτοῦ δη-
μοσίᾳ ἅπαντες ηὔχοντο. αἴτιος δὲ τούτων αὐτὸς ὁ Σεουῆρος μάλιστ' 15

5 2 ἐξειρήκαμεν  14 2 1 " " V p. 737  τὸν ante Σ. om*  3 3 καὶ πολὺ] πολλὰ γὰρ καὶ πολὺ V  4 ἡλίῳ ἱεροὺς τιγριδοειδεῖς?  5 4 " " V p. 738

Digitized by Google

ἐγένετο, ὃς οὕτως αὐτῷ ὑπεῖκεν ἐς πάντα ὥστ᾽ ἐκεῖνον μὲν ἐν αὐτο-
κράτορος αὐτὸν δὲ ἐν ἐπάρχου μοίρᾳ εἶναι· τά τε γὰρ ἄλλα καὶ
ὁ μὲν πάνθ᾽ ἁπλῶς ὅσα ὁ Σεουῆρος καὶ ἔλεγε καὶ ἔπραττεν ᾔδει,
τῶν δὲ δὴ τοῦ Πλαυτιανοῦ ἀπορρήτων οὐδεὶς οὐδὲν ἠπίστατο.
2 τήν τε θυγατέρα αὐτοῦ τῷ υἱεῖ ἐμνήστευσε, πολλὰς καὶ σεμνὰς
κόρας παραλιπών, ὕπατόν τε ἀπέδειξε, καὶ διάδοχον τῆς αὐταρχίας
ὡς εἰπεῖν ἔχειν ηὔξατο, καί ποτε καὶ ἐπέστειλε "φιλῶ τὸν ἄνδρα
3 ὥστε καὶ εὔχεσθαι προαποθανεῖν αὐτοῦ." ἠνείχετό γέ τοι ὁρῶν καὶ
ἐν ταῖς καταλύσεσιν αὐτὸν ταῖς κρείττοσιν αὐλιζόμενον καὶ τὰ ἐπι-
τήδεια καὶ ἀμείνω καὶ ἀφθονώτερα αὐτοῦ ἔχοντα, ὥστε δεηθείς
ποτε ἐν τῇ Νικαίᾳ τῇ πατρίδι μου κεστρέως, οὓς ἡ λίμνη μεγάλους
4 ἐκτρέφει, παρ᾽ ἐκείνου μετεπέμψατο. ὅθεν εἰ καί τι ἐπὶ μειώσει
τῆς δυναστείας αὐτοῦ ποιεῖν ἐδόκει, ἀλλ᾽ ἔκ γε τῶν ἐναντίων, πολὺ
καὶ μειζόνων καὶ λαμπροτέρων ὄντων, καὶ ἐκεῖνο πᾶν ἀπημβλύνετο.
ποτὲ γοῦν τοῦ Σεουήρου ἐν Τυάνοις νοσήσαντα αὐτὸν ἐπισκεπτομέ-
νου, οἱ στρατιῶται οἱ περὶ τὸν Πλαυτιανὸν ὄντες οὐκ εἴασαν τοὺς
5 ἀκολουθοῦντας αὐτῷ συνεσελθεῖν· ὅ τε τὰς δίκας τὰς ἐπ᾽ αὐτοῦ
λεγομένας διατάττων κελευσθείς ποτε ὑπὸ τοῦ Σεουήρου ἀργοῦντος
δίκην τινὰ ἐσαγαγεῖν οὐκ ἠθέλησεν, εἰπὼν ὅτι οὐ δύναμαι τοῦτο
6 ποιῆσαι, ἂν μὴ Πλαυτιανός μοι κελεύσῃ. καὶ οὕτω καὶ ἐς τὰ ἄλλα
πάντα ὁ Πλαυτιανὸς αὐτοῦ κατεκράτει ὥστε καὶ τὴν Ἰουλίαν τὴν
Αὐγοῦσταν "πολλὰ καὶ δεινὰ ἐργάσασθαι· πάνυ γὰρ αὐτῇ ἤχθετο,
καὶ σφόδρα αὐτὴν" πρὸς τὸν Σεουῆρον ἀεὶ διέβαλλεν, ἐξετάσεις τε
7 κατ᾽ αὐτῆς καὶ βασάνους κατ᾽ εὐγενῶν γυναικῶν ποιούμενος. καὶ
ἡ μὲν αὐτή τε φιλοσοφεῖν διὰ ταῦτ᾽ ἤρξατο καὶ σοφισταῖς συνη-
μέρευεν· ὁ δὲ δὴ Πλαυτιανὸς ἀσωτότατός τε ἀνθρώπων γενόμενος,
ὥστε καὶ εὐωχεῖσθαι ἅμα καὶ ἐμεῖν, ἐπεὶ μηδὲν ὑπὸ τοῦ πλήθους
τῶν τε σιτίων καὶ τοῦ οἴνου πέψαι ἐδύνατο, καὶ τοῖς μειρακίοις
ταῖς τε κόραις οὐκ ἄνευ διαβολῆς χρώμενος, τῇ γυναικὶ τῇ ἑαυτοῦ
οὔθ᾽ ὁρᾶν τινὰ οὔθ᾽ ὁρᾶσθαι τὸ παράπαν, οὐδ᾽ ὑπὸ τοῦ Σεουήρου
ἢ τῆς Ἰουλίας, "μήτι γε ἑτέρων τινῶν," ἐπέτρεπεν.

16 ἐγένετο δ᾽ ἐν ταύταις ταῖς ἡμέραις καὶ ἀγὼν γυναικῶν, ἐν ᾧ
τοσοῦτο πλῆθος ἀθλητῶν ἀναγκασθὲν συνῆλθεν ὥσθ᾽ ἡμᾶς θαυ-
μάσαι πῶς αὐτοὺς τὸ στάδιον ἐχώρησεν. καὶ γυναῖκες δὲ ἐν τῷ
ἀγῶνι τούτῳ ἀγριώτατα ἀλώμεναι ἐμαχέσαντο, ὥστε καὶ ἐς τὰς
ἄλλας πάνυ ἐπιφανεῖς ἀπ᾽ αὐτῶν ἀποσκώπτεσθαι· καὶ διὰ τοῦτ᾽
2 ἐκωλύθη μηκέτι μηδεμίαν γυναῖκα μηδαμόθεν μονομαχεῖν. εἰκόνων
δέ ποτε πολλῶν τῷ Πλαυτιανῷ γενομένων (ἄξιον γὰρ ἀφηγήσασθαι

15 4 2 τε    6 3 " " V p. 738    7 7 οὔθ᾽*    8 " " V p. 741
16 1 1 γυναικὸς

τὸ πραχθέν) δυσχεράνας πρὸς τὸ πλῆθος ὁ Σεβῆρός τινας αὐτῶν
συνεχώνευσεν, καὶ ἐς τὰς πόλεις ἐκ τούτου θροῦς διῆλθεν ὡς καὶ
καθῄρηται καὶ διέφθαρται, καί τινες συνέτριψαν εἰκόνας αὐτοῦ,
ἐφ' ᾧ ὕστερον ἐκολάσθησαν· ἐν οἷς ἦν καὶ ὁ τῆς Σαρδοῦς ἄρχων
Ῥάκιος Κώνστας, ἀνὴρ ἐλλογιμώτατος. ἀλλ' οὗ χάριν τούτων ἐμνή- 3
σθην, ὅτι τοῦ ῥήτορος, ὃς τοῦ Κώνσταντος κατηγόρησε, καὶ τοῦτο
πρὸς τοῖς ἄλλοις εἰπόντος, θᾶσσον ἂν τὸν οὐρανὸν συμπεσεῖν ἢ
Πλαυτιανόν τι ὑπὸ Σεβήρου παθεῖν, καὶ μᾶλλον ἂν εἰκότως ἐκείνῳ
τῷ λόγῳ, εἴπερ τι τοιοῦτον ἐλέχθη, πιστεῦσαί τινα, — ταῦτα τοῦ 4
ῥήτορος εἰπόντος, καὶ προσέτι καὶ αὐτοῦ τοῦ Σεβήρου νεανιευσα-
μένου πρὸς ἡμᾶς τοὺς συνδικάζοντας αὐτῷ καὶ φήσαντος ὅτι ἀδύ-
νατόν ἐστι κακόν τι ὑπ' ἐμοῦ Πλαυτιανῷ γενέσθαι, οὐδ' ἀπηνιαύ-
τισεν αὐτὸς οὗτος ὁ Πλαυτιανός, ἀλλ' ἐσφάγη καὶ αἱ εἰκόνες αὐτοῦ
σύμπασαι διεφθάρησαν. πρὸ δὲ τούτου κῆτος ὑπερμέγεθες ἐς τὸν 5
τοῦ Αὐγούστου ἐπίκλην λιμένα ἐξώκειλε καὶ ἑάλω, καὶ τὸ μίμημα
αὐτοῦ ἐς τὸ κυνηγέσιον ἐσαχθὲν πεντήκοντα ἄρκτους εἴσω ἐδέξατο.
ὤφθη δὲ ἐπὶ πολλὰς ἡμέρας καὶ κομήτης ἀστὴρ ἐν τῇ Ῥώμῃ, καὶ
οὐκ αἴσιόν τι σημαίνειν ἐλέγετο.

ὁ δὲ Σεβῆρος ἐπὶ τῆς δεκετηρίδος τῆς ἀρχῆς αὐτοῦ ἐδωρήσατο ΟϚ
τῷ τε ὁμίλῳ παντὶ τῷ σιτοδοτουμένῳ καὶ τοῖς στρατιώταις τοῖς a.C.
δορυφόροις ἰσαρίθμους τοῖς τῆς ἡγεμονίας ἔτεσι χρυσοῦς. ἐφ' ᾧ 202
καὶ μέγιστον ἠγάλλετο· καὶ γὰρ ὡς ἀληθῶς οὐδεὶς πώποτε τοσοῦτον
αὐτοῖς ἀθρόοις ἐδεδώκει· ἐς γὰρ τὴν δωρεὰν ταύτην πεντακισχίλιαι
μυριάδες δραχμῶν ἀναλώθησαν. ἐποιήθησαν δὲ καὶ οἱ γάμοι τοῦ 2
τε Ἀντωνίνου τοῦ υἱοῦ τοῦ Σεβήρου καὶ τῆς Πλαυτίλλης τῆς τοῦ
Πλαυτιανοῦ θυγατρός· καὶ τοσαῦτα τῇ θυγατρὶ οὗτος ἔδωκεν ὅσα
καὶ πεντήκοντα γυναιξὶ βασιλίσσαις ἤρκεσεν ἄν. εἴδομεν δὲ αὐτὰ
διὰ τῆς ἀγορᾶς ἐς τὸ παλάτιον κομιζόμενα. εἱστιάθημεν δὲ ἐν τῷ
ἅμα, τὰ μὲν βασιλικῶς τὰ δὲ βαρβαρικῶς, ἑφθά τε πάντα ὅσα
νομίζεται, καὶ ὠμὰ ζῶντά τε ἄλλα λαβόντες. ἐγένοντο δὲ καὶ θέαι 3
τηνικαῦτα παντοδαπαὶ ἐπί τε τῇ ἀνακομιδῇ τοῦ Σεβήρου καὶ ἐπὶ
τῇ δεκετηρίδι αὐτοῦ καὶ ἐπὶ ταῖς νίκαις. ἐν ταύταις ταῖς θέαις καὶ
σύες τοῦ Πλαυτιανοῦ ἑξήκοντα ἄγριοι ἐπάλαισαν ἀλλήλοις ὑπὸ
παραγγέλματος, ἐσφάγησαν δὲ ἄλλα τε πολλὰ θηρία καὶ ἐλέφας
καὶ κοροκότας· τὸ δὲ ζῷον τοῦτο Ἰνδικόν τ' ἐστί, καὶ τότε πρῶτον 4
ἐς τὴν Ῥώμην, ὅσα καὶ ἐγὼ ἐπίσταμαι, ἐσήχθη, ἔχει δὲ χροιὰν μὲν
λεαίνης τίγριδι μεμιγμένης, εἶδος δὲ ἐκείνων τε καὶ κυνὸς καὶ ἀλώ-
πεκος ἰδίως πως συγκεκραμένον. τῆς δὲ δεξαμενῆς ἁπάσης τῆς ἐν

16 4 4 ἀπενιαύτισεν* 1 2 3 δέδωκεν* 4 ἤρκεσαν* 4 3 με-
μιγμένην?*

Digitized by Google

τῷ θεάτρῳ ἐς πλοίου σχῆμα κατασκευασθείσης ὡς τετρακόσια θη-
5 ρία καὶ δέξασθαι καὶ ἀφεῖναι ἀθρόως, ἔπειτα ἐξαίφνης διαλυθείσης ἀνέθορον· ἄρκτοι λέαιναι πάνθηρες λέοντες στρουθοὶ ὄναγροι βίσωνες (βοῶν τι τοῦτο εἶδος, βαρβαρικὸν τὸ γένος καὶ τὴν ὄψιν), ὥστε ἑπτακόσια τὰ πάντα καὶ θηρία καὶ βοτὰ ὁμοῦ καὶ διαθέοντα ὀφθῆναι καὶ σφαγῆναι· πρὸς γὰρ τὸν τῆς ἑορτῆς ἀριθμὸν ἑπταημέρου γεγονυίας καὶ ἐκεῖνα ἑπτάκις ἑκατὸν ἐγένετο.

2 ἐν δὲ τῷ Βεσβίῳ τῷ ὄρει πῦρ τε πλεῖστον ἐξέλαμψε καὶ μυκήματα μέγιστα ἐγένετο, ὥστε καὶ ἐς τὴν Καπύην, ἐν ᾗ, ὁσάκις ἂν ἐν τῇ Ἰταλίᾳ οἰκῶ, διάγω, ἐξακουσθῆναι· τοῦτο γὰρ τὸ χωρίον ἐξειλόμην τῶν τε ἄλλων ἕνεκα καὶ τῆς ἡσυχίας ὅτι μάλιστα, ἵνα
2 σχολὴν ἀπὸ τῶν ἀστικῶν πραγμάτων ἄγων ταῦτα γράψαιμι. ἐδόκει οὖν ἐκ τῶν περὶ τὸ Βέσβιον γεγονότων νεοχμόν τι ἔσεσθαι, καὶ μέντοι καὶ τὰ περὶ τὸν Πλαυτιανὸν αὐτίκα ἐνεοχμώθη. μέγας μὲν γὰρ ὡς ἀληθῶς ὁ Πλαυτιανὸς καὶ ὑπέρμεγας ἐγεγόνει, ὥστε καὶ τὸν δῆμον ἐν τῷ ἱπποδρόμῳ ποτὲ εἰπεῖν "τί τρέμεις, τί δὲ ὠχριᾷς;
3 πλεῖον τῶν τριῶν κέκτησαι." ἔλεγον δὲ τοῦτο οὐ πρὸς ἐκεῖνον δῆθεν ἀλλ' ἄλλως, τρεῖς δὲ ἐνέφαινον τόν τε Σεβῆρον καὶ τοὺς υἱέας αὐτοῦ Ἀντωνῖνον καὶ Γέταν· ὠχρία δὲ ἀεὶ καὶ ἔτρεμεν ἔκ τε τῆς διαίτης ἣν διῃτᾶτο, καὶ ἐκ τῶν ἐλπίδων ὧν ἤλπιζε, καὶ ἐκ τῶν φόβων ὧν ἐφοβεῖτο. οὐ μὴν ἀλλὰ τέως μὲν ἤτοι ἐλάνθανε τὰ πλείω
4 αὐτὸν τὸν Σεβῆρον, ἢ καὶ εἰδὼς αὐτὰ οὐ προσεποιεῖτο· ἐπεὶ δὲ ὁ ἀδελφὸς αὐτῷ Γέτας τελευτῶν πάντα τὰ κατὰ τὸν Πλαυτιανόν, ἅτε καὶ μισῶν αὐτὸν καὶ μηκέτι φοβούμενος, ἐμήνυσεν, ἐκεῖνόν τε χαλκοῦν ἐν τῇ ἀγορᾷ ἔστησε καὶ τοῦτον οὐκέθ' ὁμοίως ἐτίμησεν,
5 ἀλλὰ καὶ τῆς δυνάμεως τῆς πολλῆς παρέλυσεν. ὅθεν ὁ Πλαυτιανὸς
a. C. 203 δεινῶς ἠγανάκτησε, καὶ τὸν Ἀντωνῖνον καὶ πρότερον διὰ τὴν θυγατέρα ἀτιμαζομένην ὑπ' αὐτοῦ μισῶν τότε δὴ καὶ μάλιστα ἤχθαιρεν ὡς αἴτιον τῆς ἀτιμίας ἐκείνης αὐτῷ, καὶ τραχύτερον αὐτῷ προσ-
3 φέρεσθαι ἤρξατο. δι' οὖν ταῦτα ὁ Ἀντωνῖνος τῇ τε γυναικὶ ἀναιδεστάτῃ οὔσῃ ἀχθόμενος, καὶ αὐτῷ ἐκείνῳ, ὅτι τε πάντα ὅσα ἔπραττεν ἐπολυπραγμόνει καὶ ὅτι ἐπὶ πᾶσιν αὐτῷ ἐπετίμα, βαρυ-
2 νόμενος, ἀπαλλαγῆναι τρόπον τινὰ αὐτοῦ ἐπεθύμησεν. κἀκ τούτου δι' Εὐόδου τοῦ τροφέως αὐτοῦ Σατορνῖνόν τινα ἑκατόνταρχον καὶ ἄλλους δύο ὁμοίους αὐτῷ ἔπεισεν ἐσαγγεῖλαί οἱ ὅτι δέκα τισὶν ἑκατοντάρχοις, ἐξ ὧν καὶ αὐτοὶ ἦσαν, ὁ Πλαυτιανὸς κεκελευκὼς εἴη
3 καὶ τὸν Σεβῆρον καὶ τὸν Ἀντωνῖνον κτεῖναι· καί τινα καὶ γραφὴν ὡς καὶ ἐπ' αὐτῷ τούτῳ εἰληφότες ἀνεγίνωσκον. ἐξαίφνης δὲ ταῦτ' ἐν ταῖς θεωρίαις ταῖς ἐν τῷ παλατίῳ ἥρωσι πεποιημέναις, τῆς τε θέας ἀφειμένης καὶ δείπνου μέλλοντος ἔσεσθαι,

Digitized by Google

ἐγίνετο. ὅθεν οὐχ ἥκιστα τὸ σκευώρημα κατεφάνη· οὐ γὰρ ἂν οὔτε 4
ἑκατοντάρχοις δέκα ἅμα οὔτε ἐν τῇ Ῥώμῃ οὔτε ἐν τῷ παλατίῳ
οὔτε ἐκείνῃ τῇ ἡμέρᾳ οὔτε ἐκείνῃ τῇ ὥρᾳ τοιοῦτό τι ὁ Πλαυτιανός,
ἄλλως τε καὶ γράψας, προστάξαι ἐτετολμήκει. ὅμως πιστὸν αὐτὸ
ἔδοξε τῷ Σεουήρῳ, ὅτι τῇ νυκτὶ τῇ προτεραίᾳ τὸν Ἀλβῖνον ὄναρ
ζῶντά τε καὶ ἐπιβουλεύοντα αὐτῷ ἑωράκει. σπουδῇ οὖν, ὡς καὶ 4
ἐπ' ἄλλο τι, τὸν Πλαυτιανὸν μετεπέμψατο. καὶ ὃς οὕτως ἠπείχθη,
μᾶλλον δὲ οὕτως αὐτῷ τὸν ὄλεθρον τὸ δαιμόνιον προεμήνυσεν,
ὥστε τὰς ἡμιόνους τὰς ἀγούσας αὐτὸν πεσεῖν ἐν τῷ παλατίῳ. καὶ 2
αὐτὸν ἐσιόντα οἱ θυρωροὶ οἱ ἐπὶ τῶν κιγκλίδων μόνον ἐσεδέξαντο,
οὐδ' εἴασαν οὐδένα αὐτῷ συνεσελθεῖν· ὅπερ ποτὲ αὐτὸς περὶ τὸν
Σεουῆρον ἐν τοῖς Τυάνοις ἐπεποιήκει. καὶ ὑπώπτευσε μέν τι ἐκ τού-
του, περίφοβός τε ἐγένετο, οὐ μέντοι ἔχων ὅπως ἀναχωρήσει ἐσῆλ-
θεν. καὶ ὁ Σεουῆρος καὶ πάνυ πράως αὐτῷ διελέχθη· "τί τε τοῦτο 3
ἔδοξέ σοι ποιῆσαι, καὶ διὰ τί ἀποκτεῖναι ἡμᾶς ἠθέλησας;" λόγον
τε αὐτῷ ἔδωκε, καὶ παρεσκευάζετο ὡς καὶ ἀπολογουμένου αὐτοῦ
ἀκούσων. ἀλλ' ὁ Ἀντωνῖνος ἀρνούμενόν τε αὐτὸν καὶ θαυμάζοντα
τὰ λεγόμενα τό τε ξίφος προσπηδήσας ἀφείλετο καὶ πὺξ ἔπαισεν·
καὶ ἠθέλησε μὲν καὶ αὐτοχειρίᾳ σφάξαι εἰπόντα ὅτι ἔφθης με κτεῖναι, 4
ὑπὸ δὲ τοῦ πατρὸς κωλυθεὶς ἐκέλευσέ τινι τῶν ὑπηρετῶν φονεῦσαι
αὐτόν. καὶ αὐτόν τις τῶν τριχῶν τοῦ γενείου ἐκτίλας τῇ τε Ἰουλίᾳ
καὶ τῇ Πλαυτίλλῃ προσήνεγκεν ὁμοῦ οὔσαις, πρὶν καὶ ὁτιοῦν αὐτὰς
ἀκοῦσαι, καὶ εἶπεν "ἴδετε τὸν Πλαυτιανὸν ὑμῶν," κὰκ τούτου τῇ
μὲν πένθος τῇ δὲ χαρὰν ἐνέβαλεν. ἐκεῖνος μὲν καὶ μέγιστον τῶν 5
ἐπ' ἐμοῦ ἀνθρώπων δυνηθείς, ὥστε καὶ αὐτῶν τῶν αὐτοκρατόρων
μᾶλλον πάντας καὶ φοβεῖσθαι αὐτὸν καὶ τρέμειν, καὶ ἐπὶ μειζόνων
ἐλπίδων αἰωρηθείς, οὕτως ὑπό τε τοῦ γαμβροῦ ἐσφάγη καὶ ἄνωθεν
ἀπὸ τοῦ παλατίου ἐς ὁδόν τινα ἐρρίφη· μετὰ ταῦτα γὰρ καὶ ἀνῃ-
ρέθη καὶ ἐτάφη τοῦ Σεουήρου κελεύσαντος.

καὶ ὁ Σεουῆρος μετὰ ταῦτα συνήγαγε μὲν τὴν βουλὴν ἐς τὸ 5
συνέδριον, οὐ μέντοι καὶ κατηγόρησέ τι τοῦ Πλαυτιανοῦ, ἀλλ' αὐ-
τὸς μὲν τήν τε φύσιν τὴν ἀνθρωπίνην ὡς μὴ δυναμένην τιμὰς
ὑπερόγκους στέγειν ὠδύρατο, καὶ ἑαυτὸν ᾐτιάσατο ὅτι οὕτως αὐτὸν 2
ἐτετιμήκει καὶ ἐπεφιλήκει, τοὺς δὲ δὴ μηνύσαντάς οἱ τὴν ἐπιβουλὴν
αὐτοῦ πάνθ' ἡμῖν εἰπεῖν ἐκέλευσεν, ἐκβαλὼν ἐκ τοῦ συνεδρίου τοὺς
οὐκ ἀναγκαίους, ἵν' ἐκ τοῦ μηδὲν διηγήσασθαι ἐνδείξηται ὅτι οὐ
πάνυ σφίσι πιστεύει. πολλοὶ μὲν οὖν διὰ τὸν Πλαυτιανὸν ἐκινδύ- 3
νευσαν, καί τινες καὶ ἀπέθανον· ὁ μέντοι Κοίρανος ἔλεγε μὲν οἷά

4 1 ἐγίνοντο* 4 5 2 ἐμὲ αὐτ.] ἀνακτόρων 5 2 2 βουλὴν

που πλεῖστοι πρὸς τοὺς ἐντυχοῦντας πλάττονται ἀεί, ἑταῖρός τε
αὐτοῦ εἶναι, καὶ ὁσάκις γε ἐκεῖνοι πρὸ τῶν ἄλλων τῶν ἀσπαζομένων
αὐτὸν ἐσεκαλοῦντο, συνεφείπετό σφισι μέχρι τῆς κιγκλίδος τῆς τε-
4 λευταίας, οὐ μέντοι καὶ ἐκοινώνει τῶν ἀπορρήτων, ἀλλ' ἐν τῷ με-
ταιχμίῳ διατρίβων Πλαυτιανῷ μὲν ἔξω τοῖς δ' ἔξω ἔνδον ἐδόκει
εἶναι· καὶ διὰ τοῦτο πλέον ὑπωπτεύθη, καὶ διότι ὄναρ ποτὲ τοῦ
Πλαυτιανοῦ ἰδόντος ἰχθῦς τινὰς ἐκ τοῦ Τιβέριδος ἀναβάντας πρὸς
τοὺς πόδας αὐτοῦ προσπεπτωκέναι, ἔφη καὶ τῆς γῆς αὐτὸν καὶ
5 τοῦ ὕδατος ἄρξειν. ἀλλ' οὗτος ἐπὶ ἑπτὰ ἔτη ἐν νήσῳ περιορισθεὶς
κατήχθη τε μετὰ τοῦτο, καὶ ἐς τὴν γερουσίαν πρῶτος Αἰγυπτίων
κατελέχθη, καὶ ὑπάτευσε μηδεμίαν ἄλλην ἀρχὴν προάρξας, ὥσπερ
6 ὁ Πομπήιος. Καικίλιος μέντοι Ἀγρικόλας ἐν τοῖς πρώτοις τῶν κο-
λάκων αὐτοῦ ἀριθμούμενος, πονηρίᾳ δὲ καὶ ἀσελγείᾳ οὐδενὸς ἀν-
θρώπων δεύτερος ὤν, κατεψηφίσθη ἀποθανεῖν, ἐλθὼν δὲ οἴκαδε
καὶ οἴνου ἐψυγμένου ἐμπλησθεὶς τό τε ποτήριον, ὃ πέντε μυριάδων
6 ἐώνητο, συνέτριψε, καὶ ἐπαπέθανεν αὐτῷ τὰς φλέβας τεμών. Σα-
τορνῖνος μέντοι καὶ Εὔοδος τότε μὲν ἐτιμήθησαν, ὕστερον δὲ ὑπὸ
τοῦ Ἀντωνίνου ἐθανατώθησαν. ψηφιζομένων δὲ ἡμῶν ἐπαίνους
τινὰς τῷ Εὐόδῳ ὁ Σεβῆρος ἐκώλυσεν εἰπὼν "αἰσχρόν ἐστιν ἐν δόγ-
2 ματι ὑμῶν τοιοῦτό τι περὶ καισαρείου ἀνδρὸς γεγράφθαι." καὶ οὐ
τοῦτον μόνον ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς βασιλικοὺς ἀπε-
λευθέρους οὐθ' ὑβρίζειν οὐθ' ὑπεραυχεῖν εἴα· ἐφ' ᾧ καὶ καλῶς
ἤκουεν. ἡ δ' αὖ γερουσία ὑμνοῦσά ποτε αὐτὸν καὶ αὐτὸ τοῦτο ἄν-
τικρυς ἐξεβόησεν, ὅτι πάντες πάντα καλῶς ποιοῦσιν, ἐπειδὴ σὺ κα-
3 λῶς ἄρχεις. Πλαυτίλλα δὲ καὶ Πλαύτιος, οἱ τοῦ Πλαυτιανοῦ υἱεῖς,
τότε μὲν ἐσώθησαν ἐς Λιπάραν ἐξορισθέντες, ἐπὶ δ' Ἀντωνίνου
ἀπώλοντο· καίτοι καὶ ζῶντες ἔν τε δέει καὶ ταλαιπωρίᾳ πολλῇ τῶν
τε ἀναγκαίων οὐκ εὐπορίᾳ διῆγον.

7 οἱ δὲ τοῦ Σεβήρου παῖδες, ὅ τε Ἀντωνῖνος καὶ ὁ Γέτας, ὡς
παιδαγωγοῦ τινὸς ἀπηλλαγμένοι τοῦ Πλαυτιανοῦ, οὐδὲν ὅ τι οὐκ
ἐποίουν. καὶ γὰρ καὶ γυναῖκας ᾔσχυνον καὶ παῖδας ὕβριζον χρήματά
τε παρεξέλεγον, καὶ τοὺς μονομάχους τούς τε ἁρματηλάτας προσ-
ηταιρίζοντο, τῇ μὲν ὁμοιότητι τῶν ἔργων ζηλοῦντες ἀλλήλους, τῷ
2 δὲ ἀντισπουδάζειν στασιάζοντες· εἰ γάρ τῳ ὁ ἕτερος προσέθετο,
πάντως ἂν τὸ ἐναντίον ὁ ἕτερος ἀνθῃρεῖτο. καὶ τέλος συμβαλόντες
ἐν γυμνασίᾳ τινὶ ἵππων σμικρῶν ζεύγεσιν ἐς μεγάλην φιλονεικίαν
ἤλασαν, ὥστε τὸν Ἀντωνῖνον πεσεῖν τε ἐκ τοῦ δικύκλου καὶ τὸ
3 σκέλος κατεάξαι. "παθόντος δὲ αὐτοῦ τοῦτο καὶ νοσηλευομένου ὁ

4 3 διά τε τ.?* 5 1 οὗτος μὲν ἐπὶ?* 6 3 1 ὁ τοῦ Π. υἱός?*
7 3 1 " " V p. 741

Digitized by Google

*Σεβῆρος οὐδὲν τῶν ἀναγκαίων τὸ παράπαν ἐξέλιπεν, ἀλλὰ καὶ ἐδί-
καζε καὶ πάντα τὰ τῇ ἀρχῇ προσήκοντα διῴκει. καὶ ἐπὶ μὲν τούτῳ
καὶ ἐπῃνεῖτο, τὸν δὲ δὴ Κύντιλλον τὸν Πλαυτιανὸν φονεύσας αἰτίαν
ἔσχεν. ἀπέκτεινε δὲ καὶ ἄλλους πολλοὺς βουλευτάς, τοὺς μὲν κατη-
γορηθέντας παρ' αὐτῷ καὶ ἀπολογησαμένους καὶ ἁλόντας.*

*ὅτι ὁ Κύντιλλος" εὐγενέστατός τε ὢν καὶ ἐπὶ πλεῖστον ἐν τοῖς* 4
*πρώτοις τῆς βουλῆς ἀριθμηθείς, ἔν τε ταῖς τοῦ γήρως πύλαις ἑστὼς
καὶ ἐν ἀγρῷ ζῶν, καὶ οὔτε πολυπραγμονῶν τι οὔτε παραπράσσων,
ὅμως καὶ ἐσυκοφαντήθη καὶ ἀνηρέθη. μέλλων δ' οὖν τελευτήσειν
ᾔτησε τὰ ἐντάφια, ἃ πρὸ πολλοῦ παρεσκεύαστο· καὶ ἐπειδὴ διερ-
ρυηκότα αὐτὰ ὑπὸ τοῦ χρόνου εἶδε, "τί τοῦτο;" ἔφη, "ἐβραδύνα-
μεν." καὶ μετὰ τοῦτο λιβανωτοῦ θυμιάσας εἶπεν ὅτι τὴν αὐτὴν* 5
*εὔχομαι ἣν καὶ Σερβιανὸς ἐφ' Ἀδριανῷ ηὔξατο." ἐκεῖνός τε οὖν
ἀπώλετο, καὶ μονομάχων ἀγῶνες ἐγένοντο ἐν οἷς τά τε ἄλλα καὶ
τίγριδες δέκα ἅμα ἐσφάγησαν.*

*καὶ μετὰ τοῦτο τὰ περὶ τὸν Ἀπρωνιανὸν ἐτελέσθη, παράδοξα* 8
*ὄντα καὶ ἀκουσθῆναι. ἔσχε γὰρ αἰτίαν ὅτι ποτὲ ἡ τήθη αὐτοῦ
ὄναρ ἑωρακέναι ἐλέχθη ὡς βασιλεύσει, καὶ ὅτι μαγείᾳ τινὶ ἐπὶ
τούτῳ χρήσασθαι ἔδοξεν· καὶ ἀπὼν ἐν τῇ ἀρχῇ τῆς Ἀσίας κατε-
ψηφίσθη. ἀναγινωσκομένων οὖν ἡμῖν τῶν βασάνων τῶν περὶ αὐτοῦ* 2
*γενομένων, καὶ τοῦτ' ἐνεγέγραπτο ὅτι ὁ μέν τις ἐπύθετο τῶν ἐπὶ
τῆς ἐξετάσεως τεταγμένων τίς τε διηγήσατο τὸ ὄναρ τίς τε ἤκου-
σεν, ὁ δέ τις ἔφη τά τε ἄλλα καὶ ὅτι φαλακρόν τινα βουλευτὴν
παρακύψαντα εἶδον. ἀκούσαντες δὲ τοῦθ' ἡμεῖς ἐν δεινῷ πάθει* 3
*ἐγενόμεθα· ὄνομα μὲν γὰρ οὐδενὸς οὔτε ἐκεῖνος εἰρήκει οὔτε ὁ Σε-
βῆρος ἐγεγράφει, ὑπὸ δὲ ἐκπλήξεως καὶ οἱ μηδεπώποτε ἐς τοῦ
Ἀπρωνιανοῦ πεφοιτηκότες, οὐχ ὅτι οἱ φαλακροὶ ἀλλὰ καὶ οἱ ἄλλως
ἀναφαλαντίαι, ἔδεισαν. καὶ ἐθάρσει μὲν οὐδεὶς πλὴν τῶν πάνυ* 4
*κομώντων, πάντες δὲ τοὺς τοιούτους περιεβλέπομεν, καὶ ἦν θροῦς
"ὁ δεῖνα ἐστίν· οὔκ, ἀλλ' ὁ δεῖνα." οὐκ ἀποκρύψομαι τὸ τότε μοι
συμβάν, εἰ καὶ γελοιότατον ἐστίν· τοσαύτῃ γὰρ ἀμηχανίᾳ συνεσχέ-
θην ὥστε καὶ τῆς κεφαλῆς τὰς τρίχας τῇ χειρὶ ζητῆσαι. τὸ δ'* 5
*αὐτὸ τοῦτο καὶ ἕτεροι πολλοὶ ἔπαθον. καὶ πάνυ γε ἐς τοὺς φαλα-
κροειδεῖς ἀφεωρῶμεν ὡς καὶ ἐς ἐκείνους τὸν ἑαυτῶν κίνδυνον ἀπω-
θούμενοι, πρὶν δὴ προσανεγνώσθη ὅτι ἄρα περιπόρφυρον ἱμάτιον
ὁ φαλακρὸς ἐκεῖνος εἶχεν. λεχθέντος γὰρ τούτου πρὸς Βαίβιον* 6
*Μαρκελλῖνον ἀπείδομεν· ἠγορανομήκει γὰρ τότε καὶ ἦν φαλακρό-
τατος. ἀναστὰς γοῦν καὶ παρελθὼν ἐς μέσον "πάντως που γνω-*

3 3 *μὲν* om*

Digitized by Google

7 ϱιεῖ με, εἰ ἑώϱακεν" ἔφη. ἐπαινεσάντων δὲ τοῦτο ἡμῶν ἐσήχϑη
τε ὁ μηνυτής, καὶ χϱόνον πολὺν ἐσιώπησε παϱεστῶτος αὐτοῦ, πεϱι-
βλέπων ὃν γνωϱίσειεν, τέλος δὲ νεύματί τινος ἀφανεῖ πϱοσσχὼν ἔφη
9 τοῦτον ἐκεῖνον εἶναι. καὶ οὕτω καὶ ὁ Μαϱκελλῖνος ἑάλω φαλακϱοῦ
παϱακύψεως, ἐξήχϑη τε ἐκ τοῦ βουλευτηϱίου ὀλοφυϱόμενος. καὶ
διὰ τῆς ἀγοϱᾶς διεξελϑὼν οὐκέτ' ἠϑέλησε πεϱαιτέϱω πϱοχωϱῆσαι,
ἀλλ' αὐτοῦ ταύτῃ τὰ τέκνα τέσσαϱα ὄντα ἀσπασάμενος λόγον εἶπε
πεϱιπαϑέστατον· ἔφη γὰϱ "ἕν με τοῦτο λυπεῖ, τέκνα, ὅτι ὑμᾶς
2 ζῶντας καταλείπω." καὶ ὁ μὲν οὕτω τὴν κεφαλὴν ἀπετμήϑη, πϱὶν
τὸν Σεβῆϱον μαϑεῖν ὅτι καὶ κατεψηφίσϑη· τῷ μέντοι τὴν αἰτίαν
αὐτῷ τοῦ ϑανάτου παϱασχόντι Πολληνίῳ Σεβεννῷ δίκη τιμωϱὸς
ἀπήντησεν. ἐκδοϑεὶς γὰϱ ὑπὸ Σαβίνου τοῖς Νωϱικοῖς, ὧν ἄϱ-
3 ξας οὐδὲν χϱηστὸν ἐπεποιήκει, αἴσχιστα πέπονϑεν· καὶ εἴδομεν
αὐτὸν ἐπί τε τῆς γῆς κείμενον καὶ ἱκετεύοντα οἰκτϱῶς, καὶ εἰ
μὴ διὰ τὸν Ἄσπακα τὸν ϑεῖον αὐτοῦ φειδοῦς ἔτυχε, κἂν ἀπο-
λώλει οἰκτϱῶς. ὁ δὲ δὴ Ἄσπαξ οὗτος δεινότατος ἀνϑϱώπων ἐγέ-
νετο σκῶψαι, στωμύλασϑαι, πάντων ἀνϑϱώπων καταφϱονῆσαι, φί-
4 λοις χαϱίσασϑαι, ἐχϑϱὸν ἀμύνασϑαι. καὶ αὐτοῦ πολλὰ μὲν καὶ
πϱὸς ἄλλους πικϱὰ καὶ ἀστεῖα ἀποφϑέγματα φέϱεται, πολλὰ δὲ
καὶ πϱὸς τὸν Σεβῆϱον αὐτόν. ὧν ἓν καὶ τοῦτο· ἐς γὰϱ τὸ γένος
αὐτοῦ τὸ τοῦ Μάϱκου ἐγγϱαφέντος "συγχαίϱω σοι, Καῖσαϱ" ἔφη,
"ὅτι πατέϱα εὗϱες," ὡς καὶ ἀπάτοϱος αὐτοῦ τὸν ἔμπϱοσϑεν χϱόνον
ὑπ' ἀφανείας ὄντος.

10 ἐν δὲ τῷ καιϱῷ τούτῳ Βούλλας τις Ἰταλὸς ἀνήϱ, λῃστήϱιον
a.C. 204 συστησάμενος ὡς ἑξακοσίων ἀνδϱῶν, ἐλῄζετο τὴν Ἰταλίαν ἐπὶ ἔτη
δύο, παϱόντων μὲν τῶν αὐτοκϱατόϱων, παϱόντων δὲ καὶ στϱατιω-
2 τῶν τοσούτων. ἐδιώκετο μὲν γὰϱ ὑπὸ συχνῶν ἀνδϱῶν, φιλοτίμως
αὐτὸν ἀνιχνεύοντος τοῦ Σεβήϱου, οὔτε δὲ ἑωϱᾶτο ὁϱώμενος οὔτε
εὑϱίσκετο εὑϱισκόμενος οὔτε κατελαμβάνετο ἁλισκόμενος· τοσαύτῃ
καὶ μεγαλοδωϱίᾳ καὶ σοφίᾳ ἐχϱῆτο. ἐμάνϑανε γὰϱ πάντας τούς τε
ἀπὸ τῆς Ῥώμης ἐξιόντας καὶ τοὺς ἐς τὸ Βϱεντέσιον καταίϱοντας,
3 τίνες τε καὶ πόσοι εἰσί, καὶ τίνα καὶ ὁπόσα κέκτηνται· καὶ τοὺς
μὲν ἄλλους, μέϱος ἄν τι παϱ' αὐτῶν ὧν εἶχον λαβών, εὐϑὺς ἠφίει,
τοὺς δὲ δὴ τεχνίτας κατεῖχε χϱόνον τινά, καὶ χϱησάμενός σφισιν,
εἶτα καὶ πϱοσδούς τι ἀπέλυεν. καί ποτε δύο λῃστῶν αὐτοῦ ἁλόν-
των καὶ ϑηϱίοις δοϑήσεσϑαι μελλόντων πϱός τε τὸν δεσμοφύλακα
κατῆλϑε, πλασάμενος ὡς τῆς πατϱίδος ἄϱχων καὶ τινῶν ἀνϑϱώπων
4 τοιούτων δεόμενος, καὶ οὕτω λαβὼν αὐτοὺς ἔσωσεν. τῷ δὲ ἑκατον-

10 1 2 στησάμενος   3 6 ἦλϑε?*

Digitized by Google

τάρχῳ τῷ τὸ λῃστρικὸν καθαιροῦντι προσελθὼν κατηγόρησεν αὐτὸς ἑαυτοῦ ὥσπερ ἄλλος τις ὤν, καὶ ὑπέσχετο, εἰ ἀκολουθήσει αὐτῷ, παραδοῦναί οἱ τὸν λῃστήν· καὶ οὕτως αὐτὸν ἔς κοῖλόν τινα καὶ λοχμώδη τόπον ὡς καὶ ἐπὶ τὸν Φήλικα ἀγαγών (καὶ τοῦτο γὰρ αὐτὸς προσωνόμαστο) ῥᾳδίως συνέλαβεν. καὶ μετὰ τοῦτ' ἐπὶ τὸ βῆμα 5
ἀνέβη σχῆμα ἄρχοντος ἀναλαβών, καὶ καλέσας τὸν ἑκατόνταρχον τῆς κεφαλῆς ἀπεξύρησε, καὶ ἔφη "ἄγγελλε τοῖς δεσπόταις σου ὅτι τοὺς δούλους ὑμῶν τρέφετε, ἵνα μὴ λῃστεύωσιν." πλείστους γὰρ ὅσους τῶν καισαρείων εἶχε, τοὺς μὲν ὀλιγομίσθους τοὺς δὲ καὶ παντελῶς ἀμίσθους γεγονότας. ταῦτ' οὖν ὁ Σεβῆρος ὡς ἕκαστα 6
πυνθανόμενος, ὀργῇ ἔφερεν ὅτι ἐν τῇ Βρεττανίᾳ τοὺς πολέμους δι' ἑτέρων νικῶν αὐτὸς ἐν τῇ Ἰταλίᾳ λῃστοῦ ἥττων ἐγένετο· καὶ τέλος χιλίαρχον ἐκ τῶν σωματοφυλάκων σὺν ἱππεῦσι πολλοῖς ἔστειλε, δεινὰ ἄττα αὐτῷ ἀπειλήσας, ἂν μὴ ζῶντα αὐτὸν ἀγάγῃ. καὶ οὕτως ἐκεῖνος μαθὼν ὅτι γυναικί τινι ἀλλοτρίᾳ χρῷτο, ἀνέπεισεν αὐτὴν διὰ τοῦ ἀνδρὸς ἐπ' ἀδείας συνάρασθαι σφίσιν. κἀκ τούτου ἐν 7
σπηλαίῳ τινὶ καθεύδων συνελήφθη. καὶ αὐτὸν ὁ Παπινιανὸς ὁ ἔπαρχος ἀνήρετο "διὰ τί ἐλῄστευσας;" καὶ αὐτὸς ἀπεκρίνατο "διὰ τί σὺ ἔπαρχος εἶ;" καὶ θηρίοις μετὰ τοῦτο ὑπὸ κηρύγματος ἐδόθη, καὶ αὐτοῦ καὶ τὸ λῃστρικὸν διελύθη· οὕτω που ἐν ἐκείνῳ πᾶσα ἡ τῶν ἑξακοσίων ἰσχὺς ἦν.

ὁ δὲ δὴ Σεβῆρος ἐπὶ Βρεττανίαν ἐστράτευσε τούς τε παῖδας 11
ἐκδιαιτωμένους ὁρῶν καὶ τὰ στρατεύματα ὑπ' ἀργίας ἐκλυόμενα, a. C. 208
καίπερ εἰδὼς ὅτι οὐκ ἀνακομισθήσεται. ᾔδει δὲ τοῦτο μάλιστα μὲν ἐκ τῶν ἀστέρων ὑφ' ὧν ἐγεγέννητο (καὶ γὰρ ἐς τὰς ὀροφὰς αὐτοὺς τῶν οἴκων τῶν ἐν τῷ παλατίῳ, ἐν οἷς ἐδίκαζεν, ἐνέγραψεν, ὥστε πᾶσι, πλὴν τοῦ μορίου τοῦ τὴν ὥραν, ὥς φασίν, ἐπισκοπήσαντος ὅτε ἐς τὸ φῶς ἐξῄει, ὁρᾶσθαι· τοῦτο γὰρ οὐ τὸ αὐτὸ ἑκατέρωθι ἐνετύπωσεν), ᾔδει δὲ καὶ παρὰ μάντεων ἀκούσας. ἀνδριάντι 2
γὰρ αὐτοῦ πρὸς ταῖς πύλαις δι' ὧν ἐκστρατεύσειν ἔμελλεν ἑστῶτι, καὶ πρὸς τὴν ὁδὸν τὴν ἐκεῖσε φέρουσαν ἀποβλέποντι, σκηπτὸς ἐμπεσὼν τρία ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γράμματα ἀπήλειψεν· καὶ διὰ τοῦθ', ὡς οἱ μάντεις ἀπεφήναντο, οὐκ ἐπανῆκεν ἀλλὰ καὶ τρίτῳ ἔτει μετὰ τοῦτο μετήλλαξεν. καὶ χρήματα δὲ πάμπολλα συνεξήγαγεν.

δύο δὲ γένη τῶν Βρεττανῶν μέγιστα εἰσί, Καληδόνιοι καὶ Μαιᾶ- 12
ται· καὶ ἐς αὐτὰ καὶ τὰ τῶν ἄλλων προσρήματα ὡς εἰπεῖν συγκεχώρηκεν. οἰκοῦσι δὲ οἱ μὲν Μαιᾶται πρὸς αὐτῷ τῷ διατειχίσματι ὃ τὴν νῆσον δίχῃ τέμνει, Καληδόνιοι δὲ μετ' ἐκείνους, καὶ νέμονται ἑκάτεροι ὄρη ἄγρια καὶ ἄνυδρα καὶ πεδία ἔρημα καὶ ἑλώδη, μήτε τείχη μήτε πόλεις μήτε γεωργίας ἔχοντες, ἀλλ' ἔκ τε νομῆς καὶ

Digitized by Google

2 θῆρας ἀκροδρύων τε τινῶν ζῶντες· τῶν γὰρ ἰχθύων ἀπείρων καὶ
ἀπλέτων ὄντων οὐ γεύονται. διαιτῶνται δὲ ἐν σκηναῖς γυμνοὶ
καὶ ἀνυπόδετοι, ταῖς γυναιξὶν ἐπικοίνοις χρώμενοι καὶ τὰ γεννώ-
μενα πάντα ἐκτρέφοντες. δημοκρατοῦνταί τε ὡς πλήθει, καὶ λη-
3 στεύουσιν ἥδιστα. στρατεύονται δὲ ἐπί τε ἁρμάτων, ἵππους ἔχον-
τες μικροὺς καὶ ταχεῖς, καὶ πεζοὶ δ' εἰσὶ καὶ δραμεῖν ὀξύτατοι καὶ
συστῆναι παγιώτατοι. τὰ δὲ ὅπλα αὐτῶν ἀσπὶς καὶ δόρυ βραχύ,
μῆλον χαλκοῦν ἐπ' ἄκρου τοῦ στύρακος ἔχον, ὥστε σειόμενον κτυ-
πεῖν πρὸς κατάπληξιν τῶν ἐναντίων· εἰσὶ δ' αὐτοῖς καὶ ἐγχειρίδια.
4 δύνανται δὲ καὶ λιμὸν καὶ ψῦχος καὶ ταλαιπωρίαν πᾶσαν ὑπομέ-
νειν· ἔς τε γὰρ τὰ ἕλη καταδυόμενοι καρτεροῦσιν ἐπὶ πολλὰς ἡμέ-
ρας, τὴν κεφαλὴν μόνον ἔξω τοῦ ὕδατος ἔχοντες, καὶ ἐν ταῖς ὕλαις
τῷ τε φλοιῷ καὶ ταῖς ῥίζαις διατρέφονται, καὶ περὶ πάντα σκευά-
ζουσί τι βρῶμα, ἀφ' οὗ κυάμου τι μέγεθος ἐμφαγόντες οὔτε πει-
νῶσιν οὔτε διψῶσιν.
5 τοιαύτη μέν τις νῆσος ἡ Βρεττανία ἐστί, καὶ τοιούτους οἰκή-
τορας ἥ γε πολεμία ἔχει. νῆσος γάρ ἐστι, καὶ τότε σαφῶς ὥσπερ
εἶπον ἐλήλεγκται. καὶ αὐτῆς τὸ μὲν μῆκος στάδιοι ἑπτακισχίλιοι
καὶ ἑκατὸν τριάκοντα δύο εἰσίν, τοῦ δὲ δὴ πλάτους τὸ μὲν πλεῖστον
13 δέκα καὶ τριακόσιοι καὶ δισχίλιοι, τὸ δ' ἐλάχιστον τριακόσιοι· καὶ
τούτων ἡμεῖς οὐ πολλῷ τινὶ τῆς ἡμισείας ἔλαττόν τι ἔχομεν. ὁ δ'
οὖν Σεβῆρος πᾶσαν αὐτὴν καταστρέψασθαι ἐθελήσας ἐσέβαλεν ἐς
τὴν Καληδονίαν, καὶ διιὼν αὐτὴν ἀμύθητα πράγματα ἔσχε, τάς τε
ὕλας τέμνων καὶ τὰ μετέωρα κατασκάπτων τά τε ἕλη χωννύων καὶ
2 τοὺς ποταμοὺς ζευγνύων· οὔτε γὰρ μάχην τινὰ ἐμαχέσατο οὔτε πο-
λέμιόν τινα ἐν παρατάξει εἶδεν. πρόβατα δὲ καὶ βοῦς προβαλλο-
μένων αὐτῶν ἐξεπίτηδες οἱ στρατιῶται ἥρπαζον, ὅπως ἐπὶ πλεῖον
ἀπατώμενοι τρύχωνται· καὶ γὰρ ὑπὸ τῶν ὑδάτων δεινῶς ἐκακοῦντο
καὶ ἀποσκεδαννύμενοι ἐπεβουλεύοντο. εἶτ' ἀδυνατοῦντες βαδίζειν
ὑπ' αὐτῶν τῶν οἰκείων ἐφονεύοντο ἵνα μὴ ἁλίσκωνται, ὥστε ἐς
3 πέντε μυριάδας ὅλας τελευτῆσαι. οὐ μέντοι ἀπέστη γε πρὶν τῷ
ἐσχάτῳ τῆς νήσου πλησιάσαι, ὅπου γε τὰ μάλιστα τήν τε τοῦ
ἡλίου παράλλαξιν καὶ τὸ τῶν ἡμερῶν τῶν τε νυκτῶν καὶ τῶν θε-
ρινῶν καὶ τῶν χειμερινῶν μέγεθος ἀκριβέστατα κατεφώρασεν.
4 καὶ ὁ μὲν οὕτω διὰ πάσης ὡς εἰπεῖν τῆς πολεμίας κομισθείς
(ἐκομίσθη γὰρ ὡς ἀληθῶς ἐν σκιμποδίῳ καταστέγῳ τινὶ τὰ πολλὰ
διὰ τὴν ἀσθένειαν) ἐς τὴν φιλίαν ἐπανῆλθεν, ἐς ὁμολογίαν τοὺς
Βρεττανούς, ἐπὶ τῷ χώρας οὐκ ὀλίγης ἐκστῆναι, ἀναγκάσας ἐλθεῖν·

12 3 5 ἔστι?*

ἐξέπληττε δὲ αὐτὸν ὁ Ἀντωνῖνος καὶ ἐς φροντίδας ἀνηνύτους κα- 14
θίστη, ὅτι τε ἀκολάστως ἔζη, καὶ ὅτι καὶ τὸν ἀδελφὸν δῆλος ἦν,
εἰ δυνηθείη, φονεύσων, καὶ τὸ τελευταῖον ὅτι καὶ αὐτῷ ἐκείνῳ ἐπε-
βούλευσεν. ποτὲ μὲν γὰρ ἐξεπήδησεν ἐξαίφνης ἐκ τοῦ σκηνώματος
βοῶν καὶ κεκραγὼς ὡς ὑπὸ τοῦ Κάστορος ἀδικούμενος· οὗτος δὲ 2
ἀνὴρ ἄριστος τῶν περὶ τὸν Σεβῆρον καισαρείων ἦν, καὶ ἐπεπίστευτο
τήν τε γνώμην αὐτοῦ καὶ τὸν κοιτῶνα. καὶ συνέστησαν μέν τινες
ἐπὶ τούτῳ στρατιῶται προπαρεσκευασμένοι καὶ συνεβόησαν, κατε-
λήφθησαν δὲ δι' ὀλίγου αὐτοῦ τε τοῦ Σεβήρου ἐπιφανέντος σφίσι
καὶ τοὺς ταραχωδεστέρους κολάσαντος. ἄλλοτε δὲ προσήλαυνον 3
μὲν ἀμφότεροι πρὸς τοὺς Καληδονίους, ἵνα τά τε ὅπλα παρ' αὐτῶν
λάβωσι καὶ περὶ τῶν ὁμολογιῶν διαλεχθῶσιν, ὁ δ' Ἀντωνῖνος ἀπο-
κτεῖναι αὐτὸν ἄντικρυς αὐτοχειρίᾳ ἐπεχείρησεν. ᾖεσαν μὲν γὰρ ἐπὶ
ἵππων, καὶ ὁ Σεβῆρος, καίπερ καὶ τοὺς ταρσοὺς ὑπὸ ἀσθενείας
ὑποτετμηκώς, ὅμως ἵππευσε καὶ αὐτός, καὶ τὸ ἄλλο στράτευμα
συνεφείπετο, τό τε τῶν πολεμίων καὶ αὐτὸ συνεωρᾶτο· κἀν τῷ 4
καιρῷ τούτῳ τῇ τε σιγῇ καὶ τῷ κόσμῳ τὸν ἵππον ὁ Ἀντωνῖνος
ἀναχαιτίσας ἐσπάσατο τὸ ξίφος ὡς καὶ κατὰ νώτου τὸν πατέρα
πατάξων. ἰδόντες δὲ τοῦτο οἱ ἄλλοι οἱ συνιππεύοντες ἐξεβόησαν,
καὶ οὕτως ἐκεῖνός τε ἐκπλαγεὶς οὐκέτ' οὐδὲν ἔδρασε, καὶ ὁ Σεβῆρος
μετεστράφη μὲν πρὸς τὴν βοὴν αὐτῶν καὶ εἶδε τὸ ξίφος, οὐ μέντοι
καὶ ἐφθέγξατό τι, ἀλλ' ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ τελέσας ὅσα ἐχρῆν,
ἐς τὸ στρατήγιον ἐπανῆλθεν. καὶ καλέσας τόν τε υἱὸν καὶ τὸν Πα- 5
πινιανὸν καὶ τὸν Κάστορα ξίφος τέ τι τεθῆναι ἐς τὸ μέσον ἐκέ-
λευσε, καὶ ἐγκαλέσας αὐτῷ ὅτι τε ἄλλως τοιοῦτό τι ἐτόλμησε καὶ
ὅτι πάντων ὁρώντων τῶν τε συμμάχων καὶ τῶν πολεμίων τηλι-
κοῦτο κακὸν δράσειν ἔμελλεν, τέλος ἔφη “ἀλλ' εἴγε ἀποσφάξαι με
ἐπιθυμεῖς, ἐνταῦθά με κατάχρησαι· ἔρρωσαι γάρ, ἐγὼ δὲ καὶ γέρων 6
εἰμὶ καὶ κεῖμαι. ὡς εἴγε τοῦτο μὲν οὐκ ἀναδύῃ, τὸ δὲ αὐτόχειρ
μου γενέσθαι ὀκνεῖς, παρέστηκέ σοι Παπινιανὸς ὁ ἔπαρχος, ᾧ δύ-
νασαι κελεῦσαι ἵνα με ἐξεργάσηται· πάντως γάρ που πᾶν τὸ κε-
λευσθὲν ὑπὸ σοῦ, ἅτε καὶ αὐτοκράτορος ὄντος, ποιήσει.” τοιαῦτα 7
εἰπὼν ὅμως οὐδὲν δεινὸν αὐτὸν ἔδρασε, καίπερ πολλάκις μὲν τὸν
Μάρκον αἰτιασάμενος ὅτι τὸν Κόμμοδον οὐχ ὑπεξεῖλε, πολλάκις δὲ
καὶ αὐτὸς τῷ υἱεῖ ἀπειλήσας τοῦτο ποιήσειν. ἀλλ' ἐκεῖνα μὲν ὀρ-
γιζόμενος ἀεί ποτε ἔλεγε, τότε δὲ φιλότεκνος μᾶλλον ἢ φιλόπολις
ἐγένετο· καίτοι καὶ τὸν ἕτερον ἐν τούτῳ παῖδα προέδωκε, σαφῶς
εἰδὼς τὰ γενησόμενα.

ἀποστάντων δὲ τῶν ἐν τῇ νήσῳ αὖθις, καλέσας τοὺς στρατιώ- 15
τας ἐκέλευσεν ἐς τὴν χώραν αὐτῶν ἐμβαλεῖν καὶ οἷς ἂν ἐντύχωσιν a.C. 210



Digitized by Google

ἀποκτεῖναι, αὐτὸ τοῦτο εἰπών, "τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλε-
θρον χεῖράς θ' ὑμετέρας, μηδ' ὅντινα γαστέρι μήτηρ κοῦρον ἐόντα
2 φέροι· μηδ' ὃς φύγοι αἰπὺν ὄλεθρον." γενομένου δὲ τούτου, καὶ
τῶν Καληδονίων προσαποστάντων τοῖς Μαιάταις, ἡτοιμάζετο μὲν
ὡς καὶ αὐτὸς αὐτοῖς πολεμήσων, καὶ αὐτὸν περὶ τοῦτ' ἔχοντα ἡ
a.C. 211 νόσος τῇ τετάρτῃ τοῦ Φεβρουαρίου ἀπήνεγκε, συνεργασαμένου τι
πρὸς τοῦτο καὶ τοῦ Ἀντωνίνου, ὡς λέγεται. πρὶν γοῦν μεταλλάξαι,
τάδε λέγεται τοῖς παισὶν εἰπεῖν (ἐρῶ γὰρ αὐτὰ τὰ λεχθέντα, μηδὲν
ὅ τι καλλωπίσας) "ὁμονοεῖτε, τοὺς στρατιώτας πλουτίζετε, τῶν ἄλ-
3 λων πάντων καταφρονεῖτε." ἐκ δὲ τούτου τό τε σῶμα αὐτοῦ στρα-
τιωτικῶς κοσμηθὲν ἐπὶ πυρὰν ἐτέθη καὶ τῇ τε τῶν στρατιωτῶν
καὶ τῇ τῶν παίδων περιδρομῇ ἐτιμήθη, τά τε δῶρα τὰ στρατιω-
τικὰ οἵ τι τῶν παρόντων ἔχοντες ἐς αὐτὴν ἐνέβαλον, καὶ τὸ πῦρ οἱ
4 υἱεῖς ἐνῆκαν. καὶ μετὰ τοῦτο τὰ ὀστᾶ ἐς ὑδρίαν πορφυροῦ λίθου
ἐμβληθέντα ἔς τε τὴν Ῥώμην ἐκομίσθη καὶ ἐς τὸ Ἀντωνινεῖον ἀπε-
τέθη. λέγεται δὲ τὴν ὑδρίαν ὀλίγον πρὸ τοῦ θανάτου μεταπέμψα-
σθαί τε αὐτόν, καὶ ἐπιψηλαφήσαντα εἰπεῖν "χωρήσεις ἄνδρα ὃν ἡ
οἰκουμένη οὐκ ἐχώρησεν."

16 ἦν δὲ τὸ σῶμα βραχὺς μὲν ἰσχυρὸς δέ, καίπερ ἀσθενέστατος
ὑπὸ τῆς ποδάγρας γενόμενος, τὴν δὲ δὴ ψυχὴν καὶ δριμύτατος καὶ
ἐρρωμενέστατος· παιδείας μὲν γὰρ ἐπεθύμει μᾶλλον ἢ ἐπετύγχανε,
2 καὶ διὰ τοῦτο πολυγνώμων μᾶλλον ἢ πολύλογος ἦν. φίλοις οὐκ
ἀμνήμων, ἐχθροῖς βαρύτατος, ἐπιμελὴς μὲν πάντων ὧν πρᾶξαι ἤθε-
λεν, ἀμελὴς δὲ τῶν περὶ αὐτοῦ λογοποιουμένων· καὶ διὰ τοῦτο καὶ
χρήματα ἐξ ἅπαντος τρόπου, πλὴν καθ' ὅσον οὐδένα ἕνεκα αὐτῶν
3 ἀπέκτεινε, "πορίζων, πάντα μὲν τὰ ἀναγκαῖα ἐδαπάνα ἀφθονώτατα,
καὶ πλεῖστά γε καὶ τῶν ἀρχαίων οἰκοδομημάτων ἀνεκτήσατο, καί
σφισι τὸ ἑαυτοῦ ὄνομα ὡς καὶ ἐκ καινῆς αὐτὰ καὶ ἐξ ἰδίων χρη-
μάτων κατεσκευακὼς ἐπέγραψεν, πολλὰ δὲ καὶ μάτην ἔς τε ἐπι-
σκευὰς καὶ κατασκευὰς ἑτέρων ἀνάλωσεν," ὅς γε καὶ τῷ Διονύσῳ
4 καὶ τῷ Ἡρακλεῖ νεὼν ὑπερμεγέθη ᾠκοδομήσατο. καίτοι δὲ πάμ-
πλειστα δαπανήσας, ὅμως οὐκ εὐαριθμήτους τινὰς μυριάδας δρα-
χμῶν καταλέλοιπεν, ἀλλὰ καὶ πάνυ πολλάς. καὶ ἐνεκάλει μὲν τοῖς
μὴ σωφρονοῦσιν, ὡς καὶ περὶ τῆς μοιχείας νομοθετῆσαι τινά· καὶ
διὰ τοῦτο γραφαὶ αὐτῆς ὅσαι πλεῖσται ἐγένοντο (τρισχιλίας γοῦν
ὑπατεύων εὗρον ἐν τῷ πίνακι ἐγγεγραμμένας)· ἐπεὶ δὲ ὀλίγοι πάνυ
5 αὐταῖς ἐπεξῄεσαν, οὐκέτ' οὐδὲ αὐτὸς ἐπολυπραγμόνει. ὅθεν καὶ
μάλα ἀστείως Ἀργεντοκόξου τινὸς γυνὴ Καληδονίου πρὸς τὴν Ἰου-

15 2 5 δ' οὖν?* 4 1 πορφυρίτου? 16 3 " " V p. 741

Digitized by Google

λίαν τὴν Αὐγοῦσταν, ἀποσκώπτουσάν τι πρὸς αὐτὴν μετὰ τὰς σπονδὰς ἐπὶ τῇ ἀνέδην σφῶν πρὸς τοὺς ἄρρενας συνουσίᾳ, εἰπεῖν λέγεται ὅτι πολλῷ ἄμεινον ἡμεῖς τὰ τῆς φύσεως ἀναγκαῖα ἀποπληροῦμεν ὑμῶν τῶν Ῥωμαϊκῶν· ἡμεῖς γὰρ φανερῶς τοῖς ἀρίστοις ὁμιλοῦμεν, ὑμεῖς δὲ λάθρᾳ ὑπὸ τῶν κακίστων μοιχεύεσθε. τοῦτο μὲν ἡ Βρεττανὶς εἶπεν, ἐχρῆτο δὲ ὁ Σεβῆρος καταστάσει τοῦ βίου 17
εἰρήνης οὔσης τοιᾷδε. ἔπραττέ τι πάντως νυκτὸς ὑπὸ τὸν ὄρθρον, καὶ μετὰ τοῦτ' ἐβάδιζε καὶ λέγων καὶ ἀκούων τὰ τῇ ἀρχῇ πρόσφορα· εἶτ' ἐδίκαζε, χωρὶς εἰ μή τις ἑορτὴ μεγάλη εἴη. καὶ μέντοι καὶ ἄριστα αὐτὸ ἔπραττεν· καὶ γὰρ τοῖς δικαζομένοις ὕδωρ ἱκανὸν ἐνέχει, καὶ ἡμῖν τοῖς συνδικάζουσιν αὐτῷ παρρησίαν πολλὴν ἐδίδου. ἔκρινε 2
δὲ μέχρι μεσημβρίας, καὶ μετὰ τοῦθ' ἵππευεν ἐφ' ὅσον ἂν ἠδυνήθη· εἶτ' ἐλοῦτο, γυμνασάμενός τινα τρόπον. ἠρίστα δὲ ἢ καθ' ἑαυτὸν ἢ μετὰ τῶν παίδων, οὐκ ἐνδεῶς. εἶτ' ἐκάθευδεν ὡς πλήθει· ἔπειτ' ἐξαρθεὶς τά τε λοιπὰ προσδιῴκει καὶ λόγοις καὶ Ἑλληνικοῖς καὶ Λατίνοις συνεγίνετο ἐν περιπάτῳ. εἶθ' οὕτω πρὸς ἑσπέραν ἐλοῦτο 3
αὖθις, καὶ ἐδείπνει μετὰ τῶν ἀμφ' αὐτόν· ἥκιστά τε γὰρ ἄλλον τινὰ συνέστιον ἐποιεῖτο, καὶ ἐν μόναις ταῖς πάνυ ἀναγκαίαις ἡμέραις τὰ πολυτελῆ δεῖπνα συνεκρότει. ἐβίω δὲ ἔτη ἑξήκοντα πέντε 4
καὶ μῆνας ἐννέα καὶ ἡμέρας πέντε καὶ εἴκοσι (τῇ γὰρ ἑνδεκάτῃ τοῦ Ἀπριλίου ἐγεγέννητο), ἀφ' ὧν ἦρξεν ἔτη ἑπτακαίδεκα καὶ μῆνας ὀκτὼ καὶ ἡμέρας τρεῖς. τό τε σύμπαν οὕτως ἐνεργὸς ἐγένετο ὥστε καὶ ἀποψύχων ἀναφθέγξασθαι "ἄγετε, δότε, εἴ τι πρᾶξαι ἔχομεν."

μετὰ δὲ ταῦτα ὁ Ἀντωνῖνος πᾶσαν τὴν ἡγεμονίαν ἔλαβεν· λόγῳ ΟΖ
μὲν γὰρ μετὰ τοῦ ἀδελφοῦ, τῷ δὲ δὴ ἔργῳ μόνος εὐθὺς ἦρξεν. καὶ πρὸς μὲν τοὺς πολεμίους κατελύσατο καὶ τῆς χώρας αὐτοῖς ἐξέστη καὶ τὰ φρούρια ἐξέλιπεν, τοὺς δὲ δὴ οἰκείους τοὺς μὲν ἀπήλλαξεν, ὧν καὶ Παπινιανὸς ὁ ἔπαρχος ἦν, τοὺς δὲ καὶ ἀπέκτεινεν, ὧν ἦν καὶ Εὔοδος ὁ τροφεὺς αὐτοῦ καὶ ὁ Κάστωρ, ἥ τε γυνὴ αὐτοῦ ἡ Πλαυτίλλα καὶ ὁ ταύτης ἀδελφὸς Πλαύτιος. καὶ ἐν τῇ Ῥώμῃ δὲ 2
αὐτῇ ἄνδρα ἄλλως μὲν οὐκ ἐλλόγιμον διὰ δὲ τὴν ἐπιτήδευσιν ἐπιφανέστατον ἐξειργάσατο· τὸν γὰρ Εὐπρεπῆ τὸν ἁρματηλάτην, ἐπειδὴ τἀναντία αὐτῷ ἐσπούδαζεν, ἀπέκτεινεν. καὶ ὁ μὲν οὕτως ἐν γήρᾳ ἀπέθανε, πλείστοις ἀγῶσιν ἵππων στεφανωθείς· δύο γὰρ καὶ ὀγδοήκοντα καὶ ἑπτακοσίους ἀνείλετο, ὅσους οὐδεὶς ἄλλος. τὸν δὲ ἀδελ- 3
φὸν ἠθέλησε μὲν καὶ ζῶντος ἔτι τοῦ πατρὸς φονεῦσαι, οὐκ ἠδυνήθη δὲ οὔτε τότε δι' ἐκεῖνον οὔθ' ὕστερον ἐν τῇ ὁδῷ διὰ τὰ στρατεύματα· πάνυ γὰρ εὔνοιαν αὐτοῦ εἶχον, ἄλλως τε καὶ ὅτι τὸ εἶδος

1 1 6 καὶ ante ὁ om* 2 3 ἐπειδὰν* 3 4 τε ὅτι καὶ*

ὁμοιότατος τῷ πατρὶ ἦν. ἐπεὶ δὲ ἐν τῇ Ῥώμῃ ἀνῆλθε, καὶ τοῦτον
4 κατειργάσατο. προσεποιοῦντο μὲν γὰρ καὶ φιλεῖν ἀλλήλους καὶ
ἐπαινεῖν, πάντα δὲ τὰ ἐναντιώτατα ἔδρων, καὶ ἦν οὐκ ἄδηλον ὅτι
δεινόν τι παρ' αὐτῶν γενήσοιτο. ὅπερ που καὶ πρὶν πρὸς τὴν Ῥώ-
μην αὐτοὺς ἐλθεῖν προεγνώσθη· θύειν τε γὰρ ὑπὲρ τῆς ὁμονοίας
αὐτῶν τοῖς τε ἄλλοις θεοῖς καὶ αὐτῇ τῇ ὁμονοίᾳ ψηφισθὲν ὑπὸ τῆς
5 βουλῆς, οἱ μὲν ὑπηρέται τὸ τῇ ὁμονοίᾳ τυθησόμενον ἱερεῖον ἡτοί-
μασαν, καὶ ὁ ὕπατος ὡς καὶ βουθυτήσων ἀφίκετο, οὔτε δὲ οὗτος
ἐκείνους οὔθ' οἱ ὑπηρέται τὸν ὕπατον εὑρεῖν ἠδυνήθησαν, ἀλλὰ
διετέλεσαν πᾶσαν ὡς εἰπεῖν τὴν νύκτα ζητοῦντες ἀλλήλους, ὥστε
6 μὴ δυνηθῆναι τότε τὴν θυσίαν γενέσθαι. καὶ τῇ ὑστεραίᾳ δύο
λύκοι ἐς τὸ Καπιτώλιον ἀναβάντες ἐκεῖθεν ἐξεδιώχθησαν, καὶ ὁ
μὲν ἐν τῇ ἀγορᾷ που καταληφθεὶς ὁ δὲ μετὰ ταῦτα ἔξω τοῦ πω-
μηρίου ἐσφάγη. καὶ τοῦτο καὶ περὶ ἐκείνους ἐγένετο.

2 ἐβουλήθη μὲν οὖν ἐν τοῖς κρονίοις τὸν ἀδελφὸν ὁ Ἀντωνῖνος
φονεῦσαι, οὐκ ἠδυνήθη δέ· καὶ γὰρ ἐκφανέστερον ἤδη τὸ κακὸν ἢ
ὥστε συγκρυβῆναι ἐγεγόνει, καὶ ἐκ τούτου πολλαὶ μὲν μάχαι αὐτῶν
ὡς καὶ ἐπιβουλευόντων ἀλλήλοις, πολλαὶ δὲ καὶ ἀντιφυλακαὶ συν-
2 έβαινον. ἐπεὶ οὖν καὶ στρατιῶται καὶ γυμνασταί, καὶ ἔξω καὶ
a.C. 212 οἴκοι, καὶ μεθ' ἡμέραν καὶ νύκτωρ, συχνοὶ τὸν Γέταν ἐφρούρουν,
ἔπεισε τὴν μητέρα μόνους σφᾶς ἐς τὸ δωμάτιον, ἐφ' ᾧ καὶ συναλ-
λάξουσι, μεταπέμψασθαι· καὶ οὕτω πιστεύσαντος τοῦ Γέτα ἐσῆλθε
3 μὲν μετ' αὐτοῦ, ἐπεὶ δὲ εἴσω ἐγένοντο, ἑκατόνταρχοί τινες ἐσεπήδη-
σαν ἀθρόοι, παρὰ τοῦ Ἀντωνίνου προπαρεσκευασμένοι, καὶ αὐτὸν
πρός τε τὴν μητέρα, ὡς εἶδέ σφας, προκαταφυγόντα καὶ ἀπό τε
τοῦ αὐχένος αὐτῆς ἐξαρτηθέντα καὶ τοῖς στήθεσι τοῖς τε μαστοῖς
προσφύντα κατέκοψαν ὀλοφυρόμενον καὶ βοῶντα "μῆτερ μῆτερ, τε-
4 κοῦσα τεκοῦσα, βοήθει, σφάζομαι." καὶ ἡ μὲν οὕτως ἀπατηθεῖσα
τόν τε υἱὸν ἐν τοῖς ἑαυτῆς κόλποις ἀνοσιώτατα ἀπολλύμενον ἐπεῖδε,
καὶ τὸν θάνατον αὐτοῦ ἐς αὐτὰ τὰ σπλάγχνα τρόπον τινά, ἐξ ὧν
ἐγεγέννητο, ἐσεδέξατο· καὶ γὰρ τοῦ αἵματος πᾶσα ἐπλήσθη, ὡς ἐν
5 μηδενὶ λόγῳ τὸ τῆς χειρὸς τραῦμα ὃ ἐτρώθη ποιήσασθαι. οὔτε δὲ
πενθῆσαι οὔτε θρηνῆσαι τὸν υἱόν, καίπερ πρόωρον οὕτως οἰκτρῶς
ἀπολωλότα, ὑπῆρξεν αὐτῇ (δύο γὰρ καὶ εἴκοσι ἔτη καὶ μῆνας ἐννέα
ἐβίω), ἀλλ' ἠναγκάζετο ὡς καὶ ἐν μεγάλῃ τινὶ εὐτυχίᾳ οὖσα χαίρειν
6 καὶ γελᾶν· οὕτω που πάντα ἀκριβῶς καὶ τὰ ῥήματα αὐτῆς καὶ τὰ
νεύματα τά τε χρώματα ἐτηρεῖτο· καὶ μόνῃ ἐκείνῃ, τῇ Αὐγούστῃ,
τῇ τοῦ αὐτοκράτορος γυναικί, τῇ τῶν αὐτοκρατόρων μητρί, οὐδ'
ἰδίᾳ που ἐπὶ τηλικούτῳ παθήματι δακρῦσαι ἐξῆν.

Digitized by Google

ὁ δ' Ἀντωνῖνος καίπερ ἑσπέρας οὔσης τὰ στρατόπεδα κατέλαβε, 3
διὰ πάσης τῆς ὁδοῦ κεκραγὼς ὡς ἐπιβεβουλευμένος καὶ κινδυνεύων.
ἐσελθὼν δὲ ἐς τὸ τεῖχος "χαίρετε" εἶπεν, "ὦ ἄνδρες συστρατιῶται·
καὶ γὰρ ἤδη ἔξεστί μοι εὐεργετεῖν ὑμᾶς." καὶ πρὶν πάντα ἀκοῦ-
σαι, ἐνέφραξέ σφων τὰ στόματα τοσαύταις καὶ τηλικαύταις ὑπο-
σχέσεσιν ὥστε μήτ' ἐννοῆσαι μήτε φθέγξασθαί τι αὐτοὺς εὐσεβὲς
δυνηθῆναι. "εἷς" γάρ ἔφησεν "ἐξ ὑμῶν εἰμί, καὶ δι' ὑμᾶς μόνους 2
ζῆν ἐθέλω, ἵν' ὑμῖν πολλὰ χαρίζωμαι· ὑμέτεροι γὰρ οἱ θησαυροὶ
πάντες εἰσίν." καὶ δὴ καὶ τοῦτο εἶπεν ὅτι μάλιστα μὲν μεθ' ὑμῶν
ζῆν, εἰ δὲ μή, ἀλλὰ μεθ' ὑμῶν γε ἀποθανεῖν εὔχομαι. οὔτε γὰρ
ἄλλως δέδια τὸν θάνατον, καὶ ἐν πολέμῳ τελευτῆσαι βούλομαι· ἢ
γὰρ ἐνταῦθα δεῖ τὸν ἄνδρα ἀποθνήσκειν ἢ μηδαμοῦ. πρὸς δὲ τὴν 3
σύγκλητον τῇ ὑστεραίᾳ ἄλλα τέ τινα διελέχθη, καὶ μετὰ τὸ ἐκ τοῦ
βάθρου ἐξαναστῆναι καὶ πρὸς τῇ θύρᾳ γενέσθαι "ἀκούσατέ μου"
εἶπε "μέγα πρᾶγμα· ἵνα πᾶσα ἡ οἰκουμένη χαρῇ, πάντες οἱ φυγά-
δες οἱ καὶ ἐφ' ὁτῳοῦν ἐγκλήματι καὶ ὁπωσοῦν καταδεδικασμένοι
κατελθέτωσαν." τὰς μὲν οὖν νήσους οὕτω τῶν φυγάδων κενώσας,
καὶ τοῖς κακίστοις τῶν καταδεδικασμένων ἄδειαν δεδωκώς, εἶτ' οὐ
πολλῷ ὕστερον ἀνεπλήρωσεν, τῶν δὲ δὴ καισαρείων τῶν τε στρα- 4
τιωτῶν τῶν μετὰ τοῦ Γέτα γενομένων καὶ ἐς δύο μυριάδας παρα-
χρῆμα ἀπέκτεινεν, ἄνδρας ἁπλῶς καὶ γυναῖκας, ὥς πού τις καὶ
ἔτυχεν ἐν τῷ βασιλείῳ ὤν, ἐκ δὲ τῶν ἐπιφανῶν ἀνδρῶν ἄλλους τε
καὶ τὸν Παπινιανόν. καὶ τῷ γε τὸν Παπινιανὸν φονεύσαντι ἐπετί- 2
μησεν ὅτι ἀξίνῃ αὐτὸν καὶ οὐ ξίφει διεχρήσατο. τὸν δὲ δὴ Κίλωνα
τὸν τροφέα τὸν εὐεργέτην, τὸν ἐπὶ τοῦ πατρὸς αὐτοῦ πεπολιαρχη-
κότα, ὃν καὶ πατέρα πολλάκις ἐκεκλήκει, ἠβουλήθη μὲν ἀποστερῆ-
σαι τοῦ ζῆν· καὶ οἱ στρατιῶται οἱ πεμφθέντες ἐπ' αὐτὸν τὰ μὲν 3
ἀργυρώματα καὶ τὰ ἱμάτια τά τε χρήματα καὶ τὰ ἄλλα πάντα τὰ
ἐκείνου διήρπασαν, αὐτὸν δὲ ἀνήγαγον διὰ τῆς ἱερᾶς ὁδοῦ ὡς καὶ
ἐς τὸ παλάτιον κομιοῦντες, κλάπας τε ὑποδεδεμένον (ἐν βαλανείῳ
γὰρ ὢν ἔτυχε) καὶ χιτωνίσκον ἐνδεδυμένον, ὡς καὶ ἐκεῖ που κατα-
χρησόμενοι. καὶ τήν τε ἐσθῆτα αὐτοῦ περιέρρηξαν καὶ τὸ πρόσω- 4
πον ᾐκίσαντο, ὥστε καὶ τὸν δῆμον καὶ τοὺς στρατιώτας τοὺς ἀστι-
κοὺς ὑποθορυβῆσαι, καὶ διὰ τοῦτο καὶ τὸν Ἀντωνῖνον καὶ αἰδεσθέντα
αὐτοὺς καὶ φοβηθέντα ἀπαντῆσαι σφίσι, καὶ τῇ χλαμύδι (τὴν γὰρ

3 3 1 καὶ πρωῒ εἰς τὸ βουλευτήριον εἰσελθὼν παρεκάλει συγγνώμην οὐχ ὅτι τὸν ἀδελφὸν ἀπέσφαξεν ἀλλ' ὅτι βραγχᾷ καὶ οὐ βούλεται δημηγορῆσαι. M p. 228 4 2 1 ὅτι Ἀντωνῖνος Παπινιανὸν καὶ Πετρώνιον, τῶν δορυφόρων ἐπί τισι κατηγορησάντων αὐτῶν, ἐπέτρεψεν ἀποκτεῖναι αὐτούς, εἰπὼν κἀκεῖνο ὅτι ἐγὼ ὑμῖν καὶ οὐκ ἐμαυτῷ ἄρχω, καὶ διὰ τοῦτο καὶ πείθομαι ὑμῖν καὶ ὡς κατηγόροις καὶ ὡς δικασταῖς. ib.

Digitized by Google

*στρατιωτικὴν ἐσθῆτα εἶχε) περιβαλόντα αὐτὸν εἰπεῖν "μήτε τὸν πατέρα ὑβρίζετε μήτε τὸν τροφέα παίετε." ὁ δὲ δὴ χιλίαρχος ὁ κελευσθεὶς αὐτὸν φονεῦσαι καὶ οἱ στρατιῶται οἱ συμπεμφθέντες αὐτῷ ἀνηρέθησαν, λόγῳ μὲν ὡς ἐπιβουλεύσαντες, τὸ δ' ἀληθὲς ὅτι μὴ κατέσφαξαν αὐτόν.*

5 *"ὅτι τὸν Κίλωνα τοσοῦτον ἠγάπα ὁ Ἀντωνῖνος ὥστε εἰπεῖν ὅτι οἱ τούτῳ ἐπιβεβουλευκότες ἐμοὶ ἐπιβεβουλεύκασιν. ἐφ' ᾧ δὴ ἐπαινούμενος ὑπὸ τῶν προσεστηκότων ἔφη "ἐμὲ μήθ' Ἡρακλέα μήτ' ἄλλον θεόν τινα ἐπικαλεῖτε," οὐχ ὅτι οὐκ ἐβούλετο θεὸς ὀνομάζεσθαι, ἀλλ'*
2 *ὅτι οὐδὲν ἄξιον θεοῦ πράττειν ἤθελεν. ἔμπληκτος γὰρ φύσει πρὸς πάντα τὰ πράγματα ὢν καὶ ἐτίμα τινὰς μεγάλως καὶ ἠτίμαζεν ἐξαίφνης ἀλογώτατα, ἔσωζέ τε οὓς ἥκιστα ἐχρῆν, καὶ ἐκόλαζεν οὓς οὐκ ἄν τις προσεδόκησεν.* V p. 742.

3 *"ὅτι τὸν Ἄσπρον τὸν Ἰούλιον οὐδ' ἄλλως εὐκαταφρόνητον καὶ διὰ παιδείαν καὶ διὰ φρόνημα ὄντα ἐξάρας ὁμοίως καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐν πολλαῖς τοσαύταις ῥάβδοις ὁμοῦ ἐμπομπεύσαντα, προεπηλάκισε παραχρῆμα δεινῶς καὶ ἐς τὴν πατρίδα μεθ' ὕβρεως καὶ μετὰ δέους ἰσχυροῦ ἀπέπεμψεν.* ib.

4 *"ὅτι καὶ τὸν Λαῖτον ἠτιμάκει ἂν ἢ καὶ ἀπεκτόνει, εἰ μὴ κακῶς ἐνόσει· καὶ τὴν ἀρρωστίαν αὐτοῦ ἀσεβῆ παρὰ τοῖς στρατιώταις ὠνόμασεν, ὅτι μὴ καὶ περὶ ἐκεῖνον ἀσεβῆσαι αὐτῷ ἐπέτρεψεν.* ib.

5 *"ὅτι καὶ Θρασέαν Πρίσκον, ἄνδρα οὐδενὸς οὔτε γένει οὔτε φρονήσει δεύτερον, κατεχρήσατο.* ib.

*"ὅτι καὶ ἄλλους πολλοὺς καὶ φίλους τὸ πρότερον ὄντας ἀπέκτεινεν.* ib.

6 *πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσωμ' οὐδ' ὀνομήνω, ὅσους τῶν ἐπιφανῶν οὐδεμιᾷ δίκῃ ἀπέκτεινεν. ὁ μὲν γὰρ Δίων, ἅτε γνωριμωτάτων κατ' ἐκείνους τοὺς καιροὺς τῶν πεφονευμένων ὄντων, καὶ ἐξ ὀνόματος αὐτῶν ποιεῖται κατάλογον· ἐμοὶ δ' εἰπεῖν ἐξαρκεῖ ὅτι πάντας ὁμοίως οὓς ἤθελε κατεχειρίζετο, ὥστ' αἴτιος ὥστε καὶ οὐχί, καὶ ὅτι τὴν Ῥώμην ἠκρωτηρίασεν, ἀγαθῶν ἀνδρῶν στερήσας αὐτήν.*
2 *ἐκ δὲ τῶν φόνων ἐς τὰς παιδιὰς ἀποκλίνων οὐδὲν ἧττον καὶ ἐν ταύταις ἐφόνα. ἐλέφαντα μὲν γὰρ καὶ ῥινοκέρωτα καὶ τίγριν καὶ ἱππότιγριν ἐν οὐδενὶ λόγῳ θείη ἄν τις φονευομένους ἐν τῷ θεάτρῳ· ὁ δὲ καὶ μονομάχων ἀνδρῶν ὅτι πλείστων ἔχαιρεν αἵμασι, καὶ ἕνα γε αὐτῶν Βάτωνα τρισὶν ἐφεξῆς ἀνδράσιν ὁπλομαχῆσαι τῇ αὐτῇ ἡμέρᾳ ἀναγκάσας, ἔπειτα ἀποθανόντα ὑπὸ τοῦ τελευταίου περιφανεῖ ταφῇ ἐτίμησεν.*

5 3 1 *ἰουλιανὸν*  6 2 4 *πλεῖστον**

Digitized by Google

περὶ δὲ τὸν Ἀλέξανδρον οὕτω τι ἐπτόητο ὥστε καὶ ὅπλοις τισὶ 7
καὶ ποτηρίοις ὡς καὶ ἐκείνου γεγονόσι χρῆσθαι, καὶ προσέτι καὶ
εἰκόνας αὐτοῦ πολλὰς καὶ ἐν τοῖς στρατοπέδοις καὶ ἐν αὐτῇ τῇ
Ῥώμῃ στῆσαι, φάλαγγά τέ τινα ἐκ μόνων τῶν Μακεδόνων ἐς μυ-
ρίους καὶ ἑξακισχιλίους συντάξαι, καὶ αὐτὴν Ἀλεξάνδρου τε ἐπονο-
μάσαι καὶ τοῖς ὅπλοις οἷς ποτὲ ἐπ' ἐκείνου ἐκέχρηντο ὁπλίσαι· ταῦτα 2
δ' ἦν κράνος ὠμοβόειον, θώραξ λινοῦς τρίμιτος, ἀσπὶς χαλκῆ, δόρυ
μακρόν, αἰχμὴ βραχεῖα, κρηπῖδες, ξίφος. καὶ οὐδὲ ταῦτα μέντοι
αὐτῷ ἐξήρκεσεν, ἀλλὰ καὶ ἑαυτὸν ἐκεῖνον ἑῷον Αὔγουστον ἐπεκα-
λεῖτο, καί ποτε καὶ τῇ βουλῇ ἔγραψεν ὅτι ἐς τὸ σῶμα αὖθις τὸ
τοῦ Αὐγούστου ἐσῆλθεν, ἵνα, ἐπειδὴ ὀλίγον τότε χρόνον ἐβίω, πλείονα
αὖθις δι' ἐκείνου ζήσῃ. καὶ δὴ καὶ τοὺς φιλοσόφους τοὺς Ἀριστο- 3
τελείους ὠνομασμένους τά τε ἄλλα δεινῶς ἐμίσει, ὥστε καὶ τὰ βι-
βλία αὐτῶν κατακαῦσαι ἐθελῆσαι, καὶ τὰ συσσίτια ἃ ἐν τῇ Ἀλε-
ξανδρείᾳ εἶχον, τάς τε λοιπὰς ὠφελείας ὅσας ἐκαρποῦντο, ἀφείλετο,
ἐγκαλέσας σφίσιν ὅτι συναίτιος τῷ Ἀλεξάνδρῳ τοῦ θανάτου Ἀρι-
στοτέλης γεγονέναι ἔδοξεν. ταῦτα μὲν οὕτως ἐποίησε, καὶ νὴ Δία 4
καὶ ἐλέφαντας πολλοὺς συμπεριήγετο, ὅπως καὶ ἐν τούτῳ τὸν Ἀλέ-
ξανδρον, μᾶλλον δὲ τὸν Διόνυσον μιμεῖσθαι δόξῃ. οὕτω δ' οὖν 8
διὰ τὸν Ἀλέξανδρον καὶ τοὺς Μακεδόνας ἐφίλει, ὥστε ποτὲ χιλίαρ-
χον Μακεδόνα ἐπαινέσας ὅτι κούφως ἐπὶ τὸν ἵππον ἀνεπήδησεν,
ἐπύθετο αὐτοῦ τὸ μὲν πρῶτον "πόθεν εἶ;" ἔπειτα μαθὼν ὅτι Μα-
κεδὼν εἴη, ἐπανήρετο "τίς δὲ ὀνομάζῃ;" καὶ μετὰ τοῦτο ἀκούσας 2
ὅτι Ἀντίγονος, προσεπανήρετο "τίς δέ σου ὁ πατὴρ ἐκαλεῖτο;" ὡς
δὲ καὶ οὗτος Φίλιππος ὢν εὑρέθη, "πάντ' ἔχω" φησίν "ὅσα ἤθελον,"
καὶ εὐθύς τε αὐτὸν ταῖς λοιπαῖς στρατείαις ἐσέμνυνε, καὶ μετ' οὐ
πολὺ ἐς τοὺς βουλευτὰς τοὺς ἐστρατηγηκότας κατέταξεν. ἕτερον δέ 3
τινα τῇ μὲν Μακεδονίᾳ μηδὲν προσήκοντα, πολλὰ δὲ καὶ δεινὰ
δεδρακότα καὶ διὰ τοῦτο παρ' αὐτοῦ ἐξ ἐκκλήτου δίκης κρινόμενον,
ἐπειδὴ Ἀλέξανδρός τε ἐκαλεῖτο καὶ ὁ κατηγορῶν αὐτοῦ ῥήτωρ συν-
εχῶς ἔλεγεν "ὁ μιαιφόνος Ἀλέξανδρος, ὁ θεοῖς ἐχθρὸς Ἀλέξανδρος,"
ὠργίσθη τε ὡς καὶ αὐτὸς κακῶς ἀκούων, καὶ ἔφη "εἰ μὴ ἀρκέσει
σοι ὁ Ἀλέξανδρος, ἀπολέλυσαι."

οὗτος οὖν ὁ φιλαλεξανδρότατος Ἀντωνῖνος εἰς μὲν τοὺς στρα- 9
τιώτας, "οὓς πάνυ πολλοὺς ἀμφ' αὐτὸν εἶχε, προφάσεις ἐκ προφά-
σεων καὶ πολέμους ἐκ πολέμων σκηπτόμενος", φιλαναλώτης ἦν, τοὺς
δὲ λοιποὺς πάντας ἀνθρώπους ἔργον εἶχε περιδύειν ἀποσυλᾶν ἐκτρύ-

7 2 4 ἑαυτὸν μὲν ἑσπέριον Ἀλέξανδρον ἐκεῖνον δ' ἑῷον? 8 3 3 ἐγκλή-
του 6 εἰ καὶ μὴ ἀρέσκει —, ἀπολέλυται?* 9 1 " " V p. 745,
ubi ὅτι δεινότατόν που καὶ τοῦτο εἶχεν, ὅτι μὴ μόνον ἐς τοὺς στρατιώτας

Digitized by Google

2 χειν, οὐχ ἥκιστα τοὺς συγκλητικούς. "χωρὶς γὰρ τῶν στεφάνων
τῶν χρυσῶν οὓς ὡς καὶ πολεμίους τινὰς ἀεὶ νικῶν πολλάκις ᾔτει
(λέγω δὲ οὐκ αὐτὸ τοῦτο τὸ τῶν στεφάνων ποίημα· πόσον γὰρ
τοῦτό γε ἐστίν; ἀλλὰ τὸ τῶν χρημάτων πλῆθος τῶν ἐπ᾽ ὀνόματι
αὐτοῦ διδομένων, οἷς στεφανοῦν αἱ πόλεις τοὺς αὐτοκράτορας εἰώ-
3 θασιν), τῶν τε ἐπιτηδείων ἃ πολλὰ καὶ πανταχόθεν τὰ μὲν προῖκα
τὰ δὲ καὶ προσαναλίσκοντες ἐσεπρασσόμεθα, ἃ πάντα ἐκεῖνος τοῖς
στρατιώταις ἐχαρίζετο ἢ καὶ ἐκαπήλευεν, καὶ τῶν δώρων ἃ καὶ
παρὰ τῶν ἰδιωτῶν τῶν πλουσίων καὶ παρὰ τῶν δήμων προσῄτει,
4 τῶν τε τελῶν τῶν τε ἄλλων ἃ καινὰ προσκατέδειξε, καὶ τοῦ τῆς
δεκάτης ἣν ἀντὶ τῆς εἰκοστῆς ὑπέρ τε τῶν ἀπελευθερουμένων καὶ
ὑπὲρ τῶν καταλειπομένων τισὶ κλήρων καὶ δωρεᾶς ἐποίησε πάσης,
τάς τε διαδοχὰς καὶ τὰς ἀτελείας τὰς ἐπὶ τούτοις τὰς δεδομένας
5 τοῖς πάνυ προσήκουσι τῶν τελευτώντων καταλύσας (οὗ ἕνεκα καὶ
Ῥωμαίους πάντας τοὺς ἐν τῇ ἀρχῇ αὐτοῦ, λόγῳ μὲν τιμῶν, ἔργῳ
δὲ ὅπως πλείω αὐτῷ καὶ ἐκ τοῦ τοιούτου προσίῃ διὰ τὸ τοὺς ξέ-
νους τὰ πολλὰ αὐτῶν μὴ συντελεῖν, ἀπέδειξεν) — ἔξω δὴ τούτων
6 ἁπάντων" καὶ οἰκίας αὐτῷ παντοδαπάς, ἐπειδὴ τῆς Ῥώμης ἐξώρ-
μησε, καὶ καταλύσεις πολυτελεῖς ἐν μέσαις ταῖς ὁδοῖς καὶ ταῖς βρα-
χυτάταις οἰκείοις δαπανήμασι κατασκευάζειν ἠναγκαζόμεθα, ἐν αἷς
οὐχ ὅσον οὐκ ἐνῴκησέ ποτε, ἀλλ᾽ οὐδὲ ὄψεσθαι αὐτῶν τινὰ ἔμελ-
7 λεν. προσέτι καὶ θέατρα κυνηγετικὰ καὶ ἱπποδρόμους πανταχοῦ,
ὅπου περ καὶ ἐχείμασεν ἢ καὶ χειμάσειν ἤλπισε, κατεσκευάσαμεν,
μηδὲν παρ᾽ αὐτοῦ λαβόντες. καὶ αὐτίκα πάντα κατεσκάφη· οὕτω
πως διὰ τοῦτο μόνον ἐγένετο, ἵν᾽ ἡμεῖς ἐπιτριβῶμεν.

10 αὐτὸς δὲ τὰ χρήματα ἔς τε τοὺς στρατιώτας, ὡς ἔφαμεν, καὶ
ἐς θηρία ἵππους τε ἐδαπάνα· πάμπολλα γάρ τοι καὶ θηρία καὶ
βοτά, τὰ μὲν πλεῖστα παρ᾽ ἡμῶν καὶ ἀνάγκῃ λαμβάνων, ἤδη δέ
τινα καὶ ὠνούμενος, ἀπεκτίννυεν, καί ποτε ἑκατὸν ὗς ἅμα αὐτοχει-
2 ρίᾳ ἔσφαξεν. ἡρματηλάτει τε τῇ βενετίῳ στολῇ χρώμενος. ἦν γὰρ
ἐς πάντα καὶ θερμότατος καὶ κουφότατος, πρὸς δὲ τούτοις εἶχε καὶ
τὸ πανοῦργον τῆς μητρὸς καὶ τῶν Σύρων, ὅθεν ἐκείνη ἦν. ἀγωνο-
θέτην δὲ ἢ τῶν ἐξελευθέρων τινὰ ἢ τῶν ἄλλων τῶν πλουσίων ἐκά-
θιζεν, ἵνα καὶ ἐν τούτῳ ἀναλίσκηται· προσεκύνει τε αὐτοὺς κάτωθεν
3 τῇ μάστιγι, καὶ χρυσοῦς ὥσπερ τις τῶν ταπεινοτάτων ᾔτει. καὶ

φιλαναλώτης ἀλλὰ καὶ ἐς τἆλλα πάντα καὶ ἥκιστα αὐτῷ ἦν, ἐφ᾽ ἓν τοῦτο μόνον, τὸ τοὺς ἀνθρώπους πάντας περιδύειν   5 3 προσῇ   10 2 1 ἦν γὰρ] ὅτι τρισὶν ἔθνεσιν ὁ Ἀντωνῖνος προσήκων ἦν, καὶ τῶν μὲν ἀγαθῶν αὐτῶν οὐδὲν τὸ παράπαν τὰ δὲ κακὰ πάντα συλλαβὼν ἐκτήσατο, τῆς μὲν Γαλατίας τὸ κοῦφον καὶ τὸ δειλὸν καὶ τὸ θρασύ, τῆς Ἀφρικῆς τὸ τραχὺ καὶ ἄγριον, τῆς Συρίας, ὅθεν πρὸς μητρὸς ἦν, τὸ πανοῦργον. V p. 742

Digitized by Google

ἔλεγε κατὰ τὸν ἥλιον τῇ ἁρματηλασίᾳ χρῆσθαι, καὶ ἐσεμνύνετο ἐπ'
αὐτῇ. οὕτω δὲ παρὰ πάντα τὸν τῆς ἀρχῆς αὐτοῦ χρόνον πᾶσα ἡ
γῆ ἡ ὑπακούουσα αὐτῷ ἐπορθήθη ὥστε τοὺς Ῥωμαίους ποτὲ ἐν
ἱπποδρομίᾳ ἄλλα τε συμβοῆσαι καὶ ὅτι τοὺς ζῶντας ἀποδύομεν,
ἵνα τοὺς τεθνεῶτας θάψωμεν. καὶ γὰρ ἔλεγε πολλάκις ὅτι οὐδένα 4
ἀνθρώπων πλὴν ἐμοῦ ἀργύριον ἔχειν δεῖ, ἵν' αὐτὸ τοῖς στρατιώταις
χαρίζωμαι. καί ποτε τῆς Ἰουλίας ἐπιτιμώσης αὐτῷ ὅτι πολλὰ ἐς
αὐτοὺς ἀνήλισκε, καὶ εἰπούσης ὅτι οὐκέθ' ἡμῖν οὔτε δίκαιος οὔτ'
ἄδικος πόρος ὑπολείπεται, ἀπεκρίνατο, τὸ ξίφος δείξας, ὅτι θάρσει,
μῆτερ· ἕως γὰρ ἂν τοῦτ' ἔχωμεν, οὐδὲν ἡμᾶς ἐπιλείψει χρήματα.

καὶ μέντοι καὶ τοῖς κολακεύουσιν αὐτὸν καὶ κτήματα καὶ χρή- 11
ματα ἀπένεμεν. Ἰουνίῳ γοῦν Παυλίνῳ πέντε καὶ εἴκοσι μυριάδας
ἐχαρίσατο, ὅτι καὶ ἄκων διασιλλῶσαί τι αὐτὸν σκωπτόλης ὢν προ-
ήχθη· ἔφη γὰρ αὐτὸν ὀργιζομένῳ τινὶ ἐοικέναι, ἐπεὶ πρὸς τὸ θυ-
μοειδέστερόν πως ἑαυτὸν ἐσχημάτιζεν. οὐδὲν γὰρ τῶν καλῶν ἐλο- 2
γίζετο· οὐδὲ γὰρ ἔμαθέ τι αὐτῶν, ὡς καὶ αὐτὸς ὡμολόγει, διόπερ
καὶ ἐν ὀλιγωρίᾳ ἡμᾶς τούς τι παιδείας ἐχόμενον εἰδότας ἐποιεῖτο.
ὁ μὲν γὰρ Σεβῆρος καὶ πάνυ πᾶσι τοῖς ἐς ἀρετὴν τείνουσι καὶ κατὰ
τὸ σῶμα καὶ κατὰ τὴν ψυχὴν ἤσκησεν αὐτόν, ὥστε καὶ αὐτοκρά- 3
τορα ἤδη ὄντα καὶ διδασκάλοις συνεῖναι καὶ τὸ πολὺ τῆς ἡμέρας
φιλοσοφεῖν· ἐξηραλοίφει τε, καὶ ἵππευε καὶ ἐς πεντήκοντα καὶ ἑπτα-
κοσίους σταδίους, καὶ προσέτι καὶ νήχεσθαι καὶ ἐν κλύδωνι ἠσκεῖτο.
ὁ δὲ ἐκ μὲν τούτων τρόπον τινὰ ἐρρώσθη, τῆς δὲ δὴ παιδεύσεως
ὡς οὐδὲ τοὔνομα αὐτῆς πώποτε ἀκηκοὼς ἐπελάθετο. οὐ μέντοι καὶ 4
κακορρήμων ἢ κακογνώμων ἦν, ἀλλὰ καὶ συνίει πολλὰ ὀξύτατα καὶ
ἔφραζεν ἑτοιμότατα· τῇ τε γὰρ ἐξουσίᾳ καὶ τῇ προπετείᾳ, τῷ πάνθ'
ὁμοίως τὰ ἐπελθόντα οἱ ἀπερισκέπτως ἐκλαλεῖν καὶ τῷ μηδὲν αὐ-
τῶν ἐκφαίνειν αἰσχύνεσθαι, καὶ ἐπιτυχίᾳ τινὶ πολλάκις περιέπιπτεν.

"ὅτι ὁ αὐτὸς αὐτογνωμονῶν πολλὰ ἐσφάλη· πάντα τε γὰρ οὐχ 5
ὅτι εἰδέναι ἀλλὰ καὶ μόνος εἰδέναι ἤθελεν, καὶ πάντα οὐχ ὅτι δύ-
νασθαι ἀλλὰ καὶ μόνος δύνασθαι ἐβούλετο, καὶ διὰ τοῦτο οὔτε
τινὶ συμβούλῳ ἐχρῆτο καὶ τοῖς χρηστόν τι εἰδόσιν ἐφθόνει. ἐφίλησε
μὲν γὰρ οὐδένα πώποτε, ἐμίσησε δὲ πάντας τοὺς προφέροντας ἔν
τινι, μάλιστα δὲ οὓς μάλιστα ἀγαπᾶν προσεποιεῖτο· καὶ αὐτῶν 6

3 5 ἀπολοῦμεν*, καλοῦμεν M p. 229 11 1 2 ὅτι ὁ Ἰούλιος Παῦλος ὑπατικὸς ἀνὴρ ψίθυρος καὶ σκωπτικὸς καὶ οὐδὲ αὐτῶν τῶν αὐτοκρατόρων ἀπεχόμενος, ὃν καὶ ὁ Σεβῆρος φυλακῇ ἀδέσμῳ παραδέδωκεν. ὡς δὲ ἐν φρουραῖς ὢν ἀπέσκωπτεν εἰς τοὺς βασιλεῖς, μεταπεμψάμενος ὁ Σεβῆρος ὤμνυ τὴν κεφαλὴν αὐτοῦ ἐντεμεῖν (ἀποτεμεῖν?*). ὁ δὲ ἀπεκρίνατο "ἐντεμεῖν αὐτὴν δύνασαι, ἐφ' ὅσον δὲ αὐτὴν ἔχω, οὔτε σὺ οὔτε ἐγὼ κατασχεῖν αὐτῆς δυνάμεθα," ὥστε γελάσαντα τὸν Σεβῆρον ἀπολῦσαι αὐτόν. M p. 229

συχνοὺς καὶ διέφθειρε τρόπον τινά. ἐφόνευσε μὲν γὰρ καὶ ἐκ τοῦ
φανεροῦ πολλούς· ἤδη δὲ καὶ πέμπων τινὰς ἐς ἔθνη μὴ ἐπιτήδεια
7 σφίσιν, ἀλλ' ἐναντίαν τῇ τοῦ σώματος αὐτῶν καταστάσει τὴν τοῦ
ἀέρος ἀκρασίαν ἔχοντα, οὕτως αὐτοὺς ὡς καὶ πάνυ τιμῶν ὑπεξῄρει,
τοὺς μὲν καύμασι τοὺς δὲ ψύχεσιν ἀκράτοις, οἷς οὐκ ἔχαιρεν, ἐκ-
διδούς. εἰ δ' οὖν καὶ ἐφείδετο τινῶν μὴ ἀποκτεῖναί σφας, ἀλλ'
ἐπίεζέ γε αὐτοὺς ὥστε καὶ κηλιδοῦσθαι. V p. 746.

12 τὸ μὲν οὖν σύμπαν τοιοῦτος ἦν· ἐν δὲ τοῖς πολέμιοις ὁποῖος,
ἐροῦμεν. ἠπατηκὼς γὰρ τὸν βασιλέα τῶν Ὀσροηνῶν Αὔγαρον ὡς
δὴ παρὰ φίλον αὐτὸν ἥκειν, ἔπειτα συλλαβὼν ἔδησε, καὶ τὴν Ὀσροη-
νὴν οὕτως ἀβασίλευτον οὖσαν λοιπὸν ἐχειρώσατο. τὸν δὲ τῶν Ἀρ-
μενίων βασιλέα διαφερόμενον μετὰ τῶν ἰδίων παίδων ἐκάλεσε μὲν
φιλικοῖς γράμμασιν ὡς δὴ εἰρηνεύσων αὐτούς, ἔδρασε δὲ καὶ περὶ
2 τούτους ἃ καὶ περὶ τὸν Αὔγαρον. οὐ μὴν καὶ οἱ Ἀρμένιοι προσ-
εχώρησαν αὐτῷ, ἀλλ' ἐς ὅπλα ἐχώρησαν, καὶ οὐκέτ' οὐδεὶς αὐτῷ τὸ
παράπαν οὐδὲν ἐπίστευσεν, ὥστε καὶ ἔργῳ αὐτὸν ἐκμαθεῖν ὅσον
αὐτοκράτορι ζημίωμά ἐστι τό τι ἀπατηλὸν πρὸς φίλους πρᾶξαι.
3 οὐκ ὤκνησε δὲ γράψαι πρὸς τὸ συνέδριον καὶ περὶ τῶν ἐν Πάρθοις
βασιλευόντων, ἀδελφῶν τε ὄντων καὶ πρὸς ἀλλήλους στασιαζόντων,
ὅτι ἡ τῶν ἀδελφῶν διαφορὰ μέγα τι κακὸν τὸ κοινὸν τῶν Πάρθων
ἐργάσεται, ὥσπερ που τῶν μὲν βαρβαρικῶν πραγμάτων φθαρῆναι
διὰ τοῦτο δυναμένων, τῶν δὲ Ῥωμαϊκῶν σεσωσμένων ἀλλ' οὐκ ἄρ-
4 δην τρόπον τινὰ ἀνατετραμμένων, οὐ κατ' ἐκεῖνο μόνον ὅτι ἐπὶ με-
γάλῳ τῶν ἀνθρώπων κακῷ τοσαῦτα καὶ τοιαῦτα τῆς τοῦ ἀδελφοῦ
σφαγῆς ὑποφόνια τοῖς στρατιώταις ἐδεδώκει, ἀλλ' ὅτι καὶ πάμπολ-
λοι ἐσυκοφαντήθησαν, οὐχ ὅπως οἱ ἐπιστείλαντές τι ἢ δωροφορή-
σαντες αὐτῷ ἢ Καίσαρι ἔτι ὄντι ἢ καὶ αὐτοκράτορι γενομένῳ, ἀλλὰ
5 καὶ οἱ λοιποὶ οἷς μηδεπώποτε πρᾶγμα πρὸς αὐτὸν ἐγεγόνει. καὶ εἴ
γέ τις ἔγραψε τὸ ὄνομα τὸ τοῦ Γέτα μόνον ἢ εἶπε μόνον, εὐθὺς
ἀπώλετο. ὅθεν οὐδ' ἐν ταῖς κωμῳδίαις οἱ ποιηταὶ ἔτι αὐτῷ ἐχρῶντο·
καὶ γὰρ καὶ αἱ οὐσίαι πάντων ὧν ἐν ταῖς διαθήκαις αὐτοῦ τὸ ὄνομα
γεγραμμένον εὑρέθη ἐδημοσιώθησαν.

12 1 2 ὅτι Ἄγβαρος ὁ τῶν Ὀσροηνῶν βασιλεὺς ἐπειδὴ ἅπαξ ἐγκρατὴς τῶν ὁμοφύλων ἐγένετο, οὐδὲν ὅ τι τῶν δεινοτάτων τοὺς προέχοντας αὐτῶν οὐκ ἐξειργάσατο. λόγῳ μὲν ἐς τὰ τῶν Ῥωμαίων ἔθη μεθίστασθαι ἠνάγκαζεν, ἔργῳ δὲ τῆς κατ' αὐτῶν ἐξουσίας ἀπλήστως ἐνεφορεῖτο. V
2 2 αὐτῶν* 3 1 ὅτι ὁ αὐτὸς μέγιστον ἐμεγαλοφρόνει ὅτι τοῦ Ὀλογαίσου τοῦ τῶν Πάρθων βασιλέως τελευτήσαντος οἱ παῖδες περὶ τῆς βασιλείας ἐμάχοντο, ὡς ἐξ ἰδίας παρασκευῆς τὸ κατὰ τύχην συμβὰν γεγονὸς προσποιούμενος. οὕτω που σφόδρα ἀεὶ καὶ τῷ ἔργῳ καὶ τῇ διχοστασίᾳ τῇ τῶν ἀδελφῶν καὶ τῇ τῶν ἀλλοτρίων ἀλληλοφονίᾳ ἔχαιρεν. V
4 μὲν om 4 4 δορυφορήσαντες

Digitized by Google

"ὅτι πολλὰ καὶ ἀργυρολογίας ἕνεκα ἐποίει. V p. 746. 6

"ὅτι καὶ μῖσος πρὸς τὸν τετελευτηκότα ἀδελφὸν ἐπεδείκνυτο καταλύσας τὴν τῶν γενεσίων αὐτοῦ τιμήν, καὶ τοῖς τὰς εἰκόνας αὐτοῦ βαστάσασι λίθοις ὠργίζετο, καὶ τὸ νόμισμα τὸ προφέρον αὐτὸν συνεχώνευσεν. καὶ οὐδὲ ταῦτα ἀπέχρησεν αὐτῷ, ἀλλὰ καὶ τότε μάλιστα ἀνοσιουργεῖν ἐπετήδευσε καὶ τοὺς ἄλλους μιαιφονεῖν ἠνάγκαζεν, ὥσπερ τινὰ ἐναγισμὸν ἐτήσιον τῷ ἀδελφῷ ποιούμενος. ib.

ἐν μέντοι ταῖς ἀναγκαίαις καὶ κατεπειγούσαις στρατείαις λιτὸς 13
ἦν καὶ ἀπέριττος, τὰ μὲν διακονικὰ ὑπηρετήματα καὶ πάνυ ἀκριβῶς ἐξ ἴσου τοῖς ἄλλοις διαπονούμενος (καὶ γὰρ συνεβάδιζε τοῖς στρατιώταις καὶ συνέτρεχε, μὴ λουτρῷ χρώμενος, μὴ τὴν ἐσθῆτα ἀλλάσσων, ἀλλὰ καὶ πᾶν ἔργον συνεργαζόμενος καὶ πᾶσαν τροφὴν τὴν αὐτὴν ἐκείνοις αἱρούμενος· καὶ πολλάκις καὶ πρὸς τοὺς προ- 2
έχοντας τῶν πολεμίων πέμπων προεκαλεῖτο αὐτοὺς ἐς μονομαχίαν), τὰ δὲ δὴ στρατηγικά, ὧν πέρ που καὶ μάλιστα διαπεφυκέναι αὐτὸν ἐχρῆν, ἥκιστα καλῶς μεταχειριζόμενος, ὡς ἂν τῆς νίκης ἐν ἐκείνοις τοῖς ὑπηρετήμασιν ἀλλ' οὐκ ἐν ταύτῃ τῇ ἐπιστήμῃ οὔσης.

"ὅτι τοιαῦτα ἐπὶ τῷ ἐκείνου φόνῳ φρονῶν καὶ πράττων ἔχαιρε 3
τῇ τῶν βαρβάρων ἀδελφῶν διχοστασίᾳ ὡς καὶ μέγα τι κακὸν ἐκ a. C. 213
τούτου τῶν Πάρθων πεισομένων. οὐ μέντοι καὶ τὰ Κελτικὰ ἔθνη οὔθ' ἡδονὴν οὔτε σοφίας ἢ ἀνδρίας προσποίησίν τινα ἤνεγκεν, ἀλλὰ καὶ πάνυ καὶ ἀπατεῶνα καὶ εὐήθη καὶ δειλότατον αὐτὸν ἐξήλεγξεν ὄντα. V p. 749.

"ὅτι ὁ Ἀντωνῖνος ἐς τοὺς Ἀλαμαννοὺς στρατεύσας διέταττεν, 4
εἴ πού τι χωρίον ἐπιτήδειον πρὸς ἐνοίκησιν εἶδεν, "ἐνταῦθα φρούριον τειχισθήτω." καὶ ἐπωνυμίας γέ τινας τοῖς τόποις ἀφ' ἑαυτοῦ ἐπωνόμαζε, τῶν ἐπιχωρίων μὴ ἀλλοιουμένων· οἱ μὲν γὰρ ἠγνόουν, οἱ δὲ παίζειν αὐτὸν ἐδόκουν. ἐξ οὗ δὴ καταφρονήσας αὐτῶν οὐδ' 5
ἐκείνων ἀπέσχετο, ἀλλ' οἷς συμμαχήσων ἀφῖχθαι ἔλεγε, τούτους τὰ τῶν πολεμιωτάτων ἔδρασεν· συνεκάλεσε γὰρ τὴν ἡλικίαν αὐτῶν ὡς καὶ μισθοφορήσουσαν, καὶ πᾶσαν ἀπὸ παραγγέλματος, αὐτὸς τὴν ἀσπίδα ἀναδείξας, ἐνεκυκλώσατο καὶ κατέκοψε, καὶ τοὺς λοιπούς, περιπέμψας ἱππέας, συνέλαβεν. ib.

"ὅτι ὁ Ἀντωνῖνος Πανδίονα, ἄνδρα πρότερον μὲν ἡνιόχων ὑπη- 6
ρέτην γενόμενον, ἐν δὲ τῷ πολέμῳ τῷ πρὸς Ἀλαμαννοὺς ἁρματηλατοῦντα αὐτῷ καὶ κατὰ τοῦτο καὶ ἑταῖρον ὄντα καὶ συστρατιώτην, ἐπῄνει τε ἐν τῇ γερουσίᾳ διὰ γραμμάτων ὡς καὶ ἐκ κινδύνου τινὸς

6 6 αὐτὸς τότε? 13 1 1 ἀνάγκαις 3 4 ἡδονήν οἱ οὔτε?*
4 4 ἐναντιουμένων?*

ἐξαισίου ὑπ' αὐτοῦ σωθείς, οὐδ' ᾐσχύνθη πλείονα ἐκείνῳ χάριν ἢ τοῖς στρατιώταις, οὓς καὶ ἡμῶν ἀεὶ κρείττους ἦγεν, ἔχων. V p. 749.

7 "ὅτι τῶν ἐλλογιμωτάτων οὓς ἔσφαξεν ὁ Ἀντωνῖνος ἀτάφους τινὰς ῥίπτεσθαι ἐκέλευσεν. ib.

"ὅτι τὸ τοῦ Σύλλου μνημεῖον ἀναζητήσας ἐπεσκεύαζε, τῷ τε Μεσομήδει τῷ τοὺς κιθαρῳδικοὺς νόμους συγγράψαντι κενοτάφιον ἔχωσε, τῷ μὲν ὅτι καὶ κιθαρῳδεῖν ἐμάνθανεν, ἐκείνῳ δὲ ὅτι τὴν ὠμότητα αὐτοῦ ἐζήλου. ib.

14 ἐπολέμησε καὶ πρός τινας Κέννους, Κελτικὸν ἔθνος· οὓς λέγεται μετὰ τοσούτου θυμοῦ προσπεσεῖν τοῖς Ῥωμαίοις ὥστε καὶ τὰ βέλη, οἷς ὑπὸ τῶν Ὀσροηνῶν ἐτιτρώσκοντο, τοῖς στόμασιν ἐκ τῶν σαρκῶν ἀποσπᾶν, ἵνα μὴ τὰς χεῖρας ἀπὸ τῶν σφαγῶν αὐτῶν ἀπο-
2 διατρίβωσιν. οὐ μέντοι ἀλλὰ καὶ αὐτοὶ τὸ τῆς ἥττης ὄνομα πολλῶν χρημάτων ἀποδόμενοι συνεχώρησαν αὐτῷ ἐς τὴν Γερμανίαν ἀποσωθῆναι. τούτων γυναῖκες ἁλοῦσαι ὑπὸ τῶν Ῥωμαίων, ἐρωτήσαντος αὐτὰς τοῦ Ἀντωνίνου πότερον πραθῆναι ἢ φονευθῆναι βούλονται, τοῦθ' εἵλοντο· ἔπειτ' ἀπεμποληθεῖσαι πᾶσαι μὲν αὐταὶ ἑαυτάς, εἰσὶ δ' αἳ καὶ τὰ τέκνα ἀπέκτειναν.

3 "ὅτι πολλοὶ καὶ τῶν παρ' αὐτῷ τῷ ὠκεανῷ περὶ τὰς τοῦ Ἄλβιδος ἐκβολὰς οἰκούντων ἐπρεσβεύσαντο πρὸς αὐτὸν φιλίαν αἰτοῦντες, ἵνα χρήματα λάβωσιν. ἐπειδὴ γὰρ οὕτως ἐπεπράχει, συχνοὶ αὐτῷ ἐπέθεντο πολεμήσειν ἀπειλοῦντες, οἷς πᾶσι συνέθετο. καὶ γὰρ εἰ παρὰ γνώμην αὐτοῖς ἐλέγετο, ἀλλ' ὁρῶντες τοὺς χρυσοῦς
4 ἐδουλοῦντο· ἀληθεῖς γὰρ τοὺς χρυσοῦς αὐτοῖς ἐδωρεῖτο. τοῖς δὲ δὴ Ῥωμαίοις κίβδηλον καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεῖχεν·" τὸ μὲν γὰρ ἐκ μολίβδου καταργυρούμενον, τὸ δὲ καὶ ἐκ χαλκοῦ καταχρυσούμενον ἐσκευάζετο.

15 "ὅτι ὁ αὐτὸς τὰ μὲν ἄντικρυς ὡς καὶ καλὰ καὶ ἐπαίνου ἄξια, καὶ τὰ αἴσχιστα, ἐφανέρου, τὰ δὲ καὶ ἄκων δι' αὐτῶν ὧν ἀντικατεσκεύαζεν ἐξέφαινεν, ὥσπερ που καὶ περὶ τῶν χρημάτων. V p. 750.

2 "ὅτι πᾶσαν μὲν τὴν γῆν πᾶσαν δὲ τὴν θάλασσαν ἐπόρθησεν ὁ Ἀντωνῖνος, καὶ οὐδὲν ὅ τι τῶν ἁπάντων ἀκάκωτον κατέλιπεν. ib.

"ὅτι τὸν Ἀντωνῖνον ἔκφρονα καὶ παραπλῆγα αἱ τῶν πολεμίων ἐπῳδαὶ πεποιήκεσαν· ἀκούοντες γάρ τινες τῶν Ἀλαμαννῶν ἔφασαν ὅτι μαγγανείαις τισὶν ἐπ' ἐκπλήξει τῶν φρενῶν αὐτοῦ κέχρηνται."
3 ἐνόσει μὲν γὰρ καὶ τῷ σώματι τὰ μὲν ἐμφανέσι τὰ δὲ καὶ ἀρρήτοις ἀρρωστήμασιν, ἐνόσει δὲ καὶ τῇ ψυχῇ πικροῖς τισὶ φαντά-

6 6 ἦγεν, ἔχων] εἶχεν* 14 2 3 ὅτι τῶν Χάττων αἱ γυναῖκες καὶ τῶν Ἀλαμαννῶν οὐ μὴν ὅσαι γε καὶ ἑάλωσαν δουλοπρεπές τι ὑπέμειναν, ἀλλὰ πυθομένου τοῦ — V p. 749 3 1 " " V p. 750 15 2 1 μὲν om*

σμασι, καὶ πολλάκις γε καὶ ἐλαύνεσθαι ὑπό τε τοῦ πατρὸς ὑπό
τε τοῦ ἀδελφοῦ ξιφηρῶν ἐδόκει. καὶ διὰ ταῦτα ἐψυχαγώγησε 3
μέν, ὅπως τινὰ ἄκεσιν αὐτῶν λάβῃ, ἄλλας τέ τινας καὶ τὴν τοῦ
πατρὸς τοῦ τε Κομμόδου ψυχήν, εἶπε δ' οὐδεὶς οὐδὲν αὐτῷ πλὴν
τοῦ Κομμόδου· "τῷ γὰρ Σεβήρῳ καὶ ὁ Γέτας, ὥς φασί, καὶ ἄκλη-
τος ἐφέσπετο. οὐ μὴν οὐδ' ἐκεῖνος ἐξέφηνεν ὠφελῆσαι αὐτόν, ἀλλὰ
καὶ πᾶν τοὐναντίον, ὥστε καὶ προσεκφοβῆσαι·" ἔφη γὰρ ταῦτα, 4
"στεῖχε δίκης ἆσσον, "θεοῦ δίκης αἰτοῦσι Σεβήρῳ,"" εἶθ' ἕτερόν
τι, καὶ ἐπὶ τελευτῆς "ἐν κρυφίοισι τόποισιν ἔχων δυσαλθέα νοῦσον."
"ἐπὶ μὲν δὴ τούτοις δημοσιευθεῖσι πολλοὶ ἐπηρεάσθησαν· ἐκείνῳ a.C. 215
δὲ οὐδεὶς οὐδὲ τῶν θεῶν οὐδὲν οὔτε ἐς τὴν τοῦ σώματος οὔτε ἐς
τὴν τῆς ψυχῆς ἴασιν φέρον, καίτοι πάντας τοὺς ἐπιφανεστάτους
θεραπεύσαντι, ἔχρησεν. ἀφ' οὗπερ ἐναργέστατα διεδείχθη ὅτι μήτε 5
τοῖς ἀναθήμασι μήτε ταῖς θυσίαις ἀλλὰ τοῖς βουλήμασι καὶ ταῖς
πράξεσιν αὐτοῦ προσεῖχον. οὔτε γὰρ ὁ Ἀπόλλων ὁ Γράννος οὔθ'
ὁ Ἀσκληπιὸς οὔθ' ὁ Σάραπις καίπερ πολλὰ μὲν ἱκετεύσαντι αὐτῷ
πολλὰ δὲ καὶ προσκαρτερήσαντι ὠφέλησεν. ἔπεμψε γὰρ αὐτοῖς καὶ 6
ἀποδημῶν καὶ εὐχὰς καὶ θυσίας καὶ ἀναθήματα, καὶ πολλοὶ καθ'
ἑκάστην οἱ τοιοῦτό τι φέροντες διέθεον· ἦλθε δὲ καὶ αὐτὸς ὡς καὶ
τῇ παρουσίᾳ τι ἰσχύσων, καὶ ἔπραξε πάνθ' ὅσα οἱ θρησκεύοντες
ποιοῦσιν, ἔτυχε δ' οὐδενὸς τῶν ἐς ὑγίειαν τεινόντων.

"ὅτι λέγων εὐσεβέστατος πάντων ἀνθρώπων εἶναι περιττότητι 16
μιαιφονίας ἐχρήσατο," τῶν ἀειπαρθένων τέσσαρας ἀποκτείνας, ὧν
μίαν αὐτός, ὅτε γε καὶ ἐδύνατο, ᾔσχύγκει· ὕστερον γὰρ ἐξησθένησεν
αὐτῷ πᾶσα ἡ περὶ τὰ ἀφροδίσια ἰσχύς. ἀφ' οὗπερ καὶ ἕτερόν τινα 2
τρόπον αἰσχρουργεῖν ἐλέγετο, "καὶ ἀπ' αὐτοῦ καὶ ἕτεροι τῶν ὁμοιο-
τρόπων, οἱ οὐχ ὅτι ὡμολόγουν τοιοῦτό τι ποιεῖν, ἀλλὰ καὶ ὑπὲρ
τῆς σωτηρίας δὴ τῆς ἐκείνου πράττειν ταῦτα ἔφασκον." ἡ δὲ δὴ
κόρη αὕτη, περὶ ἧς λέγω, Κλωδία Λαῖτα ὠνομάζετο· ἥτις καὶ 3
μέγα βοῶσα "οἶδεν αὐτὸς Ἀντωνῖνος ὅτι παρθένος εἰμί, "οἶδεν αὐ-
τὸς ὅτι καθαρεύω"" ζῶσα κατωρύγη. "καὶ συνεκοινώνησαν αὐτῇ
καὶ ἕτεραι τρεῖς τῆς καταδίκης, ὧν αἱ μὲν δύο, Αὐρηλία τε Σεβῆρα
καὶ Πομπωνία Ῥουφῖνα, ὁμοίως ἀπέθανον, Κανουτία δὲ Κρησκεν-
τῖνα ἑαυτὴν ἄνωθεν ἀπὸ τῆς οἰκίας ἔρριψεν.

ὅτι καὶ περὶ τῶν μοιχευόντων τὸ αὐτὸ ἐποίει· μοιχικώτατος 4
γὰρ ἀνδρῶν, ἐς ὅσον γε καὶ ἠδυνήθη, γενόμενος τοὺς ἄλλους τοι-
αύτην αἰτίαν ἔχοντας καὶ ἤχθαιρε καὶ ἐφόνευε παρὰ τὰ νενομισμένα.

3 5 τὸ ὠφελῆσον?* 4 2 βαῖνε V θεοὶ ἣν σ'? 3 ἐν om* δυσαπαλθέα?* 5 4 μὲν om* 6 3 οἱ] ὅτι
16 1 3 μίαν βίᾳ ὅσα γε X

καὶ πᾶσι τοῖς ἀγαθοῖς ἀνδράσιν ἀχθόμενος τιμᾶν τινὰς αὐτῶν ἀποθανόντας ἐπλάττετο. V p. 754.

5 "ὅτι νεανίσκος τις ἱππεὺς νόμισμα τὴν εἰκόνα αὐτοῦ ἐς πορνεῖον ἐσήνεγκεν, ἐνέδειξαν· ἐφ' ᾧ δὴ τότε μὲν ὡς καὶ θανατωθησόμενος ἐδέθη, ὕστερον δὲ τελευτῆσαι φθάσαντος αὐτοῦ ἀπελύθη. V p. 753.

6 "ὅτι Ἀντωνῖνος Κορνιφικίαν μέλλων ἀναιρεῖν, ὡς δῆθεν τιμῶν ἐκέλευσεν αὐτὴν ἑλέσθαι θάνατον ὃν βούλεται ἀποθανεῖν. ἡ δὲ κλαύσασα πολλά, καὶ μνησθεῖσα τοῦ πατρὸς Μάρκου καὶ τοῦ πάππου Ἀντωνίνου καὶ τοῦ ἀδελφοῦ Κομμόδου, τέλος ἐπήγαγε ταῦτα "ὦ δυστυχὲς ψυχίδιον ἐν πονηρῷ σώματι καθειργμένον, ἔξελθε, ἐλευθερώθητι. δεῖξον αὐτοῖς ὅτι Μάρκου θυγάτηρ εἶ, κἂν μὴ ἐθέλωσιν." καὶ ἀποθεμένη πάντα τὸν κόσμον ὃν περιεβέβλητο, καὶ εὐθετήσασα ἑαυτήν, τὰς φλέβας ἀπέτεμε καὶ ἀπέθανεν. M p. 230.

7 "ὅτι ἐς τὴν Θρᾴκην ἀφίκετο ὁ Ἀντωνῖνος μηδὲν ἔτι τῆς Δακίας φροντίσας, καὶ τὸν Ἑλλήσποντον οὐκ ἀκινδύνως διαβαλὼν τόν τε Ἀχιλλέα καὶ ἐναγίσμασι καὶ περιδρομαῖς ἐνοπλίοις καὶ ἑαυτοῦ καὶ τῶν στρατιωτῶν ἐτίμησε, καὶ ἐπὶ τούτῳ ἐκείνοις τε, ὡς καὶ μέγα τι κατωρθωκόσι καὶ τὸ Ἴλιον ὡς ἀληθῶς αὐτὸ τὸ ἀρχαῖον ᾑρηκόσι, χρήματα ἔδωκε, καὶ αὐτὸν τὸν Ἀχιλλέα χαλκοῦν ἔστησεν. V p. 754.

17 ἐδίκαζε μὲν οὖν ἤ τι ἢ οὐδέν, τὸ δὲ δὴ πλεῖστον τοῖς τε ἄλλοις
καὶ τῇ φιλοπραγμοσύνῃ ἐσχόλαζεν. πάντα γὰρ δή οἱ πανταχόθεν
καὶ τὰ βραχύτατα ἀνηγγέλλετο· καὶ διὰ τοῦτο καὶ τοὺς στρατιώτας
τοὺς ὠτακουστοῦντάς τε καὶ διοπτεύοντας αὐτὰ προσέταξεν ὑπὸ
2 μηδενὸς πλὴν ὑφ' ἑαυτοῦ κολάζεσθαι. καὶ ἐγίνετο κατὰ τοῦτο οὐ-
δὲν χρηστόν, ἀλλ' ἐτυράννησαν ἡμῶν καὶ ἐκεῖνοι. καὶ ὅ γε μάλιστα
καὶ ἀσχημονέστατον καὶ ἀναξιώτατον καὶ τῆς γερουσίας καὶ τοῦ
δήμου Ῥωμαίων ἐγένετο, καὶ εὐνοῦχος ἡμῶν, τὸ γένος Ἴβηρ, τὸ δὲ
ὄνομα Σεμπρώνιος Ῥοῦφος, τὸν δὲ δὴ τρόπον φαρμακεὺς καὶ γόης,
ἐφ' ᾧ δὴ καὶ ὑπὸ Σεουήρου ἐς νῆσον κατεκέκλειστο, κατεκράτησεν.
3 καὶ ὁ μὲν ἔμελλέ που δίκην ἐπὶ τούτῳ δώσειν ὥσπερ καὶ οἱ ἄλλοι
οἱ ἐνδείξαντες τινάς· ἐκεῖνος δὲ ἐπήγγελλε μὲν ὡς καὶ μετὰ τὴν ἕω
αὐτίκα δικάσων ἢ καὶ ἄλλο τι δημόσιον πράξων, παρέτεινε δὲ ἡμᾶς
καὶ ὑπὲρ τὴν μεσημβρίαν καὶ πολλάκις καὶ μέχρι τῆς ἑσπέρας,
μηδ' ἐς τὰ πρόθυρα ἐσδεχόμενος ἀλλ' ἔξω που ἑστῶτας· ὀψὲ γάρ
4 ποτε ἔδοξεν αὐτῷ μηκέτι μηδ' ἀσπάζεσθαι ἡμᾶς ὡς πλήθει. ἐν δὲ
τούτῳ τά τε ἄλλα ἐφιλοπραγμόνει ὥσπερ εἶπον, καὶ ἅρματα ἤλαυνε
θηρία τε ἔσφαζε καὶ ἐμονομάχει καὶ ἔπινε καὶ ἐκραιπάλα, καὶ τοῖς
στρατιώταις τοῖς τὴν ἔνδον αὐτοῦ φρουρὰν ἔχουσι καὶ κρατῆρας

5 1 αὐτοῦ προφέρον ἐς?* 2 ἔδειξαν 17 1 2 πολυπραγμοσύνῃ?* cf. l. 78 15 4 2 ἐπολυπραγμόνει?* 3 ἔσφαζε*

πρὸς τῇ ἄλλῃ τροφῇ ἐκεράννυε καὶ κύλικας παρόντων καὶ ἡμῶν
καὶ ὁρώντων διέπεμπε, καὶ μετὰ τοῦτο ἔστιν ὅτε καὶ ἐδίκαζεν.
ταῦτά τε ἐν τῇ Νικομηδείᾳ χειμάσας ἔπραξε, καὶ τὴν φάλαγγα 18
τὴν Μακεδονικὴν ἐξήσκησε, μηχανήματά τε δύο μέγιστα πρός τε
τὸν Ἀρμενικὸν καὶ πρὸς τὸν Παρθικὸν πόλεμον κατεσκεύασεν, ἵνα
διαλύσας αὐτὰ ἐπὶ πλοίων ἐς τὴν Συρίαν ἀποκομίσῃ. τὰ δὲ ἄλλα
ἐμιαιφόνει καὶ παρηνόμει καὶ τὰ χρήματα κατανήλισκεν. οὐδ᾽ ἐπεί- 2
θετο οὔτε περὶ τούτων οὔτε περὶ τῶν ἄλλων τῇ μητρὶ πολλὰ καὶ
χρηστὰ παραινούσῃ, καίτοι καὶ τὴν τῶν βιβλίων τῶν τε ἐπιστολῶν
ἑκατέρων, πλὴν τῶν πάνυ ἀναγκαίων, διοίκησιν αὐτῇ ἐπιτρέψας,
καὶ τὸ ὄνομα αὐτῆς ἐν ταῖς πρὸς τὴν βουλὴν ἐπιστολαῖς ὁμοίως
τῷ τε ἰδίῳ καὶ τῷ τῶν στρατευμάτων, ὅτι σώζεται, μετ᾽ ἐπαίνων
πολλῶν ἐγγράφων. τί γὰρ δεῖ λέγειν ὅτι καὶ ἠσπάζετο δημοσίᾳ 3
πάντας τοὺς πρώτους καθάπερ καὶ ἐκεῖνος; ἀλλ᾽ ἡ μὲν καὶ μετὰ
τούτων ἔτι μᾶλλον ἐφιλοσόφει, ὁ δὲ ἔλεγε μὲν μηδενὸς ἔξω τῶν
ἀναγκαίων προσδεῖσθαι, καὶ ἐπὶ τούτῳ καὶ ἐσεμνύνετο ὡς ὅτι εὐ-
τελεστάτῃ τῇ διαίτῃ χρῆσθαι δυνάμενος, ἦν δὲ οὐδὲν οὐκ ἐπίγειον,
οὐ θαλάττιον, οὐκ ἀέριον, ὃ μὴ οὐ καὶ ἰδίᾳ καὶ δημοσίᾳ αὐτῷ
παρείχομεν. "καὶ ἀπ᾽ αὐτῶν ἐλάχιστα μὲν τοῖς φίλοις τοῖς συνοῦσίν 4
οἱ ἀνήλισκεν (οὐδὲ γὰρ συσσιτεῖν ἔθ᾽ ἡμῖν ἤθελεν), τὰ δὲ δὴ πλείω
μετὰ τῶν ἐξελευθέρων ἐδαπάνα." τοῖς δὲ μάγοις καὶ γόησιν οὕτως
ἔχαιρεν ὡς καὶ Ἀπολλώνιον τὸν Καππαδόκην τὸν ἐπὶ τοῦ Δομιτια-
νοῦ ἀνθήσαντα ἐπαινεῖν καὶ τιμᾶν, ὅστις καὶ γόης καὶ μάγος ἀκρι-
βὴς ἐγένετο, καὶ ἡρῷον αὐτῷ κατασκευάσαι.
ἐκστρατεύσαντι δὲ αὐτῷ κατὰ τῶν Πάρθων πρόφασις τοῦ 19
πολέμου ἦν ὅτι Ὀολόγαισος τόν τε Τηριδάτην καὶ Ἀντίοχόν τινα
μετ᾽ αὐτοῦ ἐξαιτήσαντι αὐτῷ οὐκ ἐξέδωκεν. ὁ δὲ Ἀντίοχος ὁ αὐτό-
μολος Κίλιξ μὲν ἦν καὶ φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάττετο,
καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ ὠφέλησεν·
ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν, ἔς 2
τε τὴν χιόνα ῥίπτων ἑαυτὸν καὶ ἐν αὐτῇ καλινδούμενος, ὅθεν περ
καὶ χρημάτων καὶ τιμῶν καὶ παρ᾽ αὐτοῦ τοῦ Σεβήρου καὶ παρὰ
τοῦ Ἀντωνίνου ἔτυχεν· ἐπαρθεὶς δὲ ἐπὶ τούτοις τῷ Τηριδάτῃ συν-
εξητάσθη, καὶ μετ᾽ αὐτοῦ πρὸς τὸν Πάρθον ηὐτομόλησεν. πρὶν δὲ 3
ἀπᾶραι ἀπὸ Νικομηδείας, ἀγῶνα μονομαχίας ἐν αὐτῇ ἐπὶ τοῖς
ἑαυτοῦ γενεθλίοις ἐποίησεν· οὐδὲ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῶν φό-
νων ἀπείχετο. ἔνθα λέγεται, ἡττηθέντος τινὸς καὶ ἱκετεύοντος αὐτὸν
ὅπως σωθῇ, τὸν Ἀντωνῖνον εἰπεῖν "ἄπελθε καὶ τοῦ ἀντιπάλου δεή- 4
θητι· ἐμοὶ γὰρ οὐκ ἔξεστί σου φείσασθαι." καὶ οὕτως ὁ ἄθλιος, a.C. 216

18 4 1 " " V p. 754

τάχ᾽ ἂν ὑπὸ τοῦ ἀνταγωνιστοῦ σωθεὶς εἰ μὴ τοῦτο εἴρητο, διεφθάρη·
οὐ γὰρ ἐτόλμησεν αὐτὸν ἀφεῖναι, ἵνα μὴ καὶ φιλανθρωπότερος τοῦ
αὐτοκράτορος εἶναι δόξῃ.
20 καὶ μέντοι τοιαῦτα ποιῶν, καὶ ἐν τῇ Ἀντιοχείᾳ τρυφῶν ὥστε
καὶ τὸ γένειον πάνυ ψιλίζεσθαι, αὐτός τε ὠδύρετο ὡς ἐν μεγάλοις
δή τισι καὶ πόνοις καὶ κινδύνοις ὤν, καὶ τῇ γερουσίᾳ ἐπετίμα, τά
τε ἄλλα ῥᾳστωνεύειν σφᾶς λέγων καὶ μήτε συνιέναι προθύμως
2 μήτε κατ᾽ ἄνδρα τὴν γνώμην διδόναι. καὶ τέλος ἔγραψεν ὅτι οἶδα
μὲν ὅτι οὐκ ἀρέσκει τὰ ἐμὰ ὑμῖν· διὰ τοῦτο μέντοι καὶ ὅπλα καὶ
στρατιώτας ἔχω, ἵνα μηδὲν τῶν λογοποιουμένων ἐπιστρέφωμαι.
"ὅτι ὁ Ἀντωνῖνος ἑαυτὸν διέβαλε, φάσκων ὅτι τῶν Κελτῶν
τὴν θρασύτητα καὶ τὴν ἀπληστίαν τήν τε ἀπιστίαν, ἀνάλωτον οὖ-
σαν βίᾳ, ἀπατήσας εἰλήφει. V p. 754.
3 "ὅτι ὁ αὐτὸς τὸν μὲν Λουσκῖνον τὸν Φαβρίκιον ἐπῄνει ὅτι μὴ
ἠθέλησε τὸν Πύρρον διὰ τοῦ φίλου αὐτοῦ δολοφονῆσαι, ἐμεγαλο-
φρονεῖτο δὲ ἐπὶ τῷ τοὺς Ὀανδίλους καὶ τοὺς Μαρκομάνους φίλους
ὄντας ἀλλήλοις συγκεκρουκέναι, καὶ ὅτι καὶ τὸν τῶν Κουάδων βα-
4 σιλέα Γαϊοβόμαρον κατηγορηθέντα ἀπεκτόνει. καὶ ὅτι τῶν συνόντων
τις καὶ συγκατηγορουμένων αὐτῷ προαπήγξατο, ἐπέτρεψε τοῖς βαρ-
βάροις τὸν νεκρὸν αὐτοῦ κατατρῶσαι, ἵν᾽ ὡς καὶ καταδεδικασμένος
ἐσφάχθαι, ἀλλὰ μὴ ἑκουσίως, ὅπερ εὔδοξον παρ᾽ αὐτοῖς ἐνομίζετο,
τετελευτηκέναι νομισθείη. ib.
"ὅτι Καικίλιον Αἰμιλιανὸν τῆς Βαιτικῆς ἄρξαντα ὡς καὶ τῷ
Ἡρακλεῖ τῷ ἐν τοῖς Γαδείροις χρησάμενον ἀπέκτεινεν. ib.
21 τοῦ δὲ Πάρθου φοβηθέντος καὶ τὸν Τηριδάτην καὶ τὸν Ἀν-
τίοχον ἐκδόντος, ἀφῆκε τὴν στρατείαν ἐν τῷ παραυτίκα. ἐς δὲ τοὺς
Ἀρμενίους στείλας τὸν Θεόκριτον μετὰ στρατιᾶς ἰσχυρῶς ἔπταισε
2 παρ᾽ αὐτῶν ἡττηθείς. ἦν δὲ ὁ Θεόκριτος ἐκ δούλου γεγονὼς καὶ
τῇ ὀρχήστρᾳ ἐμπαιδοτριβηθείς, ἐς τοσαύτην μέντοι ἤλασε δυνα-
στείαν παρ᾽ Ἀντωνίνῳ ὡς μηδὲν εἶναι ἄμφω πρὸς αὐτὸν τοὺς ἐπάρ-
χους. τὰ δ᾽ ἴσα αὐτῷ καὶ Ἐπάγαθος, καισάρειος καὶ αὐτὸς ὤν,
3 καὶ ἐδύνατο καὶ παρηνόμει. ὁ γοῦν Θεόκριτος (διεφοίτα γὰρ ἄνω
καὶ κάτω τῆς τῶν ἐπιτηδείων καὶ παρασκευῆς καὶ καπηλείας ἕνε-
κεν) συχνοὺς διά τε ταῦτα καὶ ἄλλως ἀπέκτεινεν· μεθ᾽ ὧν καὶ

20 1 4 καὶ om* 2 3 μὴ M p. 231 3 1 μὲν om* λούκιον
21 2 1 ὅτι Θεόκριτος ὁ καισάρειος, δι᾽ οὗ ὀρχεῖσθαι ὁ Ἀντωνῖνος μεμάθηκε, καὶ παιδικὰ τοῦ Σαωτέρου ἐγεγόνει καὶ κατὰ [μετὰ?] τοῦτο καὶ ἐς τὸ τῶν Ῥωμαίων θέατρον ἐσῆκτο. ἐπεὶ δὲ κακῶς ἐν αὐτῷ ἐφέρετο, ἐκ μὲν τῆς Ῥώμης ἐξέπεσεν, ἐς δὲ τὸ Λούγδουνον ἐλθὼν ἐκείνους ἅτε καὶ ἀγροικοτέρους ἔτερπε, καὶ ἐκ δούλου καὶ ἐξ ὀρχηστοῦ καὶ στρατιάρχης καὶ ἔπαρχος ἐγένετο. V p. 757 3 1 δ᾽ οὖν?*

Digitized by Google

*Τιτιανὸς Φλάβιος ἐφονεύθη. ἐπιτροπεύων γὰρ ἐν τῇ Ἀλεξανδρείᾳ* 4
*προσέπταισέ τι αὐτῷ, κἀκεῖνος ἀναπηδήσας ἐκ τοῦ βάθρου τὸ ξί-*
*φος ἐσπάσατο· ἐφ᾽ ᾧ ὁ Τιτιανός "καὶ τοῦτο" εἶπεν "ὡς ὀρχηστὴς*
*ἐποίησας." ὅθεν ἐκεῖνος ὑπεραγανακτήσας ἀποσφαγῆναι αὐτὸν*
*ἐκέλευσεν.*

*ὁ δὲ Ἀντωνῖνος, καίτοι τὸν Ἀλέξανδρον ὑπεραγαπᾶν φάσκων,* 22
*τοὺς ἐκείνου πολίτας μικροῦ δεῖν πάντας ἄρδην ἀπώλεσεν. ἀκούων*
*γὰρ ὅτι διαβάλλοιτο καὶ σκώπτοιτο παρ᾽ αὐτῶν ἐπί τε τοῖς ἄλλοις*
*καὶ οὐχ ἥκιστα ἐπὶ τῇ ἀδελφοκτονίᾳ, ὥρμησεν ἐπὶ τὴν Ἀλεξάνδρειαν,*
*ἐπικρυπτόμενος τὴν ὀργὴν καὶ ποθεῖν αὐτοὺς προσποιούμενος. ἐπεὶ* 2
*δὲ ἐς τὸ προάστειον ἦλθε, τοὺς μὲν πρώτους αὐτῶν μεθ᾽ ἱερῶν*
*τινῶν ἀπορρήτων ἐλθόντας δεξιωσάμενος ὡς καὶ συνεστίους ποιῆσαι*
*ἀπέκτεινε, μετὰ δὲ τοῦτο πάντα τὸν στρατὸν ἐξοπλίσας ἐς τὴν πό-*
*λιν ἐνέβαλε, πᾶσι μὲν τοῖς τῇδε ἀνθρώποις προπαραγγείλας οἴκοι*
*μένειν, πάσας δὲ τὰς ὁδοὺς καὶ προσέτι καὶ τὰ τέγη προκατασχών.*
*καὶ ἵνα τὰς κατὰ μέρος συμφορὰς τὰς τότε κατασχούσας τὴν* 3
*ἀθλίαν πόλιν παρῶ, τοσούτους κατέσφαξεν ὥστε μηδ᾽ εἰπεῖν περὶ*
*τοῦ πλήθους αὐτῶν τολμῆσαι, ἀλλὰ καὶ τῇ βουλῇ γράψαι ὅτι οὐ-*
*δὲν διαφέρει πόσοι σφῶν ἢ τίνες ἐτελεύτησαν· πάντες γὰρ τοῦτο*
*παθεῖν ἄξιοι ἦσαν. τῶν δὲ χρημάτων τὰ μὲν διηρπάσθη τὰ δὲ*
*διεφθάρη. συναπώλοντο δ᾽ οὖν αὐτοῖς καὶ τῶν ξένων πολλοί, καὶ* 23
*συχνοί γε τῶν μετὰ τοῦ Ἀντωνίνου ἐλθόντων ἀγνοίᾳ συνδιεφθάρη-*
*σαν· τῆς τε γὰρ πόλεως μεγάλης οὔσης, καὶ τῶν ἀνθρώπων ἐν*
*πάσῃ ἅμα αὐτῇ καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν φονευομένων, οὐδένα,*
*οὐδ᾽ εἰ πάνυ τις ἐβούλετο, διακρῖναι ἐδύνατο, ἀλλὰ καὶ ἔθνησκον*
*ὥς που ἔτυχον, καὶ τὰ σώματά σφων αὐτίκα ἐς τάφρους βαθείας*
*ἐνεβάλλετο, ὅπως ἀφανὲς ᾖ τοῖς λοιποῖς τὸ μέγεθος τῆς συμφορᾶς.*
*ταῦτα μὲν οἱ ἐπιχώριοι ἔπαθον, οἱ δὲ δὴ ξένοι πάντες ἐξηλάθησαν* 2
*πλὴν τῶν ἐμπόρων, καὶ δῆλον ὅτι καὶ τὰ ἐκείνων πάντα διηρπάσθη·*
*καὶ γὰρ καὶ ἱερά τινα ἐσυλήθη. καὶ τούτων τὰ μὲν πλείω αὐτὸς*
*ὁ Ἀντωνῖνος παρὼν καὶ ὁρῶν ἐποίει, τὰ δὲ καὶ ἐκ τοῦ σεραπείου*
*προσέταττε τισίν· ἐν γὰρ τῷ τεμένει διῃτᾶτο κἀν ταῖς τῶν μιαι-*
*φονιῶν αὐτῶν νυξὶ καὶ ἡμέραις. καὶ τί τοῦτο εἶπον, ὁπότε καὶ τὸ* 3
*ξίφος δι᾽ οὗ τὸν ἀδελφὸν ἀπεκτόνει, ἀναθεῖναι τῷ θεῷ ἐτόλμησεν;*
*ἐκ δὲ τούτου τάς τε θέας καὶ τὰ συσσίτια τῶν Ἀλεξανδρέων κατα-*
*λύσας τὴν Ἀλεξάνδρειαν διοικισθῆναί τε καὶ φρουρίοις διατειχι-*

22 1 4 *ἐπὶ* om* 23 1 2 *τοῦ* om* 7 *ἐνεβάλλοντο**
2 5 *ὅτι τοὺς Ἀλεξανδρεῖς ἀποσφάττων ὁ Ἀντωνῖνος, καὶ ἐν τῷ τεμένει διαιτώμενος, ἐπέστειλε τῇ γερουσίᾳ ὅτι ἥγνευσεν ἐν αὐταῖς ἐν αἷς τά τε βοσκήματα ἅμα τῷ θεῷ καὶ τοὺς ἀνθρώπους ἑαυτῷ (ἐν αὐτῷ*) ἔθυεν.* V p. 757 3 4 *διατειχισθῆναί**



Digitized by Google

4 σθῆναι ἐκέλευσεν, ὅπως μηκέτ' ἀδεῶς παρ' ἀλλήλους φοιτῷεν. τοι-
αῦτα περὶ τὴν ταλαίπωρον Ἀλεξάνδρειαν ἔδρασεν ὁ Αὐσόνιος θήρ,
ὡς τὸ ἀκροτελεύτιον τοῦ περὶ αὐτοῦ χρησμοῦ τοῦτον ὠνόμασεν, ᾧ
καὶ χαίρειν ἔφασαν αὐτόν, τῇ τοῦ θηρὸς κλήσει καλλωπιζόμενον,
εἰ καὶ πολλοὺς προφάσει τοῦ χρησμοῦ ἐφόνευσεν ὡς προενεγκαμέ-
νους αὐτόν.

24 "ὅτι ὁ αὐτὸς τοῖς στρατιώταις ἆθλα τῆς στρατείας, τοῖς μὲν
ἐν τῷ δορυφορικῷ τεταγμένοις ἐς χιλίας διακοσίας πεντήκοντα, τοῖς
δὲ πεντακισχιλίας λαμβάνειν, ... V p. 757.

2 "ὅτι ὁ σώφρων ἐκεῖνος, ὥς γε καὶ ἔλεγεν, ὁ τῆς τῶν ἄλλων
ἀσελγείας ἐπιτιμητής, αἰσχίστου τε ἅμα καὶ δεινοτάτου τολμήματος
γενομένου ἔδοξε μὲν ὀργὴν πεποιῆσθαι, τῷ δὲ δὴ μήτ' ἐκείνῃ κατ'
ἀξίαν ἐπελθεῖν καὶ τοῖς νεανίσκοις προσεπιτρέψαι ποιεῖν ἃ μηδεὶς
μέχρι τότε τετολμήκει, πολύ σφισιν ἐλυμήνατο μιμησαμένοις τὰ
τῶν ἑταιρῶν γυναικῶν καὶ τὰ τῶν ἀνδρῶν τῶν γελωτοποιῶν. ib.

3 "ὅτι ἐπὶ τῇ θέᾳ τῇ Κουλήνῃ ἐπηγορία πολλὴ οὐχ ὅτι τοῖς
ποιοῦσιν ἐκεῖ τι τῶν εἰωθότων ἀλλὰ καὶ τοῖς ὁρῶσιν ἐγίγνετο. ib.

OH μετὰ δὲ ταῦτα ἐς τοὺς Πάρθους στρατεύσας πρόφασιν ὅτι οὐκ
ἠθέλησεν αὐτῷ ὁ Ἀρτάβανος τὴν θυγατέρα μνηστευσαμένῳ συνοι-
κίσαι (καὶ γὰρ εὖ ἠπίστατο ὅτι λόγῳ μὲν ἐκείνην γῆμαι, ἔργῳ δὲ
2 τὴν τῶν Πάρθων βασιλείαν παρασπάσασθαι ἐπεθύμει), πολλὰ μὲν
τῆς χώρας τῆς περὶ τὴν Μηδίαν, ἅτε καὶ ἐξαπιναίως ἐμπεσὼν ἐς
αὐτήν, ἐκάκωσε, πολλὰ δὲ καὶ τείχη ἐπόρθησε, τά τε Ἄρβηλα πα-
ρεστήσατο, καὶ τὰ μνημεῖα τὰ βασιλικὰ τῶν Πάρθων ἀνορύξας τὰ
3 ὀστᾶ ἔρριψεν· οἱ γὰρ Πάρθοι οὐδ' ἐς χεῖρας αὐτῷ ἦλθον. οὔκουν
οὐδ' ἔσχον τι ἐξαίρετον περὶ τῶν τότε πραχθέντων συγγράψαι,
πλὴν ὅτι δύο στρατιῶται ἀσκὸν οἴνου ἁρπάσαντες προσῆλθον αὐτῷ,
ἰδιούμενος ὅλον ἑκάτερος τὸ λάφυρον, καὶ κελευσθέντες ὑπ' αὐτοῦ
νείμασθαι τὸν οἶνον τά τε ξίφη ἐσπάσαντο καὶ τὸν ἀσκὸν διέτεμον
4 ὡς καὶ ἐξ ἡμισείας αὐτὸν μετὰ τοῦ οἴνου ληψόμενοι. οὕτω γὰρ
καὶ τὸν αὐτοκράτορά σφων ᾐδοῦντο ὥστ' αὐτῷ καὶ περὶ τῶν τοι-
ούτων ἐνοχλεῖν, καὶ φρονήσει ἐχρῶντο ὡς καὶ τὸν ἀσκὸν καὶ τὸν
οἶνον ἀπολέσαι. οἱ μὲν οὖν βάρβαροι ἐς τὰ ὄρη καὶ ὑπὲρ τὸν Τί-

4 3 ὅτι εἰς Πέργαμον ὁ Ἀντωνῖνος παραγενόμενος καὶ τινῶν ἀμφισβητούντων ἔδοξεν ἔκ τινος μαντείου ἔπος τοιοῦτον περιφέρειν, "Τηλεφίης γαίης ἐπιβήσεται Αὐσόνιος θήρ." καὶ ὅτι μὲν θὴρ ἐπεκλήθη, ἔχαιρε καὶ ἐσεμνύνετο καὶ πολλοὺς πάνυ ἀθρόως ἀνεῖλεν. ὁ δὲ τὸ ἔπος ποιήσας ἐγέλα, καὶ ἔλεγεν ὅτι αὐτὸς τὸ ἔπος ἐποίησεν, ἐνδεικνύμενος ὅτι παρὰ πεπρωμένην οὐκ ἄν τις ἀποθάνοι, ἀλλ' ἔστιν ἀληθὲς τὸ δημῶδες ὅτι ψεῦσται καὶ ἀπατεῶνες οὐδ' ἂν ἀληθὲς εἴπωσί ποτε πιστεύονται. M p. 230   24 1 1 μὲν μὴ ἐν?*   3 ...] προύθηκεν?*   2 3 μή*

Digitized by Google

*γριν ἀπέφυγον, ἵνα παρασκευάσωνται· ὁ δὲ δὴ Ἀντωνῖνος τοῦτο* 5
*μὲν ἀπεκρύπτετο, ὡς δὲ δὴ καὶ παντελῶς αὐτῶν, οὓς μηδ᾽ ἑωρά-*
*κει, κεκρατηκὼς ἐσεμνύνετο, καὶ μάλιστα ὅτι λέων τις ἐξαίφνης ἐξ*
*ὄρους καταδραμὼν συνεμάχησεν αὐτῷ, ὡς αὐτὸς ἐπέστειλεν. οὐ* 2
*μόνον δὲ τὰ ἄλλα ἐκδιῃτᾶτο καὶ παρηνόμει καὶ ἐν αὐταῖς ταῖς*
*στρατείαις*
*ἀλλ᾽ ἀλήθεια· καὶ γὰρ τῷ βιβλίῳ τῷ περὶ αὐτοῦ γραφέντι οἱ ἐνέ-* 2
*τυχον. οὕτω γάρ που πρὸς πάντας τοὺς βουλευτὰς διακείμενος*
*συνῄδει ὥστε μηδ᾽ ἐγκαλουμένων τι πολλῶν τούς τε δούλους καὶ*
*τοὺς ἐξελευθέρους τούς τε φίλους αὐτῶν τοὺς πάνυ συλλαμβάνεσθαί*
*τε ὑπ᾽ αὐτοῦ καὶ διὰ βασάνων ἐρωτᾶσθαι εἰ ἄρα ὁ δεῖνά με φιλεῖ*
*ἢ ὁ δεῖνά με μισεῖ. καὶ γάρ τοι καὶ τὰ τῶν ἀστέρων διαγράμματα,* 3
*καθ᾽ ἃ ἐγεγέννητό τις τῶν πρώτων τῶν παρ᾽ αὐτῷ, ἐτεκμαίρετο,*
*ὡς ἔλεγεν, τόν τε οἰκείως οἱ καὶ τὸν ἀλλοτρίως ἔχοντα, καὶ πολλοὺς*
*καὶ ἐκ τούτων τοὺς μὲν ἐτίμα τοὺς δ᾽ ἀπώλλυεν.*
*τῶν δ᾽ οὖν Πάρθων τῶν τε Μήδων δεινῶς ἐφ᾽ οἷς ἐπεπόνθεσαν* 3
*ἀγανακτησάντων καὶ χεῖρα πολλὴν παρασκευαζομένων ἐν παντὶ δέους* a.C. 217
*ἐγένετο· θρασύτατος μὲν γὰρ ἀπειλῆσαι καὶ προπετέστατος τολμῆ-*
*σαι, δειλότατος δὲ διακινδυνεῦσαί πῃ καὶ ἀσθενέστατος πονῆσαι ἦν.*
*οὕτω γὰρ οὔτε τὸ καῦμα οὔθ᾽ ὅπλα φέρειν ἔτι ἐδύνατο ὥστε καὶ* 2
*τοὺς χειριδωτοὺς χιτῶνας ἐς θώρακος τρόπον τινὰ εἶδος πεποιημέ-*
*νους ἐνδύνειν, ἵνα τὴν τοῦ ὅπλου δόξαν χωρὶς τοῦ βάρους αὐτοῦ*
*ἔχων μήτε ἐπιβουλεύηται καὶ θαυμάζηται. καὶ αὐτοῖς καὶ ἄνευ*
*μάχης πολλάκις ἐχρῆτο. χλαμύδα τε τοτὲ μὲν ὁλοπόρφυρον τοτὲ* 3
*δὲ μεσόλευκον, ἔστι δ᾽ ὅτε καὶ μεσοπόρφυρον, ὥσπερ καὶ ἐγὼ εἶδον,*
*ἐφόρει. ἐν γὰρ τῇ Συρίᾳ τῇ τε Μεσοποταμίᾳ Κελτικοῖς καὶ ἐσθή-*
*μασι καὶ ὑποδήμασιν ἐχρήσατο. καί τινα ἰδίαν ἔνδυσιν βαρβαρικῶς*
*πως κατακόπτων καὶ συρράπτων ἐς μανδύης τρόπον προσεπεξεῦρεν,*
*καὶ αὐτός τε συνεχέστατα αὐτὴν ἐνέδυνεν, ὥστε καὶ Καράκαλλος*
*διὰ τοῦτ᾽ ἐπικληθῆναι, καὶ τοὺς στρατιώτας μάλιστα ἀμφιέννυσθαι*
*ἐκέλευσεν. αὐτόν τε οὖν τοιοῦτον οἱ βάρβαροι ὁρῶντες ὄντα, καὶ* 4
*ἐκείνους πολλοὺς μὲν ἀκούοντες εἶναι, ἐκ δὲ δὴ τῆς προτέρας τρυ-*
*φῆς (τά τε γὰρ ἄλλα καὶ ἐν οἰκίαις ἐχείμαζον, πάντα τὰ τῶν ξε-*
*νοδοκούντων σφᾶς ὡς καὶ ἴδια ἀναλίσκοντες) καὶ ἐκ τῶν πόνων*
*τῆς τε ταλαιπωρίας τῆς τότε αὐτοῖς παρούσης οὕτω καὶ τὰ σώματα*

2 2 1 *ἀλλ᾽*] cf. M p. 566, U p. 416. ceterum hinc codex Vat. 1288; cui si quid lusimus supplendo, id litteris scribimus minutis. X pro his *ἀλλ᾽* — 3 3 4 *ἐχρήσατο* solum ponit *ἀλλά*. 2 2 *διακειμένῳ* M 4 *πασανων* 3 1 *καὶ τὰ*] *κατὰ* 2 *πρώτων παρ᾽ αὐτῶν* V p. 758
3 3 2 *ἐγὼ*] *ειω* (θ superscr.)* 3 *τε* om 7 *ἀμφιεννύεσθαι*

5 τετρυχωμένους καὶ τὰς ψυχὰς τεταπεινωμένους ὥστε μηδὲν τῶν
λημμάτων ἔτι, ἃ πολλὰ ἀεὶ παρ᾽ αὐτοῦ ἐλάμβανον, προτιμᾶν, αἰ-
σθόμενοι, ἐπήρθησαν ὡς καὶ συναγωνιστὰς αὐτοὺς ἀλλ᾽ οὐ πολε-
μίους ἕξοντες, κα ........ μάζοντος.

4 ὁ δὲ δὴ Ἀντωνῖνος ἀντιπαρεσκευάζετο· οὐ μέντοι καὶ πολεμῆσαι
αὐτῷ ἐξεγένετο, ἀλλ᾽ ἐν μέσοις τοῖς στρατιώταις, οὓς μάλιστα ἐτίμα
καὶ οἷς ἰσχυρῶς ἐθάρρει, κατεσφάγη. ἐπειδὴ γὰρ μάντις τις ἐν τῇ
Ἀφρικῇ εἶπεν, ὥστε καὶ δημοσιευθῆναι, ὅτι καὶ τὸν Μακρῖνον τὸν
2 ἔπαρχον καὶ τὸν υἱὸν αὐτοῦ Διαδουμενιανὸν αὐταρχῆσαι δεῖ, καὶ
τοῦτο ἐκεῖνός τε ἐς τὴν Ῥώμην ἀναπεμφθεὶς Φλαβίῳ Ματερνιανῷ
τῷ τότε τῶν ἐν τῷ ἄστει στρατιωτῶν ἄρχοντι ἐξέφηνε, καὶ ὃς τῷ
Ἀντωνίνῳ παραχρῆμα ἐπέστειλεν, καὶ συνέβη ταῦτα μὲν τὰ γράμ-
ματα ἐς τὴν Ἀντιόχειαν πρὸς τὴν μητέρα τὴν Ἰουλίαν παραπεμφθῆ-
3 ναι, ἐπειδὴ ἐκεκέλευστο αὐτὴ πάντα τὰ ἀφικνούμενα διαλέγειν ἵνα
μὴ μάτην οἱ ὄχλος γραμμάτων ἐν τῇ πολεμίᾳ ὄντι πέμπηται, ἕτερα
δὲ ὑπὸ Οὐλπίου Ἰουλιανοῦ τοῦ τότε τὰς τιμήσεις ἐγκεχειρισμένου
δι᾽ ἄλλων γραμματηφόρων ὀρθὴν πρὸς τὸν Μακρῖνον, δηλοῦντα
τὰ γινόμενα, ἀφικέσθαι, καὶ κατὰ τοῦτο τοῖς μὲν πρὸς τὸν αὐτο-
4 κράτορα γραφεῖσι διατριβὴν γενέσθαι, τὰ δὲ ἐκείνῳ ἐπισταλέντα
φθῆναι ἀναγνωσθέντα αὐτῷ, ἐφοβήθη τε ὁ Μακρῖνος μὴ καὶ δια-
φθαρῇ ὑπ᾽ αὐτοῦ διά τε τοῦτο καὶ ὅτι Σεραπίων τις Αἰγύπτιος
ἄντικρυς τῷ Ἀντωνίνῳ πρὸ ὀλίγων ἡμερῶν εἰρήκει ὅτι τε ὀλιγοχρό-
νιος ἔσοιτο καὶ ὅτι ἐκεῖνος αὐτὸν διαδέξοιτο, καὶ οὐκ ἀνεβάλετο.
5 ὁ μὲν γὰρ Σεραπίων ἐπὶ τούτῳ τὸ μὲν πρῶτον λέοντι παρεβλήθη,
ἐπεὶ δ᾽ οὐχ ἥψατο αὐτοῦ τὴν χεῖρα μόνον, ὥς φασί, προτείναντος,
ἐφονεύθη, δυνηθεὶς ἄν, ὥς γε ἔφη, μηδὲ τοῦτο παθεῖν δαιμόνων
5 τινῶν ἐπικλήσει, εἰ μίαν ἡμέραν ἐβεβιώκει. ὁ δὲ δὴ Μακρῖνος ἔπαθε
μὲν οὐδέν, ἔσπευσε δ᾽ ὑποπτεύσας ἀπολεῖσθαι, ἄλλως τε καὶ ὅτι τοὺς
ἑταίρους αὐτοῦ τοὺς συνόντας ὁ Ἀντωνῖνος ἐξαίφνης, πρὸ μιᾶς τῶν
γενεθλίων αὐτοῦ, ἄλλον κατ᾽ ἄλλην πρόφασιν, ὡς καὶ τιμῶν, ἀπέωστο.
2 οὐ μὴν ἀλλ............. της ............. ιτης ............... ου .....
.......... πεπρωμένον αὐτῷ λήψεσθαι προσδοκῶν, καὶ τὸ παρωνύ-
μιον ἀπ᾽ αὐτοῦ τούτου ἐπεποίητο. κἀκ τούτου δύο τε χιλιάρχους
τῶν ἐν τῷ δορυφορικῷ τεταγμένων, Νεμεσιανόν τε καὶ Ἀπολλινά-
3 ριον ἀδελφοὺς Αὐρηλίους, καὶ Ἰούλιον Μαρτιάλιον ἔν τε τοῖς ἀνα-
κλήτοις στρατευόμενον καὶ ὀργὴν οἰκείαν τῷ Ἀντωνίνῳ ἔχοντα ὅτι

5 1 τεταλαιπωρημένους* 4 καὶ ἔφοδον ἠτοιμάζοντο?*
4 1 3 τις incertum 4 1 ἐγγενέσθαι?* 2 γνωσθέντα 3 τε om*
5 1 3 ὁ] οἱ ὁ?* 2 2 τὸ παρωνύμιον] nonne Diadumeniani, cui promissum erat diadema?

Digitized by Google

οἱ ἑκατονταρχίαν αἰτήσαντι οὐκ ἐδεδώκει, παρασκευάσας ἐπεβού-
λευσεν αὐτῷ. ἐπράχθη δὲ ὧδε. τῇ ὀγδόῃ τοῦ Ἀπριλίου ἐξορμή- 4
σαντά τε αὐτὸν ἐξ Ἐδέσσης ἐς Κάρρας, καὶ κατελθόντα ἀπὸ τοῦ
ἵππου ὅπως ἀποπατήσει, προσελθὼν ὁ Μαρτιάλιος ὥς γε εἰπεῖν τι
δεόμενος ἐπάταξε ξιφιδίῳ μικρῷ. καὶ αὐτὸς μὲν αὐτίκα ἀπέφυγε,
καὶ διέλαθεν ἂν εἰ τὸ ξίφος ἀπερρίφει· νῦν δὲ γνωρισθεὶς ἀπ' αὐ- 5
τοῦ ὑπό τινος τῶν Σκυθῶν τῶν συνόντων Ἀντωνίνῳ κατηκοντίσθη·
ἐκεῖνον δὲ οἱ χιλίαρχοι ὡς καὶ βοηθοῦντες κατέσφαξαν. ὁ δὲ δὴ
Σκύθης οὗτος οὐχ ὡς καὶ συμμαχῶν αὐτῷ μόνον, ἀλλ' ὡς καὶ
φρουρὰν αὐτοῦ τρόπον τινὰ ἔχων συνῆν. καὶ γὰρ Σκύθας καὶ 6
Κελτούς, οὐ μόνον ἐλευθέρους ἀλλὰ καὶ δούλους, καὶ ἀνδρῶν καὶ
γυναικῶν ἀφελόμενος, ὡπλίκει καὶ περὶ αὐτὸν εἶχεν, ὡς καὶ μᾶλλον
αὐτοῖς ἢ τοῖς στρατιώταις θαρσῶν· τά τε γὰρ ἄλλα καὶ ἑκατον-
ταρχίαις σφᾶς ἐτίμα, λέοντάς τε ἐκάλει. καὶ δὴ καὶ τοῖς πρέσβεσι 2
τοῖς ἐκ τῶν ἐθνῶν αὐτῷ πεμπομένοις καὶ διελέγετο πολλάκις μη-
δενὸς ἄλλου πλὴν τῶν ἑρμηνέων παρόντος, καὶ ἐνετέλλετο ὅπως, ἄν
τι πάθῃ, ἔς τε τὴν Ἰταλίαν ἐσβάλωσι καὶ ἐπὶ τὴν Ῥώμην ἐλαύ-
νωσιν ὡς καὶ εὐαλωτοτάτην οὖσαν· καὶ ἵνα δὴ μηδὲν ἐξ αὐτῶν ἐς
ἡμᾶς ἐκφοιτήσῃ, τοὺς ἑρμηνέας εὐθὺς ἐφόνευεν. οὐ μὴν ἀλλὰ τοῦτό 3
τε ἀπ' αὐτῶν τῶν βαρβάρων ὕστερον ἐμάθομεν, καὶ τὸ τῶν φαρ-
μάκων παρὰ τοῦ Μακρίνου· πολλὰ γὰρ καὶ ποικίλα παρὰ τῶν ἐν
τῇ ἄνω Ἀσίᾳ ἀνθρώπων τὰ μὲν μετεπέμψατο τὰ δὲ καὶ ἐπρίατο,
ὥστε ἑπτακοσίας καὶ πεντήκοντα μυριάδας ἐς αὐτὰ ἀριθμηθῆναι,
ἵνα καὶ παμπόλλους, ὅσους ἂν θελήσῃ, καὶ διαφόρως δολοφονήσῃ.
καὶ ἐκεῖνα μὲν ἐν τῷ βασιλικῷ μετὰ ταῦθ' εὑρεθέντα κατεκαύθη· 4
τότε δὲ οἱ στρατιῶται καὶ διὰ τοῦτο, καὶ πρὸς τοῖς ἄλλοις τῷ
τοὺς βαρβάρους σφῶν προτιμᾶσθαι δυσχεραίνοντες, οὔτ' ἄλλως ἔτι
ὁμοίως ἔχαιρον αὐτῷ, καὶ ἐπιβουλευθέντι οὐκ ἐβοήθησαν.

τοιούτῳ μὲν τέλει ἐχρήσατο βιοὺς τε ἔτη ἐννέα καὶ εἴκοσι καὶ 5
ἡμέρας τέσσαρας (τῇ γὰρ τετάρτῃ τοῦ Ἀπριλίου ἐγεγέννητο) καὶ
αὐταρχήσας ἔτη ἓξ καὶ μῆνας δύο καὶ ἡμέρας δύο. καί μοι καὶ 7
ἐνταῦθα τοῦ λόγου θαυμάσαι πάμπολλα ἐπέρχεται. ὅ τε γὰρ πατὴρ
αὐτοῦ μέλλοντί οἱ ἐκ τῆς Ἀντιοχείας τὴν τελευταίαν ἔξοδον ποιή-
σασθαι ξιφήρης ὄναρ ἐπέστη, λέγων ὅτι ὡς σὺ τὸν ἀδελφὸν ἀπέκ-
τεινας, καὶ ἐγὼ σὲ ἀποσφάξω· καὶ οἱ μάντεις εἶπον αὐτῷ τὴν ἡμέ- 2
ραν ἐκείνην φυλάσσεσθαι, τούτῳ τῷ ῥήματι ἄντικρυς χρησάμενοι,
ὅτι αἱ τοῦ ἥπατος τοῦ ἱερείου πύλαι κέκλεινται. ἀφ' οὗ δὴ καὶ

5 2 τωνσυνοντωνενωιοντωνκατ. prima manus: altera αντωνινω post συν supra scripsit 6 1 4 τοῖς om* 2 5 δὴ] τε* 3 2 τε] μὲν* 5 αὐτὴν 4 2 καὶ ante πρὸς om?* 5 2 τετράδι

διὰ θύρας τινὸς ἐξῆλθε, μηδὲν μηδὲ τοῦ λέοντος, ὃν καὶ Ἀκινάκην
ὠνόμαζε καὶ ὁμοτράπεζον ὁμόκλινόν τε ἐποιεῖτο, φροντίσας, ὅτι καὶ
ἐκράτησεν αὐτὸν ἐξιόντα καὶ τὴν ἐσθῆτα αὐτοῦ προσκατέρρηξεν·
3 ἔτρεφε μὲν γὰρ καὶ ἄλλους λέοντας πολλούς, καὶ ἀεί τινας περὶ
αὐτὸν ἔσχεν, ἐκεῖνον δὲ καὶ δημοσίᾳ πολλάκις κατεφίλει. ταῦτά τε
οὖν οὕτως ἔσχε, καὶ ὀλίγον πρὸ τοῦ θανάτου αὐτοῦ ἔν τε τῇ Ἀλε-
ξανδρείᾳ πῦρ ἐξαίφνης πολύ, ὥς γε καὶ ἤκουσα, πάντα τὸν τοῦ
Σαράπιδος ναὸν ἔνδοθεν κατασχὸν ἄλλο μὲν οὐδὲν τὸ παράπαν
4 ἐλυμήνατο, τὸ δὲ δὴ ξίφος ἐκεῖνο ᾧ τὸν ἀδελφὸν ἀπεσφάκει μόνον
ἔφθειρεν, καὶ μετὰ τοῦτο παυσαμένου αὐτοῦ ἀστέρες πολλοὶ ἐφά-
νησαν· καὶ ἐν τῇ Ῥώμῃ δαίμων τις ἀνθρώπου σχῆμα ἔχων ὄνον
ἔς τε τὸ Καπιτώλιον καὶ μετὰ τοῦτο ἐς τὸ παλάτιον ἀνήγαγεν,
ζητῶν τὸν δεσπότην αὐτοῦ, ὥς γε καὶ ἔφασκεν, καὶ λέγων ἐκεῖνον
5 μὲν ἀπολωλέναι τὸν δὲ Δία ἄρχειν. συλληφθείς τε ἐπὶ τούτῳ καὶ
πρὸς τὸν Ἀντωνῖνον ὑπὸ τοῦ Ματερνιανοῦ πεμφθείς "ἀπέρχομαι
μέν" ἔφη "ὡς κελεύεις, ἀφίξομαι δὲ οὐ πρὸς τοῦτον τὸν αὐτοκρά-
τορα ἀλλὰ πρὸς ἕτερον," καὶ μετὰ τοῦτ' ἐς τὴν Καπύην ἐλθὼν
8 ἀφανὴς ἐγένετο. τοῦτο μὲν ζῶντος ἔτι αὐτοῦ συνηνέχθη, τῇ δὲ
ἱπποδρομίᾳ τῇ τῆς τοῦ Σεβήρου ἀρχῆς ἕνεκα ποιουμένῃ κατέπεσε
μὲν καὶ τὸ τοῦ Ἄρεος ἄγαλ''μα πομπεῦον, ἀλλὰ τοῦτο μὲν ἧττον
2 ἄν τις θαυμάσειεν· τὸ δὲ δὴ μέγιστον, ἡττημένοι οἱ πράσινοι στα-
σιῶται, ἔπειτα κολοιὸν ἐπ' ἄκρου τοῦ ὀβελίσκου πάνυ σφόδρα
κρώζοντα ἰδόντες πάντες τε πρὸς αὐτὸν ἀπέβλεψαν, καὶ πάντες
ἐξαίφνης ὡς καὶ ἐκ συγκειμένου τινὸς ἀνεβόησαν "Μαρτιάλιε, χαῖρε·
Μαρτιάλιε, διὰ χρόνου σε ἑωράκαμεν," οὐχ ὅτι καὶ ὁ κολοιός ποτε
οὕτως ὠνομάσθη, ἀλλ' ὅτι δι' ἐκείνου τὸν Μαρτιάλιον τὸν τοῦ
3 Ἀντωνίνου φονέα ὡς καὶ ἐξ ἐπιπνοίας τινὸς θείας ἠσπάσαντο. ἤδη
δέ τισι καὶ αὐτὸς ἑαυτῷ ὁ Ἀντωνῖνος τὴν τελευτὴν προδηλῶσαι
ἔδοξεν, ἐπειδὴ ἐν τῇ ἐπιστολῇ ἣν τελευταίαν τῇ γερουσίᾳ ἔπεμψεν
ἔφη ὅτι παύσασθε εὐχόμενοί με ἑκατὸν ἔτεσι μοναρχῆσαι· τὸ μὲν
γὰρ ἐπιβόημα τοῦτο ἀεὶ καὶ ἀπ' ἀρχῆς αὐτῷ ἐγίγνετο, ἐκεῖνος δὲ
τότε πρῶτον καὶ μόνον ᾐτιάσατο αὐτό, λόγῳ μὲν ἐγκαλῶν σφίσιν
ὡς καὶ ἀδύνατα εὐχομένοις, ἔργῳ δὲ προδηλῶν ὅτι οὐκέτ' οὐδένα
4 χρόνον ἄρξει. καὶ ἐπειδή γε ἅπαξ τοῦτό τινες ἐπεσημήναντο, καὶ
ἐμοὶ ἐνθύμιον ἐγένετο ὅτι ἐν τῇ Νικομηδείᾳ τοῖς κρονίοις ἑστιῶν
ἡμᾶς καὶ πολλὰ ἄττα, οἷα ἐν συμποσίῳ εἰκὸς ἦν, εἰπών, ἔπειτ' ἐξα-
νισταμένων ἡμῶν προσκαλεσάμενος ἔφη "κάλλιστα, ὦ Δίων, καὶ
ἀληθέστατα ὁ Εὐριπίδης εἰρήκει ὅτι πολλαὶ μορφαὶ τῶν δαιμονίων,

7 3 2 εἶχεν?* 8 1 2 τῆς om* 3 ''μα — 6 4 γενομένῳ'' X p. 340 2 1 στρατιῶται

πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί, καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός. τοιόνδ' ἀπέβη τόδε πρᾶγμα."
παραχρῆμα μὲν γὰρ ἄλλως ἀπολεληρηκέναι τοῦτο τὸ ἔπος ἔδοξεν, 5
ἐπειδὴ δὲ οὐκ ἐς μακρὰν ἀπώλετο καὶ τελευταίαν ταύτην φωνὴν
πρὸς ἐμὲ ἔρρηξε, καὶ πάνυ κεχρησμῳδηκέναι τρόπον τινὰ τὰ συμ-
βησόμενα αὐτῷ ἐνομίσθη, ὥσπερ καὶ ὁ Ζεὺς ὁ Βῆλος ὀνομαζόμενος
καὶ ἐν τῇ Ἀπαμείᾳ τῆς Συρίας τιμώμενος· καὶ γὰρ ἐκεῖνος τῷ Σε- 6
ουήρῳ πρότερον ἰδιωτεύοντί τε ἔτι τὰ ἔπη ταῦτα εἰρήκει "ὄμματα
καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ, Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ
Ποσειδάωνι," καὶ μετὰ ταῦτα αὐτοκράτορι γενομένῳ ταῦτ' εἶπε
χρωμένῳ, ὅτι οἶκος δέ σοι πᾶς βήσεται δι' αἵματος.
τοῦ δ' οὖν Ἀντωνίνου τό τε σῶμα ἐκαύθη, καὶ τὰ ὀστᾶ ἐν τῷ 9
Ἀντωνινείῳ, κρύφα νυκτὸς ἐς τὴν Ῥώμην κομισθέντα, ἐτέθη· πάνυ
γὰρ πάντες οἱ βουλευταὶ καὶ οἱ ἰδιῶται, καὶ ἄνδρες καὶ γυναῖκες,
ἰσχυρότατα αὐτὸν ἐμίσησαν, ὥστε καὶ λέγειν καὶ ποιεῖν πάντ' ἐπ'
αὐτῷ ὡς καὶ πολεμιωτάτῳ. δόγματι μὲν γὰρ οὐκ ἠτιμώθη διὰ τὸ 2
τοὺς στρατιώτας τῆς μὲν εἰρήνης, ἧς ἀντήλπισαν παρὰ τοῦ Μα-
κρίνου λήψεσθαι, μὴ τυχεῖν, τῶν δὲ δὴ κερδῶν, ὧν παρ' ἐκείνου
ἐλάμβανον, στερομένους πάλιν αὐτὸν ποθῆσαι, ἀλλὰ καὶ ἐς τοὺς
ἥρωας μετὰ τοῦτ' ἐκνικησάντων αὐτῶν ἐσεγράφη, καὶ τοῦτο καὶ τῇ
βουλῇ δῆλον ὅτι ἐψηφίσθη. ἄλλως δὲ πολλὰ καὶ κακὰ ὑπὸ πάν- 3
των ἤκουεν ἀεί· οὐδὲ γὰρ Ἀντωνῖνον ἔτ' αὐτὸν ἐκάλουν, ἀλλ' οἱ
μὲν Βασσιανὸν τὸ ἀρχαῖον ὄνομα, οἱ δὲ Καράκαλλον, ὥσπερ εἶπον,
οἱ δὲ καὶ Ταραύταν ἐκ μονομάχου τινὸς προσηγορίας τό τ' εἶδος
καὶ σμικροτάτου καὶ κακοειδεστάτου καὶ τὴν ψυχὴν καὶ θρασυτά-
του καὶ μιαιφονωτάτου.
καὶ τὰ μὲν ἐκείνου, ὅπως ποτ' ἂν καὶ ὀνομάσῃ τις αὐτόν, οὕ- 10
τως ἔσχεν· ἐμοὶ δὲ δή, καὶ πρὶν ἐς τὴν μοναρχίαν καταστῆναι,
προεδηλώθη τρόπον τινὰ παρὰ τοῦ πατρὸς αὐτοῦ ὅτι καὶ ταῦτα
γράψοιμι. ἐν γὰρ πεδίῳ μεγάλῳ τινὶ πᾶσαν τὴν τῶν Ῥωμαίων δύ-
ναμιν ἐξωπλισμένην ὁρᾶν τεθνηκότος αὐτοῦ ἤδη ἔδοξα, καὶ ἐνταῦθα
τὸν Σεουῆρον ἐπί τε γηλόφου καὶ ἐπὶ βήματος ὑψηλοῦ καθήμενον
διαλέγεσθαί τι αὐτοῖς. καί με προσστάντα ἰδὼν ὅπως τῶν λεγο- 2
μένων ἀκούσω, "δεῦρο" ἔφη, "Δίων, ἐνταῦθα πλησίον πρόσελθε,
ἵνα πάντα καὶ τὰ λεγόμενα καὶ τὰ γινόμενα καὶ μάθῃς ἀκριβῶς καὶ
συγγράψῃς."
τοιοῦτος μὲν ὁ τοῦ Ταραύτου καὶ βίος καὶ ὄλεθρος ἐγένετο, καὶ 3

5 7 τὸ* 7 2 τε om* 5 οτι σοσαιδοικος πας θησεται. cf. Eurip. Phoen. 20 9 1 1 τὸ* τότε* 3 1 δὲ] τε* 5 εἰδεχθεστάτου X 10 2 κατ. αὐτόν?*

αὐτῷ ἐπαπώλοντο μὲν καὶ οἱ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς μετασχόν-
τες, οἱ μὲν εὐθὺς οἱ δ' οὐ πολλῷ ὕστερον, προσδιεφθάρησαν δὲ οἱ
πάνυ ἑταῖροι αὐτοῦ καὶ οἱ καισάρειοι· οὕτω που φονικῷ δαίμονι
11 καὶ ἐς τοὺς ἐχθροὺς καὶ ἐς τοὺς φίλους συνεκεκλήρωτο. ὁ δὲ δὴ
Μακρῖνος τὸ μὲν γένος Μαῦρος, ἀπὸ Καισαρείας, γονέων ἀδοξοτά-
των ἦν, ὥστε καὶ σφόδρα εἰκότως αὐτὸν τῷ ὄνῳ ἐς τὸ παλάτιον
ὑπὸ τοῦ δαιμονίου ἐσαχθέντι εἰκασθῆναι· τά τε γὰρ ἄλλα καὶ τὸ
οὖς τὸ ἕτερον κατὰ τὸ τοῖς πολλοῖς τῶν Μαύρων ἐπιχώριον διετέ-
2 τρητο· τῇ δὲ ἐπιεικείᾳ καὶ ἐκεῖνο συνεσκίαζε, τά τε νόμιμα οὐχ οὕ-
τως ἀκριβῶς ἠπίστατο ὡς πιστῶς μετεχειρίζετο. κἀκ τούτου καὶ
τῷ Πλαυτιανῷ διὰ φίλου τινὸς συνηγόρημα γνωρισθεὶς τὸ μὲν
πρῶτον τῶν ἐκείνου χρημάτων ἐπετρόπευσεν, ἔπειτα συναπολέσθαι
οἱ κινδυνεύσας, καὶ παρὰ δόξαν ὑπὸ τοῦ Κίλωνος ἐξαιτησαμένου
3 αὐτὸν σωθείς, πρὸς μὲν τοῦ Σεβήρου τοῖς ὀχήμασι τοῖς κατὰ τὴν
Φλαμινίαν ὁδὸν διαθέουσιν ἐπετάχθη, πρὸς δὲ τοῦ Ἀντωνίνου ὀνό-
ματά τινα ἐπιτροπείας ὀλιγοχρονίου λαβὼν ἔπαρχος ἀπεδείχθη, καὶ
διῴκησε τὰ τῆς ἡγεμονίας ταύτης ἄριστα καὶ δικαιότατα, ὅσα γε
4 καὶ αὐτογνωμονήσας ἔπραξεν. τοιοῦτος δή τις ὢν καὶ οὕτως αὐξη-
θεὶς ἔς τε τὸν νοῦν τὴν τῆς αὐταρχίας ἐλπίδα ζῶντος ἔτι τοῦ Τα-
ραύτου, δι' ὅπερ εἶπον, ἐνεβάλετο, καὶ τελευτήσαντος αὐτοῦ φανε-
ρῶς μὲν οὔτ' ἐκείνῃ τῇ ἡμέρᾳ οὔτε ταῖς ἔπειτα ταῖς δύο ἐπεβάτευσεν
αὐτῆς, ἵνα μὴ καὶ ἐπὶ τοῦτ' αὐτὸν ἀπεκτονέναι δόξῃ, ἀλλ' ἄναρκτα
παντελῶς τὸν χρόνον ἐκεῖνον ἀπ' αὐτοτελοῦς ἄρχοντος τὰ τῶν Ῥω-
5 μαίων πράγματα, οὐδ' εἰδότων αὐτῶν τοῦτο, διεγένετο· πέμψας δὲ
ὡς ἑκασταχόσε πρὸς τοὺς στρατιώτας τοὺς ἐν μὲν τῇ Μεσοποταμίᾳ
διὰ τὸν πόλεμον, μὴ μέντοι καθ' ἓν ὄντας ἀλλ' ἄλλους ἄλλῃ δι-
εσπασμένους, προσηταιρίσατο αὐτοὺς διὰ τῶν ἐπιτηδείων οἱ τά τε
ἄλλα ἐπαγγειλάμενος καὶ τοῦ πολέμου, ᾧ μάλιστα ἐβαρύνοντο,
6 ἀπαλλάξειν ἐπελπίσας. καὶ οὕτω τῇ τετάρτῃ ἡμέρᾳ, ᾗ τὰ τοῦ Σε-
βήρου γενέθλια ἦν, αὐτοκράτωρ τε ὑπ' αὐτῶν ὡς καὶ καταβιασθεὶς
12 ᾑρέθη, καὶ πολλὰ μὲν καὶ χρηστὰ ἐκείνοις ἐδημηγόρησε, πολλὰ δὲ
καὶ ἀγαθὰ τοῖς ἄλλοις ἀνθρώποις ὑπετείνατο, τούς τε ἐπ' ἀσεβείᾳ
τινί, οἵα γε ἡ ἀσέβεια αὕτη ἡ ἐς τοὺς αὐτοκράτορας λέγεται γίγνε-
σθαι, τιμωρίαν τινὰ ἔμβιον ὠφληκότας ἀπαλλάξας τῆς καταδίκης,
2 καὶ τοὺς ἐγκαλουμένους τι τοιοῦτον ἀπολύσας, τά τε περὶ τοὺς κλή-
ρους καὶ τὰ περὶ τὰς ἐλευθερίας καταδειχθέντα ὑπὸ τοῦ Καρακάλ-
λου παύσας, καὶ τὸν Αὐρηλιανὸν ἐξαιτηθέντα ὑπ' αὐτῶν.........

11 1 2 ἀπὸ σικελίας καισ. X. an ἀπὸ Ἰουλίας K.? 2 2 καὶ] τε καὶ 3 4 τε 5 1 οὔτ' 12 2 3 .........] οἵα ἀπεχθέστατον?*

τατων σφίσιν ἐν πολλαῖς στρατείαις ταῖς πρόσθε γεγονότα παραιτησάμε-
νος ὡς οὐχ ὅσιον ὂν βουλευτήν τινα ἀποκτεῖναι. οὐ μέντοι καὶ ἐπὶ 3
πολὺ ἐξεγένετο αὐτῷ ἀνδραγαθίσασθαι ......τε Αὐρηλιανο .......νη-
σανταλλ .........σαι τι ἐπιχ.......... στρατιώτας .........αμα τοῦ-
τον .......... ὑπ' αὐτοῦ το ......... καὶ ἀναλοι ......... δε βου-
λευς.......... αὔταρχόν τε ......... ὀργῇ τε ο ..........σι καὶ διακο-
σίας καὶ πεντήκοντα δραχμὰς ..... πλεῖόν τι δοῦναι κατεδέδεικτο τι ..... 4
.... φοβηθεὶς μὴ ....... τὸν Αὐρηλιανὸν τὸν καὶ μόνον οὐχ ὅπως τῶν
ὑπατευκότων ἀλλὰ καὶ τῶν ὅλως βουλευόντων τότε παρόντα ἀπ.........
ὑπὸ χρημάτων ...... ἐς αὐτὸν τηνι ........ αἰτίαν τοῦ θανάτου τοῦ
Καρακάλλου ἀγαπητῶς τρέψας τὸ δ........ καὶ περὶ το.........τας
τι επο.......... σας παρα........... τονως ............. σφῶν ..... 5
........ τα ὡς........ ......του ............... προ ..................
...... πάμπολλα καὶ ἔπιπλα καὶ κτήματα τῶν αὐτοκρατόρων. ὡς δ'
οὐδὲ ταῦτα διὰ τοὺς στρατιώτας ἐξήρκει ταῖς ἐν.......διακων προσ
.........ξατο καὶ μεν.........ν βουλευτῶν .........αν ἀποκτει.....
... μηδένα ἀλλ' ἐς φυλακήν τινας ἐμβαλὼν ..........υφον τὸν εν..... 6
.... αι τῶν ἱππέων καὶ τῶν ἐξελευθέρων καὶ τῶν καισαρείων καὶ ........
τικῶν τῶν τε ....... τοὺς καὶ ὁτιοῦν ἁμαρτάνοντας κολασθῆναι ποιήσας
ὥστε πᾶσι...........νον αὐτῶν ........ τάς τε ἐπιτροπείας καὶ τὰς πε-
ριττὰς δαπάνας καὶ τὰ πολλὰ τῶν πρώην ὑπὸ τοῦ Ταραύτου αὐτοῖς ἐπιτα-
χθέντων ...... το τῶν ἀγώνων ..........ων πλῆθος ην.........ς, 7
τάς τε δωρεὰς αὖ ἃς μάτην τισὶν ἐδεδώρητο συλλέξας, καὶ μηδεμίαν εἰ-
κόνα αὐτοῦ μήτε ἀργυρᾶν ὑπὲρ πέντε λίτρας μήτε χρυσῆν ὑπὲρ
τρεῖς γίγνεσθαι ἐκέλευσεν. τό τε μέγιστον, τὴν μισθοφορὰν τῶν ἐν
τῷ δορυφορικῷ στρατευομένων .... ἐς τὸ ταχθὲν .... ὑπὸ τοῦ Σεβήρου .....
.......εθε ....

οὐ μὴν ἀλλ' ἐπὶ τούτοις ὑπὸ τινῶν οὐ μάτην ἐπαινούμενος ἰσοστάσιόν 13
πως αὐτοῖς αἰτίαμα παρὰ τῶν ἐμφρόνων ἔσχεν, ὅτι ἔς τε τοὺς ὑπα-
τευκότας τινὰς ἐνέγραψε καὶ εὐθὺς ἀρχαῖς ἐθνῶν προσέταξεν, καί-
τοι μὴ θελήσας δεύτερον δὴ τῷ ἐπιόντι ἔτει ὑπατεύειν δόξαι ὅτι
τὰς τῶν ὑπατευκότων τιμὰς ἐσχήκοι, ὅπερ ἐπὶ τοῦ Σεβήρου ἀρξά-
μενον καὶ ὁ υἱὸς αὐτοῦ ἐπεποιήκει. τοῦτο γὰρ δὴ νομιμώτατα καὶ 2
περὶ ἑαυτοῦ καὶ περὶ τοῦ Ἀδβέντου πράξας, ἀλογώτατα Μάρκιόν
τε Ἀγρίππαν πρότερον μὲν ἐς Παννονίαν εἶτ' ἐς Δακίαν ἡγεμονεύ-
σοντα ἔπεμψεν· τοὺς γὰρ ἄρχοντας αὐτῶν, τόν τε Σαβῖνον καὶ τὸν
Καστῖνον, λόγῳ μὲν ὡς καὶ τῆς συνουσίας σφῶν δεόμενος, ἔργῳ δὲ
τό τε πάνυ φρόνημα καὶ τὴν φιλίαν αὐτῶν τὴν πρὸς τὸν Καρά-

3 4 λοι] δοχ Falconius 5 prioris τε non certum ε 4 1 alterius τι dubium ι 5 1 παρα] ιδρα F 13 1 4 εἰπόντι ἔτι . 5 τὰς om*

3 καλλον φοβηθείς, εὐθὺς μετεπέμψατο. τόν τε οὖν Ἀγρίππαν ἐς τὴν
Δακίαν καὶ Δέκιον Τρικκιανὸν ἐς τὴν Παννονίαν ἔστειλεν, ἐκεῖνον
μὲν δοῦλόν τε κομμώτην γυναικός τινος γεγονότα, καὶ διά τε τοῦτο
κριθέντα ὑπὸ τοῦ Σεουήρου καίτοι καὶ τῷ βασιλικῷ συνδεδικηκότα,
4 καὶ ἐπὶ προδοσίᾳ πράγματός τινος ἐς νῆσον ἐκπεσόντα, καὶ μετὰ
τοῦτο ὑπὸ τοῦ Ταραύτου σὺν τοῖς ἄλλοις καταχθέντα, τάς τε δια-
γνώσεις αὐτοῦ καὶ τὰς ἐπιστολὰς διοικήσαντα, καὶ τὸ τελευταῖον ἐς
τοὺς βουλευτὰς τοὺς ἐστρατηγηκότας ἀπωσθέντα ὅτι μειράκια ἔξωρα
ἐς τὴν στρατιὰν ἐπῆκτο, τὸν δὲ δὴ Τρικκιανὸν ἔν τε τῷ πλήθει τῷ
Παννονικῷ ἐστρατευμένον καὶ θυρωρόν ποτε τοῦ ἄρχοντος αὐτῆς
γεγονότα καὶ τότε τοῦ Ἀλβανίου στρατοπέδου ἄρχοντα.

14 ταῦτά τε οὖν αὐτοῦ πολλοὶ ᾐτιῶντο, καὶ ὅτι καὶ τὸν Ἄδουεντον
ἐν τοῖς διόπταις τε καὶ ἐρευνηταῖς μεμισθοφορηκότα, καὶ τὴν ἐν
αὐτοῖς τάξιν λελοιπότα ἔς τε τοὺς γραμματοφόρους τελέσαντα καὶ
πρόκοιτον ἀποδειχθέντα καὶ μετὰ τοῦτο ἐς ἐπιτρόπευσιν προαχθέντα,
καὶ βουλευτὴν καὶ συνύπατον καὶ πολίαρχον, μήθ᾽ ὁρᾶν ὑπὸ γήρως
μήτ᾽ ἀναγινώσκειν ὑπ᾽ ἀπαιδευσίας μήτε πράττειν τι ὑπ᾽ ἀπειρίας
2 δυνάμενον, ἀπέφηνεν. τετολμήκει μὲν γὰρ ὁ Ἄδουεντος τοῖς στρα-
τιώταις μετὰ τὸν τοῦ Καρακάλλου θάνατον εἰπεῖν ὅτι ἐμοὶ μὲν ἡ
μοναρχία ἅτε καὶ πρεσβεύοντι τοῦ Μακρίνου προσήκει, ἐπεὶ δ᾽ ὑπερ-
γήρως εἰμί, ἐκείνῳ αὐτῆς ἐξίσταμαι· ληρεῖν δέ πως ἔδοξεν, ὥσπερ
που καὶ ὁ Μακρῖνος τὸ μέγιστον τῆς γερουσίας ἀξίωμα τοιούτῳ
ἀνδρὶ δούς, ὅστις οὐδὲ διαλεχθῆναί τινι ἐν τῷ συνεδρίῳ καλῶς
ὑπατεύων ἠδυνήθη, καὶ διὰ τοῦτο τῇ τῶν ἀρχαιρεσιῶν ἡμέρᾳ νο-
3 σεῖν προσεποιήσατο. ὅθεν οὐκ ἐς μακρὰν τῷ Μαξίμῳ τῷ Μαρίῳ
τὴν τῆς πόλεως προστασίαν ἀντ᾽ αὐτοῦ προσέταξε, καθάπερ ἐπὶ
τοῦτο μόνον πολίαρχον αὐτὸν ποιήσας ἵνα μιάνῃ τὸ βουλευτήριον,
οὐ κατ᾽ ἐκεῖνο μόνον ὅτι ἐν τῷ μισθοφορικῷ ἐστράτευτο καὶ τὰ
4 τῶν δημίων ἔργα καὶ προσκόπων καὶ ἑκατοντάρχων ἐπεποιήκει, ἀλλ᾽
ὅτι καὶ τὴν τῆς πόλεως ἀρχὴν πρὸ τοῦ τῆς ὑπατείας ἔργου εἰλήφει,
τοῦτ᾽ ἔστι πολίαρχος πρότερον ἢ βουλευτὴς ἐγεγόνει. ταυτα γὰρ
περὶ αὐτὸν ὥσπερ τὰ καθ᾽ ἑαυτόν, ὅτι τὴν αὐτοκράτορα ἀρχὴν ἱπ-
πεύων ἔτι ἡρπάκει, ἐπηλυγασόμενος ἔπραξεν.

15 ἐκεῖνά τε οὖν τινὲς αὐτοῦ οὐκ ἀπεικότως ἐμέμφοντο, καὶ ὅτι
ἐπάρχους τόν τε Ἰουλιανὸν τὸν Οὔλπιον καὶ Ἰουλιανὸν Νέστορα
ἀπέδειξε, μήτ᾽ ἄλλην τινὰ ἀρετὴν ἔχοντας μήτ᾽ ἐν πολλαῖς πράξεσιν
ἐξητασμένους, ἀλλὰ καὶ πάνυ περιβοήτους ἐπὶ πονηρίᾳ ἐν τῇ τοῦ
Καρακάλλου ἀρχῇ γενομένους διὰ τὸ πολλὰ αὐτῷ, τῶν ἀγγελιαφό-

4 1 ἐμπεσόντα* 2 καταλεχθέντα 6 στρατευόμενον 14 1 4 εἰς ἐπιτρόπευσιν altera manus, ἐπιτροπεύειν prior 4 5 ἐπηλυγασάμενος

ρων σφᾶς ἡγουμένους, πρὸς τὰς ἀνοσίους πολυπραγμοσύνας ὑπηρε-
τῆσαι. ἀλλὰ ταῦτα μὲν ὀλίγοι ἐλογίζοντο καὶ ἀπ' αὐτῶν οὐ καθα- 2
ρῶς ἐθάρσουν· οἱ δὲ δὴ πλείους τῶν ἰδιωτῶν πρός τε τὴν διὰ βρα-
χέος παρ' ἐλπίδα τοῦ Ταραύτου ἀπαλλαγὴν καὶ πρὸς τὴν ἐκείνου
παραπλησίαν, ἐξ ὧν ὑποδεδείχει σφίσι, πρὸς πάντα καὶ τὰ λοιπὰ
προσδοκίαν οὐκ ἔσχον καιρὸν δι' ὀλίγου οὕτως αὐτοῦ καταγνῶναι,
καὶ διὰ τοῦτ' ἰσχυρῶς ἀποθανόντα ἐπόθησαν ὃν πάντως ἄν, εἴπερ
ἐπὶ πλεῖον ἐβεβιώκει, διὰ μίσους ἐσχήκεσαν. καὶ γὰρ τρυφερώτερόν 3
πως ζῆν ἤρξατο, καὶ τῶν διαμεμφομένων τι αὐτοῦ ἀπεστρέφετο.
τὸν μὲν γὰρ Ματερνιανὸν τόν τε Δάτον οὐκ εὐλόγως μέν (τί γὰρ
ἠδικήκεσαν τὸν αὐτοκράτορά σφων περιέποντες;) οὐ μέντοι καὶ ἀπὸ
τοῦ ἀνθρωπίνου τρόπου, ἐπεὶ κινδύνων πλησίον ἐγεγόνει, διεχρήσατο· τοῖς
δ' ἄλλοις τοῖς τὴν δυσγένειαν αὐτοῦ καὶ τὴν παράλογον τῆς μοναρ-
χίας κτῆσιν δυσχεραίνειν ὑποπτευομένοις οὐκ ὀρθῶς ἐπέξῄει. πάντα 4
γάρ που τἀναντία αὐτὸν ἐχρῆν ποιεῖν, εἰδότα ὅστις τε ἀρχὴν ἐπε-
φύκει καὶ ὅστις τότε ἦν, μήθ' ὑπερφρονεῖν ἀλλὰ μετρίως πράττειν
καὶ τόν τε δαίμονα τὸν ὁμέστιον ἐκθεραπεύειν καὶ τοὺς ἀνθρώπους τῇ
τε εὐεργεσίᾳ καὶ τῇ τῆς ἀρετῆς διὰ πάντων ὁμοίως ἐπιδείξει παρα-
μυθεῖσθαι.

ταῦτα μὲν ........ κατ' αὐτὸν ας...... εἴρηταί μοι εν ......... 16
ὡς ἕκαστα ..........μης τινος ........... κεινωνες ....... αὐτοκράτωρ
μεν ..........ραις ὥσπερ ........ λόγῳ παρὰ πᾶσαν αὐτοῦ τὴν ἀρχὴν
........... παντὸς μα...........νος αὐτῆς ο ......... των ὧν διε-
λέγετο τοῖς στρατιώταις ........ ἀπεδείχθη .......... καὶ ἐπαίνους ἑαυ-
τοῦ οὐκ ὀλίγους μὲν ἀνειπεῖν ἐτόλμησεν, ἔτι δὲ πλείους ἐπιστεῖλαι, λέγων 2
ἄλλα τε καὶ ὅτι εὖ ἠπιστάμην καὶ ὑμᾶς τοῖς στρατεύμασι συνομολογή-
σειν, συνειδὼς ἐμαυτῷ πολλὰ καὶ καλὰ πεποιηκότι τὸ κοινόν. ἐνέγραψεν
δὲ τῇ ἐπιστολῇ Καίσαρα θ' ἑαυτὸν καὶ αὐτοκράτορα καὶ Σεβῆρον, προ-
σθεὶς τῷ Μακρίνου ὀνόματι τὸν εὐσεβῆ καὶ εὐτυχῆ καὶ Αὔγουστον καὶ
Περτίνακα, οὐκ ἀναμένων τι, ὡς εἰκὸς ἦν, παρ' ἡμῶν ψήφισμα. ἐπέστελλεν δὲ 3
οὐκ ἠγνοηκὼς τοσαῦτα καὶ τηλικαῦτα ῥήματα αὐτὸς ἀναδεξάμενος οὐδὲ
............ης ὄνομα ..........ν δορυφόρων ὡς καὶ πρότερόν τινες ....
........ οὐ μὴν ἀλλ ......... οὕτως ἐγρα........... τὴν ἀρχὴν ........
πόλεμον μάλιστα ....ων βαρβάρων .........ρημιον προς ...........ν
πλησίον ..........ηθει παρον ..........στον δρασω..........η τῇ τε 4
ἐπιστολῇ ἐνέγραψεν ἁπλῶς ὥσπερ οἱ πρὸ τοῦ Καρακάλλου αὐτοκράτορες,
καὶ δὴ τοῦτο καὶ διὰ παντὸς τοῦ ἔτους ἐποίησε ......... ὑπομνήματα
τὰ παρὰ τοῖς στρατιώταις γενόμενα. οὕτως ἐκει......... τῶν ἐπὶ κολα-

15 3 2 ἐπεστρέφετο 4 1 κτῆσιν] σφισιν 16 2 3 σειν] σαν* 5 γ] τ*
3 5 ν πλησίον] ἀπαίσιον F

Digitized by Google

5 κείᾳ εἰωθότων καὶ οὐκ ἐπὶ ἀληθείας λέγεσθαι ὑπώπτευσαν ὥστε καὶ δη-
μοσιευθῆναι αὐτὰ ἀξιῶσαι, ἔπεμψεν ἡμῖν, ἅτινα καὶ αὐτὰ ὁ ταμίας,
ὥσπερ καὶ ἕτερα αὖθις τῶν ὁμοίων, ἀνέγνω. καὶ στρατηγὸς δέ τις
τὰ αὐτοῦ ποτὲ τοῦ Μακρίνου γράμματα, τῷ σύγκλητόν τε τότε τὴν
βουλὴν γενέσθαι καὶ μηδένα τῶν ταμιῶν παρεῖναι, ἐπελέξατο.
17 τῆς δ' οὖν πρώτης ἐπιστολῆς ἀναγνωσθείσης καὶ ἐκείνῳ, ὅσα
εἰκὸς ἦν, καὶ τῷ υἱεῖ αὐτοῦ ἐψηφίσθη· εὐπατρίδης τε γὰρ καὶ πρό-
κριτος τῆς νεότητος Καῖσάρ τε ἀπεδείχθη. καὶ ὃς τὰ μὲν ἄλλα
προσεδέξατο, τὴν δὲ δὴ ἱπποδρομίαν τὴν ἐπὶ τῇ ἀρχῇ τῆς ἡγεμο-
νίας αὐτοῦ ψηφισθεῖσαν παρῃτήσατο, εἰπὼν αὐτάρκως αὐτὴν τῇ
2 τῶν Σεβήρου γενεσίων θέᾳ τετιμῆσθαι. τοῦ μέντοι Ταραύτου οὐ-
δεμίαν μνείαν οὔτ' ἔντιμον τότε γε οὔτ' ἄτιμον ἐποιήσατο, πλὴν
καθ' ὅσον αὐτοκράτορα αὐτὸν ὠνόμασεν· οὔτε γὰρ ἥρωα οὔτε πο-
λέμιον ἀποδεῖξαι ἐτόλμησεν, ὡς μὲν ἐγὼ δοκῶ, ὅτι τὸ μὲν διά τε τὰ
πραχθέντα αὐτῷ καὶ διὰ τὸ πολλῶν ἀνθρώπων μῖσος, τὸ δὲ διὰ
3 τοὺς στρατιώτας ὤκνησε πρᾶξαι, ὡς δέ τινες ὑπώπτευσαν, ὅτι τῆς
τε γερουσίας καὶ τοῦ δήμου τὴν ἀτιμίαν αὐτοῦ ἔργον γενέσθαι μᾶλ-
λον ἢ ἑαυτοῦ, ἄλλως τε καὶ ἐν τοῖς στρατεύμασιν ὄντος, ἠθέλησεν.
τοῦ τε γὰρ πολέμου αἰτιώτατον αὐτὸν ἐξ ἀδικίας γεγονέναι, καὶ τὸ
δημόσιον ἰσχυρῶς τῇ τῶν χρημάτων τῶν τοῖς βαρβάροις διδομένων
αὐξήσει βεβαρηκέναι ἔφη· ἰσάριθμα γὰρ αὐτὰ τῇ τῶν στρατευο-
4 μένων μισθοφορίᾳ εἶναι. οὐ μέντοι καὶ ἐτόλμησέ τις δημοσίᾳ τι
τοιοῦτο κατ' αὐτοῦ θρασύνασθαι ὥστε καὶ πολέμιον αὐτὸν ψηφίσα-
σθαι, δεδιὼς μὴ καὶ παραντίκα ὑπὸ τῶν ἐν τῇ πόλει στρατευομέ-
νων φθαρῇ· ἀλλ' ἄλλως μὲν καὶ ἐλοιδόρουν αὐτὸν καὶ ὕβριζον ὅσα
ἐδύναντο, τάς τε μιαιφονίας αὐτοῦ ὀνομαστὶ καταλέγοντες, καὶ πρὸς
πάντας αὐτὸν τοὺς πώποτε κακῶς τυραννήσαντάς σφων παραδει-
18 κνύντες, τήν τε ἱπποδρομίαν τὴν τοῖς γενεθλίοις αὐτοῦ τελουμένην
καταλυθῆναι, καὶ τοὺς ἀνδριάντας τούς τε χρυσοῦς καὶ τοὺς ἀρ-
γυροῦς πάντας ἁπλῶς δι' ἐκεῖνον συγχωνευθῆναι, τούς τε μεμηνυ-
κότας τι αὐτῷ πολλῇ σπουδῇ καὶ φανερωθῆναι καὶ κολασθῆναι
2 δεόμενοι· πολλοὶ γὰρ οὐχ ὅτι δοῦλοί τε καὶ ἐξελεύθεροι καὶ στρα-
τιῶται καὶ καισάρειοι, ἀλλὰ καὶ ἱππεῖς βουλευταί τε καὶ γυναῖ-
κες τῶν ἐπιφανεστάτων συχναὶ καὶ ἐνδείξεις λαθρίους ἐπ' αὐτοῦ
3 πεποιῆσθαι καὶ σεσυκοφαντηκέναι τινὰς ἐνομίζοντο. οὐ μὴν οὔτε
ἐκείνῳ τὸ τοῦ πολεμίου ὄνομα προσέθεσαν, καίτοι τὸν Μαρτιάλιον,
ἐπὶ προσχήματι τῆς πρὸς τὸν Ἄρεα αὐτοῦ ὁμωνυμίας, καὶ ἐπαίνοις
καὶ ἀγάλμασι τιμηθῆναι δεῖν ἀεί ποτε ἐπιβοῶντες, οὔτε τῷ Μα-

17 2 1 μέντοι] μεντου    18 2 3 τῶν] τῶν τε    αὐτούς

Digitized by Google

κρίνῳ ὡς καὶ ἀχθόμενοί τι τότε ἐνεδείξαντο. αἴτιον δ' ὅτι προκα- 4
ταληφθέντες τῇ διὰ τὸν τοῦ Ταραύτου θάνατον χαρᾷ οὐδ' ἐννοῆ-
σαί τι περὶ τῆς ταπεινότητος αὐτοῦ ἐσχόλασαν, ἀλλ' ἀγαπητῶς
αὐτὸν ἐς τὴν ἀρχὴν ἐδέξαντο, οὐχ οὕτως ᾧ τινὶ δουλεύσουσιν ὡς
οὗ ἐστέρηντο ἐνθυμούμενοι, καὶ πάντα τινά, καὶ τὸν τυχόντα, αἱρε-
τώτερον αὐτοῦ νομίζοντες ἔσεσθαι. καί τι αὐτοὺς καὶ ἡ τῶν ἐπί 5
τε τῶν ὑπ' ἐκείνου καταδειχθέντων κατάλυσις (πάντα γὰρ ὅσα ποτὲ
παρὰ τὸ καθεστηκός, οὐχ ὅτι ἐκ τοῦ δημοσίου τοῦ τῶν Ῥωμαίων,
ἀλλὰ καὶ οἴκοθέν τισιν ἐξ ἐπιτροπῆς αὐτοῦ πρὸς τινῶν δήμων ἀνη-
λίσκετο, ἀνετάγη) καὶ ἡ ἐς τὸ ἔπειτα μηδὲν ὅμοιον αὐτοῖς προστα-
χθήσεσθαι ἐλπὶς ἀνέπεισε στέρξαι τοῖς παροῦσιν. ὡς μέντοι τόν 19
τε Αὐρηλιανὸν τεθνηκότα καὶ τὸν Διαδουμενιανὸν τὸν υἱὸν αὐτοῦ
Καίσαρα, λόγῳ μὲν ὑπὸ τῶν στρατιωτῶν δι' ὧν ἀπὸ τῆς Ἀντιο-
χείας μεταπεμφθεὶς πρὸς αὐτὸν διῄει, ἔργῳ δὲ ὑπὸ τοῦ Μακρίνου,
ἀποδεδειγμένον καὶ προσέτι τὸ τοῦ Ἀντωνίνου ὄνομα προσειληφότα
ἔμαθον (ταῦτα γὰρ ἐπὶ τῇ τῶν στρατιωτῶν θεραπείᾳ, τὸ μὲν ἵνα 2
μὴ δόξῃ τὴν τοῦ τεθνηκότος μνήμην παντάπασιν ἀτιμάζειν, καὶ
μάλισθ' ὅτι τῶν ἀνδριάντων τινὰς τῶν ἐν τῇ Ῥώμῃ ὑπὸ τοῦ Ἀλε-
ξάνδρου αὐτῷ ἀνατεθέντων καὶ αὐτῷ ἐκείνῳ σταθέντων λάθρᾳ κα-
θῃρήκει, τὸ δὲ ἵνα ἄλλας ἑπτακοσίας καὶ πεντήκοντα αὐτοῖς δρα-
χμὰς προσυπόσχηται, ἐποίησεν), οὐκέτι ὁμοίως φρονεῖν ἤρξαντο, 3
ἀλλ' ἐνθυμούμενοι ὅτι πρότερον ἐν οὐδενὶ λόγῳ ἐπεποίηντο, καὶ
προσέτι λογιζόμενοι πάνθ' ὅσα περὶ τῶν ἄλλων αὐτοῦ ταπεινὰ προσυποπ-
τεύοντες εἰκάζοντο, ᾐσχύνθησαν, καὶ τοῦ μὲν Καρακάλλου οὐδὲν μᾶλλον
ἐ .:.....το, τὰ δὲ ἐς ἐκεῖνον φέροντα ἄλλως ........ στέλλοντο τι ....
παραιτήσει ων ....... τοῦ Σεβήρου .... Ἀντωνίνου κα...... ἐξέφαι- 4
νον κ........ γε καὶ ἥρωα καὶ τὰ ἐοικότα διὰ τὴν ἡγεμονίαν οὐ μὴ...
..... ἀποφανθη ......... καὶ παντάπασιν αἱ γνῶμαι πάντων ἀνθρώπων
τῶν ἐν τῇ Ῥώμῃ ...... μετέπεσον ......... γερουσίαν α.........σα καὶ
ἐπιφ........μονη ἐπι τ......... κακουργεις ........ αὐτῷ ἐξαιτ.......
γην ἐμὲ δε ... καὶ μέντοι κατ' ἄνδρα πάντων ἐρωτηθέντων περὶ τῶν 5
τιμῶν αὐτοῦ ἄλλοι τε ἀμφιβόλως ἀπεκρίναντο καὶ ο......Σατουρνῖνος ν..
......τιαν τρόπον τινὰ ἐπιφημιζόμενος ....... στρατηγῶν ...... μὴ ἐξεῖ-
ναί οἱ μηδεμίαν ψῆφον περί του προθεῖναι, ἵνα μὴ ὁ ὕπατος φθονήσῃ σφί-
σιν. καὶ ταῦτα μὲν ἔξω τοῦ καθεστηκότος ἐγένετο (οὐ γὰρ ἦν νόμιμον ὑπὲρ
οὐδενὸς πράγματος σκέψιν τινὰ ἐν τῷ βουλευτηρίῳ μὴ κελεύοντος τοῦ
αὐτοκράτορος γενέσθαι)· ὁ δὲ δῆμος, ἅτε καὶ ἐν τῇ ἀγωνίᾳ λανθάνων καὶ 20
ὑπὸ τοῦ πλήθους σφῶν μᾶλλον θρασυνόμενος, μέγα ἀνεβόησεν ἐν τῇ τῶν

4 4 ᾧ] ὅτι  5 1 ἐπί τε] ἐπιταγμάτων?*  5 προαχθήσεσθαι*
19 5 2 τε] ἐν F  6 2 ἀγνωσίᾳ F

Digitized by Google

τοῦ Διαδουμενιανοῦ γενεθλίων ἱπποδρομίᾳ, ἣ τῇ τετάρτῃ καὶ δεκάτῃ
τοῦ Σεπτεμβρίου ἡμέρᾳ ἐγίγνετο, ἄλλα τε πολλὰ ὀδυρόμενος καὶ λέγων
μόνους δὴ τῶν πάντων ἀνθρώπων ἑαυτοὺς ἀπροστάτους ἀβασιλεύτους εἶ-
2 ναι ......... ἀνεκάλουν ...........νον σφων γενησόμενον. καὶ δὴ καὶ
αὐτὸ τοῦτο εἶπον ὅτι ὡς ἐκείνοις ὠργίσθης οὕτως ἡμᾶς ἐλέησον. ἡμῶν δ' οὐκ
ἐφρόντισαν .........ν πρώτην ........ ἱππικοῦ οὐ .... βουλευτικοῦ τε
... τόν τε αὐτοκράτορα καὶ τὸν Καίσαρα ἐπαινούντων, ὥστε καὶ αὐ.....
ἑλληνιστὶ εἰπεῖν "ὦ καλῆς ἡμέρας τῆς τήμερον, ὦ καλῶν ἀνδρῶν", κἀκεί-
νους .......νειν σφίσιν ......ων· ἀλλ' ἔς τε τὸν οὐρανὸν τὰς χεῖρας ἀνέ-
3 τεινον καὶ ἐβόων "αυ........πὸ Ῥωμαίων Αὔγουστος τοῦτον ἔχοντες
πάντα ἔχομεν." οὕτω που πολὺ τοῖς ἀνθρώποις καὶ αἰδοῦς ἐς τὸ
κρεῖττον καὶ καταφρονήματος πρὸς τὸ χεῖρον ἐμπέφυκεν, ὥστε καὶ
ἐκείνους μηδ' ἀρχὴν ἔτι εἶναι τόν τε Μακρῖνον καὶ τὸν Διαδουμε-
νιανὸν νομίζειν, ἀλλ' ὡς καὶ τεθνηκότας αὐτοὺς ἤδη καταπατεῖν.
4 ὅθεν οὐχ ἥκιστα καὶ οἱ στρατιῶται κατεφρόνησαν αὐτοῦ, ἐν οὐδενὶ
λόγῳ τὰ ἐπὶ τῇ θεραπείᾳ σφῶν πραχθέντα θέμενοι, καὶ μάλισθ'
ὅτι οἱ Περγαμηνοί, στερηθέντες ὧν παρὰ τοῦ Ταραύτου πρότερον
εἰλήφεσαν, πολλὰ καὶ ἄτοπα ἐς αὐτὸν ἐξύβρισαν, ἐφ' ᾧ δὴ καὶ δη-
μοσίᾳ ἀτιμίαν ὑπ' αὐτοῦ ὦφλον.

21 καὶ τὰ μὲν τῶν στρατιωτῶν αὐτίκα λελέξεται· τότε δὲ γράμμα
μὲν οὐδὲν ὁ Μακρῖνος τῶν μηνυτικῶν οὔτ' ἐσέπεμψεν ἐς τὴν γε-
ρουσίαν, ὥσπερ ἠξίουν, οὔτ' ἄλλως ἐξέφηνε, φήσας, εἴτ' οὖν ἀλη-
θῶς εἴτε καὶ ψευδῶς, ἵνα μὴ πολλὴ ταραχὴ γένηται, ὅτι μηδὲν ἐν
τῷ βασιλικῷ τοιοῦτον εὑρέθη (ὁ γάρ τοι Ταραύτας ἤτοι διέφθειρε
2 τὰ πλεῖστα τῶν ἔνδειξίν τινα ἐχόντων, ἢ καὶ αὐτοῖς τοῖς πέμψασιν
αὐτὰ ἀντέπεμπεν, ὥσπερ εἶπον, ὅπως μηδεὶς ἔλεγχος τῆς κακίας
αὐτῶν ὑπολείπηται), τρεῖς δὲ δὴ τῶν βουλευτῶν, οὓς μάλιστα καὶ
αὐτὸς ἐξ ὧν ἐπεφωράκει ἀξιομισεῖς ἐνόμιζεν εἶναι, ἐκδήλους ἐποίησε,
τόν τε Μανίλιον καὶ τὸν Ἰούλιον καὶ προσέτι Σουλπίκιον Ἀρρηνια-
νόν, ὃς ἄλλους τέ τινας καὶ τὸν Βάσσον τὸν τοῦ Πομπωνίου παῖδα,
3 ᾧ τῆς Μυσίας ἄρξαντι ὑπεστρατηγήκει, ἐσεσυκοφαντήκει. καὶ οὗ-
τοί τε ἐς νήσους ὑπερωρίσθησαν (ἀπεῖπε γὰρ ἄντικρυς μηδένα αὐ-
τῶν θανατωθῆναι, αὐτὸ τοῦτο γράψας "ἵνα μή, ἃ ἐκείνοις ἐγκα-
λοῦμεν, αὐτοὶ ποιοῦντες φανῶμεν") καὶ Λούκιος Πρισκιλλιανὸς ὑπ'
αὐτῆς τῆς βουλῆς προβληθείς, ὃς οὕτω περιβόητος ἐπὶ ταῖς ἐπη-
4 ρείαις ὥσπερ καὶ ἐπὶ ταῖς τῶν θηρίων σφαγαῖς ἦν. ἔν τε γὰρ τῷ
Τουσκούλῳ πολλοῖς ἀεὶ πολλάκις ἐμαχέσατο, ὥστε καὶ σημεῖα τῶν
δηγμάτων αὐτῶν φέρειν, καί ποτε καὶ ἄρκτῳ καὶ παρδάλει λεαίνῃ

20 1 3 ἢ] ἰα

Digitized by Google

τε καὶ λέοντι ἅμα μόνος συνηνέχθη· καὶ πολὺ πλείους ἄνδρας, καὶ
τῶν ἱππέων καὶ τῶν βουλευτῶν, ἐκ τῶν διαβολῶν ἐξώλεσεν. ἐφ' 5
οἷς ἀμφοτέροις ὑπὸ μὲν τοῦ Καρακάλλου μεγάλως ἐτιμήθη καὶ ἐς
τοὺς ἐστρατηγηκότας ἐσεγράφη καὶ τῆς Ἀχαΐας καὶ παρὰ τὸ κα-
θῆκον ἦρξεν, ὑπὸ δὲ τῆς γερουσίας ἰσχυρῶς ἐμισήθη, καὶ ἐπίκλητός
τε ἐγένετο καὶ ἐς νῆσον κατεκλείσθη.

οὗτοί τε οὖν οὕτως ἀπήλλαξαν, καὶ ὁ Φλάκκος τὴν τῶν τρο- 22
φῶν διάδοσιν, ἣν ὁ Μανίλιος πρότερον [ἔσχε] τῆς κατ' αὐτοῦ συ-
κοφαντίας γέρας εἰλήφει, ἐπετράπη καὶ αὐτήν· καὶ μετὰ τοῦτο τό
τε διαδίδοσθαί τινα ἐν ταῖς τῶν στρατηγῶν τῶν πάνυ θέαις, πλὴν
τῶν τῇ Φλώρᾳ τελουμένων, δικαιονόμοι οἱ τὴν Ἰταλίαν διοικοῦντες
ἐπαύσαντο ὑπὲρ τὰ νομισθέντα ὑπὸ τοῦ Μάρκου δικάζοντες. Δο- 2
μίτιός τέ τις Φλῶρος περιδρομῇ θεραπείας πρὸς σπουδαρχίαν, καί-
τοι πρότερόν ποτε τὰ τῆς βουλῆς ὑπομνήματα διὰ χειρὸς ἔχων καὶ
ἀγορανόμος ἐπ' αὐτοῖς ἀποδειχθῆναι ὀφείλων, εἶτα πρὶν ἄρξαι τῆς
ἐλπίδος διὰ Πλαυτιανὸν ἐκπεσών, κατεστήσατο καὶ δήμαρχος ἀπε-
δείχθη· ὅ τε Φῆστος ὁ Ἀκίκιος ἐς τὴν Ἀσίαν ἀντὶ τοῦ Ἄσπρου
ἄρξων ἐπέμφθη. ἐκεῖνος γὰρ τὸ μὲν πρῶτον καὶ πάνυ πολλῆς παρὰ 3
τοῦ Μακρίνου τιμῆς, ὡς καὶ καταστῆσαι τὰ ἐν τῇ Ἀσίᾳ δυνησό-
μενος, ἔτυχεν· ἔπειτ' ἐν ὁδῷ ὄντα αὐτὸν ἤδη καὶ πλησιάζοντα τῷ
ἔθνει (τὴν γὰρ παραίτησιν, ἣ παρὰ τοῦ Καρακάλλου παρῄτητο,
ἐς αὐτὸν ἐλθοῦσαν οὐκ ἐδέξατο) δεινῶς περιύβρισεν ἀπωσάμενος
(καὶ γάρ τινα καὶ διηγγέλλετο αὐτῷ λελαληκὼς οὐκ ἐπιτήδεια), καὶ 4
δῆτα, ὡς καὶ αὖθις αὐτοῦ παρεμένου διά τε γῆρας καὶ νόσον, τῷ
Φήστῳ τὴν Ἀσίαν, καίπερ παροφθέντι τὴν τοῦ κλήρου τάξιν ὑπὸ
τοῦ Σεβήρου, ἐνεχείρισεν· καὶ ἐπειδή γε βραχὺς ὁ χρόνος τῆς ἡγε-
μονίας αὐτῷ ἐγίνετο, καὶ ἐς τὸ ἐπιὸν ἔτος ἄρξαι αὐτὸν ἀντ' Αὐ-
φιδίου Φρόντωνος ἐκέλευσεν. τούτῳ γὰρ οὔτε τὴν Ἀφρικὴν κατα- 5
κληρωσαμένῳ ἐπέτρεψε τῶν Ἄφρων αὐτὸν παραιτησαμένων, οὔτε
τὴν Ἀσίαν, καίτοι μεταθεὶς αὐτὸν ἐκεῖσε πρότερον. τό γε μὴν ἱκνού-
μενον γέρας καὶ οἴκοι μείναντι αὐτῷ, τὰς πέντε καὶ εἴκοσι μυριάδας,
δοθῆναι ἐσηγήσατο. οὐ μέντοι καὶ ἐκεῖνος αὐτὰς ἔλαβεν, εἰπὼν οὐκ
ἀργυρίου ἀλλ' ἡγεμονίας δεῖσθαι, καὶ διὰ τοῦθ' ὕστερον παρὰ τοῦ
Σαρδαναπάλλου τὸ ἔθνος ἀπέλαβεν.

ταῦτα μὲν οὕτως ἐγένετο, καὶ τοῖς ἐπ' ἐλπίδι βραχείᾳ τρεφομένοις
ὀρφανοῖς ἐκ τῆς .... παιδικῆς μέχρι τῆς στρατευσίμου ἡλικίας ἐπεκου-
ρήθη· ἡ δὲ Ἰουλία ἡ τοῦ Ταραύτου μήτηρ ἔτυχε μὲν ἐν τῇ Ἀντιο- 23
χείᾳ οὖσα, καὶ οὕτω παραχρῆμα, ἅμα τῇ πύστει τοῦ θανάτου

5 4 ὑπὸ δὲ] καὶ ὑπὸ  22 1 5 τελουμένων ἐλώφησε καὶ οἱ δικ.?*
2 1 περιδρομὴν?  3 1 γὰρ] μὲν γὰρ*  4 3 φαυστωι

αὐτοῦ, διετέθη ὥστε καὶ πλήξασθαι ἰσχυρῶς καὶ ἀποκαρτερῆσαι ἐπιχειρῆσαι. ὃν γὰρ ζῶντα καὶ ἐμίσει, τελευτήσαντα τότε ἐπένθει, οὐχ ὅτι ἐπόθει αὐτὴ ἢ ἐκεῖνον ζῆν ἤθελεν, ἀλλ' ὅτι αὐτὴ ἰδιωτεύουσα ἤχθετο. καὶ διὰ τοῦτο καὶ τὸν Μακρῖνον πολλὰ καὶ δεινὰ
2 ἐλοιδόρησεν. ἔπειθ' ὡς οὔτε που τῆς βασιλικῆς θεραπείας τι καὶ τῆς τῶν δορυφόρων περὶ αὐτῇ φρουρᾶς ἠλλοιώθη, καὶ ἐκεῖνος χρηστά τινα αὐτῇ, τὰ λεχθέντα ὑπ' αὐτῆς οὔπω ἀκηκοώς, ἐπέστειλε, θαρσήσασα τὴν τοῦ θανάτου ἐπιθυμίαν κατέθετο, καὶ μηδὲν αὐτῷ
3 ἀντιγράψασα ἔπραττέ τι καὶ ἐς τοὺς συνόντας αὐτῇ στρατιώτας ἄλλως τε .......... καὶ ἐκειν .................. καὶ τῷ τε Μακρίνῳ ὀργιζομένους ........... υἱέος αὐτῆς ἀσμενέστερον μνημονεύοντας, ὅπως αὐταρχίαν διώκῃ, ὥστε Σεμιράμιδι καὶ Νιτώκριδι, ἅτε καὶ ἐκ τῶν αὐτῶν τρόπον τινὰ χωρίων αὐταῖς γενομένη .. ουμένη ὡς .........ῃ συνήρετο ...... καὶ γράμματα ......... ου Μακρίνου ......... ι τινα
4 ἐφ' οἷς .......... οντα ελα ............ ν γνώμης .......... ειτο φοβηθεῖσα μὴ τοῦ τε ὀνόματος τοῦ τῆς Αὐγούστης στερηθῇ καὶ ἐς τα ... .... πατρίδα ἀπελθεῖν ἀναγκασθῇ καὶ παν ........... δεινοτε ......... ... ς γυναι .......... ωνων προσ .......... θενεστε ............ νατω τε ......... νω τις οφθη ......... ατο παν του ....... δεδιέναι μη
5 ... ἐς τὴν Ῥώμην ἀνελθ.......... σθῇ καὶ ἐ .......... Μακρίνου ..... ..... κοι κατα .......... ι τοῦ τἀναντία πράττειν δοκεῖν ε ..........ξειν ὅπως ........... ῃ κατα .......... οχωρήσῃ ........ ἐκεῖνός τε ἀπιέναι ὅτι τάχιστα ἐκ τῆς Ἀντιοχείας αὐτήν, ὅποι βούλοιτο, ἐκέλευσεν·
6 καὶ ἐπεὶ τὰ ἐν τῇ Ῥώμῃ περὶ τοῦ υἱέος αὐτῆς λεχθέντα ἤκουσεν, οὐκέτ' ἐφιλοψύχησεν, ἀλλ' ἤδη τρόπον τινὰ καὶ ὑπὸ τοῦ καρκίνου, ὃν ἐν τῷ μαστῷ ἐκ πάνυ πολλοῦ χρόνου ἡσυχάζοντά πως ἔχουσα τότε ἠρέθισεν ἐκ τῆς πληγῆς ἣν ἐπὶ τῷ τοῦ παιδὸς θανάτῳ κοψαμένη κατὰ τῶν στέρνων ἐπέπληκτο, συναιρουμένη προσδιέφθειρεν ἑαυτὴν ἀποκαρτερήσασα.

24 καὶ ἡ μὲν οὕτω τι ἐκ δημοτικοῦ γένους ἐπὶ μέγα ἀρθεῖσα, κἀν τῇ τοῦ ἀνδρὸς ἡγεμονίᾳ περιαλγῶς πάνυ διὰ τὸν Πλαυτιανὸν ζήσασα, τῶν τε υἱέων τόν τε νεώτερον ἐν τοῖς αὐτῆς κόλποις κατασφαγέντα ἐπιδοῦσα καὶ τὸν πρεσβύτερον ζῶντά τε ἀεὶ διὰ φθόνου
2 ἔχουσα καὶ φονευθέντα οὕτω μαθοῦσα, τῆς ἀρχῆς ζῶσα ἐξέπεσε καὶ ἑαυτὴν προσκατειργάσατο, ὥστε τινὰ ἐς αὐτὴν ἀποβλέψαντα μὴ πάνυ πάντας τοὺς ἐν ταῖς μεγάλαις ἐξουσίαις γενομένους μακαρίζειν, ἂν μὴ καὶ ἡδονή τις αὐτοῖς τοῦ βίου καὶ ἀληθὴς καὶ ἀκή-
3 ρατος καὶ εὐτυχία καὶ ἀκραιφνὴς καὶ διαρκὴς ὑπάρχῃ. καὶ τὰ μὲν

23 2 5 αὐτῇ] τω vel τὸ 4 2 γ] τ* 6 4 ἠρέθισεν om 24 1 1 τε* καὶ* 4 διὰ τέλους φθόνου

τῆς Ἰουλίας οὕτως ἔσχε, τό τε σῶμα αὐτῆς ἐς τὴν Ῥώμην ἀναχθὲν
ἐν τῷ τοῦ Γαΐου τοῦ τε Λουκίου μνήματι κατετέθη· ὕστερον μέν-
τοι καὶ ἐκεῖνα, ὥσπερ καὶ τὰ τοῦ Γέτα ὀστᾶ, πρὸς τῆς Μαίσης
τῆς ἀδελφῆς αὐτῆς ἐς τὸ τοῦ Ἀντωνίνου τεμένισμα μετεκομίσθη.
ἔμελλε δ' οὐδ' ὁ Μακρῖνος ἐπὶ πολὺ περιοίσειν, ὥς που καὶ προε- 25
δηλώθη αὐτῷ. ἡμίονός τε γὰρ ἡμίονον ἐν τῇ Ῥώμῃ καὶ χοῖρος
χοιρίδιον ὦτα τέσσαρα καὶ γλώσσας δύο πόδας τε ὀκτὼ ἔχον ἔτε-
κεν, καὶ σεισμὸς ἰσχυρὸς ἐγένετο, αἷμά τε ἐκ σωλῆνος ἐρρύη, καὶ
μέλισσαι κηρία ἐν τῇ ἀγορᾷ τῇ βοαρίᾳ ἐνέπλασαν. τό τε θέατρον 2
τὸ κυνηγετικὸν κεραυνοῖς ἐν αὐτῇ τῇ τῶν ἡφαιστείων ἡμέρᾳ βληθὲν
οὕτω κατεφλέχθη ὥστε τήν τε ἄνω περιβολὴν αὐτοῦ πᾶσαν καὶ
τὰ ἐν τῷ τοῦ κύκλου ἐδάφει πάντα κατακαυθῆναι, κἀκ τούτου τὰ
λοιπὰ πυρωθέντα θραυσθῆναι. οὐδὲ ἐπαρκέσαι αὐτῷ οὔτε ἀνθρω- 3
πίνη ἐπικουρία, καίπερ παντὸς ὡς εἰπεῖν ὕδατος ῥέοντος, οὔθ' ἡ
τοῦ οὐρανίου ἐπίρροια πλείστη τε καὶ σφοδροτάτη γενομένη ἠδυ-
νήθη· οὕτω που καὶ τὸ ὕδωρ ἑκάτερον ὑπὸ τῆς τῶν σκηπτῶν δυ-
νάμεως ἀνηλίσκετο, καὶ ἐν μέρει καὶ αὐτὸ τοῦτο προσεσίνετο, ὅθεν
ἡ θέα τῶν μονομαχιῶν ἐν τῷ σταδίῳ ἐπὶ πολλὰ ἔτη ἐτελέσθη.
τοῦτό τε οὖν τὰ μέλλοντα ἔσεσθαι προεσήμαινεν, — ἐνεπρήσθη μὲν 4
γὰρ καὶ ἄλλα τινά, καὶ τῶν βασιλικῶν κτημάτων μάλιστα, ἐν τῇ
ἀρχῇ αὐτοῦ πολλάκις, ὅπερ που καὶ αὐτὸ ἐξαίσιον ἀεί ποτε νενό-
μισται· ἐκεῖνο δὲ δὴ ἄντικρυς ἐς αὐτὸν ἔφερεν, ὅτι καὶ τὴν ἱππο-
δρομίαν τοῦ Ἡφαίστου καταλελυκέναι ἔδοξεν. ἔκ τε οὖν τούτου 5
νέον τι γίνεσθαι ἐτοπάσθη, καὶ ὅτι ὁ Τίβερις ἐν τῇ αὐτῇ ἐκείνῃ
ἡμέρᾳ πληθύσας ἔς τε τὴν ἀγορὰν καὶ ἐς τὰς περὶ αὐτὴν ὁδοὺς
τοσαύτῃ ῥύμῃ ἐσέβαλεν ὥστε καὶ ἀνθρώπους παρασυρῆναι. γυνή
τέ τις, ὥς γε ἤκουσα, βλοσυρὰ καὶ ὑπέρογκος ὀφθεῖσά τισιν ἔφη
ὅτι ἐλάχιστα ταῦτα πρὸς τὰ μέλλοντα αὐτοῖς συμβήσεσθαι ἐστίν.
καὶ ἔσχεν οὕτως· οὐδὲ γὰρ ἐν τῇ πόλει μόνῃ τὸ δεινὸν ἔμεινεν, 26
ἀλλὰ πᾶσαν τὴν οἰκουμένην αὐτῆς, ὑφ' ἧς τὸ θέατρον ἀεί ποτε
ἐπληροῦτο, ἐπέσχεν· τὸν μὲν γὰρ πρὸς τοὺς βαρβάρους πόλεμον
καὶ ἐλαττωθέντες κατέθεντο, τῇ δὲ ἐκ τῶν στρατιωτῶν πλεονεξίᾳ
καὶ στάσει δεινῶς ἐκακώθησαν. ἐπράχθη δὲ ἑκάτερον ὧδε.

ὁ Μακρῖνος ἰδὼν τὸν Ἀρτάβανον σφόδρα τε ἐφ' οἷς ἐπεπόνθει 2
θυμούμενον καὶ δυνάμει πολλῇ ἐς τὴν Μεσοποταμίαν ἐμβεβληκότα,
τὸ μὲν πρῶτον τούς τ' αἰχμαλώτους αὐτῷ αὐτεπάγγελτος καὶ λό-
γους φιλίους ἔπεμψε, πρός τε τὴν εἰρήνην αὐτὸν προκαλούμενος
καὶ τὴν αἰτίαν τῶν γεγονότων ἐς τὸν Ταραύταν τρέπων· ὡς δὲ 3

25 2 1 ἀνέπλασαν?* 2 κεραυνοῖς om m 1 3 1 ἐπήρκεσεν
4 σκηπτρων 5 προσεγίνετο* 26 1 2 ἀφ'?

ἐκεῖνος οὔτε τοῦτο προσεδέξατο, καὶ προσέτι καὶ τὰ φρούρια αὐτὸν
τάς τε πόλεις κατασκαφείσας ἀναστῆσαι τῆς τε Μεσοποταμίας
παντελῶς ἐκστῆναι καὶ δίκας ἐπί τε τοῖς ἄλλοις καὶ ἐπὶ τῇ τῶν
4 βασιλικῶν μνημάτων λύμῃ δοῦναι ἐκέλευσεν (τῇ τε γὰρ δυνάμει,
ἣν πολλὴν ἠθροίκει, θαρρῶν, καὶ τοῦ Μακρίνου ὡς καὶ παρὰ τὴν
ἀξίαν αὐταρχοῦντος καταφρονῶν, τῇ τε ὀργῇ ἀπλήστῳ ἐχρῆτο, καὶ
ἤλπιζε καὶ ἄκοντος αὐτοῦ πάνθ' ὅσα ἐβούλετο κατεργάσασθαι),
5 οὐδὲ καιρὸν οὐδένα διαβουλεύσασθαι ἔσχεν, ἀλλ' ἀπαντήσας αὐτῷ
πρὸς τὴν Νίσιβιν ἤδη προσιόντι ἡττήθη, μάχης περὶ τοῦ ὕδατος
τοῖς στρατιώταις ἐν τῇ ἀντιστρατοπεδεύσει γενομένης. καὶ αὐτὸ δὲ
δὴ τὸ τάφρευμα παρ' ὀλίγον ἀπέβαλεν. ἀλλὰ τὸ μὲν οἵ τε ὑπασπισταὶ
6 καὶ οἱ σκευοφόροι οἱ παρατυχόντες διεσώσαντο· θρασυνόμενοι γὰρ προεξῇ-
ξαν ἐς τοὺς βαρβάρους ἐπεκδραμόντες· τό τε γὰρ ἀνέλπιστον τῆς ἀντι-
τάξεως ὠφέλησεν αὐτούς, καὶ δὴ στρατιῶταί τινες ὡπλισμένοι ἀλλ' οὐχ
ὑπηρέται ἔδοξαν εἶναι. ὁ δὲ σ.......... τότε τε οὐ παρεγένετο καὶ μετα
π .......... ξεως παρ.......... τῆς νυκτὸς .......... τὰ στρατόπεδα
7 ..... οἵ τε Ῥωμαῖοι ἐφείποντο. καὶ οἱ πολέμιοι τὸν θόρυβον ἐξερχομένων
σφῶν αἰσθανόμενοι ὑπώπτευσαν ......... φυγήν, ἀλλὰ συνιδόντες αὐτοὺς
πο ..........λυ ἀπαλκη .......... σαν ἐπειτ .......... τες οἱ Ῥωμαῖοι
..... βαρβάρων ......... αοπτοησ .......... αληθεινο .......... το
πεποιη .......... θον τε αυ ...........μια μὲν μ ........... ἀπαλλαξ
................. νήθει αὐτῶν βιασθέντες καὶ τῇ τοῦ Μακρίνου φυγῇ
8 ἀθυμήσαντες ἐνικήθησαν. κἀκ τούτου ...... τῆς Μεσοποταμίας ἄλ-
λως τε καὶ ἐκει ....... τὴν Συρίαν κατέτρεχον .. ιελθόντες ... ἐξέστη.
τότε μὲν δὴ οὕτως ἐγένετο, ἐν δὲ δὴ τῷ μετοπώρῳ τῷ τε χειμῶνι,
a.C. 218 ἐν ᾧ ὅ τε Μακρῖνος καὶ ὁ Ἄδοεντος ὑπάτευσαν, ἐς μὲν χεῖρας οὐκέτ' ἀλ-
λήλοις ἦλθον, διαπρεσβευόμενοι δὲ καὶ διακηρυκευόμενοι συνηλλάγη-
27 σαν. ὁ γὰρ Μακρῖνος ὑπό τε δειλίας ἐμφύτου (καὶ γὰρ Μαῦρος
ὢν δεινῶς ἐδείμαινεν) καὶ ὑπὸ τῆς τῶν στρατιωτῶν ἀταξίας οὐκ
ἐτόλμησε πολεμῆσαι, ἀλλὰ καὶ πάνυ πολλὰ τῆς εἰρήνης ἕνεκα καὶ
δῶρα καὶ χρήματα καὶ αὐτῷ τῷ Ἀρταβάνῳ καὶ τοῖς παραδυνα-
στεύουσίν οἱ ἐδαπάνησεν, ὥστε καὶ ἐς πεντακισχιλίας μυριάδας τὸ
2 σύμπαν ἀνάλωμα γενέσθαι. καὶ ἐκεῖνος ἔκ τε τούτου καὶ ὅτι καὶ οἱ
στρατιῶται αὐτοῦ τῇ τε τοῦ χρόνου τριβῇ, ὃν πολὺν ἀπ' οἴκου οὐκ
εἰωθότες ἦσαν, καὶ τῇ τῆς τροφῆς σπάνει, ἣν οὔτε ἐκ παρασκευῆς
(οὐ γὰρ ἑτοιμάζονται) οὔτ' αὐτόθεν τῷ τὰ μὲν δεδῃῶσθαι τὰ δὲ ἐν
τοῖς τείχεσιν εἶναι εὐπόρουν, δεινῶς ἤσχαλλον, οὐκ ἀκουσίως κατηλ-
3 λάγη. οὐ μέντοι καὶ πάντα τὰ πραχθέντα αὐτοῖς ἀκριβῶς ὁ Μα-

7 2 κ] λ F     4 αο] λο F     5 μὲν μ] vel μὲν η     8 2 ἐπεὶ ἐκεῖνοι?*

Digitized by Google

κρῖνος τῇ [τε] βουλῇ ἐπέστειλεν, καὶ διὰ τοῦτο καὶ θυσίαι αὐτῷ
ἐπινίκιοι ἐψηφίσθησαν καὶ τὸ ὄνομα τὸ Παρθικὸν ἐδόθη. οὐ μὴν
ἐδέξατο, αἰσχυνθείς, ὡς ἔοικεν, ἐπίκλησιν πολεμίων λαβεῖν ὑφ'
ὧν ἥττητο.

καὶ μέντοι καὶ τὰ κατὰ τὴν Ἀρμενίαν πολεμωθέντα, ὥσπερ 4
εἶπον, κατέστη, τοῦ Τηριδάτου πεμφθὲν αὐτῷ τὸ διάδημα παρὰ
τοῦ Μακρίνου λαβόντος, καὶ τὴν μητέρα, ἣν ἕνδεκα μησὶν ὁ Τα-
ραύτας ἐν τῷ δεσμωτηρίῳ κατεσχήκει, τήν τε λείαν τὴν ἐκ τῆς
Ἀρμενίας ἁλοῦσαν κομισαμένου, καὶ τὰ χωρία ὅσα ὁ πατὴρ αὐτοῦ
ἐν τῇ Καππαδοκίᾳ ἐκέκτητο, τό τε ἀργύριον ὃ κατ' ἔτος παρὰ τῶν
Ῥωμαίων εὑρίσκετο, ἐλπίσαντος λήψεσθαι. οἵ τε Δάκοι λυμηνάμε- 5
νοί τινα τῆς Δακίας καὶ πολεμησείοντες ἐπὶ πλεῖον ἀνέσχον, τοὺς
ὁμήρους, οὓς ὁ Καράκαλλος ἐν συμμαχίας λόγῳ παρ' αὐτῶν εἰλή-
φει, κομισάμενοι.

ταῦτα μὲν οὖν οὕτως ἔσχεν, πόλεμος δὲ δὴ τοῖς Ῥωμαίοις ἕτε- 28
ρος οὐκέτ' ὀθνεῖος ἀλλ' ἐμφύλιος συνερράγη. οἱ γὰρ στρατιῶται
τὸ μέν τι τοῖς πταίσμασιν ἀχθόμενοι, τὸ δὲ πλέον οὔτε πόνον οὐ-
δένα ἔθ' ἑκούσιον ὑπομένοντες, ἀλλ' ἐς πάντα δὴ πάντως ἐκδεδιῃ-
τημένοι, οὔτ' αὐτοκράτορα οὐδένα ἐγκρατῶς σφῶν ἄρχοντα ἔχειν
ἐθέλοντες, ἀλλὰ λαμβάνειν μὲν ἄπλετά τινα ἀξιοῦντες ἔργον δ'
οὐδὲν ἄξιον αὐτῶν ποιεῖν δικαιοῦντες, ἐταράσσοντο. καί σφας ἥ 2
τε τῆς μισθοφορᾶς συντομὴ καὶ ἡ τῶν γερῶν τῶν τε ἀτελειῶν τῶν
ἐν τοῖς στρατιωτικοῖς ὑπηρετήμασιν, ἃ παρὰ τοῦ Ταραύτου εὕρηντο,
στέρησις, καίπερ μηδὲν αὐτοὺς μέλλοντάς σφων ἀπολαύσειν, ἐπι-
παρώξυνεν, ἥ τε ἐν ταὐτῷ τρόπον τινὰ διατριβή, ἣν τοῦ πολέμου
ἕνεκα χειμάζοντες ἐν τῇ Συρίᾳ ἐπεποίηντο, προσεπισχύρισεν. ἔδοξε 3
μὲν γὰρ στρατηγικῶς πως καὶ νουνεχόντως ὁ Μακρῖνος πεποιηκέναι,
τῶν μὲν ἐν τοῖς ὅπλοις ὄντων μηδὲν παρελόμενος, ἀλλ' ἀκέραια
αὐτοῖς πάντα τὰ πρὸς ἐκείνου νομισθέντα τηρήσας, τοῖς δ' αὖθις
στρατευσομένοις προειπὼν ὅτι ἐπὶ τοῖς ἀρχαίοις τοῖς ὑπὸ τοῦ Σε-
βήρου καταδειχθεῖσι καταλεχθήσοιντο· τούτους τε γάρ, ἅτε καὶ 4
κατ' ὀλίγους ἐς τὴν στρατιὰν ἥξοντας, τὸ μὲν πρῶτον ὑπό τε τοῦ
ἀμάχου καὶ ὑπὸ δέους τὸ δ' ἔπειτα ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ
τοῦ ἔθους οὐδὲν νεοχμώσειν, καὶ τοὺς ἑτέρους, ἅτε μηδὲν ἀπολλύν-
τας αὐτούς, ἡσυχάσειν ἤλπισεν. τοῦτο δὲ εἰ μὲν ἀναχωρησάντων 29
τε αὐτῶν ἐς τὰ οἰκεῖα τείχη καὶ κατὰ τοῦτο διασπαρέντων ἐγεγό-
νει, ὀρθῶς ἂν ἐπέπρακτο. ἴσως μὲν γὰρ οὐδ' ἂν ἠγανάκτησάν τινες
αὐτῶν, πιστεύσαντες ὄντως μηδὲν αὐτοὶ ζημιωθήσεσθαι τῷ μὴ

27 4 2 τοῦ τε τιριδάτου 6 τε γὰρ ἀργ.* 6 1 Δάκριγγοι? 2 πολεμησαιοντες 28 4 2 τὸ] καὶ τὸ*



Digitized by Google

2 παραχρῆμα αὐτὸ πεπονθέναι· εἰ δὲ δὴ καὶ ἐχαλέπηναν, ἀλλ' ὀλίγοι
πως ἕκαστοι ὄντες καὶ τοῖς ἐκ τῆς βουλῆς ἄρχουσιν ὑποτεταγμένοι
οὐδὲν ἂν μέγα κακὸν δρᾶσαι ἠδυνήθησαν. ἐν δὲ δὴ τῇ Συρίᾳ συ-
νεστραμμένοι, καὶ τὸ μέν τι καὶ περὶ αὐτούς, εἰ σκεδασθεῖεν, ὑπο-
πτεύσαντες καινοτομηθήσεσθαι (τότε γὰρ διὰ τὴν τοῦ πολέμου
3 χρείαν κολακεύεσθαι ἐδόκουν), τὸ δὲ καὶ τῷ ... ἐκεῖνοι μὲν γὰρ
στρατιώτας τέ τινας ἀπέκτειναν καὶ τῆς Μεσοποταμίας τινὰ ἐλυ-
μήναντο, οὗτοι δὲ καὶ ἀλλήλων συχνοὺς κατέκοψαν καὶ τὸν αὐτο-
κράτορά σφων κατέλυσαν, καὶ ὃ τούτου δεινότερον ἐστίν, τοιοῦτον
ἕτερον ἐστήσαντο ὑφ' οὗ οὐδὲν ὅ τι οὐ κακὸν καὶ αἰσχρὸν ἐγένετο.
30 καί μοι δοκεῖ ἐναργέστατα καὶ τοῦτο, εἴ πέρ τι ἄλλο τῶν πώ-
ποτε, προδειχθῆναι· ἡλίου τε γὰρ ἔκλειψις περιφανεστάτη ὑπὸ τὰς
ἡμέρας ἐκείνας ἐγένετο, καὶ ὁ ἀστὴρ ὁ κομήτης ἐπὶ πλεῖον ὤφθη,
ἕτερόν τέ τι ἄστρον ἀπὸ δυσμῶν πρὸς ἀνατολὰς τὸ ἀκροφύσιον
ἐπὶ πολλὰς νύκτας ἀνατεῖνον δεινῶς ἡμᾶς ἐξετάραττεν, ὥστε τοῦτο
δὴ τὸ τοῦ Ὁμήρου διὰ στόματος ἀεὶ ποιεῖσθαι "ἀμφὶ δ' ἐσάλπιγξεν
μέγας οὐρανός, ἄιε δὲ Ζεύς." ἐπράχθη δὲ ὧδε.
2 ἡ Μαῖσα ἡ τῆς Ἰουλίας τῆς Αὐγούστης ἀδελφὴ δύο τε θυ-
γατέρας, Σοαιμίδα καὶ Μαμαίαν, ἐξ Ἰουλίου τοῦ ἀνδρὸς ὑπατευ-
κότος, καὶ δύο ἐγγόνους ἄρσενας, ἐκ μὲν τῆς Σοαιμίδος Οὐαρίου τε
Μαρκέλλου, ἀνδρὸς ὁμοεθνοῦς (ἐξ Ἀπαμείας γὰρ ἧς ἐκεῖνος ἦν)
καὶ ἔν τε ἐπιτροπαῖς ἐξετασθέντος καὶ ἐς τὸ συνέδριον ἐσγραφέντος
3 καὶ μετὰ τοῦτο τελευτήσαντος, Ἀουῖτον, ἐκ δὲ τῆς Μαμαίας Γεσσίου
τε Μαρκιανοῦ, Σύρου τε καὶ αὐτοῦ ἐξ Ἄρκης πόλεως ὄντος καὶ
ἐπιτροπείας τινὰς προσταχθέντος, Βασσιανὸν ἔχουσα, αὕτη μὲν οὖν
οἴκοι ἐν τῇ Ἐμέσῃ τὴν δίαιταν ν...... τῆς ἀδελφῆς Ἰουλίας ᾗ παρὰ
4 πάντα τὸν τῆς βασιλείας αὐτῆς χρόνον συνεγεγόνει, διολομένης. ὁ γὰρ
Ἀουῖτος παρὰ μὲν τοῦ Καρακάλλου ἐς Κύπρον ἐκ τῆς Μεσοποταμίας
μετὰ τὴν τῆς Ἀσίας ἀρχὴν πεμφθεὶς κληρωτῷ τινὶ σύνεδρος ὑπό τε
γήρως καὶ ὑπ' ἀρρωστίας ὤφθη συναιρούμενος· τὰ δὲ τοῦ αυ .........
31 αὐτοῦ, ἐπεὶ ......... ἐτελεύτησεν, Εὐτυχιανός τις ἔν τε ἀθύρμασι
καὶ ἐν γυμνασίοις ἀρέσας καὶ διὰ ταῦτα ........ θείς, ὃς αὐτο ...
....... τας ἐμμελε .......... ας ἐπὶ του α ......... νων αυτω ........
... προσωνομ ... ἰσχυράν τε τῶν στρατιωτῶν τὴν ἐς τὸν Μακρῖνον
ἀπέχθειαν συνιδών (...... τε γὰρ οὐ πο ..........σεων πολ .........
... καὶ οἱ τὸ τρ .......... χον τεῖχος .......... ποτε προ ...........)
καί τι καὶ ὑπὸ τοῦ ἡλίου, ὃν Ἐλεγάβαλον ἐπικαλοῦσι καὶ μεγάλως

29 3 1 ...] ἡττῆσθαι ἐρεθισθέντες μείζω ἢ αὐτοὶ οἱ Πάρθοι κακὰ τὸ κοινὸν εἰργάσαντο?* quanquam nullam codex lacunam indicat. γὰρ] ...* 30 3 1 αουειτου 4 4 αυ incerta 31 1 2 ὅς] o m 1

Digitized by Google

θρησκεύουσιν, ἄλλων τε τινῶν μαντειῶν ἀναπεισθείς, ἐπεχείρησε 2
τόν τε Μακρῖνον καθελεῖν καὶ τὸν Ἀβῖτον τὸν τῆς Μαίσης ἔγγονον
αὐτοκράτορα, καίπερ παιδίον ἔτι ὄντα, ἀντικαταστῆσαι. καὶ κα-
τειργάσατο ἑκάτερον· καίτοι αὐτός τε οὐδέπω πάνυ ἐς ἄνδρας ἐτέλει,
καὶ συνεργοὺς ὀλίγους εἶχεν ἐξελευθέρους καὶ στρατιώτας ἐξ ......... 3
τέλους βουλευτάς τε Ἐμεσηνοὺς ............ ους προσ... τοῦ τε γὰρ
Ταραύτου υἱὸν αὐτὸν μοιχίδιον εἶναι πλασάμενος, καὶ τῇ ἐσθῆτι
τῇ ἐκείνου, ᾗ ποτὲ ἐν παισὶν ἐχρῆτο, κοσμήσας Καίσαρα τη ....
...... τῶν βασιλι .......... ατων τῶν .........σησι αλλετο .........
ἔς τε τὸ στρατόπεδον νυκτός, μήτε τῆς μητρὸς αὐτοῦ μήτε τῆς 4
τήθης ἐπισταμένης, ἐσήγαγε, καὶ τοὺς στρατιώτας ἅμα τῇ ἕῳ
τῆς τοῦ Μαΐου ἑκκαιδεκάτης, γλιχομένους τινὰ ἀφορμὴν ἐπανα-
στάσεως λαβεῖν, ἀνέπεισε νεοχμῶσαι. μαθὼν δὲ ταῦτα ὁ Ἰουλιανὸς
ὁ ἔπαρχος (ἔτυχεν γὰρ οὐ πρὸ πολλοῦ ἀπιών) ἄλλους
ὡς καὶ πολεμιωτάτῳ τείχει. δυνηθεὶς δ' ἂν αὐτὸ αὐθημερὸν λα- 32
βεῖν (οἱ γὰρ Μαῦροι οἱ τῷ Ταραύτᾳ κατὰ τὸ συμμαχικὸν πεμφθέν-
τες προθυμότατα ὑπὲρ τοῦ Μακρίνου, ἅτε καὶ ὁμοεθνοῦς σφίσιν
ὄντος, ἠγωνίσαντο, ὥστε καὶ πύλας τινὰς διαρρῆξαι) οὐκ ἠθέλησεν,
εἴτ' οὖν φοβηθεὶς εἰσδραμεῖν, εἴτε καὶ ἐλπίσας ἑκόντας τοὺς ἔνδον
παραστήσεσθαι. ὡς δ' οὔτε τις αὐτῷ ἐπεκηρυκεύετο, καὶ προσέτι 2
τὰς πύλας πάσας τῆς νυκτὸς ἀπῳκοδόμησαν ὥστε ἐν ἀσφαλεστέρῳ
εἶναι, προσέβαλε μὲν αὖθις αὐτοῖς, ἐπέρανε δ' οὐδέν. τόν τε γὰρ
Ἀβῖτον, ὃν Μάρκον Αὐρήλιον Ἀντωνῖνον ἤδη προσηγόρευον, περι-
φέροντες ὑπὲρ τοῦ τείχους, καὶ εἰκόνας τινὰς τοῦ Καρακάλλου
παιδικὰς ὡς καὶ προσφερεῖς αὐτῷ ἀποδεικνύντες, παῖδά τε ὄντως 3
αὐτὸν ἐκείνου καὶ διάδοχον τῆς ἀρχῆς ἀναγκαῖον εἶναι λέγοντες,
καὶ "τί ταῦτα ὦ συστρατιῶται ποιεῖτε; τί δὲ οὕτω τῷ τοῦ εὐεργέ-
του ὑμῶν υἱεῖ μάχεσθε;" ἐκβοῶντες, πάντας τοὺς σὺν τῷ Ἰουλιανῷ
στρατιώτας, ἄλλως τε καὶ προθύμως πρὸς τὸ νεωτεροποιεῖν ἔχον-
τας, διέφθειραν, ὥστε τοὺς μὲν ἐπιτεταγμένους σφίσι πλὴν τοῦ
Ἰουλιανοῦ (διέδρα γάρ) ἀποκτεῖναι, ἑαυτοὺς δὲ τά τε ὅπλα τῷ
Ψευδαντωνίνῳ παραδοῦναι. κατεχομένους γὰρ αὐτοὺς ὑπό τε τῶν 4
ἑκατοντάρχων καὶ τῶν ἄλλων ὑπομειόνων, κἀκ τούτου διαμέλλοντας,
ὁ Εὐτυχιανὸς τὸν Φῆστον, κατὰ τὸν τοῦ Ταραύτου πρόκοιτον
ἀντωνομάσθη, ἔπεισεν ἀποσφάξαι πάντας ἐκείνους, δέλεαρ σφισι

3 2 τελ] τετ F 4 Καίσαρα τῇ F, καὶ Ταραύτῃ alii 5 3 ἄλλους] postremam hanc primi in pagina 16 laterculi vocem τε excipit, c. 34 initium. omissa autem capita 32 et 33 a recentiore manu post l. 79 c. 8 inferuntur 32 3 3 τῷ τοῦ] τοῦ τε* 4 3 κατὰ — ἀντωνομάσθη] (Φῆστος γὰρ κατὰ τὸν τοῦ Ταραύτου πρόκοιτον καὶ ὁ τοῦ Ψευδαντωνίνου ὠνομάσθη) προσπέμψας?* 4 δόλον*

Digitized by Google

τὴν τοῦ τεθνήξοντος ἑκάστῳ οὐσίαν τε καὶ χώραν ἐν τῇ στρατείᾳ
προθείς· καὶ αὐτοῖς καὶ τὸ παιδίον ἀπὸ τοῦ τείχους ἐδημηγόρησεν
ὑπόβλητα, τόν τε πατέρα ἤδη ἐπαινῶν, καὶ τὸν Μακρῖνον ὡς
33 χαρ .......... καιν ......... τομη ............. νατων ........
λιτικ ........ μισθος ....... ἐπὶ μηδ ....... ματι το ....... δε-
δικασ ...... εισχεικ ...... τιαν η κα ..... λελοιπότας ἐς τὴν ἀρχαίαν
οὐσίαν τε καὶ ἐπιτιμίαν ἐπαναχθῆναι. ᾧ μέντοι μάλιστα αὐτοὺς ἀνηρτή-
2 σατο, ἀνά θ' ἕκαστον ἀργύριον δώσειν ἄπλετον ὑπέσχετο καὶ τοὺς φυγάδας
κατάξειν ὡς καὶ ἐκ τούτου γνήσιος ἔκγονος τοῦ Ταραύτου εἶναι δόξων.
........ τα γε κ ........ παρανο ....... ειγε εκ .......''' ......
...... νο .......... μη .......... πτη ...... Μαρκιανῷ ........
34 ... τω ...... Μακρῖνον ....... μενω .... ἄλλους τέ τινας καὶ θυ-
γατέρα τοῦ Μαρκιανοῦ γαμβρόν τε ἐφόνευσεν, κὰκ τῶν λοιπῶν
στρατιωτῶν ἀθροίσας τινὰς ὡς δι' ὀλίγου προσέμιξεν (ὁ γὰρ Μάρ-
κελλος ἐτεθνήκει), τοῦτον μὲν ἀπέκτεινεν, αὐτὸς δὲ ἀτολμήσας
περαιτέρω χωρὶς τοῦ Μακρίνου προχωρῆσαι μετεπέμψατο αὐτόν.
2 καὶ ὃς ἔς τε τὴν Ἀπάμειαν ἐς τοὺς Ἀλβανίους στρατιώτας διὰ
ταχέων ἦλθε, καὶ τὸν υἱὸν αὐτοκράτορα, καίπερ τὸ δέκατον ἔτος
ἄγοντα, ἀπέδειξεν, ὅπως ἐπὶ τῇ προφάσει ταύτῃ τοὺς στρατιώτας
τοῖς τε ἄλλοις καὶ πεντακισχιλίων δραχμῶν ὑποσχέσει τιθασεύσῃ·
3 καὶ παραυτίκα τε αὐτοῖς κατὰ χιλίας ἔνειμε, τήν τε τροφὴν καὶ
τοῖς λοιποῖς ἐντελῆ, καὶ τὰ ἄλλ' ἃ ἀφῄρητο αὐτούς, ἀποκατέστησεν,
ἐλπίζων σφᾶς διὰ τούτων ἱλεώσασθαι. κὰκ τῆς αὐτῆς ταύτης αἰ-
τίας καὶ τῷ δήμῳ δεῖπνον κατὰ πεντήκοντα καὶ ἑκατὸν δραχμὰς
ἔνειμε πρὶν καὶ ὁτιοῦν περὶ τῆς ἐπαναστάσεως αὐτοῖς διαδηλῶσαι,
ἵνα μὴ δι' ἐκείνην ἀλλ' ἐς τὴν τοῦ υἱέος τιμὴν ἑστιᾶν αὐτοὺς νο-
4 μισθείη. καὶ αὐτῷ ταῦτα πράττοντι στρατιώτης τις τῶν ἀφεστη-
κότων προσῆλθε, τὴν τοῦ Ἰουλιανοῦ κεφαλὴν (εὑρέθη γὰρ κεκρυμ-
μένος που καὶ ἐσφάγη) κομίζων ἐν ὀθονίοις πολλοῖς ἰσχυρῶς σφόδρα
σχοινίοις καταδεδεμένην ὡς καὶ τοῦ Ψευδαντωνίνου οὖσαν· καὶ γὰρ
5 τῷ τοῦ Ἰουλιανοῦ δακτυλίῳ ἐσεσήμαντο. καὶ ὁ μὲν τοῦτο ποιήσας
ἐξέδρα ἐν ᾧ ἐκείνη ἐξεκαλύπτετο· γνοὺς δ' ὁ Μακρῖνος τὸ πεπραγ-
μένον οὐκέτ' ἐτόλμησεν οὔτε κατὰ χώραν μεῖναι οὔτε πρὸς τὸ τεῖχος
προσελάσαι, ἀλλ' ἐς τὴν Ἀντιόχειαν κατὰ τάχος ἀνεκομίσθη. καὶ
οὕτως οἵ τε Ἀλβάνιοι οἵ τε ἄλλοι οἱ περὶ ἐκεῖνα τὰ χωρία χειμά-
6 ζοντες προσαπέστησαν. καὶ οἱ μὲν τά τε ἄλλα ἀντιπαρεσκευάζοντο,
καὶ ἀντέπεμπον ἔς τε τὰ ἔθνη καὶ ἐς τὰ στρατόπεδα ἀγγέλους καὶ
γράμματα, ἀφ' ὧν πολλαχόθι πρός τε τὴν πρώτην ἑκατέρου περὶ

5 ἑκάστῳ om 8 post ὡς versus desunt 14 33 1 3 ικ dubia 2 3 ''' iterum desunt versus 14 4 π] ι F 34 4 1 πράττοντι] πρῶτον* 2 τοῦ om

τοῦ ἑτέρου πέμψιν καὶ πρὸς τὰς συνεχεῖς καὶ διαφόρους ἀλλήλαις ἀγγελίας ἐταράχθησαν· κὰκ τούτου συχνοὶ μὲν καὶ τῶν γραμματο- 7
φόρων ἀμφοτέρωθεν ἐφθάρησαν, συχνοὶ δὲ καὶ τῶν θανατωσάντων τοὺς Ἀντωνινείους ἢ καὶ μὴ αὐτίκα αὐτοῖς προσθεμένων αἰτίαν ἔσχον, καὶ οἱ μὲν καὶ ἀπώλοντο διὰ τοῦτο, οἱ δ' ἄλλο τι ὦφλον.
ὧν ἐγὼ τὰ μὲν ἄλλα (ὁμοιοτροπώτατά τε γάρ ἐστι καὶ οὐδὲν μέγα 8
λεπτολογηθέντα ἔχει) παρήσω, τὰ δὲ ἐν τῇ Αἰγύπτῳ γενόμενα κεφαλαιώσας ἐρῶ.

ἦρχε μὲν αὐτῆς ὁ Βασιλιανός, ὃν καὶ ἐς τὴν τοῦ Ἰουλιανοῦ 35
χώραν ἔπαρχον ὁ Μακρῖνος ἐπεποιήκει, διῆγε δέ τινα καὶ Μάριος Σεκοῦνδος, καίπερ βουλευτής τε ὑπὸ τοῦ Μακρίνου γεγονὼς καὶ τῆς Φοινίκης προστατῶν· καὶ ἦσαν κατὰ ταῦτα ἀμφότεροι αὐτῷ προσκείμενοι, καὶ διὰ τοῦτο καὶ τοὺς τοῦ Ψευδαντωνίνου δρομοκήρυκας ἀπέκτειναν. μέχρι μὲν δὴ οὖν ἐν ἀμφιβόλῳ τὰ πράγματα 2
ἦν, μετέωροι καὶ αὐτοὶ καὶ οἱ στρατιῶται οἵ τε ἰδιῶται ἦσαν, οἱ μέν τινες αὐτῶν ταῦτα οἱ δὲ ἐκεῖνα κατὰ τὸ στασιωτικὸν καὶ βουλόμενοι καὶ εὐχόμενοι καὶ διαθρυλοῦντες. ἐπεὶ δὲ τῆς ἥττης τοῦ Μακρίνου ἀγγελία ἀφίκετο, στάσις ἰσχυρὰ ἐγένετο καὶ τοῦ τε δήμου πολλοὶ καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγοι διώλοντο, ὅ τε Σε- 3
κοῦνδος ἐν ἀμηχανίᾳ ἔπεσε, καὶ ὁ Βασιλιανὸς φοβηθεὶς μὴ καὶ ἐν χερσὶν ἀπόληται ἔκ τε τῆς Αἰγύπτου ἐξέδρα, καὶ ἐς τὴν Ἰταλίαν τὴν περὶ τὸ Βρεντέσιον ἐλθὼν ἐφωράθη, προδοθεὶς ὑπὸ φίλου τινός, ᾧ ἐν τῇ Ῥώμῃ ὄντι κρύφα προσέπεμψε τροφὴν αἰτῶν.

καὶ ὁ μὲν οὕτως, ὕστερον ἐς τὴν Νικομήδειαν ἀναχθείς, ἐσφάγη·
ὁ δὲ δὴ Μακρῖνος ἔγραψε μὲν καὶ τῇ βουλῇ περὶ τοῦ Ψευδαντω- 36
νίνου ὅσα καὶ τοῖς ἑκασταχόθι ἄρχουσι, παιδίον τέ τι ἀποκαλῶν αὐτὸν καὶ ἔμπληκτον εἶναι λέγων, ἔγραψε δὲ καὶ τῷ Μαξίμῳ τῷ πολιάρχῳ τά τε ἄλλα οἷα εἰκὸς ἦν, καὶ ὅτι οἱ στρατιῶται καὶ οἱ νεωστὶ κατειλεγμένοι πάνθ' ὅσα καὶ πρὶν εἶχον λαμβάνειν ἀξιοῦσι, καὶ κοινὴν ἐπὶ τοῖς οὐ διδομένοις σφίσιν ὀργὴν καὶ οἱ ἄλλοι οἱ μηδενὸς ἐστερημένοι ποιοῦνται. καὶ ἵνα γέ τις ἄλλα ὅσα παρά τε 2
τοῦ Σεβήρου καὶ τοῦ υἱέος αὐτοῦ πρὸς διαφθορὰν τῆς ἀκριβοῦς στρατείας εὕρηντο παραλίπῃ, οὔτε δίδοσθαί σφισι τὴν μισθοφορὰν τὴν ἐντελῆ πρὸς ταῖς ἐπιφοραῖς, ἃς ἐλάμβανον, οἷόν τε εἶναι ἔφη
(ἐς γὰρ ἑπτακισχιλίας μυριάδας ἐτησίους τὴν αὔξησιν αὐτῆς τὴν 3
ὑπὸ τοῦ Ταραύτου γενομένην τείνειν) οὔτε μὴ δίδοσθαι, τοῦτο μὲν ὅτι οἱ στρατιῶται, ἐκεῖνο δ' ὅτι ..... δικαίων πο ........ ἀλλὰ τὰ
νενομισμένα ἀναλώματα α ........ καὶ τὸ μὲν σ ......... τε δημοσιο 4

8 1 ὡς*  35 2 2 ἦσαν] εστησαν  2 4 μισθοφοραῖς (ἐπι above the line)

......... στρατιωτικ ........ μενον καὶ σ......... ἀπολουμεν .........
δυνηθῇ αὐτός τε καὶ ὁ παῖς ὡς αυτ......... τ' ἐφ' ἑαυτω .........
ἑαυτὸν ἐπ .......... καὶ ὅτι καὶ υἱὸν εἶχε κατωδύρατο ἑαυτόν, παρα-
μύθιον τῆς συμφορᾶς ἔχειν ἔφη ὅτι τῷ ἀδελφοφόνῳ τῷ τὴν οἰκου-
5 μένην ἀπολέσαι ἐπιχειρήσαντι ἐπεβίω. ἔπειτα καὶ τοιόνδε τι προσ-
ενέγραψεν, ὅτι πολλοὺς οἶδα μᾶλλον ἐπιθυμοῦντας αὐτοκράτορα
σφαγῆναι ἢ αὐτοὺς βιῶναι. τοῦτο δὲ οὐ περὶ ἐμαυτοῦ λέγω, ὅτι
τις ἢ ἐπιθυμήσειεν ἂν ἢ εὔξαιτό με ἀπολέσθαι. ἐφ' ᾧ δὴ Φούλ-
βιος Διογενιανὸς ἐξεβόησεν ὅτι πάντες εὐξάμεθα.

37 οὗτος δ' ἦν μὲν ἐκ τῶν ὑπατευκότων, σφόδρα δ' οὐ φρενήρης,
καὶ κατὰ τοῦτο οὔτ' αὐτὸς ἑαυτὸν οὔτε τοὺς ἄλλους ἤρεσκεν.
οὗτος καὶ τ.......... τὸ ὑπόγραμμα ....... ἐπιστολῆς .........
σαντος ὅτ.......... καὶ πρὸς τὸν ................ς διφθέριον ἐπιτέ-
τραπτο ἀναγνῶναι ........σατο κἀκεῖνα ........θῆναι καὶ ην ......
...ς ἄλλα τε καὶ .......... σπεμφθείη ........ ἄντικρυς ὡς ........
δημοσιευθῇ ......... τα κατοκνῶν ........περ κελεύσας ......... ωθῆ-
2 ναι τῷ ......... καὶ ἄλλοις τε ........ πρώτων τοῖς ........υσαν ἐπι-
στη ........ τοῦ κοινοῦ σωτῆρος πρόνοιάν τινα .......... ους τονδε ...
.......ων γραμμα .......... ων ἐπὶ πλει .......... ον ὅτι ὁ Ψευδαντω-
νῖνος εὑρὼν .... ἐν τοῖς τοῦ Μακρίνου κιβωτίοις μηδέπω .........α
αὐτὸς ἑκὼν .......... ἐξέφηνεν ..........α διαβολὴν ....... πρὸς τοὺς
3 στρατιώτας ποιούμενος. οὕτω δὲ ταχέως ἐπ' αὐτὸν ἤλασεν ὥστε χα-
λεπῶς τὸν Μακρῖνον ἐν κώμῃ τινὶ τῶν Ἀντιοχέων, ἑκατόν τε καὶ
ὀγδοήκοντα ἀπὸ τῆς πόλεως σταδίους ἀπεχούσῃ, συμβαλεῖν αὐτῷ.
4 ἔνθα δὴ τῇ μὲν προθυμίᾳ τῇ τῶν δορυφόρων ἐκράτησε (τούς τε γὰρ
θώρακας τοὺς λεπιδωτοὺς καὶ τὰς ἀσπίδας τὰς σωληνοειδεῖς ἀφε-
λόμενος αὐτῶν κουφοτέρους σφᾶς ἐς τὰς μάχας πεποιήκει), τῇ δὲ
ἑαυτοῦ δειλίᾳ ἡττήθη, καθάπερ καὶ τὸ δαιμόνιον αὐτῷ προεδήλω-
5 σεν. ἐν γὰρ δὴ τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ᾗ τὰ πρῶτα αὐτοῦ περὶ τῆς
ἀρχῆς γράμματα ἡμῖν ἀνεγνώσθη, περιστερά τις ἐπὶ εἰκόνα Σεβή-
ρου, οὗ τὸ ὄνομα αὐτὸς ἑαυτῷ ἐτέθειτο, ἐν τῷ συνεδρίῳ ἀνακειμέ-
νην ἐπέπτατο· καὶ μετὰ τοῦτο, ὅτε τὰ περὶ τοῦ υἱέος ἔπεμψεν, οὔτε
ὑπὸ τῶν ὑπάτων οὔθ' ὑπὸ τῶν στρατηγῶν συνήλθομεν (οὐ γὰρ
ἔτυχον παρόντες) ἀλλ' ὑπὸ τῶν δημάρχων, ὅπερ ἐν τῷ χρόνῳ τρό-
6 πον τινὰ ἤδη κατελέλυτο. οὐ μὴν οὐδὲ τὸ ὄνομα αὐτοῦ ἐν τῷ τῆς
ἐπιστολῆς προοιμίῳ, καίτοι καὶ Καίσαρα καὶ αὐτοκράτορα αὐτὸν
ὀνομάσας, καὶ τὰ γραφέντα ὡς καὶ παρ' ἀμφοτέρων ἐπισταλέντα
προδηλώσας, ἐνέγραψεν· ἔν τε τῇ διηγήσει τῶν πεπραγμένων τῆς μὲν
τοῦ Διαδουμενιανοῦ προσηγορίας ἐπεμνήσθη, τὴν δὲ τοῦ Ἀντωνί-

37 5 6 τρόπον] τοῦτον m 1

Digitized by Google

νον, καίπερ ἔχοντος αὐτοῦ καὶ ταύτην, παρέλιπεν. ταῦτα μὲν οὕ-
τως ἔσχεν, καὶ νὴ Δία καὶ ὅτε περὶ τῆς τοῦ Ψευδαντωνίνου ἐπα- 38
ναστάσεως ἐπέστειλεν, εἶπον μέν τινα οἱ ὕπατοι κατ᾽ αὐτοῦ, ὥσπερ
εἰώθεν ἐν τοῖς τοιούτοις γίγνεσθαι, εἶπε δὲ καὶ τῶν στρατηγῶν τις
τῶν τε δημάρχων ἕτερος· καὶ ἐκείνῳ μὲν καὶ τῷ ἀνεψιῷ αὐτοῦ καὶ
ταῖς μητράσι τῇ τε τήθῃ πόλεμός [τε] ἐπηγγέλθη καὶ ἐπεκηρύχθη,
τοῖς δὲ συνεπαναστᾶσιν αὐτῷ ἄδεια ἂν γνωσιμαχήσωσιν, ὥσπερ
καὶ ὁ Μακρῖνος αὐτοῖς ὑπέσχητο, ἐδόθη. καὶ γὰρ ἃ διελέχθη τοῖς 2
στρατιώταις ἀνεγνώσθη, ἐξ ὧν ἔτι καὶ μᾶλλον τὴν ταπεινότητα καὶ
τὴν μωρίαν αὐτοῦ πάντες κατέγνωμεν· τά τε γὰρ ἄλλα καὶ ἑαυτὸν
μὲν πατέρα τὸν δὲ Διαδουμενιανὸν υἱὸν αὐτοῦ συνεχέστατα ἀπεκά-
λει, καὶ τὴν ἡλικίαν τοῦ Ψευδαντωνίνου διέβαλλε, πολὺ νεώτερον
αὐτοῦ τὸν υἱὸν αὐτοκράτορα ἀποφήνας. ἐν δ᾽ οὖν τῇ μάχῃ ὁ μὲν 3
Γάννυς καὶ τὰ στενὰ τὰ πρὸ τῆς κώμης σπουδῇ προκατέλαβε καὶ
τοὺς στρατιώτας εὐπολέμως διέταξε, καίτοι καὶ ἀπειρότατος τῶν
στρατιωτικῶν ὢν καὶ ἐν τρυφῇ βεβιωκώς· οὕτω που μεγάλη τύχη
πρὸς πάντα ἁπλῶς προφέρει, ὥστε καὶ ἐπιστήμην τοῖς ἀγνοοῦσιν
αὐτὴν χαρίζεσθαι. τὸ δὲ δὴ στράτευμα αὐτοῦ ἀσθενέστατα ἠγω- 4
νίσατο, καὶ εἴ γε μὴ ἥ τε Μαῖσα καὶ ἡ Σοαιμίς (συνῆσαν γὰρ ἤδη
τῷ παιδίῳ) ἀπό τε τῶν ὀχημάτων καταπηδήσασαι καὶ ἐς τοὺς φεύ-
γοντας ἐσπεσοῦσαι ἐπέσχον αὐτοὺς τῆς φυγῆς ὀδυρόμεναι, καὶ ἐκεῖνο
σπασάμενον τὸ ξιφίδιον, ὃ παρέζωστο, ὤφθη σφίσιν ἐπὶ ἵππου θείᾳ
τινὶ φορᾷ ὡς καὶ ἐς τοὺς ἐναντίους ἐλάσον, οὐκ ἄν ποτε ἔστησαν.
καὶ ὣς δ᾽ ἂν αὖθις ἐτράποντο, εἰ μὴ ὁ Μακρῖνος ἰδὼν αὐτοὺς ἀν-
θισταμένους ἔφυγεν.

καὶ ὁ μὲν οὕτως τῇ Ἰουνίου ὀγδόῃ ἡττηθεὶς τὸν μὲν υἱὸν πρὸς 39
τὸν Ἀρτάβανον τὸν τῶν Πάρθων βασιλέα διά τε τοῦ Ἐπαγάθου
καὶ δι᾽ ἄλλων τινῶν ἔπεμψεν, αὐτὸς δὲ ἐς τὴν Ἀντιόχειαν ὡς καὶ
νενικηκώς, ὅπως καταδεχθῇ, ἐσελθών, ἔπειτα διαγγελθείσης τῆς 2
ἥττης αὐτοῦ, καὶ φόνων ἐκ τούτου πολλῶν κἀν ταῖς ὁδοῖς κἀν τῇ
πόλει, ὡς που καὶ εὐνοίας ἑκατέρῳ τις αὐτῶν εἶχε, γιγνομένων, ἀπέ-
δρα καὶ ἐκεῖθεν νυκτὸς ἐπὶ ἵππων, τήν τε κεφαλὴν καὶ τὸ γένειον
πᾶν ξυράμενος, καὶ ἐσθῆτα φαιὰν κατὰ τῆς ἁλουργοῦς, ἵν᾽ ὅτι μά-
λιστ᾽ ἰδιώτῃ τινὶ ἐοίκῃ, λαβών. καὶ οὕτω μετ᾽ ὀλίγων ἐς Αἰγὰς 3
τῆς Κιλικίας ἐλθών, ὀχημάτων τε ἐνταῦθα ὡς καὶ στρατιώτης τις
τῶν ἀγγελιαφόρων ὢν ἐπέβη, καὶ διεξήλασε διὰ τῆς Καππαδοκίας
καὶ τῆς Γαλατίας τῆς τε Βιθυνίας μέχρις Ἐριβώλου τοῦ ἐπινείου
τοῦ καταντιπέρας τῆς τῶν Νικομηδέων πόλεως ὄντος, γνώμην ἔχων

6 6 παρέλειπεν* 38 1 4 καὶ ante τῷ om 2 4 αὐτῶι 5 6 ἐλά-
σαν 39 1 1 ἰουλίου 2 2 τούτων 3 ἑκατέρου 3 4 μέχρι

Digitized by Google

ἐς τὴν Ῥώμην ἀναδραμεῖν ὡς καὶ ἐκεῖ παρά τε τῆς βουλῆς καὶ
4 παρὰ τοῦ δήμου βοηθείας τινὸς τευξόμενος. καὶ εἴπερ ἐπεφεύγει,
πάντως ἄν τι κατείργαστο· ἡ γὰρ εὔνοιά σφων παρὰ πολὺ ἐς αὐ-
τόν, πρός τε τὸ τῶν Σύρων τόλμημα καὶ πρὸς τὴν τοῦ Ψευδαντω-
νίνου ἡλικίαν τό τε τοῦ Γάννυ καὶ τοῦ Κωμάζοντος αὐτεπίτακτον
σκοπούντων, ἐποίει, ὥστε κἂν τοὺς στρατιώτας ἤτοι ἑκόντας μετα-
5 νοῆσαι ἢ καὶ ἄκοντας καταδαμασθῆναι. νῦν δὲ τῶν μὲν ἄλλων
ἀνθρώπων δι' ὧν διῄει, εἰ καὶ ἐγνώρισέ τις αὐτόν, ἀλλ' οὔ τοι καὶ
ἐφάψασθαι ἐτόλμησεν αὐτοῦ· ὡς δὲ ἐκ τοῦ Ἐριβώλου διαπλέων ἐς
τὴν Χαλκηδόνα (οὐ γὰρ ἐθάρσησεν ἐς τὴν Νικομήδειαν ἐσελθεῖν,
φοβηθεὶς τὸν τῆς Βιθυνίας ἄρχοντα Καικίλιον Ἀρίστωνα) ἔπεμψε
πρός τινα τῶν ἐπιτρόπων ἀργύριον αἰτῶν καὶ κατὰ τοῦτο ἐγνώσθη,
6 κατελήφθη τε ἐν τῇ Χαλκηδόνι ἔτι ὤν, καὶ ἐπελθόντων καὶ τῶν
ὑπὸ τοῦ Ψευδαντωνίνου πεμφθέντων νῦν εἰ πώποτε ...... συνελή-
φθη ὑπ' Αὐρηλίου Κέλσου ἑκατοντάρχου, καὶ μέχρι τῆς Καππα-
40 δοκίας ἤχθη ὥσπερ τις τῶν ἀτιμοτάτων. ἐνταῦθα δὲ μαθὼν ὅτι
καὶ ὁ υἱὸς αὐτοῦ ἑαλώκει (διὰ γὰρ τοῦ ζευγματος αὐτόν, δι' οὗ πρό-
τερον διιὼν Καῖσαρ ἀπεδέδεικτο, διελαύνοντα Κλαύδιος Πωλίων ὁ τοῦ
στρατοπέδου ἑκατόνταρχος συνέλαβεν) ἔρριψέ τε αὐτὸν ἀπὸ τοῦ
2 ὀχήματος (οὐ γὰρ ἐδέδετο) καὶ τότε μὲν τὸν ὦμον συνέτριψε, μετ'
οὐ πολὺ δὲ τῷ πολλῷ ὑ.... ἀποθανεῖν κελευσθεὶς πρὶν ἐς τὴν Ἀντιό-
χειαν ἐσελθεῖν ἐσφάγη τε ὑπὸ Μαρκιανοῦ Ταύρου ἑκατοντάρχου, καὶ αὐ-
τοῦ τὸ σῶμ' ἄταφον ἔμεινε μέχρις οὗ ὁ Ψευδαντωνῖνος, ἐς τὴν Βιθυ-
νίαν ἐκ τῆς Συρίας παριών, ἐφήσθη αὐτῷ.
3 ὁ μὲν οὖν Μακρῖνος οὕτω, καὶ γέρων ὢν (πεντήκοντα γὰρ καὶ
τέσσαρα ἔτη ἦγε, τριῶν που ἡμερῶν δέοντα ἢ πέντε) καὶ ἐμπειρίᾳ
πραγμάτων προφέρων, ἀρετήν τε ὑποδεικνύων καὶ τοσούτων στρα-
τευμάτων ἄρχων, ὑπό τε παιδαρίου, οὗ μηδὲ τὸ ὄνομα πρότερον
4 ἠπίστατο, κατελύθη, ὥς που καὶ τὸ μαντεῖον αὐτῷ προεμήνυσε,
..... ου Ζεὺς ὁ Βῆλος χρωμένῳ οἱ αὐτὸ τοῦτο ἔφη "ὦ γέρον, ἦ
μάλα δή σε νέοι τείρουσι μαχηταί, σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ
σε γῆρας ἱκάνει," φεύγων τε ......σης ἢ νενικη...., δραπετεύσας
διὰ τῶν ἐθνῶν ὧν ἦρξε, συλληφθεὶς ὑπὸ τῶν τυχόντων ὥσπερ τις λη-
5 στής, ἐπιδὼν ἑαυτὸν μετ' ἀτιμοτάτων κακούργων ..... φρουρούμενον ᾧ
πολλοὶ πολλάκις βουλευταὶ προσήχθησαν, ἀποθανεῖν τε ἐκελεύσθη τὴν
τοῦ κολάσαι πάντα τινὰ Ῥωμαίων ἀπολῦσαί τε ἐξουσίαν ἔχων, καὶ πρὸς
ἑκατοντάρχων συνελήφθη τε καὶ τῆς κεφαλῆς ἀπεστερήθη οὓς καὶ αὐτοὺς
μετὰ τῶν ἄλλων τῶν τε χειρόνων καὶ τῶν κρειττόνων ἀποκτεῖναι ἐξου-

4 1 ἐκπεφεύγει?* 5 καὶ* ἤτοι ἑκόντας] θνήσκοντας*
40 2 2 τῷ altera manus expungit 5 3 κολά] κελευ*

σίαν εἶχεν. καὶ αὐτῷ καὶ ὁ υἱὸς προσαπώλετο. οὕτω που οὐδεὶς 41
οὐδὲ τῶν σφόδρα δοκούντων ἐρρῶσθαι βεβαίαν τὴν ἰσχὺν ἔχει,
ἀλλὰ καὶ οἱ πάνυ εὖ πράττοντες ἐξ ἴσου τοῖς λοιποῖς αἰωροῦνται.

καὶ ὁ μὲν ἐπαινεθεὶς ἂν ὑπὲρ πάντας ἀνθρώπους, εἴ γε μὴ αὐ- 2
τὸς αὐταρχῆσαι ἐπετεθυμήκει, ἀλλ' ἐπιλεξάμενός τινα τῶν ἔς γε τὴν
γερουσίαν τελούντων τῆς τῶν Ῥωμαίων ἀρχῆς προστατῆσαι, αὐτο-
κράτορα αὐτὸν ἀπεδεδείχει, καὶ μόνως ἂν οὕτως τὸ αἰτίαμα τὸ τῆς 3
ἐπὶ τὸν Καράκαλλον ἐπιβουλῆς, ὡς καὶ διὰ τὴν αὑτοῦ σωτηρίαν
ἀλλ' οὐ διὰ τὴν τῆς ἡγεμονίας ἐπιθυμίαν ποιησάμενος αὐτήν, ἐκ-
φυγών, καὶ διέβαλεν ἅμα ἑαυτὸν καὶ διέφθειρεν, ὥστε καὶ ἐν ὀνεί-
δει καὶ ἐν παθήματι ἀξιωτάτῳ αὐτοῦ γενέσθαι. τῆς γὰρ μοναρ- 4
χίας, μηδ' ὄνομα βουλευτοῦ ἔχων, ὀριγνηθεὶς καὶ τάχιστα καὶ βα-
ρυσυμφορώτατα αὐτὴν ἀπέβαλεν· ἐνιαυτῷ τε γὰρ καὶ δύο μησί,
τριῶν ἡμερῶν, ὥστε καὶ μέχρι τῆς μάχης λογιζομένοις συμβῆναι,
δέουσιν, ἦρξεν.

ὁ δὲ δὴ Ἀβῖτος εἴτε Ψευδαντωνῖνος εἴτε καὶ Ἀσσύριος ἢ καὶ ΟΘ
Σαρδανάπαλλος Τιβερῖνός τε (καὶ γὰρ ταύτην τὴν προσηγορίαν,
ἐπειδὴ τὸ σῶμα σφαγέντος αὐτοῦ ἐς τὸν Τίβεριν ἐνεβλήθη, ἔλαβεν)
τότε μὲν μετὰ τὴν νίκην ἔς τε τὴν Ἀντιόχειαν τῇ ὑστεραίᾳ ἐσῆλθε,
πεντακοσίας τοῖς ἀμφ' αὐτὸν στρατιώταις δραχμάς, ὅπως μὴ διαρ-
πάσωσιν αὐτήν, οὗπερ τὰ μάλιστα ἐπεθύμουν, προϋποσχόμενος· ἅς
που καὶ παρὰ τοῦ δήμου ἐσέπραξεν· καὶ ἐς τὴν Ῥώμην ἄλλα τε 2
οἷα εἰκὸς ἦν ἐπέστειλε, πολλὰ μὲν τὸν Μακρῖνον ἄλλως τε καὶ ἐς
τὴν δυσγένειαν τήν τε ἐπὶ τὸν Ἀντωνῖνον ἐπιβουλὴν διαβάλλων
(πρὸς γοῦν τοῖς ἄλλοις τοῦτο ἔφη ὅτι, ᾧ μηδ' ἐσελθεῖν ἐς τὸ συν-
έδριον μετὰ τὸ κήρυγμα τὸ χωρὶς τῶν βουλευτῶν τοὺς λοιποὺς
ἐξεῖργον ἐξῆν, οὗτος ἐτόλμησε τὸν αὐτοκράτορα, οὗ τὴν φρουρὰν
ἐπεπίστευτο, δολοφονήσας τὴν ἀρχὴν αὐτοῦ παρασπάσασθαι καὶ
αὐτοκράτωρ πρότερον ἢ βουλευτὴς γενέσθαι), πολλὰ δὲ καὶ περὶ 3
ἑαυτοῦ οὐχ ὅτι τοῖς στρατιώταις ἀλλὰ καὶ τῇ βουλῇ τῷ τε δήμῳ
καθυπισχνούμενος (κατά τε γὰρ τὸν τοῦ Αὐγούστου, ᾧ καὶ τὴν
ἡλικίαν τὴν ἑαυτοῦ ἀφωμοίου, καὶ κατὰ τὸν τοῦ Ἀντωνίνου τοῦ
Μάρκου ζῆλον ἅπαντα ἅπαξ πράξειν ἐπηγγείλατο), καὶ δῆτα καὶ 4
αὐτὸ τοῦτο ἔγραψεν, αἰνιττόμενος πρὸς τὰς διαβολὰς τὰς ἐς αὐτὸν
ὑπὸ τοῦ Μακρίνου θρυληθείσας, ὅτι τὴν ἡλικίαν τὴν ἐμὴν διαβα-
λεῖν ἐπεχείρησεν, αὐτὸς πενταετῆ υἱὸν ἀποδείξας.

ταῦτά τε οὖν τῇ βουλῇ ἐπέστειλε, καὶ τὰ ὑπομνήματα τὰ παρὰ 2
τοῖς στρατιώταις γενόμενα τά τε γράμματα τοῦ Μακρίνου τὰ τῷ
Μαξίμῳ γραφέντα ἔπεμψε μὲν τῇ γερουσίᾳ ἔπεμψε δὲ καὶ τοῖς

1 1 4 cf. U p. 441    4 4 υἱὸν αὐτοκράτορα ἀπ.?

στρατεύμασιν, ἵν' ἐξ αὐτῶν ἔτι μᾶλλον τήν τε ἐκείνου μνήμην μι-
2 σήσωσι καὶ ἑαυτὸν ἀγαπήσωσιν. καὶ ἐν μὲν τῇ πρὸς τὴν βουλὴν
ἐπιστολῇ τῷ τε πρὸς τὸν δῆμον γράμματι καὶ αὐτοκράτορα καὶ
Καίσαρα, τοῦ τε Ἀντωνίνου υἱὸν καὶ τοῦ Σεβήρου ἔγγονον, εὐσεβῆ
τε καὶ εὐτυχῆ καὶ Αὔγουστον, καὶ ἀνθύπατον τήν τε ἐξουσίαν τὴν
3 δημαρχικὴν ἔχοντα ἑαυτὸν ἐνέγραψε, προλαμβάνων αὐτὰ πρὶν ψηφι-
σθῆναι τῷ ......ματι οὐ τῷ τ....... ἀλλὰ τῷ τοῦ π....... ἐχρή-
σατο οι .......ησεν καὶ ανc....... τὰ τῶν στρατιωτῶν ὑπομνήματα
ο ........ γὰρ δὴ τοῦ Μακρίνου ...ματα καισαρ....... δὲ δὴ δορυ-
4 φόροις καὶ Ἀλβανίοις τοῖς ἐν τῇ Ἰταλίᾳ οὖσι ....... καὶ ὁ ὕπατος ἀναγο-
ρεύσει η πρ........λε καὶ τὰ με...... Μάριος Κηνσορῖνος ... προστα-
σίαν ....... ἀνεδέξατο ........ Μακρίνου c........ αὐτὸς ὡς οὐχ ἱκα-
νῶς διὰ τῆς ἑαυτοῦ φωνῆς δημοσιωθ.......... ἀναγνῶναι ........ τὰ
γράμματα τὰ τοῦ Σαρδαναπάλλου .......νος τοῦ κλ......... ἐς τοὺς
ὑπατευκότας ἐγκατελέξατο, καὶ αὐτῷ ἐνετείλατο ἵνα, εἴ τις ἀνθίσταιτο,
5 τῇ χειρὶ τῇ τῶν στρατιωτῶν χρήσηται· ἀφ' οὗ δὴ καὶ ἄκουσα
πάντα ἀνέγνω ἐκείνοις δ........ τῇ γὰρ ἐπαρτηθείσῃ ἀνάγκῃ οὐδὲν
οὔτε τῶν δεόντων οὔτε τῶν συμφερόντων σφίσι πρᾶξαι ἠδυνήθη-
σαν, ἀλλ' ὑπὸ τοῦ φόβου ἐξεπλάγησαν .................. καὶ τόν τε
6 Μακρῖνον, ὃν πολλὰ ἐπῃνέκεσαν, ἐν πολεμίου μοίρᾳ καὶ σὺν τῷ υἱεῖ
ἐλοιδόρησαν, καὶ τὸν Ταραύταν, ὃν καὶ πολέμιον ἀποδεῖξαι πολλά-
κις ἠθελήκεσαν, τότε ἐσέμνυνον, καὶ τὸν υἱὸν δῆθεν αὐτοῦ ηὔχοντο
ὅμοιον γενέσθαι αὐτῷ.

3 ἐν μὲν οὖν τῇ Ῥώμῃ ταῦτα· ὁ δὲ Ἄκιτος τὸν Πωλίωνα τῆς Γερ-
μανίας ἄρξαι προσέταξεν, ἐπεὶ καὶ Βιθυνίας ῥᾷστα ἐκεῖνος περιεγεγό-
νει. αὐτὸς δὲ περιμείνας τινὰς ἡμέρας ἐν τῇ Ἀντιοχείᾳ μέχρις οὗ τὴν
ἀρχὴν παντόθεν ἐβεβαιώσατο, ἐς τὴν Βιθυνίαν ἦλθεν, πάρεδρον ......
οι πολλάκις ὀντινοῦν, ὥσπερ καὶ κατὰ τὴν Ἀντιόχειαν εἰώθει, ποιού-
2 μενος. ἔνθα δ' ἐπιχειμάσας ἐς τὴν Ἰταλίαν διὰ τῆς Θρᾴκης καὶ τῆς Μυ-
a.C. 219 σίας καὶ τῆς Παννονίας ἑκατέρας ἐπορεύθη, κἀκεῖ μέχρι τῆς τοῦ βίου τε-
λευτῆς κατέμεινεν, ἓν μέν τι καὶ σφόδρα ἀγαθοῦ αὐτοκράτορος ἔργον
ποιήσας (πολλῶν γὰρ πολλὰ καὶ ἰδιωτῶν καὶ δήμων, τῶν τε ..
......ι αὐτοῦ τούτων ........ τῆς τε βουλῆς, καὶ ἰδίᾳ καὶ κοινῇ
ἔς τε τὸν Καράκαλλον καὶ ἑαυτόν, ἐκ τῶν τοῦ Μακρίνου γράμμα-
των, καὶ λόγῳ καὶ ἔργῳ ὑβρισάντων, οὐδενὶ τὸ παράπαν οὔτε ἐπε-
3 ξιέναι ἔφη οὔτε ἐπεξῆλθεν), ἐς δὲ δὴ τἆλλα πάντα καὶ αἰσχρουρ-
γότατα καὶ παρανομώτατα καὶ μιαιφονώτατα ἐξοκείλας, ὥστε τὰ
μέν τινα αὐτῶν μηδ' ἀρχὴν πώποτ' ἐν τῇ Ῥώμῃ γενόμενα ὡς καὶ

ξει
4 1 ὁ] ὅτι m 2   3 δ] λ m 2   6 2 ταραύτου   3 2 1 λ] τ   7 οὐδὲν ἐπεξῆν

πάτρια ἀκμάσαι, τὰ δὲ καὶ τολμηθέντα ἄλλοτε ἄλλοις ὡς ἑκάστοις, ἔτεσι τρισὶ καὶ μησὶν ἐννέα ἡμέραις τε τέτταρσιν, ἐν αἷς ἦρξεν, ὡς ἄν τις ἀπὸ τῆς μάχης ἐν ᾗ τὸ παντελὲς κράτος ἔσχεν ἀριθμήσειεν, ἀνθῆσαι. ἐφόνευσε μὲν γὰρ ἐν τῇ Συρίᾳ τόν τε Νέστορα καὶ Φά- 4
βιον Ἀγριππῖνον τὸν ἄρχοντα αὐτῆς, τῶν τε ἱππέων τῶν ἀμφὶ τὸν Μακρῖνον τοὺς πρώτους· ὅπερ που καὶ τῶν ἐν τῇ Ῥώμῃ τοὺς μάλιστα οἰκειωθέντας αὐτῷ εἰργάσατο· κἀν τῇ Ἀραβίᾳ Πεῖκαν Καιριανὸν τὸν ἐπιτετραμμένον αὐτήν, ὅτι μὴ παραχρῆμα αὐτῷ προσέθετο, ἔν τε τῇ Κύπρῳ Κλαύδιον Ἄτταλον τὸν τῆς Θρᾴκης ποτὲ 5
ἄρξαντα, καὶ ὑπὸ μὲν τοῦ Σεουήρου ἐκ τοῦ συνεδρίου ἐν τῷ τοῦ Νίγρου πολέμῳ ἐκπεσόντα, ὑπὸ δὲ τοῦ Ταραύτου ἐς αὐτὸ ἐπαναχθέντα, καὶ τότε ἐκ τοῦ κλήρου τῇ Κύπρῳ προσταχθέντα, ὅτι τῷ Κωμάζοντι προσεκεκρούκει· στρατευόμενον γάρ ποτε αὐτὸν ἐν Θρᾴκῃ καὶ κακουργήσαντά τι ἐς τοὺς τριηρίτας ἀπεώσατο. τοιοῦτος γάρ 4
τις ὁ Κωμάζων ὢν καὶ τοῦτο τοὔνομα ἔκ τε μίμων καὶ γελωτοποιίας ἔχων τῶν τε δορυφόρων ἦρξεν, ἐν μηδεμιᾷ τὸ παράπαν ἐπιτροπείᾳ ἢ καὶ προστασίᾳ τινὶ πλὴν τῆς τοῦ στρατοπέδου ἐξετασθείς, καὶ 2
τὰς τιμὰς τὰς ὑπατικὰς ἔλαβε, καὶ μετὰ τοῦτο καὶ ὑπάτευσε καὶ ἐπολιάρχησεν, οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ δεύτερον καὶ τρίτον, ὃ μηδενὶ πώποτε ἄλλῳ ὑπῆρξεν· ὅθεν που καὶ τοῦτ' ἐν τοῖς παρανομωτάτοις ἐξαριθμήσεται. ὁ μὲν οὖν Ἄτταλος δι' ἐκεῖνον ἀπέθανεν, ὁ 3
δὲ δὴ Τρικκιανὸς διὰ τοὺς Ἀλβανίους ὧν ἐγκρατῶς ἐπὶ τοῦ Μακρίνου ἡγεῖτο, καὶ ὅτι δραστήριός τε ἦν καὶ πολλοῖς στρατιώταις, ἔκ τε τῶν ἀρχῶν ὧν ἦρξε καὶ ἐκ τῆς πρὸς τὸν Ἀντωνῖνον συνουσίας, ἔγνωστο· διόπερ καὶ ὑπὸ τοῦ Μακρίνου τὴν ἄλλως προπεμφθεὶς 4
ἐν Βιθυνίᾳ τὴν δίαιταν ἐποιεῖτο. τοῦτόν τε οὖν ἀπέκτεινε, καίτοι τῇ γερουσίᾳ περὶ αὐτοῦ γράψας ὅτι αὐτὸν εἰρχθέντα τῆς Ῥώμης, ὥσπερ καὶ τὸν Ἄσπρον τὸν Ἰούλιον, ὑπὸ τοῦ Μακρίνου ἀποκατέστησεν, καὶ Σύλλαν τὸν τῆς Καππαδοκίας ἄρξαντα, καίπερ ἀπηλ- 5
λαγμένον ἐξ αὐτῆς, ὅτι τ' ἐπολυπραγμόνει τινά, καὶ ὅτι μεταπεμφθεὶς ὑπ' αὐτοῦ ἐκ τῆς Ῥώμης ἀπήντησε τοῖς στρατιώταις τοῖς Κελτικοῖς οἴκαδε μετὰ τὴν ἐν τῇ Βιθυνίᾳ χειμασίαν, ἐν ᾗ τινὰ ὑπεταράξαν, ἀπιοῦσιν. οὗτοι μὲν δὴ διὰ ταῦτα ἀπώλοντο, καὶ οὐδὲ 6
ἐπεστάλη τι περὶ αὐτῶν τῇ γερουσίᾳ, Σήιος δὲ δὴ Κᾶρος ὁ Φουσκιανοῦ τοῦ πολιαρχήσαντος ἔγγονος ὅτι τε ἐπλούτει καὶ ὅτι μέγας καὶ νοῦν ἔχων ἦν, πρόφασιν ὡς καὶ συνιστάς τινας τῶν ἐν τῷ Ἀλβανῷ στρατευομένων (καὶ μόνου γε ἐκείνου ἀποδεικνύντος τινὰ

3 4 ἄλλα τε   5 τουτεσι τρισι και εν μ. ε. ημεραις τέτρασιν
5 1 cf. U p. 443   4 της αραβιας   καὶ Ῥιανὸν*   4 2 1 προστατιαι
3 1 U p. 444   3 ὅτι] τινος ο   6 3 ἔκγονος*   5 τε*

Digitized by Google

7 ἤκουσεν ἐν τῷ παλατίῳ, ἐν ᾧ καὶ ἐσφάγη), Οὐαλεριανός τε Παῖτος
ὅτι εἰκόνας τινὰς ἑαυτοῦ ἐπιχρύσους πρὸς παλλακίδων κοσμήματα
ἐξετύπωσεν· ἐκ γὰρ τούτου καὶ αἰτίαν ἔσχεν ὡς καὶ ἐς Καππαδο-
κίαν ὅμορον τῇ πατρίδι αὐτοῦ οὖσαν (Γαλάτης γὰρ ἦν) ἀπελθεῖν
ἐπὶ νεωτερισμῷ διανοούμενος, καὶ κατὰ τοῦτο χρυσοῦς γλύμμα ἑαυ-
5 τοῦ φέροντας ποιούμενος. καὶ ἐπὶ τούτοις καὶ ὑπὸ τῆς βουλῆς
ἐθανατώθη ὁ Μεσσάλας ὁ Σίλιος ὅ τε Βάσσος ὁ Πομπώνιος, ἐγ-
κλήματα λαβόντες ὅτι, ἔφη, τοῖς πραττομένοις ὑπ' αὐτοῦ οὐκ ἠρέ-
2 σκοντο. τοῦτο γὰρ οὐδὲ τῇ βουλῇ γράψαι περὶ αὐτῶν ὤκνησεν,
ἐξεταστάς τε αὐτοὺς τοῦ ἑαυτοῦ βίου καὶ ἐπιτιμητὰς τῶν ἐν τῷ
παλατίῳ δρωμένων εἰπὼν εἶναι· "τὰς γάρ τοι τῆς ἐπιβουλῆς δῆθεν
αὐτῶν ἀποδείξεις οὐκ ἔπεμψα ὑμῖν" ἔφη, "ὅτι μάτην ἀναγνωσθή-
3 σεσθαι ἔμελλον ἤδη σφῶν τεθνηκότων." ὑπῆν δέ τι καὶ ἕτερον αἰ-
τίαμα πρὸς Μεσσάλαν, ὅτι πολλὰ ἐρρωμένως ἐν τῷ συνεδρίῳ ἀπε-
φαίνετο· διόπερ καὶ κατ' ἀρχὰς αὐτὸν ἐς τὴν Συρίαν, ὡς καὶ πάνυ
τι αὐτοῦ δεόμενος, μετεπέμψατο, ὅπως μὴ καὶ καθηγεμὼν αὐτῷ
4 ἀλλοδοξίας γένηται. τῷ δὲ δὴ Βάσσῳ, ὅτι γυναῖκα καὶ εὐπρεπῆ
καὶ εὐγενῆ εἶχεν· τοῦ τε γὰρ Σεουήρου τοῦ Κλαυδίου καὶ τοῦ Ἀν-
τωνίνου τοῦ Μάρκου ἀπόγονος ἦν. ἀμέλει καὶ ἔγημεν αὐτήν, μηδὲ
5 ἐκθρηνῆσαι τὴν συμφορὰν ἐπιτρέψας. καὶ περὶ μὲν τῶν γάμων αὐ-
τοῦ, ὧν τε ἐγάμει ὧν τε ἐγήματο, αὐτίκα λελέξεται· καὶ γὰρ ἠν-
δρίζετο καὶ ἐθηλύνετο καὶ ἔπραττε καὶ ἔπασχεν ἑκάτερα ἀσελγέστατα
....... δὲ δὴ δυσ ............ περὶ αὐτς ........... σίᾳ ἐφον .........
6 σαντων ............ νος καὶ μ .......... λιωνα δε α ........... ὑφ' ὧν
πε ........... τενομεν ........... τω τειχε ........... κτο ἰδίαν .......
... ἀμυνομε ............... Σέργιος α .......... τὸν Καρο .......... τινα
καὶ μ .......... προσδιει .......... ουν ἐκ τι .......... δρωνων .......
7 ...... τινα διατ .......... ποιήσας ............ ὑπ' αυτ .. ουσ .......
διωλομ ............ δενος η ........... τ' ἐκείνου .......... αἰτίαν ἐπι
.......... φόνῳ τὰ μ .......... τε ἱππέων .......... καισαρείων ......
6 ... ἐφθάρησαν ......... οὐδὲν δὲ ο ............... Γάννυν δὲ δὴ τὸν
τὴν ἐπανάστασιν κατασκευάσαντα, τὸν ἐς τὸ στρατόπεδον αὐτὸν
ἐσαγαγόντα, τὸν τοὺς στρατιώτας προσαποστήσαντα, τὸν τὴν νίκην
αὐτῷ τὴν κατὰ τοῦ Μακρίνου παρασχόντα, τὸν τροφέα, τὸν προ-
στάτην, ἐν ἀρχῇ εὐθὺς τῆς ἡγεμονίας ἐν τῇ Νικομηδείᾳ ἀποκτείνας
2 ἀνοσιώτατος ἀνδρῶν ἐνομίσθη. ἄλλως μὲν γὰρ καὶ τρυφερώτερον
διῃτᾶτο καὶ ἡδέως ἐδωροδόκει, οὐ μὴν οὔτε αἴτιός τινος κακοῦ οὐ-
δενὶ ἐγένετο καὶ πολλοὺς πολλὰ εὐηργέτησεν· τὸ δὲ μέγιστον, ἰσχυ-

5 1 3 ἔφη om m 1  2 3 cf. U p. 445  3 4 αυτηι  4 2 τοῦ ante Κ. om*  6 1 1 cf. V p. 761  2 2 οὐδὲ*

ρῶς αὐτὸν περιεῖπε, καὶ τῇ Μαίσῃ τῇ τε Σοαιμίδι σφόδρα ἤρεσκε, τῇ μὲν ὅτι ἐτέθραπτο ὑπ' αὐτῆς, τῇ δὲ ὅτι συνῴκει τρόπον τινὰ αὐτῇ. ἀλλ' οὗτοι γε διὰ τοῦτ' αὐτὸν κατεχρήσατο, ὁπότε καὶ συμ- 3
βόλαιον αὐτῷ γαμικὸν ποιῆσαι καὶ Καίσαρα αὐτὸν ἀποδεῖξαι ἠθέλησεν, ἀλλ' ὅτι σωφρόνως τε καὶ ἐμφρόνως ζῆν ὑπ' αὐτοῦ ἠναγκάζετο. καὶ αὐτός γε αὐτοχειρίᾳ πρῶτος αὐτὸν κατέτρωσε διὰ τὸ μηδένα τῶν στρατιωτῶν ἄρξαι τοῦ φόνου τολμῆσαι.

ταῦτα μὲν οὕτως ἐγένετο, ....ς δὲ Ὀῆρος ἐπιτολμήσας καὶ αὐτὸς 7
τῇ μοναρχίᾳ ἐν τῷ τρίτῳ στρατοπέδῳ τῷ Γαλλικῷ, οὗ ἦρχεν, καὶ Γέλλιος Μάξιμος ἐκ τῆς αὐτῆς αἰτίας, καίπερ ὑποστρατηγῶν ἐν τῇ Συρίᾳ τῇ ἑτέρᾳ τοῦ τετάρτου τοῦ Σκυθικοῦ τείχους, ἐδικαιώθησαν. οὕτω γάρ που πάντα ἄνω κάτω συνεχύθη ὥστε ἐκείνους τὴν ἔφε- 2
σιν τῆς ἀρχῆς τὸν μὲν ἐξ ἑκατοντάρχων ἐς τὴν γερουσίαν ἐσγραφέντα, τὸν δὲ ἰατροῦ υἱὸν ὄντα ἐς τὸν νοῦν ἐμβαλέσθαι. τούτους δὲ δὴ μόνους ὠνόμασα οὐχ ὅτι καὶ μόνοι ἐξεφρόνησαν, ἀλλ' ὅτι τῆς βουλῆς ἦσαν, ἐπεί τοι καὶ ἕτερός τις ἑκατοντάρχου υἱὸς ἐπεχείρησε 3
τὸ αὐτὸ ἐκεῖνο στρατόπεδον τὸ Γαλλικὸν συνταράξαι, καὶ μάλα ἄλλος τις ἐριουργὸς τὸ τέταρτον, ἕτερός τε ἰδιώτης τὸν στόλον τὸν ἐν τῇ Κυζίκῳ ναυλοχοῦντα, ὅτε καὶ ὁ Ψευδαντωνῖνος ἐν τῇ Νικομηδείᾳ ἐχείμαζεν, καὶ ἄλλοι δὲ πολλοὶ ἄλλοθι, ὥστε καὶ ἑτοιμότατον ἦν τοῖς βουλομένοις ἄρξαι, τῷ καὶ παρ' ἐλπίδα καὶ παρὰ τὴν ἀξίαν πολλοὺς τῆς ἡγεμονίας ἐπιβεβατευκέναι, νεωτερίσαι τολμῆσαι. καὶ 4
μηδεὶς ἀπιστήσῃ τῷ λεχθέντι· τὰ μὲν γὰρ λοιπὰ τὰ τῶν ἰδιωτῶν παρ' ἀνδρῶν ἀξιοπίστων πυθόμενος, τὸ δὲ δὴ κατὰ τὸν στόλον αὐτὸς ἐγγύθεν ἐκ τῆς Περγάμου ἀκριβώσας ἔγραψα, ἧς, ὥσπερ καὶ τῆς Σμύρνης, ταχθεὶς ὑπὸ τοῦ Μακρίνου ἐπεστάτησα· ἀφ' οὗπερ οὐδὲ τῶν ἄλλων οὐδὲν ἄπιστόν μοι κατεφάνη.

φόνων μὲν οὖν ἐχόμενα ταῦτα αὐτῷ ἐπράχθη, ἔξω δὲ δὴ τῶν 8
πατρίων ἁπλᾶ μὲν καὶ μηδὲν μέγα κακὸν ἡμῖν φέροντα, πλὴν καθ' ὅσον παρὰ τὸ καθεστηκὸς ἐκαινοτομήθη, ὅτι τε τῶν ὀνομάτων τινὰ τῶν ἐς τὴν ἡγεμονίαν αὐτοῦ τεινόντων, πρὶν ψηφισθῆναι, ὥσπερ εἶπον, αὐτὸς ἑαυτῷ ἔθετο, καὶ ὅτι τῇ τοῦ Μακρίνου ὑπατείᾳ, μήτε 2
χειροτονηθεὶς ἐπ' αὐτὴν μήτε ὅλως ἐφαψάμενος αὐτῆς (προδιήνυστο γάρ), αὐτὸν ἀντενέγραψε, καίτοι τὸ κατ' ἀρχὰς ἀπὸ τοῦ Ἀδβέντου ὡς καὶ μόνου ὑπατευκότος τὸν ἐνιαυτὸν ἐν τρισὶ γράμμασι διαδηλώσας, ὅτι τε δεύτερον δὴ ὑπατεύειν ἐπεχείρησεν, μηδεμίαν πρόσθεν 3
μήτε ἀρχὴν λαβὼν μήτε τιμὴν ἀρχῆς, καὶ ὅτι τῇ ἐπινικίῳ στολῇ

3 3 εὐφρόνως 4 τε* 7 1 1 cf. U p. 445 2 3 ἐμβάλλεσθαι
3 5 ἄλλοθι καὶ ἀλλαχόθι ὥστε 8 1 2 παρ' 2 4 ὡς] μὲν ὡς*
3 1 τε om*

Digitized by Google

*ὑπατεύων ἐν τῇ Νικομηδείᾳ, ἐν τῇ τῶν εὐχῶν ἡμέρᾳ, οὐκ ἐχρή-
σατο.*

9 *ἔγημε δὲ Κορνηλίαν Παῦλαν, ἵνα δὴ θᾶσσον, ὥσπερ ἔφη, πα-
τὴρ γένηται ὁ μηδ' ἀνὴρ εἶναι δυνάμενος. ἐν δ' οὖν τοῖς γάμοις
οὐχ ὅπως ἡ γερουσία ἥ τε ἱππάς, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ τῶν
2 βουλευτῶν διανομήν τινα ἔλαβον, ὅ τε δῆμος πεντήκοντα καὶ ἑκα-
τὸν δραχμαῖς καὶ οἱ στρατιῶται ἑκατὸν πλείοσιν εἱστιάθησαν, μο-
νομάχων τε ἀγῶνες ἐγένοντο, ἱμάτιον αὐτοῦ περιπόρφυρον ἐνδύντος,
ὃ καὶ ἐν ταῖς εὐχωλιμαίαις θέαις ἐπεποιήκει. καὶ θηρία ἄλλα τε
πολλὰ καὶ ἐλέφας τίγριδές τε μία καὶ πεντήκοντα ἐσφάγησαν· ὃ
3 μηδεπώποτε ἀθρόον ἐγεγόνει. εἶτα τὴν Παῦλαν ὡς καὶ κηλῖδά τινα
περὶ τὸ σῶμα ἔχουσαν ἀποπέμψας Ἀκυλίᾳ Σεβήρᾳ συνῴκησεν, ἐκ-
φανέστατα παρανομήσας· ἱερωμένην γὰρ αὐτὴν τῇ Ἑστίᾳ ἀσεβέ-
στατα ᾔσχυνεν. ἐτόλμησε δὲ καὶ εἰπεῖν ὅτι ἵνα δὴ καὶ θεοπρεπεῖς
παῖδες ἔκ τε ἐμοῦ τοῦ ἀρχιερέως ἔκ τε ταύτης τῆς ἀρχιερείας γεν-
4 νῶνται, τοῦτ' ἐποίησα· καὶ ἐφ' οἷς αὐτὸν ἐν τῇ ἀγορᾷ αἰκισθέντα
εἶτα ἐς τὸ δεσμωτήριον ἐμβληθῆναι κἀνταῦθα θανατωθῆναι ἔδει,
ἐπὶ τούτοις ἐκαλλωπίζετο. καὶ οὐδ' ἐκείνην μέντοι ἐπὶ πολὺ κατέ-
σχεν, ἀλλ' ἑτέραν, εἶθ' ἑτέραν καὶ μάλα ἄλλην ἔγημε, καὶ μετὰ
τοῦτο πρὸς τὴν Σεβῆραν ἐπανῆλθεν.*

10 *ἐγεγόνει δὲ καὶ τέρατα ἐν τῇ Ῥώμῃ, ἄλλα τε καὶ ἐκ τοῦ ἀγάλ-
ματος τῆς Ἴσιδος, ὃ ὑπὲρ τὸ αέτωμα τοῦ ναοῦ αὐτῆς ἐπὶ κυνὸς
2 ὀχεῖται· τὸ γὰρ πρόσωπον ἐς τὸ εἴσω μετέστρεψεν. ὁ δὲ Σαρδανά-
παλλος καὶ ἀγῶνας ἐποίει καὶ θέας συχνάς, ἐν αἷς Αὐρήλιος Αἶλιξ
ὁ ἀθλητὴς εὐδοκίμησεν, ὃς τοσοῦτον τοὺς ἀνταγωνιστὰς ὑπερῆρεν
ὥστε πάλην τε ἅμα καὶ παγκράτιον ἐν τῇ Ὀλυμπίᾳ ἀγωνίσασθαι
3 ἐθελῆσαι, κἂν τοῖς Καπιτωλίνοις καὶ ἄμφω νικῆσαι. οἱ μὲν γὰρ
Ἠλεῖοι φθονήσαντες αὐτῷ, μή (τὸ λεγόμενον δὴ τοῦτο) ἀφ' Ἡρα-
κλέους ὄγδοος γένηται, οὐδ' ἐκάλεσαν ἐς τὸ στάδιον παλαιστὴν οὐ-
δένα, καίπερ ἐν τῷ λευκώματι καὶ τοῦτο τὸ ἄθλημα προγράψαντες·
ἐν δὲ δὴ τῇ Ῥώμῃ καὶ ἐνίκησεν ἑκάτερον, ὃ μηδεὶς ἄλλος ἐπεποιήκει.*

11 *τῶν δὲ δὴ παρανομημάτων αὐτοῦ καὶ τὸ κατὰ τὸν Ἐλεγάβα-
λον ἔχεται, οὐχ ὅτι θεόν τινα ξενικὸν ἐς τὴν Ῥώμην ἐσήγαγεν, οὐδ'
ὅτι καινοπρεπέστατα αὐτὸν ἐμεγάλυνεν, ἀλλ' ὅτι καὶ πρὸ τοῦ Διὸς
αὐτοῦ ἤγαγεν αὐτόν, καὶ ὅτι καὶ ἱερέα αὐτοῦ ἑαυτὸν ψηφισθῆναι
ἐποίησεν, ὅτι τε τὸ αἰδοῖον περιέτεμε, καὶ ὅτι χοιρείων κρεῶν,*

3 3 *οὐκ ἐχρ.* Leuncl. nam codex in *ἡμέρᾳ* desinit  10 3 4 *προσγρά-
ψαντες*  11 1 5 *τε* om*  *ἐβουλεύσατο μὲν παντάπασιν αὐτὸ ἀπο-
κόψαι· ἀλλ' ἐκεῖνο μὲν τῆς μαλακίας ἕνεκα ποιῆσαι ἐπεθύμησε, τοῦτο δὲ
ὡς καὶ τῇ τοῦ Ἐλεγαβάλου ἱερατείᾳ προσῆκον ἔπραξεν· ἐξ οὗ δὴ καὶ ἑτέ-*

Digitized by Google

ὡς καὶ καθαρώτερον ἐκ τούτων θρησκεύσων, ἀπείχετο, καὶ μέντοι 2
καὶ ὅτι τὴν ἐσθῆτα τὴν βαρβαρικήν, ᾗ οἱ τῶν Σύρων ἱερεῖς χρῶν-
ται, καὶ δημοσίᾳ πολλάκις ἑωρᾶτο ἐνδεδυμένος· ἀφ' οὗπερ οὐχ
ἥκιστα καὶ τὴν τοῦ Ἀσσυρίου ἐπωνυμίαν ἔλαβεν. ἵνα δὲ παρῶ τάς 3
τε βαρβαρικὰς ᾠδὰς ἃς ὁ Σαρδανάπαλλος τῷ Ἐλεγαβάλῳ ᾖδε τῇ
μητρὶ ἅμα καὶ τῇ τήθῃ, τάς τε ἀπορρήτους θυσίας ἃς αὐτῷ ἔθυε,
παῖδας σφαγιαζόμενος καὶ μαγγανεύμασι χρώμενος, ἀλλὰ καὶ ἐς
τὸν ναὸν αὐτοῦ λέοντα καὶ πίθηκον καὶ ὄφιν τινὰ ζῶντα ἐγκατα-
κλείσας, αἰδοῖά τε ἀνθρώπου ἐμβαλών, καὶ ἄλλ' ἄττα ἀνοσιουργῶν,
περιάπτοις τέ τισι μυρίοις ἀεί ποτε χρώμενος, — ἵνα ταῦτα παρα- 12
δράμω, καὶ γυναῖκα, τὸ γελοιότατον, Ἐλεγαβάλῳ ἐμνήστευσε κα-
θάπερ καὶ γάμου παίδων τε δεομένῳ. καὶ ἔδει γὰρ μήτε πενιχρὰν
μήτε δυσγενῆ τινὰ εἶναι αὐτήν, τὴν Οὐρανίαν τὴν τῶν Καρχηδονίων
ἐπελέξατο, καὶ ἐκεῖθέν τε αὐτὴν μετεπέμψατο καὶ ἐς τὸ παλάτιον
καθίδρυσεν, ἕδνα τε αὐτῇ παρὰ πάντων τῶν ὑπηκόων, ὥσπερ καὶ
ἐπὶ τῶν ἑαυτοῦ γυναικῶν, ἤθροισεν. τὰ μὲν δὴ οὖν ἕδνα, ὅσα ἐδόθη 2
ζῶντος αὐτοῦ, μετὰ ταῦτα εἰσεπράχθη· τὴν δὲ δὴ προῖκα οὐκ ἔφη
κομίσασθαι, πλὴν δύο λεόντων χρυσῶν, οἳ καὶ συνεχωνεύθησαν.

"ὅτι ὁ Ψευδαντωνῖνος χρυσοῦς ἔστη πολλῷ καὶ ποικίλῳ κόσμῳ
διαπρέπων. V p. 762.

"ὅτι χρήματα πολλὰ ὁ Μακρῖνος ἐν τῷ βασιλικῷ εὑρὼν διε-
σπάθησε, καὶ οὐκ ἐξήρκουν αἱ πρόσοδοι πρὸς τὰ ἀναλώματα. ib.

ἀλλ' οὗτος ὁ Σαρδανάπαλλος, ὁ καὶ τοὺς θεοὺς γάμου νόμῳ 13
συνοικίζειν ἀξιῶν, ἀσελγέστατα αὐτὸς διεβίω. "ἔγημε μὲν γὰρ πολ-
λὰς γυναῖκας," καὶ ἔτι πλείοσιν "ἄνευ τινὸς νομίμου προσρήσεως"
συνείργνυτο, οὐ μέντοι ὡς καὶ αὐτός τι αὐτῶν δεόμενος, ἀλλ' ἵνα
τῇ συγκοιμήσει τῇ μετὰ τῶν ἐραστῶν τὰ ἔργα αὐτῶν μιμῆται "καὶ
κοινωνοὺς τῆς ὕβρεως, φύρδην ἀναφερόμενος αὐταῖς, λαμβάνῃ."
πολλὰ μὲν γὰρ καὶ ἄτοπα, ἃ μήτ' ἂν λέγων μήτε ἀκούων τις καρ- 2
τερήσειεν, καὶ ἔδρασε τῷ σώματι καὶ ἔπαθεν· τὰ δὲ δὴ περιφανέ-
στατα, καὶ ἃ μηδ' ἂν ἀποκρύψαιτό τις, τάδε ἐστίν. ἐς καπηλεῖα
ἐσῄει νύκτωρ περιθεταῖς κόμαις χρώμενος, καὶ τὰ τῶν καπηλίδων
εἰργάζετο. ἐς τὰ πορνεῖα τὰ περιβόητα ἐσεφοίτα, καὶ τὰς ἑταίρας
ἐξελαύνων ἐπορνεύετο. καὶ τέλος ἐν τῷ παλατίῳ οἴκημά τι ἀπο- 3
δείξας ἐνταῦθα ἠσέλγαινε, γυμνός τ' ἀεὶ ἐπὶ τῆς θύρας αὐτοῦ

ροις τῶν συνόντων συχνοῖς ὁμοίως ἐλυμήνατο. V. ἐς τοσαύτην συνηλάθη ἀσέλγειαν ὡς καὶ τοὺς ἰατροὺς ἀξιοῦν αἰδῶ γυναικείαν δι' ἀνατομῆς αὐτῷ μηχανήσασθαι, μεγάλους ὑπὲρ τούτου μισθοὺς αὐτοῖς προϊσχόμενος. Z p. 569

12 2 1 ἐδόθησαν* 7 τὰ om* 13 1 " " V p. 762 2 1 ἂν om*



Digitized by Google

ἑστὼς ὥσπερ αἱ πόρναι, καὶ τὸ σινδόνιον χρυσοῖς κρίκοις ἐξηρτημένον διασείων, τούς τε παριόντας ἁβρᾷ τε καὶ κεκλασμένῃ τῇ φωνῇ προσεταιριζόμενος. ἦσαν γάρ οἷς ἐξεπίτηδες τοῦτο ποιεῖν
4 προσετέτακτο. ὥσπερ γὰρ καὶ ἐς τἆλλα, καὶ ἐς ἐκεῖνο διερευνητὰς συχνοὺς εἶχε, δι' ὧν ἐπολυπραγμόνει τοὺς μάλιστα αὐτὸν ἀρέσαι τῇ ἀκαθαρσίᾳ δυναμένους. χρήματά τε παρ' αὐτῶν συνέλεγε, καὶ ἐγαυροῦτο ταῖς ἐμπολαῖς· πρός τε τοὺς συνασχημονοῦντάς οἱ διεφέρετο, πλείους τε ἐραστὰς αὐτῶν ἔχειν καὶ πλεῖον ἀργυρίζεσθαι λέγων.

14 καὶ ταῦτα μὲν πρὸς πάντας ὁμοίως τοὺς χρωμένους αὐτῷ ἔδρα, ἤδη δὲ καὶ ἐξαίρετόν τινα ἄνδρα ἔσχεν, ὃν Καίσαρα διὰ τοῦτ' ἀποδεῖξαι ἠθέλησεν. ἤλαυνε δὲ ἅρμα τῇ πρασίῳ στολῇ χρώμενος, ἰδίᾳ
2 τε καὶ οἴκοι, εἴγε οἶκον ἔνι φάναι τοῦτ' εἶναι ἔνθα ἠγωνοθέτουν οἵ τε ἄλλοι οἱ περὶ αὐτὸν πρῶτοι, "καὶ ἱππεῖς καὶ καισάρειοι," καὶ οἱ ἔπαρχοι αὐτοὶ ἥ τε τήθη καὶ ἡ μήτηρ καὶ αἱ γυναῖκες καὶ προσέτι καὶ τῶν ἐκ τῆς βουλῆς ἄλλοι τε καὶ ὁ Λέων ὁ πολίαρχος, καὶ ἐθεῶντο αὐτὸν καὶ ἁρματηλατοῦντα καὶ χρυσοῦς ὥσπερ τινὰ τῶν τυχόντων αἰτοῦντα, τούς τε ἀγωνοθέτας καὶ τοὺς στρατιώτας προσκυνοῦντα.

3 "ὅτι ἐν τῷ δικάζειν τινὰ ἀνήρ πως εἶναι ἐδόκει, ἐν δὲ δὴ τοῖς ἄλλοις τῷ ἔργῳ καὶ τῷ σχήματι τῆς φωνῆς ὡραΐζετο." τά τε γὰρ ἄλλα καὶ ὠρχεῖτο, οὔτοι γε ἐν ὀρχήστρᾳ μόνον, ἀλλὰ καὶ ἐμβαδί-
4 ζων τρόπον τινὰ καὶ θύων ἀσπαζόμενός τε καὶ δημηγορῶν. καὶ τέλος, ἵν' ἤδη ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον ἐπανέλθω, καὶ ἐγήματο, γυνή τε καὶ δέσποινα βασιλίς τε ὠνομάζετο, καὶ ἠριούργει, κεκρύφαλόν τε ἔστιν ὅτε ἐφόρει, καὶ τοὺς ὀφθαλμοὺς ἐνηλείφετο, "ψιμυθίῳ τε καὶ ἐγχούσῃ ἐχρίετο." ἅπαξ μὲν γάρ ποτε ἀπεκείρατο τὸ γένειον, καὶ ἐπ' αὐτῷ ἑορτὴν ἤγαγεν· μετὰ δὲ τοῦτ' ἐψιλίζετο, ὥστε καὶ ἐκ τούτου γυναικίζειν. καὶ πολλάκις καὶ κατακείμενος τοὺς βουλευ-
15 τὰς ἠσπάζετο. ὁ δὲ δὴ ἀνὴρ αὐτῆς Ἱεροκλῆς ἦν, Καρικὸν ἀνδράποδον, "Γορδίου ποτὲ παιδικὰ γενόμενον," παρ' οὗ καὶ ἁρματηλατεῖν ἔμαθεν. κἀκ τούτου καὶ παραδοξότατα αὐτοῦ ἠράσθη· ἐν γάρ τοι ἱπποδρομίᾳ τινὶ ἐκπεσὼν τοῦ ἅρματος κατ' αὐτὴν τὴν τοῦ
2 Σαρδαναπάλλου ἕδραν τό τε κράνος ἐν τῇ πτώσει ἀπέρριψε, καὶ ἐκφανεὶς αὐτῷ (λειογένειος δ' ἔτι ἦν καὶ κόμῃ ξανθῇ ἐκεκόσμητο) ἀνηρπάσθη τε εὐθὺς ἐς τὸ παλάτιον, κἀν τοῖς νυκτερινοῖς ἔργοις ἔτι καὶ μᾶλλον ἑλὼν αὐτὸν ὑπερηυξήθη, ὥστε καὶ ὑπὲρ αὐτὸν

14 et 15 " " V p. 765 14 2 2 καὶ ante καισ. om 3 3 οὔτε*
15 1 3 αὐτῷ ἠρέσθη*

Digitized by Google

ἐκεῖνον ἰσχῦσαι, καὶ βραχύ τι νομισθῆναι τὸ τὴν μητέρα αὐτοῦ
ἔτι δούλην οὖσαν ἔς τε τὴν Ῥώμην ὑπὸ στρατιωτῶν ἀχθῆναι κἀν
ταῖς τῶν ὑπατευκότων γυναιξὶ συναριθμηθῆναι. πολλάκις μὲν γὰρ 3
καὶ ἄλλοι τινὲς ἐτιμήθησαν ὑπ' αὐτοῦ καὶ ἠδυνήθησαν, οἱ μὲν ὅτι
συνεπανέστησαν, οἱ δὲ ὅτι ἐμοίχευον αὐτόν· καὶ γὰρ μοιχεύεσθαι
δοκεῖν, ἵνα κἀν τούτῳ τὰς ἀσελγεστάτας γυναῖκας μιμῆται, ἤθελεν,
καὶ πολλάκις ἑκὼν καὶ ἐπ' αὐτοφώρῳ ἡλίσκετο, καὶ διὰ τοῦτο καὶ
ἐλοιδορεῖτο ἀσελγῶς πρὸς τοῦ ἀνδρός, καὶ ὥστε καὶ ὑπώπια σχεῖν
πληγὰς ἐλάμβανεν. ἐκεῖνον δ' οὖν οὕτως οὐ κούφῃ τινὶ φορᾷ ἀλλὰ 4
πόνῳ καὶ δευσοποιῷ ἔρωτι ἠγάπα ὥστε μὴ ὅτι ἐπὶ τοιούτῳ τινὶ
ἀγανακτῆσαι, ἀλλὰ καὶ τοὐναντίον ἐπ' αὐτοῖς ἐκείνοις μᾶλλον αὐτὸν
φιλῆσαι, καὶ Καίσαρα ὄντως ἀποφῆναι θελῆσαι, καὶ τῇ τε τήθῃ
διὰ τοῦτο ἐμποδὼν γενομένῃ ἀπειλῆσαι, καὶ τοῖς στρατιώταις οὐχ
ἥκιστα δι' αὐτὸν προσκροῦσαι.

καὶ ὁ μὲν ἔμελλέ που καὶ διὰ ταῦτα ἀπολεῖσθαι, Αὐρήλιος 16
δὲ δὴ Ζωτικός, ἀνὴρ Σμυρναῖος, ὃν καὶ μάγειρον ἀπὸ τῆς τοῦ
πατρὸς τέχνης ἐκάλουν, καὶ ἐφιλήθη πάνυ ὑπ' αὐτοῦ καὶ ἐμισήθη,
καὶ διὰ τοῦτο καὶ ἐσώθη. οὗτος γὰρ δὴ καλὸν μὲν καὶ τὸ πᾶν 2
σῶμα ὥς γε καὶ ἐν ἀθλήσει ἔχων, πολὺ δὲ δὴ πάντας τῷ τῶν αἰ-
δοίων μεγέθει ὑπεραίρων, ἐμηνύθη τε αὐτῷ ὑπὸ τῶν ταῦτα ἐξετα-
ζόντων, καὶ ἐξαίφνης ἐκ τῶν ἀγώνων ἀναρπασθεὶς ἀνήχθη τε ἐς
τὴν Ῥώμην ὑπὸ πομπῆς ἀπλέτου καὶ ὅσην οὔτε Αὔγαρος ἐπὶ τοῦ
Σεβήρου οὔτε Τηριδάτης ἐπὶ τοῦ Νέρωνος ἔσχεν, πρόκοιτός τε καὶ 3
πρὶν ὀφθῆναί οἱ ἀποδειχθείς, "καὶ τῷ τοῦ Ἀβίτου τοῦ πάππου
αὐτοῦ ὀνόματι τιμηθείς, καὶ στεφανώμασιν ὥσπερ ἐν πανηγύρει
ἠσκημένος," ἐς τὸ παλάτιον λυχνοκαΐᾳ πολλῇ λαμπόμενος ἐσῆλθεν.
καὶ ὃς ἰδὼν αὐτὸν ἀνέθορέ τε ἐρρυθμισμένως, καὶ προσειπόντα, 4
οἷα εἰκὸς ἦν, "κύριε αὐτοκράτορ χαῖρε," θαυμαστῶς τόν τε αὐχένα
γυναικίσας καὶ τοὺς ὀφθαλμοὺς ἐπεγκλάσας ἠμείψατο, καὶ ἔφη
οὐδὲν διστάσας "μή με λέγε κύριον· ἐγὼ γὰρ κυρία εἰμί." καὶ ὁ 5
μὲν συλλουσάμενός τε αὐτῷ παραχρῆμα, καὶ ἐπὶ πλεῖον ἐκ τῆς
γυμνώσεως, ἅτε καὶ ἰσόρροπον τῇ φήμῃ εὑρὼν αὐτὸν ὄντα, πασχη-
τιάσας ἔν τε τοῖς στέρνοις αὐτοῦ κατεκλίθη, κἀν τοῖς κόλποις ὥσπερ
τις ἐρωμένη δεῖπνον εἵλετο· ὁ δὲ Ἱεροκλῆς φοβηθεὶς μὴ καὶ μᾶλλον 6
αὐτὸν ἑαυτοῦ δουλώσηται, καί τι δι' αὐτοῦ δεινόν, οἷα ἐν ἀντε-
ρασταῖς εἴωθε γίνεσθαι, πάθῃ, φαρμάκῳ τινὶ αὐτὸν διὰ τῶν οἰνο-
χόων, προσφιλῶν που ἑαυτῷ ὄντων, ἐξεθήλυνεν. καὶ οὕτως ἐκεῖνος

4 1 ἀλλ' ἐμμόνῳ?* 16 3 2 " " V p. 766

ἀστυσίᾳ ἐπὶ πᾶσαν τὴν νύκτα συσχεθεὶς ἀφῃρέθη τε πάντων ὧν
ἐτετυχήκει, καὶ ἐξηλάθη ἔκ τε τοῦ παλατίου καὶ ἐκ τῆς Ῥώμης καὶ
μετὰ ταῦτα καὶ ἐκ τῆς λοιπῆς Ἰταλίας· ὃ καὶ ἔσωσεν αὐτόν.
17 ἔμελλε δέ που καὶ αὐτὸς ὁ Σαρδανάπαλλος ἀξιώτατον τῆς
μιαρίας τῆς ἑαυτοῦ μισθὸν οὐ πολὺ ὕστερον κομιεῖσθαι. ἅτε γὰρ
ταῦτα ποιῶν καὶ ταῦτα πάσχων ἐμισήθη ὑπό τε τοῦ δήμου καὶ
ὑπὸ τῶν στρατιωτῶν, οἷς μάλιστα προσέκειτο, καὶ τελευταῖον καὶ
2 ἐν αὐτῷ τῷ στρατοπέδῳ ὑπ' αὐτῶν ἐσφάγη. ἔσχε δὲ οὕτως. τὸν
a.C. 221 Βασσιανὸν τὸν ἀνεψιὸν αὐτοῦ ἐς τὸ συνέδριον ἐσαγαγών, καὶ τὴν
Μαῖσαν καὶ τὴν Σοαιμίδα ἑκατέρωθεν παραστησάμενος, παῖδα
ἔθετο, ἑαυτὸν δὲ ὡς καὶ πατέρα ἐξαίφνης τηλικούτου παιδίου, ὡς
καὶ πολὺ τῇ ἡλικίᾳ αὐτοῦ προέχοντα, ἐμακάρισε, καὶ μηδὲν ἄλλον
τέκνον δεῖσθαι ἔφησεν, ἵν' ἡ οἰκία αὐτοῦ ἄνευ ἀθυμιῶν διαγένηται·
3 καὶ γὰρ τὸν Ἐλεγάβαλον τοῦτό τέ οἱ ποιῆσαι καὶ Ἀλέξανδρον αὐ-
τὸν προσονομάσαι κεκελευκέναι. καὶ ἔγωγε πείθομαι ἐκ θείας τινὸς
παρασκευῆς ὡς ἀληθῶς αὐτὰ γεγονέναι, τεκμαιρόμενος οὐχ οἷς
ἐκεῖνος εἶπεν, ἀλλ' ἔκ τε τοῦ λεχθέντος αὐτῷ ὑπό τινος, ὅτι ἄρα
τις Ἀλέξανδρος ἐξ Ἐμέσης ἐλθὼν αὐτὸν διαδέξεται, καὶ ἐκ τοῦ
18 συμβεβηκότος ἔν τε τῇ Μυσίᾳ τῇ ἄνω καὶ ἐν τῇ Θρᾴκῃ. ὀλίγον
γὰρ τούτων πρότερον δαίμων τις, Ἀλέξανδρός τε ὁ Μακεδὼν ἐκεῖ-
νος εἶναι λέγων καὶ τὸ εἶδος αὐτοῦ τήν τε σκευὴν ἅπασαν φέρων,
ὡρμήθη τε ἐκ τῶν περὶ τὸν Ἴστρον χωρίων, οὐκ οἶδ' ὅπως ἐκείνῃ
ἐκφανείς, καὶ διά τε τῆς Ἀσίας καὶ διὰ τῆς Θρᾴκης διεξῆλθε βακ-
χεύων μετ' ἀνδρῶν τετρακοσίων, θύρσους τε καὶ νεβρίδας ἐνεσκευ-
2 ασμένων, κακὸν οὐδὲν δρώντων. ὡμολόγητο δὲ παρὰ πάντων τῶν
ἐν τῇ Θρᾴκῃ τότε γενομένων ὅτι καὶ καταγωγαὶ καὶ τὰ ἐπιτή-
δεια αὐτῷ πάντα δημοσίᾳ παρεσκευάσθη· καὶ οὐδεὶς ἐτόλμησεν
οὔτ' ἀντειπεῖν οἱ οὔτ' ἀντᾶραι, οὐκ ἄρχων, οὐ στρατιώτης, οὐκ
ἐπίτροπος, οὐχ οἱ τῶν ἐθνῶν ἡγούμενοι, ἀλλ' ὥσπερ ἐν πομπῇ τινὶ
3 μεθ' ἡμέραν ἐκ προρρήσεως ἐκομίσθη μέχρι τοῦ Βυζαντίου. ἐν-
τεῦθεν γὰρ ἐξαναχθεὶς προσέσχε μὲν τῇ Χαλκηδονίᾳ γῇ, ἐκεῖ δὲ
δὴ νυκτὸς ἱερά τινα ποιήσας καὶ ἵππον ξύλινον καταχώσας ἀφανὴς
ἐγένετο. ταῦτα μὲν ἐν τῇ Ἀσίᾳ ἔτι, ὡς εἶπον, ὤν, πρὶν καὶ ὁτιοῦν
περὶ τὸν Βασσιανὸν ἐν τῇ Ῥώμῃ γενέσθαι, ἔμαθον.
19 ἕως μὲν οὖν ὁ Σαρδανάπαλλος τὸν ἀνεψιὸν ἐφίλει, ἐσώζετο·
ἐπεὶ δὲ πάντας ὑπώπτευε καὶ ἐμάνθανε πρὸς ἐκεῖνον ῥέποντας ὁλο-
σχερῶς ταῖς εὐνοίαις, ἐτόλμησε μεταγνῶναι καὶ πάντα ἐπὶ καθαι-

6 5 περὶ* 17 3 5 τις] ὡς 18 1 1 ἐν om* 5 Μυσίας?*
διὰ om*

ρέσει αὐτοῦ ἔπραττεν. ὡς δέ ποτε καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρησεν,
οὐ μόνον οὐδὲν ἤνυσεν, ἀλλὰ καὶ αὐτὸς ἀποθανεῖν ἐκινδύνευσεν·
ὅ τε γὰρ Ἀλέξανδρος ὑπό τε τῆς μητρὸς καὶ τῆς τήθης ὑπό τε 2
τῶν στρατιωτῶν ἰσχυρῶς ἐφυλάσσετο, καὶ οἱ δορυφόροι αἰσθόμενοι
τὴν ἐπιχείρησιν τοῦ Σαρδαναπάλλου δεινῶς ἐθορύβησαν, οὐ πρίν
τε ἐπαύσαντο στασιάζοντες ἢ τὸν Σαρδανάπαλλον τὸ στρατόπεδον
σὺν τῷ Ἀλεξάνδρῳ καταλαβόντα, πολλά τε ἱκετεύσαντα καὶ τοὺς 3
ἐξαιτηθέντας παρ᾽ αὐτῶν τῶν συνασελγαινόντων αὐτῷ ἐκδοῦναι
ἀναγκασθέντα, ὑπέρ τε τοῦ Ἱεροκλέους οἰκτρὰ λαλήσαντα καὶ δά-
κρυσι κλαύσαντα, τήν τε σφαγὴν τὴν ἑαυτοῦ προδείξαντα, καὶ
ἐπειπόντα "ἕνα μοι τοῦτον χαρίσασθε, ὅ τι βούλεσθε περὶ αὐτοῦ
ὑποτοπήσαντες, ἢ ἐμὲ ἀποκτείνατε," μόλις αὐτοὺς ἐκμειλίξασθαι.
τότε μὲν οὖν μόλις ἐσώθη· καὶ γὰρ καὶ ἡ τήθη αὐτοῦ ἐμίσει τε 4
αὐτὸν ἐφ᾽ οἷς ἔπραττεν, ὡς οὐδὲ τοῦ Ἀντωνίνου υἱὸν ὄντα, καὶ
πρὸς τὸν Ἀλέξανδρον ὡς καὶ ὄντως ἐξ αὐτοῦ γεγονότα ἀπέκλινεν·
μετὰ δὲ ταῦτα ἐπιβεβουλευκὼς πάλιν τῷ Ἀλεξάνδρῳ, καὶ θορυ- 20
βησάντων ἐπὶ τούτῳ τῶν δορυφόρων σὺν αὐτῷ ἐς τὸ στρατόπεδον a.C. 222
ἐσελθών, ὡς ᾔσθετο φυλαττόμενον ἑαυτὸν ἐπὶ ἀναιρέσει, ἐπειδὴ
καὶ αἱ μητέρες αὐτῶν ἐκφανέστερον ἢ πρὶν ἀλλήλαις μαχόμεναι
τοὺς στρατιώτας ἠρέθιζον, φεύγειν πως ἐπεχείρησεν. καὶ ἔμελλεν 2
ἐς τύλλον ἐμβληθεὶς ἐκδρᾶναί ποι, φωραθεὶς δὲ ἀπεσφάγη, ὀκτω-
καίδεκα ἔτη γεγονώς. καὶ αὐτῷ καὶ ἡ μήτηρ (περιπλακεῖσα γὰρ
ἀπρὶξ εἴχετο) συναπώλετο. καὶ αἵ τε κεφαλαὶ αὐτῶν ἀπεκόπησαν,
καὶ τὰ σώματα γυμνωθέντα τὸ μὲν πρῶτον διὰ πάσης τῆς πόλεως
ἐσύρη, ἔπειτα τὸ μὲν τῆς γυναικὸς ἄλλως πως ἐρρίφη, τὸ δὲ ἐκεί-
νου ἐς τὸν ποταμὸν ἐνεβλήθη. καὶ αὐτῷ ἄλλοι τε καὶ ὁ Ἱεροκλῆς 21
οἵ τε ἔπαρχοι συναπώλοντο καὶ Αὐρήλιος Εὔβουλος, ὃς Ἐμεσηνὸς
μὲν τὸ γένος ἦν, "καὶ ἐς τοσοῦτον ἀσελγείας καὶ μιαρίας ἐχώρησεν
ὥστε καὶ ὑπὸ τοῦ δήμου πρότερον ἐξαιτηθῆναι·" τοὺς γὰρ δὴ
καθόλου λόγους ἐπιτετραμμένος οὐδὲν ὅ τι οὐκ ἐδήμευσεν. τότε
δ᾽ οὖν ὑπό τε τοῦ δήμου καὶ τῶν στρατιωτῶν διεσπάσθη, καὶ
Φούλβιος σὺν αὐτῷ ὁ πολίαρχος. καὶ αὐτὸν ὁ Κωμάζων, ὡς καὶ 2
τὸν πρὸ αὐτοῦ, διεδέξατο· ὥσπερ γὰρ προσωπεῖόν τι ἐς τὰ θέατρα
ἐν τῷ διακένῳ τῆς τῶν κωμῳδῶν ὑποκρίσεως εἰσεφέρετο, οὕτω καὶ
ἐκεῖνος τῇ τῶν πολιαρχησάντων ἐπ᾽ αὐτοῦ κενῇ χώρᾳ προσετάττετο.
ὅ τε Ἐλεγάβαλος αὐτὸς ἐκ τῆς Ῥώμης παντάπασιν ἐξέπεσεν.
τὰ μὲν τοῦ Τιβερίνου οὕτως ἔσχεν, καὶ οὐδεὶς οὐδὲ τῶν συγ- 3

21 1 " " V p. 769    2 4 αὐτῇ

Digitized by Google

*κατασκευασάντων αὐτῷ τὴν ἐπανάστασιν καὶ μέγα ἐπ' αὐτῷ δυ-*
Π *νηθέντων, πλὴν ἑνός που, ἐσώθη· Ἀλέξανδρος δὲ μετ' ἐκεῖνον εὐ-*
*θὺς αὐταρχήσας Δομιτίῳ τινὶ Οὐλπιανῷ τήν τε τῶν δορυφόρων*
*προστασίαν καὶ τὰ λοιπὰ τῆς ἀρχῆς ἐπέτρεψε πράγματα.*
2 *ταῦτα μὲν ἀκριβώσας, ὡς ἕκαστα ἠδυνήθην, συνέγραψα· τὰ*
*δὲ δὴ λοιπὰ ἀκριβῶς ἐπεξελθεῖν οὐχ οἷός τε ἐγενόμην διὰ τὸ μὴ*
*ἐπὶ πολὺν χρόνον ἐν τῇ Ῥώμῃ διατρῖψαι. ἔκ τε γὰρ τῆς Ἀσίας ἐς*
*τὴν Βιθυνίαν ἐλθὼν ἠρρώστησα, κἀκεῖθεν πρὸς τὴν ἐν τῇ Ἀφρικῇ*
3 *ἡγεμονίαν ἠπείχθην, ἐπανελθών τε ἐς τὴν Ἰταλίαν εὐθέως ὡς εἰ-*
*πεῖν ἔς τε τὴν Δελματίαν κἀντεῦθεν ἐς τὴν Παννονίαν τὴν ἄνω*
*ἄρξων ἐπέμφθην, καὶ μετὰ τοῦτ' ἐς τὴν Ῥώμην καὶ ἐς τὴν Καμ-*
2 *πανίαν ἀφικόμενος παραχρῆμα οἴκαδε ἐξωρμήθην. διὰ μὲν οὖν*
*ταῦτα οὐκ ἠδυνήθην ὁμοίως τοῖς πρόσθεν καὶ τὰ λοιπὰ συνθεῖναι,*
*κεφαλαιώσας μέντοι ταῦτα, ὅσα γε καὶ μέχρι τῆς δευτέρας μου*
*ὑπατείας ἐπράχθη, διηγήσομαι.*
2 *ὁ Οὐλπιανὸς πολλὰ μὲν τῶν οὐκ ὀρθῶς ὑπὸ τοῦ Σαρδανα-*
*πάλλου πραχθέντων ἐπηνώρθωσε, τὸν δὲ δὴ Φλαβιανὸν τόν τε*
*Χρῆστον ἀποκτείνας, ἵν' αὐτοὺς διαδέξηται, καὶ αὐτὸς οὐ πολλῷ*
*ὕστερον ὑπὸ τῶν δορυφόρων ἐπιθεμένων οἱ νυκτὸς κατεσφάγη, καί-*
*τοι καὶ πρὸς τὸ παλάτιον ἀναδραμὼν καὶ πρὸς αὐτὸν τὸν αὐτο-*
3 *κράτορα τήν τε μητέρα αὐτοῦ καταφυγών. ζῶντος δ' οὖν ἔτι αὐ-*
*τοῦ στάσις μεγάλη τοῦ δήμου πρὸς τοὺς δορυφόρους ἐκ βραχείας*
*τινὸς αἰτίας ἐγένετο, ὥστε καὶ ἐπὶ τρεῖς ἡμέρας μάχεσθαί τε ἀλ-*
*λήλοις καὶ πολλοὺς ἀπ' ἀμφοτέρων ἀπολέσθαι. ἡττώμενοι δὲ οἱ*
*στρατιῶται πρὸς ἔμπρησιν τῶν οἰκοδομημάτων ἐτράποντο· κἀκ*
*τούτου δείσας ὁ δῆμος μὴ καὶ πᾶσα ἡ πόλις φθαρῇ, καὶ ἄκων*
4 *σφίσι συνηλλάγη. ταῦτά τε οὖν ἐγένετο, καὶ ὁ Ἐπάγαθος, ὡς καὶ*
*αἴτιος τῷ Οὐλπιανῷ τοῦ ὀλέθρου τὸ πλέον γενόμενος, ἔς τε Αἴ-*
*γυπτον ὡς ἄρξων αὐτῆς ἐπέμφθη, ἵνα μή τις ἐν τῇ Ῥώμῃ κολα-*
*σθέντος αὐτοῦ ταραχὴ γένηται, κἀκεῖθεν ἐς Κρήτην ἀπαχθεὶς*
*ἐδικαιώθη.*
3 *πολλαὶ δὲ καὶ παρὰ πολλῶν ἐπαναστάσεις γενόμεναι, καί τινες*
*καὶ ἰσχυρῶς ἐκφοβήσασαι, κατεπαύθησαν· τὰ δὲ ἐν τῇ Μεσοπο-*

1 1 1 *τοῦ δὲ Ψευδαντωνίνου ἀναιρεθέντος Ἀλέξανδρος ὁ Μαμαίας, ὁ ἐκείνου ἀνεψιός (οὕτω γὰρ οἱ παλαιοὶ τοὺς ἐξαδέλφους ὠνόμαζον), τὴν αὐταρχίαν ἀπεκληρώσατο. ὃς αὐτίκα τὴν οἰκείαν μητέρα Μαμαίαν Αὐγοῦσταν ἀνεῖπεν, ἣ τὴν τῶν πραγμάτων οἰκονομίαν μετακεχείριστο, καὶ περὶ τὸν υἱὸν σοφοὺς ἄνδρας συνήγαγεν, ἵνα δι' ἐκείνων αὐτῷ τὰ ἤθη ῥυθμίζοιτο, κἀκ τῆς γερουσίας τοὺς ἀμείνονας συμβούλους προσείλετο, ἅπαν πρακτέον κοινουμένη αὐτοῖς* 2 3 4 *ὑπ'* 4 2 *τὸ* om* 3 1 2 post *κα-*

Digitized by Google

*ταμίᾳ καὶ φοβερώτερα, καὶ ἀληθέστερον δέος σύμπασιν, οὐχ ὅτι*
*τοῖς ἐν Ῥώμῃ ἀλλὰ καὶ τοῖς ἄλλοις, παρέσχεν. Ἀρταξέρξης γάρ* 2
*τις Πέρσης τούς τε Πάρθους τρισὶ μάχαις νικήσας, καὶ τὸν βα-*
*σιλέα αὐτῶν Ἀρτάβανον ἀποκτείνας, "ἐπὶ τὰ Ἄτρα ἐπεστράτευσεν,*
*ἐπιβασίαν ἀπ' αὐτῶν ἐπὶ τοὺς Ῥωμαίους ποιούμενος. καὶ τὸ μὲν*
*τεῖχος διέρρηξεν, συχνοὺς δὲ δὴ τῶν στρατιωτῶν ἐξ ἐνέδρας ἀπο-*
*βαλὼν ἐπὶ τὴν Μηδίαν μετέστη, καὶ ἐκείνης τε οὐκ ὀλίγα καὶ τῆς* 3
*Παρθίας, τὰ μὲν βίᾳ τὰ δὲ καὶ φόβῳ, παραλαβὼν" ἐπὶ τὴν Ἀρ-*
*μενίαν ἤλασε, κἀνταῦθα πρός τε τῶν ἐπιχωρίων καὶ πρὸς Μήδων*
*τινῶν τῶν τε τοῦ Ἀρταβάνου παίδων πταίσας, ὡς μέν τινες λέγουσιν,*
*ἔφυγεν, ὡς δ' ἕτεροι, ἀνεχώρησε πρὸς παρασκευὴν δυνάμεως μείζονος.*
*οὗτός [τε] οὖν φοβερὸς ἡμῖν ἐγένετο, στρατεύματί τε πολλῷ οὐ μόνον* 4
*τῇ Μεσοποταμίᾳ ἀλλὰ καὶ τῇ Συρίᾳ ἐφεδρεύσας, καὶ ἀπειλῶν ἀνα-*
*κτήσεσθαι πάντα, ὡς καὶ προσήκοντά οἱ ἐκ προγόνων, ὅσα ποτὲ οἱ*
*πάλαι Πέρσαι μέχρι τῆς Ἑλληνικῆς θαλάσσης ἔσχον, οὐχ ὅτι αὐτὸς*
*λόγου τινὸς ἄξιος, ἀλλ' ὅτι οὕτω τὰ στρατιωτικὰ ἡμῖν διάκειται ὥστε*
*τοὺς μὲν καὶ προστίθεσθαι αὐτῷ τοὺς δὲ οὐκ ἐθέλειν ἀμύνεσθαι.*
*τοσαύτῃ γὰρ ἅμα τρυφῇ καὶ ἐξουσίᾳ ἀνεπιπληξίᾳ τε χρῶνται ὥστε* 2
*τολμῆσαι τοὺς μὲν ἐν τῇ Μεσοποταμίᾳ τὸν ἄρχοντα σφῶν Φλά-*
*βιον Ἡρακλέωνα ἀποκτεῖναι, τοὺς δὲ δορυφόρους πρὸς τῷ Οὐλ-*
*πιανῷ καὶ ἐμὲ αἰτιάσασθαι ὅτι τῶν ἐν τῇ Παννονίᾳ στρατιωτῶν*
*ἐγκρατῶς ἦρξα, καὶ ἐξαιτῆσαι, φοβηθέντας μὴ καὶ ἐκείνους τις*
*ὁμοίως τοῖς Παννονικοῖς ἄρχεσθαι καταναγκάσῃ. οὐ μέντοι προε-* 5
*τίμησέ τι αὐτῶν ὁ Ἀλέξανδρος, ἀλλὰ καὶ τοὐναντίον ἄλλως τε*
*ἐσέμνυνέ με καὶ δεύτερον ὑπατεύσοντα σὺν αὐτῷ ἀπέδειξε, τό τε*
*ἀνάλωμα τὸ τῆς ἀρχῆς αὐτὸς ἀναλώσειν ὑπεδέξατο. ἀχθεσθέντων*
*δὲ αὐτῶν ἐπὶ τούτοις ἐφοβήθη μὴ καὶ ἀποκτείνωσί με ἐν τῷ τῆς*
*ἀρχῆς σχήματι ἰδόντες, καὶ ἐκέλευσεν ἔξω τῆς Ῥώμης ἐν τῇ Ἰτα-*

*τεπαύθησαν* Z p. 572: *ἥττων δ' οὖσα χρημάτων ἡ Ἀλεξάνδρου μήτηρ ἐχρηματίζετο πάντοθεν. ἠγάγετο δὲ καὶ τῷ υἱῷ γαμετήν, ἣν οὐ συνεχώρησεν ἀναρρηθῆναι Αὐγοῦσταν· ἀλλὰ καὶ μετά τινα χρόνον τοῦ υἱοῦ αὐτὴν ἀποσπάσασα εἰς Λιβύην ἀπήλασε, καίτοι στεργομένην παρ' ἐκείνου. ὁ δὲ ἀντειπεῖν τῇ μητρὶ οὐκ ἐδύνατο, καταρχούσῃ αὐτοῦ.* 2 1 *Ἀρταξέρξης μέντοι ὁ Πέρσης, ὃς ἐξ ἀφανῶν καὶ ἀδόξων ἦν, τὴν τῶν Πάρθων βασιλείαν Πέρσαις περιεποιήσατο καὶ αὐτῶν ἐβασίλευσεν· ἀφ' οὗ λέγεται καὶ τὸ Χοσρόου κατάγεσθαι γένος. μετὰ γὰρ τὴν Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτὴν οἱ ἐκείνου διάδοχοι Μακεδόνες ἐπὶ πλεῖστον μὲν Περσῶν τε καὶ Παρθυαίων ἦρχον καὶ τῶν ἄλλων ἐθνῶν, κατ' ἀλλήλων δέ γε χωρήσαντες ἀλλήλους κατέλυσαν. ἐκείνων δ' οὕτως ἠσθενηκότων πρῶτος Ἀρσάκης Παρθυαῖος τῇ ἐξ αὐτῶν ἀποστασίᾳ ἐπικεχείρηκε, καὶ Παρθυαίων ἐκράτησε, καὶ τοῖς ἑαυτοῦ ἀπογόνοις κατέλιπε τὴν ἀρχήν, ὧν τελευταῖος γέγονεν ὁ Ἀρτάβανος.* Z 3 " " V p. 769 5 1 4 *ἀρχῆς αὐτῷ αὐτὸς*

2 λίᾳ που διατρῖψαι τὸν τῆς ὑπατείας χρόνον. καὶ οὕτω μετὰ ταῦτα ἔς τε τὴν Ῥώμην καὶ ἐς τὴν Καμπανίαν πρὸς αὐτὸν ἦλθον, καὶ συνδιατρίψας τινὰς ἡμέρας αὐτῷ, τοῖς τε στρατιώταις μετὰ πάσης ἀδείας ὀφθείς, ἀπῆρα οἴκαδε παρέμενος ἐπὶ τῇ τῶν ποδῶν ἀρρωστίᾳ, ὥστε πάντα τὸν λοιπὸν τοῦ βίου χρόνον ἐν τῇ πατρίδι
3 ζῆσαι, ὥσπερ που καὶ τὸ δαιμόνιον ἐν τῇ Βιθυνίᾳ ἤδη μοι ὄντι σαφέστατα ἐδήλωσεν. ὄναρ γάρ ποτε ἔδοξα προστάσσεσθαι ὑπ' αὐτοῦ προσγράψασθαι τῷ ἀκροτελευτίῳ τὰ ἔπη τάδε, "Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ."

Digitized by Google

# INDEX HISTORICUS.


Abas fl. 37 3.
abdicatur Agrippa 55 32.
absentes vadimonio deserto damnandi 60 28. absentium in comitiis ratio 40 51 56.
acclamationes Augustanorum 61 20, 63 10. populi 72 15, 73 2, 74 1. senatorum 63 20, 72 18 20, 74 5. Fescenninae 63 13.
accusatores 40 52, 46 49, 57 19, 58 14 16.
Acerrani fr 57 35.
Acerronia Pola 61 13.
Achaia a Mummio victa 61 17, ab Augusto vexata 48 46. senatus et populi provincia 53 12, Tiberio datur 58 25, populo redditur 60 24. libera 63 11, 78 21.
Achillas Pompeium interficit 42 4 36 38 40.
Achilles 77 16.
Achivi fr 72.
M. Acilius 42 12.
Acilius Glabrio a. 844 cos. 67 12 14.
Acilius Glabrio bis consul 73 3.
M' Acilius Glabrio a. 687 cos. 36 14 16, 41 2, 43 1.
Acinaces leo 78 7.
Acra Ceraunia 41 44.
Acrocorinthus fr 72 2.
Acropolis Albanorum 37 1.
acta Caesaris 44 6 24 34 53, 47 18, Luculli et Pompeii 37 49, principum 51 20, 53 28, 57 8, 58 17, 59 9, 60 4 10 25. triumvirorum 48 34.
Acte Claudia 61 7.
Actii ludi 51 1 3, 53 1, 59 20.
Actium 50 11 12.
Actius Apollo 51 1.
acus comae ornandae 47 8, 51 14. venenatae 67 11, 72 14.
Adana 47 31.
Adenystrae castellum 68 22.
Adiabene 62 20, 68 22 26, 75 1 3, 68 22 26.
adoptati nomen mutant 40 51, 46 47, 55 27.
adoptio 37 51, 39 11, 40 51, 44 35, 45 5, 46 47, 60 33, 61 1, 69 20, 79 17.
Adrumetum 42 58, 48 21.
Aduatici Cimbri 39 4.
Coclatinus Adventus a. 971 cos. 78 13 14, 79 8.
adulteria 54 16, 67 12, 76 16, 77 16.
advocati 54 18, 40 52, 55 4, 57 11 21.
aedes dirutae fr 26, l. 38 17. publicae 43 44, 49 15, 54 27, 55 12.
aediles 39 7 32, 41 36, 43 51, 47 40, 48 32 53, 49 16 43, 53 2 24 26 33, 54 2 8 10 24 36, 55 24, 56 27, 57 24, 59 12.
Aedui 38 32, 39 2, 40 36.
Aegae 47 30. Ciliciae 78 39.
Aegestes Numitoris fr 4 11.
Aegina 54 7.
Aegyptii 37 18 19, 39 58, 42 8 34 35, 49 40, 50 24, 51 16 17, 53 13, 62 6, 76 5. eorum libri arcani 75 13, sacra 53 2, 54 6.
Aegyptus 53 12 13.
Aelia Capitolina 69 12.
Aelia Catella 61 19.
Aelius mensis 72 15.
Aelius Gallus 53 29.
Aelius Saturninus 57 22.
L. Aelius Seianus 57 19, 58 3—14.
Q. Aelius Tubero a. 743 cos. 54 32.


Digitized by Google

Aemilia Vestalis fr 87 3.
Aemilianus Nigri legatus 73 6.
Aemilius Laetus praef. praet. sub Commodo 72 19 22, 73 6 8 9.
M' Aemilius Lepidus a. 688 cos. 36 42.
M. Aemilius Lepidus a. 676 cos. 44 28 47.
M. Aemilius Lepidus triumvir 41 36, 43 1 29 33 48 49 51, 44 5 19 22 34 53, 45 10 17, 46 38 56, 47 16, 48 1 20, 49 1 8 11, 51 43, 54 15.
M. Aemilius Lepidus a. 759 cos. 55 25.
M. (an M') Aemilius Lepidus a. 764 cos. 56 25.
M. Aemilius Lepidus Drusillae maritus 59 11.
Q. Aemilius Lepidus a. 733 cos. 54 6.
P. Aemilius Lepidus Paulus a. 720 cos. 49 42.
Aemilius Papinianus 76 10 14, 77 1.
L. Aemilius Papus fr 50 4.
L. Aemilius Paulus Cannis interfectus fr 57 24.
L. Aemilius Paulus Persei victor fr 66 4 5, 67.
L. Aemilius Paulus triumviri frater 47 6 8, 53 29.
L. Aemilius Paulus a. 704 cos. 40 43, 63 2.
Paulus Aemilius Lepidus a. 732 censor 54 2.
Aemilius Rectus Aegypti praef. 57 10.
Aemilius Saturninus 75 14.
M. Aemilius Scaurus fr 91.
Mam. Aemilius Scaurus 58 24.
M. Aemilius Scaurus 51 2, 56 38.
Aeneadum ultimus 62 18, 63 29.
Aeneas fr 4, l. 41 34, 44 37.
Aeneas Silvii f. fr 4 10.
Aequi fr 23 1.
aerarium militare 55 25 32. publicum 41 6 17, 43 31 45 48, 52 25, 53 2 16 22 32, 56 38, 57 20, 59 9, 60 4 10 24, 73 8.
aesar 56 29.
Aesculapius 77 15. eius festum 47 2, lucus 51 8.
aestimationibus satisfit creditoribus 41 37, 42 51.
aetas praetoria et senatoria 52 20.
Aethiopes 63 3 8, 54 5. Aethiopia 75 13.
Aetna 50 8.
Aetoli fr 40 3, 57 57 59 60, l. 41 51.
L. Afranius a. 694 cos. 37 5 49, 41 20, 42 10, 43 12.
P. Afranius Potitus 59 8.
Afri fr 57 50, 77 6. Africa 42 9 56—43 12, 46 55, 48 1 21 22, 50 6, 53 12 14, 59 20.
ferae Africanae 53 27, 54 26, 59 7 13, 60 7.
Agamemnon 36 13, 42 5.
Agathocles tyrannus fr 40 8.
Agesilaus fr 107.
agrariae leges v. leges.
Agrippa rex 59 8 24.
Agrippina Claudii uxor 58 20, 59 22 23, 60 4 31, 61 2 3 6 10—16.
Agrippina Germanici uxor 57 6 22 not., 58 22, 59 3 19.
Agrippina Tiberii uxor 54 31, 57 2.
Agron Illyrius fr 49 2.
Agyllaei Cerites fr 33.
Aiax 58 24.
Alabanda et Alabandenses 48 26.
Alamanni 77 13 15.
Alani 69 15.
Alba Longa fr 4 9, 7 2, l. 43 43.
Alba Pompeia 73 3.
albae quadrigae 43 14, 52 13. vestes 63 4, 74 1.
Albani 36 54, 37 1 3 5, 77 34, 79 4. Albania 36 54, 49 24.
Albani Massagetae 69 15.
Albanii milites 78 13 34, 79 2 4.
Albanum 44 4, 47 40, 53 32, 63 62, 66 9, 67 1 14.
Albanus mons fr 4 6 9, 39 20, 50 8.
Albinus v. Clodius Albinus.
Albis fl. 55 1 28, 77 14.
album athletarum 63 9, proscriptorum fr 109 12, l. 47 3 13 16, senatorum fr 109 14, l. 55 3.
Alchaudonius Arabs 36 4, 40 20, 47 27.
Alcmaeon 63 9.
alea 59 22, 65 2.
Alesia 40 39.
Alexander Antonii f. 49 32 39 41 44, 51 15 21.
Alexander Commagenus 49 22.
Alexander Emesenus 51 2.


Digitized by Google

Alexander M. 37 52, 40 14 17, 51 16, 68 26 29 30, 75 13, 77 7, 79 18.
Alexander quidam reus 77 8.
imp. Alexander Severus Bassianus 78 30, 79 17 19, 80 1.
Alexandria 42 7, 49 40, 50 3, 77 21. Alexandrini 39 13 58, 42 38, 49 41, 50 24, 51 9 16 17, 66 8, 77 22-3. annus Alexandrinus 43 26.
Aliso fl. 54 33.
Allobroges 37 34 47, 38 32, 39 5, 40 39, 43 30, 46 50.
Allucius Celtiberus fr 57 44.
Alman mons 55 30.
Alpes fr 54, 38 31 40, 39 5, 41 4 30, 48 4, 53 26, 56 24. Celticae 39 49, Cottiae 60 24, maritimae 54 24, Tridentinae 54 22.
Alpinae gentes 48 4, 54 20.
Amanus mons 48 41.
Amazonius mensis 72 15.
Ambiorix Eburonum dux 40 5 31.
ambitus 36 21, 37 29, 39 37, 40 46 52, 43 27 47, 54 16, 55 5.
Ambracius sinus 50 12.
Ambrones 44 42, 50 24.
Amisus urbs 42 46. Amiseni 42 48.
amnestia 44 26.
Amphilochi oraculum 72 7.
Amphipolis fr 66 4.
amphitheatra 37 58, 43 22.
Amulius Aventini f. fr 4 11, Tiberini fr 4 10.
Amyntas Gallograecus 47 48, 49 32, 50 13, 51 2 7, 53 26.
Anaitis dea 36 48 53. regio 36 48.
anapaesti fr 39 8, 66 8.
Anchialus Henichorum rex 68 19.
anchusa 79 14.
ancilia 44 17.
ancorae 43 31.
Ancus Marcius fr 8 et 9.
Andetrium Dalmatiae urbs 56 12.
Andreas Iudaeus 68 32.
Anicetus Neronis lib. 61 13.
Anicius Festus 78 22.
animalia deorum loco culta 50 24.
Annaeus Cornutus 62 29.
L. Annaeus Seneca 59 19, 62 2.
Annia Galeria Faustina Marci uxor 71 10 22 29 31, 74 3.
Annius Corbulonis gener 62 23.
T. Annius Milo 39 6 18, 40 48 53, 41 36, 42 24 25.
Annius Vinicianus 60 15.
M. Annius Verus v. M. Antoninus.
annuli aurei 48 45, 53 30. equitum apud Cannas occisorum fr 57 28. annulus Augusti 51 3, 53 30, Caesaris 43 43, 47 41, Galbae 51 3, Pompeii 42 7, Vespasiani 66 2.
annus a Caesare emendatus 43 26.
Anthemusia 68 21.
Anti-Cato 43 13.
Antigonia 40 29.
Antigonus Palaestinae rex 48 41, 49 22.
Antigonus Philippi f. tribunus 77 8.
Antimachus poeta 69 4.
Antinous 69 11. Antinoi urbs ib.
Antiochia 36 19, 40 28, 47 30, 48 25, 74 8, 68 18 24, 69 2, 71 2, 78 4 7 22 34.
Antiochus Cilix cynicus 77 19.
Antiochus Commagenus 36 4 5. alter 48 41, 49 20 23, 52 43. eius filius 59 8 24.
Antiochus M. fr 60 et 62.
Antistius Labeo 54 15.
C. Antistius Reginus 47 27, 53 25.
C. Antistius Vetus a. 748 cos. 55 9.
C. Antistius Vetus a. 849 cos. 67 14.
Antium fr 57 60, l. 58 25, 62 15.
Antonia Claudii f. Pompeii M. uxor 60 31.
Antonia Claudii mater 66 14.
imp. Aurelius Antoninus Pius 70 1.
C. Aurelius Cotta a. 554 cos. fr 57 8.
τὸ Ἀντωνινεῖον 78 9.
imp. M. Antoninus 70 2, 71 1—36.
imp. Antoninus Caracallus 51 17, 75 15, 76 1 3—78 6 18.
imp. Antoninus Elagabalus 78 30—79 21.
Antonius centurio 71 27. eques 61 7.
C. Antonius a. 691 cos. 37 10 25 30 32 33 39, 38 10.
C. Antonius triumviri frater 41 40, 42 11, 45 9, 47 21—24, 51 26.
L. Antonius triumviri frater 45 9, 46 37, 48 4—29.
M. Antonius triumviri p. 45 47.
M. Antonius orator 45 47.
M. Antonius triumvir 41 1 15, 46 1, 47 3, 42 21, 43 49, 44 11 19

Digitized by Google

22 34, 51 10—15 19. eius domus 53 27, horti 47 40, spolia 53 33.
Antonius Musa 53 30.
Antonius Primus 65 9 10 11 19.
L. Antonius Saturninus 67 11.
Antyllus M. Antonii f. 48 54, 51 6 8 15.
Anulinus Severi legatus 74 6 7, 75 3.
Aous fl. 41 45.
Apamea 47 27, 48 25, 78 8 30 34.
Apelles histrio 59 5.
apes 41 61, 42 26, 47 2 40, 54 33, 56 24, 60 35, 74 6, 78 24.
Apiatae 39 46.
Apicata Seiani uxor 58 11.
Apis 51 16 17.
ἀποκολοκύντωσις 60 35.
Apollo 45 1 2. Actius 51 1, Grannus 77 15, Pythius 63 14. Apollinis statua fr 84 2, aedes in Palatio 53 1, 58 9.
Apollodorus architectus 69 4.
Apollonia fr 49 6, 58 4, l. 41 45, 45 3 9, 47 21 24, 55 29. Apolloniates fr 42.
Apollonius Aegyptius 59 29.
Apollonius Nicomedensis 71 35.
Apollonius Tyanensis 67 18, Cappadox 77 18.
Apollophanes Sex. Pompeii lib. 48 47 48, 49 10.
Q. Aponius 43 29.
via Appia 40 48.
L. Appius Maximus Norbanus 67 11, 68 9 30.
C. Appius Silanus 60 14.
Apronianus Asiae procos. 76 8.
Apronianus Cassii Dionis p. 69 1.
L. Apronius a. 792 cos. 59 13.
Apsus fl. 41 47.
Sex. Apudius 53 20.
M. Apuleius a. 734 cos. 54 7 30.
Sex. Apuleius a. 725 cos. 51 20.
Sex. Apuleius Nepos a. 767 cos. 56 29.
L. Apuleius Saturninus fr 95 3, l. 37 26.
Apulia 42 25. Apuli fr 2 3.
Apustius fr 58 4.
aqua calida 60 6, 62 14, 66 10. Cutilia 66 17, Iulia 48 31, Marcia 49 42. marina 50 34. virgo 54 11.
aquila ex rogo 56 42, 74 5. legionum insigne 40 18.
Aquila Maecenatis lib. 55 7.
Iulia Aquilia Severa 79 9.
Aquilii Flori 51 2.
P. Aquilius Gallus 39 32.
M. Aquilius Iulianus a. 791 cos. 59 9.
Aquitania 39 46.
ara Augusti 54 32, Caesaris 44 50.
Arabia 49 32, 68 31, 79 3. deserta 68 21, Emesena 50 13, 54 9, felix 53 29, Ituraea 49 32, 59 12, Nabataea 49 32, Petraea 68 14, 75 1.
Arabes 36 19, 54 9, 75 1.
Arabicus sinus 51 7.
Arabio Africae regulus 48 22.
Aradus 47 30. Aradii 48 24 41, 49 22.
araneae signa militaria insident 41 14, 47 2.
Araris fl. 38 32, 44 42, 46 50.
Araxes fl. 36 52, 49 44.
Arbandes Augari f. 68 21.
Arbela 68 26, 78 1.
Arce Syriae opp. 78 30.
Archelaus Cappodociae rex 49 32, 51 2.
Archelaus Herodis f. 54 9.
Archelaus Mithridatis dux fr 105. Archelaus eius f. 39 57.
arcus triumphales 49 15, 51 19, 53 22, 56 17, 60 22, 68 1 29.
Ardeae fr 11 13.
Ardiaei Illyrii fr 49 2 3.
Arduba Dalmatiae opp. 56 12.
Aretas Arabiae rex 37 15.
Argentocoxus Caledonius 76 16.
Argessa Italia fr 4 1.
Argonautae 53 27.
Ariarathes Cappadox 49 32.
Ariminum 41 4, 53 22.
Ariobarzanes Cappadociae rex fr 99 2, 105 4, l. 41 63.
Ariobarzanes f. 42 46 48, 47 33.
Ariogaesus Quadorum rex 71 13—4.
Ariovistus 38 34.
Aristides 38 26 27.
Aristion Cretensis 36 2.
Aristobulus Iudaeorum rex 37 15, 39 56, 41 18, 48 26.
Aristogiton 47 20.
Aristoteles et Aristotelici 77 7.
Arius Alexandrinus 51 16.
Armenia 36 5 10 45 48, 41 63, 42 45, 49 31, 55 9, 58 26, 62 19, 68 18, 71 14, 75 9. maior

Digitized by Google

36 28 30 31, 49 25 41. minor 36 11, 49 33, 59 12.
Armenii 68 17, 77 12.
Arminius 56 19.
Arnuphis magus 71 8.
Arpi fr 2 3.
Arria Paeti uxor 60 16.
Flavius Arrianus 69 15.
L. Arruntius a. 732 cos. 54 1.
L. Arruntius a. 759 cos. 55 25, 58 27.
Arsaces Parthorum rex 36 3 5, 40 14, 80 3.
Arsaces Artabani f. 58 26.
Arsaces Phraatis p. 36 45.
Arsacidae 40 14.
Arsania fl. 62 21.
Arsinoe Cleopatrae soror 42 35 39, 43 19.
Artabanus 58 25, 59 27. II 78 1 26 39, 80 3.
Artabazes Armeniae rex I 40 16, II 54 9, III 55 11.
Artabazes Mediae rex 49 25, 51 16, 54 9.
Artaxa Armeniae rex 49 39 44, 51 16.
Artaxa Zeno 58 26.
Artaxata 36 51, 49 39.
Artaxerxes Persa 80 3.
Artemio Iudaeorum dux 68 32.
Artemisium Sic. 49 8.
Articuleius Paetus 54 14.
artifices a Nerone impetrat Tiridates 63 6, a Domitiano Decebalus 67 7, 68 9.
Artoces Iberorum rex 37 1 2.
Arverni 40 33.
Arulenus Rusticus 67 13 16.
Asander 42 46 47 48, 54 24.
Ascanius fr 4 5.
L. Asellius 49 43.
Asia 36 4, 53 12 14.
C. Asinius Gallus a. 746 cos. 55 5, 57 2, 58 3 23.
Asinius Gallus C. f. 60 27.
C. Asinius Pollio a. 714 cos. 45 10, 48 15 41.
Asinius Quadratus v. Quadratus.
Aspax 76 9.
asphaltus 68 27.
aspides 51 11.
Aspis opp. 37 7, 41 41, 48 52.
L. Asprenas 56 22.
assessores 53 14, 55 27, 57 14.
Assyria 68 26. Assyrii 62 6.
Astingi 71 12.
astrologi 49 43.
astrologia 56 25, 57 19, 64 4, 76 11, 78 2.
Astures 51 20, 53 29, 54 5.
asylum 47 19.
Atanius Secundus eques 59 8.
Ateius Capito philologus 57 17.
C. Ateius Capito 39 32.
ater color in luctu 67 9.
Athambilus an Stambelus regulus 68 28.
athei Christiani 52 36.
Athenae 42 14, 45 15, 63 14, 71 31.
Athenaeum Chalcidicum 51 22.
Athenienses fr 103, 1. 44 26, 47 20, 48 39, 50 15, 54 7, 66 25.
Athenio latronum dux fr 93 4.
Athenodorus philosophus 52 36, 56 43.
Athlula 53 29.
M. Atilius Regulus 43 20 26—32, 45 32, 53 8.
Atlas mons 75 3.
Atra Arabiae opp. 74 11, 75 10, 68 31, 80 3.
atratus Hadrianus per novem dies 69 10.
Atrebas 40 42.
Atreus tragoedia 58 24.
Attalus fr 57 57, 58 4, 69. eius familia 61 7, regnum 48 33.
Claudius Attalus v. Claudius A—.
Attegua Hispaniae opp. 43 33.
Attia Augusti mater 45 1, 47 17.
Attianus 69 1.
Num. Atticus 56 46.
Attis carmen Neronis 61 20.
P. Attius Varus 41 41 42, 43 30 31.
Atyria 68 26.
Atyrius collis fr 49 7.
Avaricum 40 34.
auctoritas senatus 41 3, 42 23, 55 3.
Aventinus mons 44 25, 50 8.
Aventinus rex fr 4 10.
Avernus ad Cumam 48 50, ad Babylonem 68 27, Hierapoli 68 27.
aves clamore enectae 36 13. extra sedes suas mali ominis 37 25.
Aufidius Fronto 78 22.
augures 42 21 51, 49 15.
augurium salutis 37 24, 51 20.
Augarus Caracallo aequalis 77 12, 79 16, Crasso 40 20, Traiano 68 18 20.
Augusta Emerita 53 26.

Digitized by Google

Augusta Paphos 54 23.
Augusta praetorianorum 53 25.
Augustales 56 46, 63 8 18.
Augustalia 54 10 34, 56 46.
Augustani 61 20, 63 8 18.
Augustus quid significet 53 16 18.
Augustus mensis 55 6.
Augustus (primum C. Octavius Caepias, deinde 46 47 C. Iulius Caesar Octavianus) 43 41 51, 44 35, 45—56 46.
Avidius Cassius v. Cassius.
Avitus Elagabali avus 78 30, 79 16.
Aurelia Severa 77 16.
Aurelianus 78 12 19.
Aurelii 72 22.
Aurelius mensis 72 15.
Aurelius Aelix 79 10.
Aurelius Apollinaris et Aurelius Nemesianus fratres 78 5.
Aurelius Celsus 78 39.
C. Aurelius Cotta a. 554 cos. fr 57 81.
L. Aurelius Cotta a. 689 cos. 36 44, 37 1.
M. Aurelius Cotta 36 40.
Aurelius Eubulus 79 21.
Aurelius Zoticus 79 16.
aures Mauris perforatae 78 11.
aureum saeculum 72 15.
aureus 55 12.
aurigae 77 10, 79 14.
aurum coronarium 42 49 50, 48 4 42, 49 42, 54 22, 77 9. in os infusum 40 27.
Aurunci fr 2.
L. Aurunculeius Cotta 40 5.
auscultatores 42 17, 52 37, 77 17.
Ausonia fr 2, 4 1. fera Ausonia 77 23.
auspicia 38 13, 40 45, 41 43.
P. Autronius Paetus a. 689 cos. 36 44, 37 25.
Axona fl. 39 1.
Babylon 68 26—7 30, 75 9.
Bacchae carmen Neronis 61 20.
Bacchanalia fr 39 5.
Bacchus a Bessis cultus 51 25. Antonius 48 39. Bacchi templum 76 16.
Baebius Marcellinus 76 8 9.
Baetica 43 30 31, 45 10, 53 12.
Baiae 48 51, 49 1. praedia Baiana 61 17. portus Baianus 49 1.
Baleares ins. fr 57 49, l. 43 29.
balnea 37 51, 49 43, 54 25. Agrippae 54 29, 66 24, Titi 66 25.
Bambalio 45 47, 46 7.
Banadaspus Iazyx 71 16.
barba 48 34, 61 19, 68 15, 79 14.
Barbillus astrologus 66 9.
Barea Soranus 62 26.
Bargioras Iudaeus 66 7.
Basilianus Aegypti praef. 78 35.
L. Basillus 43 47.
Bassaeus Rufus 71 5.
L. Bassus 36 2.
Bastarnae 38 10, 51 23—25.
Batanae 68 23.
Batavi equites 55 24, 69 9. Batavorum insula 54 32, 55 24.
Bathyllus histrio 54 17.
Bato Breucorum dux 55 29.
Bato Dysidiata 55 29.
Bato gladiator 77 6.
batrachis 59 14.
Battarius 71 11.
Bauli 59 17, 61 13.
Bebryces Narbonenses fr 56 2.
Belgae 39 1, 40 42. Belgium 39 50.
Bellonae fanum 50 4 5, 71 33.
Beneficentiae templum 71 34.
Beneventum 66 9.
Berenice Ptolemaei Auletae f. 39 13 57.
Berenice Tito amata 66 18.
Bericus Brittannus 60 19.
Bessi 47 25, 54 34, 51 25.
ad bestias damnati 59 10, 76 10.
Betillinus Cassius 59 25.
bibliotheca Alexandrina 42 38, Apollinis Palatini 53 1, Octaviae 49 43, 66 24, Traiani 68 16.
Bibulus v. M. Calpurnius B —.
Bicilis Decebali amicus 68 14.
bisontes 76 1.
Bithynia 36 40 42, 53 12, 54 7, 69 14, 80 5.
Bithynium 69 11.
bitumen 68 27.
Bituriges 40 33.
Bocchus fr 89 6.
Bocchus 41 42, 43 36, 48 45, 49 43, 53 26.
Boduni 60 20.
Bogud Mauritaniae rex 41 42, 43 36 38, 48 45, 50 11, 53 26.
boleti 60 34.
bona dea 37 35 45.
Bononia 46 36 54 55, 50 6.
Borysthenes equus 69 10.
Bosporus 36 50, 37 14, 74 10. Cimmerius 42 45, 54 24.

Digitized by Google

brachium inter orandum nudare fr 85.
Brennus fr 90.
Breuci 55 29 34.
Brigantium Callaeciae 37 53.
Britanni 39 51.
Britannia 39 50, 40 1, 49 38, 53 22, 62 1—12, 66 20, 71 14 16, 72 8, 76 11. *Βρεττανίς* 62 2, 76 16.
murus Britannicus 72 8, 76 12.
Britannicus Claudii f. 60 12 22 32 34, 61 1 7.
Brundusium fr 49, l. 41 11 12 13 39 44, 45 12 13, 48 27, 50 11, 51 19.
Bruttii 42 25.
bubali 48 23.
bubo 40 17 47, 42 26, 50 8, 54 29, 56 29 45.
Bucoli Aegyptii 71 4.
Bulla Felix 76 10.
Bunduica Britannorum regina 62 2.
Burri 68 8, 71 18, 72 2 3.
Burrus 61 3 4 7, 62 13.
Byzantium fr 104, l. 73 6 8 10—
Cabira 36 12.
Cacus ad fr 4.
cadaver 37 14, 38 5, 44 35, 48 43 53, 50 24, 51 11, 54 28 35, 55 2, 56 31, 59 3, 69 2, 76 15, 78 9.
Cadmea victoria 44 27.
Caecilius Aemilianus 77 20.
Caecilius Agricola 76 5.
Caecilius Aristo 78 39.
Caecilius Bassus 47 26.
L. Caecilius Metellus a. 686 cos. 36 6.
L. Caecilius Metellus trib. pl. 41 17.
Q. Caecilius Metellus a. 548 cos. fr 57 59.
Q. Caecilius Metellus Celer a. 694 cos. 36 54, 37 27 32 33 39 49, 38 7.
Q. Caecilius Metellus Creticus a. 685 cos. fr 111 5, 36 1 2 45.
Q. Caecilius Metellus Creticus Silanus a. 760 cos. 55 30.
Q. Caecilius Metellus Macedonicus a. 611 cos. fr 74.
Q. Caecilius Metellus Nepos a. 697 cos. 37 38 42 43 51, 39 1 6 54.
Q. Caecilius Metellus Numidicus fr 82 et 89, l. 38 7.
Q. Caecilius Metellus Pius fr 95, 102 10, 106 2, l. 37 37.
Q. Caecilius Metellus Pius Scipio a. 702 cos. 40 51 53 57, 41 51, 42 9 56—43 9.
Caecilius Rufinus 67 13.
C. Caecilius Rufus a. 770 cos. 57 17.
Cn. Caecilius Simplex a. 822 cos. suff. 65 17.
Caecina Alienus 65 10—14, 66 16.
Caecina Paetus 60 16, 67 13.
Caecina Severus 55 29.
Caecina Tuscus 63 18.
caelibatus 56 4.
Caelius Attianus 69 1.
Caelius Gracchus fr 23.
Caelius Pollio Armeniae praef. 58 25.
M. Caelius Rufus 41 2, 42 22—5.
caelum ardere visum 56 24 29, 60 33. de caelo servare 38 13, 39 35. in caelum ascendere 56 46, 59 11.
Caenis Vespasiani concubina 66 14.
Caerianus v. Pica.
Caerites fr. 33.
imp. C. Caesar v. Caligula.
C. et L. Caesares 54 8 18 26 27, 55 6 8 9 11 12. eorum nemus 66 25, sepulcrum 78 24, statuae 61 25.
Caesario 47 31, 49 41, 50 1 3, 51 6 15.
Caesennius Lento 43 40.
L. Caesennius Paetus 60 20—2.
L. Caesetius Flavus 44 9.
Caesonia v. Milonia.
Caianum 59 14.
Calabria fr 2 3.
Calaecia 37 53.
calcei Caesaris 43 43.
Caledonia 76 13. Caledonii 75 5, 76 12.
calendae Ianuariae 40 47, 45 16
calendarii ratio emendata 43 26. 17, 47 13, 48 4 33, 59 6, 60 10.
Calenus v. Q. Fufius C —.
calida lavari 62 6. calidae potus 57 14.
caligae 57 5. caligatus senatus 48 12.
imp. Caligula 57 5, 58 1—59 30, 60 4 22.
Callistus Caligulae lib. 59 19 29.
C. Calpurnius aedilis 53 33.

Digitized by Google

M. Calpurnius Bibulus a. 695 cos. 37 8, 38 4 6 8 9 12, 40 30 50 65, 41 44 48.
Calpurnius Crassus 68 3.
C. Calpurnius Piso a. 687 cos. 36 14 24 37 38.
C. Calpurnius Piso 59 8.
Cn. Calpurnius Piso a. 731 cos. 53 30.
Cn. Calpurnius Piso a. 747 cos. 55 8.
Cn. Calpurnius Piso 36 44.
L. Calpurnius Piso a. 739 cos. 54 21.
L. Calpurnius Piso Caesoninus a. 696 cos. 38 9 15, 40 53, 41 16.
L. Calpurnius Piso Frugi Licinianus 64 5 6.
calvi 58 19, 59 22, 76 8.
Calvia Crispinilla 63 12.
Flavius Calvisius 71 28.
C. Calvisius Sabinus a. 715 cos. 48 34 46 54.
Calvisius Sabinus Pannoniae praef. 59 18.
Calypso 48 50.
Cambyses fl. 37 3.
cameli 60 7.
camelopardalis 42 23, 72 10.
Camillus Scribonianus v. Scribonianus.
Cammunii 54 20.
Campani fr 2, 57 46. Campania fr 57 8. l. 38 1 7, 41 6, 42 22 24, 54 26.
campus Agrippae 55 8.
campus Martius 39 64, 48 53, 51 23, 53 1 23.
Camulodunum 60 21.
Canace 69 10.
cancelli palatii 76 4.
Candace Aethiopum regina 54 5.
candidati 40 56, 55 5.
P. Canidius Crassus 49 24.
L. Caninius Gallus a. 717 cos. 48 49.
C. Caninius Rebilus 43 46.
canis 40 17, 45 17, 61 6.
Cannae fr 2 3.
Canobi cymbalistae 50 27.
Cantabri 51 20, 53 25, 54 5 11.
Canutia Crescentina 77 16.
Ti. Canutius tr. pl. 45 6 12, 48 14.
capita palis suffixa fr 109 4, l. 64 6, 68 14, 73 10, 74 8, 75 7. pro rostris exposita 47 2 8, 60 16, 67 11. statuarum permutata 72 22.
Capito v. Ateius C —.
Gapito Cassii Betillini p. 59 25.
Capito Galbae lib. 64 2.
Capitolinus mons fr 11 8.
Capitolium fr 25 5 et 9, 50 4, 102 15, 106 3, l. 37 9, 41 39, 43 21 45, 50 5.
Cappadocia fr 99 2 36 13 17 50 53.
Caprea ins. 51 43, 58 5, 72 4.
Capua 38 7, 45 12, 76 2, 78 7. Capuani fr 36 15.
Capys fr 4 10.
Caracallus v. imp. Antoninus C —.
Caralis 48 30.
C. Carbo tr. pl. 36 23.
Cardyenus mons 68 26.
Carica mancipia 79 15.
C. Carina 51 21.
Carina Secundus rhetor 59 20.
carinae 48 38.
T. Carisius 53 25, 54 5.
caro elixa 60 6, humana 37 30.
carpentum 60 22 23.
Carrae 40 25, 78 5. Carrenses 37 5.
carri 38 33, 40 42, 51 24, 62 12.
Carteia 43 31 40.
Carthaginienses fr 43 54.
Carthago 43 50, 51 43.
Carthago nova 43 30, 45 10.
Carthalon fr 57 37.
C. Casca tr. pl. 44 52.
Casius mons 42 5, 68 25.
Casperius Aelianus 68 3 5.
Caspiae portae 63 8, Caspium mare 37 5.
Cassia gens 42 5.
Cassius Asclepiodotus 62 26.
Cassius Betillinus 59 25.
Cassius Chaerea 59 29.
Cassius Clemens 74 9.
Avidius Cassius 71 2 3 4 17 22—28 30—1.
C. Cassius Longinus 40 25, 42 12 13, 44 2 8 14 34, 46 30 40, 47 20—47.
L. Cassius Longinus Pompeii navarchus 42 6.
L. Cassius Longinus Caesaris leg. 41 51.
L. Cassius Longinus a. 783 cos. 58 3.
L. Cassius Longinus Asiae praef. 59 29.
Q. Cassius Longinus 41 1 15 24, 42 15, 43 1 29.
Sp. Cassius Viscellinus fr 19.


Digitized by Google

Castinus 78 13.
Castor et Pollux 37 8, 41 61. Castoris aedes 45 17. nomen Druso datum 57 15.
Castor Deiotari successor 48 33.
Castor Severi lib. 76 14, 77 1.
castrari quenquam vetat Domitianus 67 2, 68 2.
Casuellanus Britannus 40 2, 60 20.
cataphracti equites 40 15, 49 20 26.
Cataratacus Britanniae regulus 60 20.
catenae portibus claudendis 51 9. aureae 49 40.
Iustus Catonius 60 18.
Catuellani 60 20.
Catugnatus Allobrox 37 47.
Q. Catulus v. Lutatius.
Catus Decianus 62 2.
Caucasus 37 1 5.
furcae Caudinae fr 36 9 sqq.
cavea 61 12, 76 1.
cauponae 60 6, 62 14, 66 10.
L. Publilius Celsus 68 16, 69 2.
Celtae fr 34, 39 49, 40 31 39 —.
Celtiberi fr 57 44.
cena sepulcralis 67 9.
Cenchrea 63 17.
Cenni 77 14.
cenotaphia 55 2, 77 13.
censores fr 76 et 81, l. 38 13, 40 57 63, 53 17, 54 2 10.
census fr 17 13, l. 43 25, 53 1 22, 54 35, 55 13. senatorius 52 19, 53 2, 54 17 26, 60 11.
centumvirale iudicium 54 26.
centuriones in senatum allecti 42 51. eorum hereditates 59 15.
Cephallenia 49 17, 69 16.
Ceraunii montes 41 44, 50 9 12.
cerea imago 56 34, 74 4.
Cerealis v. Petilius C —.
Cerellia Ciceronis uxor 46 18.
Cereris templum 50 10.
Ceretani 48 42.
cerevisia 49 36.
certamen sacrum 51 1.
cerussa 79 14.
cetus 54 21, 75 16.
Chaerea v. Cassius Ch —.
Chalcedon 78 39. ἡ Χαλκηδονία γῆ 79 18.
Chalcidicum 51 22.
Channaeus Syrus 49 19.
Chariomerus Cheruscus 67 5.
Charybdis 45 28, 46 14.
Chatti 54 33 36, 55 1, 67 5.
Chauci 54 32, 60 8 30. ἡ Χαυκίς 54 32.
Chersonesus Africae 42 43, Thraciae 54 29 34.
Cherusci 67 5, 54 33, 56 18. ἡ Χερουσκίς 54 33, 55 1.
Chius 55 11.
chlamys 59 17, 62 2, 72 17, 77 4, 78 3.
Chone fr 2 2.
Chrestus praef. praet. 80 2.
Christiana legio 71 9.
Christiani 70 3, 71 9, 72 4.
Christus 71 9.
Chrysippus 62 29.
Cicero v. M. Tullius C —.
Cilices 36 4.
Cilicia 36 17, 39 12, 53 12, 54 9. portae Ciliciae 74 7.
C. Cilnius Maecenas 49 16, 51 3 5, 52 1 14—40, 54 3 6 19 30, 55 7.
Cilo 77 4 5, 78 11.
Cimbri fr 90, 91 2, 94, l. 44 42.
cinctura fluxa 43 43.
Cineas fr 40 5 41.
cippi sepulcrales 67 9.
Cira spelunca 51 26.
Circenses v. ludi.
circus 59 28, 63 20, 73 13. Antiochiae 68 25. Flaminius 55 2 10. Maximus 49 43, 50 10, 63 8, 68 7.
circumcisus Elagabalus 79 11.
Cirrhaea 63 14.
Cirta fr 89 5. 48 21. Cirtenses 48 22.
citharoedi 61 17 20 21, 63 6 8 21.
citharoedicus triumphus 63 1.
civis Romanus 37 42, 38 14, 54 7, 57 24.
civitas data fr 28, fr 102 10, 37 9, 41 36 39, 49 16, 52 19, 56 33, 71 19, 77 9. vendita 44 53, 45 23 25, 60 17.
Cius Bithyniae opp. 74 6.
clamor bellicus 36 32, 38 45, 41 58, 47 43, 50 32, 62 12.
classicum canere 36 32, 47 43, 49 9, 50 31.
classici milites 55 24, 73 16, 79 3.
classis ad Cyzicum 79 7, ad Misenum 73 16.
Claudianae legiones v. legiones.
Claudiopolis 69 11.
imp. Claudius 55 27, 59 6, 60 2—35.



Digitized by Google

Claudius Attalus 79 3.
App. Claudius Caecus fr 36 27.
App. Claudius Caudex a. 490 cos. fr 43 11—2.
M. Claudius Centho a. 514 cos. fr 44.
M. Claudius Glicia fr 45.
Claudius Herodes 71 35.
App. Claudius Lateranus Severi legatus 75 2.
Claudius latro 75 2.
Claudius Livianus 68 9.
Claudius Marcellus 54 20.
C. Claudius Marcellus a. 704 cos. 40 43, 59 3.
C. Claudius Marcellus a. 705 cos. 40 66.
M. Claudius Marcellus a. 544 cos. fr 57 32—4 46, l. 61 17.
M. Claudius Marcellus a. 703 cos. 40 30 58 59.
M. Claudius Marcellus Aeserninus 42 15—6, 43 1 29.
M. Claudius Marcellus Aeserninus a. 732 cos. 54 1.
C. Claudius Nero a. 547 cos. fr 57 70.
Ti. Claudius Nero 42 40, 48 15.
Ti. Claudius Nero Liviae maritus 48 44.
Ti. Claudius Nero Drusus Germanicus v. Drusus.
Claudius Pacatus 67 13.
Claudius Pollio 78 40.
Claudius Pompeianus 71 3, 72 4 20, 73 3.
App. Claudius Pulcher a. 611 cos. fr 74 et 81.
App. Claudius Pulcher a. 700 cos. 39 6 21 60.
App. Claudius Pulcher a. 716 cos. 48 43.
Claudius Severus 79 5.
Cleander praef. praet. 72 9 10 12—3, 75 4.
Clemens Daciae praef. 71 12.
Clemens Agrippam simulat 57 8.
clementiae Iuliae templum 44 6.
Cleopatra 42 3 34, 43 20 27, 47 30 31, 48 24, 49 31 32 40 41, 50 4 15 33, 51 5 15 21 22.
Cleopatra Antonii f. 49 32 41, 51 15 21.
cloacae 49 43.
Clodia Laeta 77 16.
C. Clodius 47 24.
P. Clodius 36 16 19, 37 45—6 51, 38 12—, 39 6—, 40 48.
Sex. Clodius 45 30.
D. Clodius Septimius Albinus 72 8, 73 14 15, 75 5—7.
Cloelia 45 31.
Cloelius Gracchus fr 23 1.
Clunia Hispaniae opp. 39 54.
Clupea Africae opp. 41 41, 48 52.
Clusii fr 25 1.
C. Cluvius 52 42.
[L. Cluvius 49 44.] l. Flavius
Cluvius Rufus consularis 63 14.
clypei 42 14, 49 30, 50 5, 67 10, 77 13, 78 37.
Cnosius ager 49 14.
M. Cocceius Nerva a 718 cos. 49 1.
imp. M. Cocceius Nerva v. Nerva.
Coelesyria 53 12.
Coeranus 76 5.
Colchi 37 3.
Colchis 36 50, 37 3, 42 45.
Collatia fr 11 15.
Collatinus Lucretiae maritus fr 11 13.
collegia 38 13, 60 6. collegium Iulium 45 30.
collis Quirinalis fr 6 2.
coloniae 43 39 50, 44 37, 50 6, 51 4, 53 25 26, 54 7 23.
Colops fl. 49 37.
colossus 72 22.
columna Traiani 68 16. columnae Herculis 53 8.
coma adsciticia 59 26, 61 9. Britannorum 62 2.
comata Gallia 46 55, Liguria 54 24. comati Parthi 66 17, Daci 68 9.
Comana Cappadociae duo 36 12 13.
Comarus portus 50 12.
cometa 45 7, 51 17, 54 29, 56 24 29, 60 35, 65 8, 66 17, 75 16, 78 30.
comitia 37 27, 38 13 4 17, 39 35, 40 45, 42 20, 43 45 47, 46 33 45, 52 20 29, 53 21 23, 55 34, 56 40, 58 20, 59 9 20.
comitialis morbus 46 33.
comitium 47 19.
Commagene 36 4 5, 54 9.
commentarii publici 44 11, 47 6, 53 19, 57 12 16 21 23, 60 30, 67 11. Caesaris 44 53, 45 23, 55 2. principales 67 15, 72 24. senatus 78 22.
Commius Atrebas 40 42.
L. Commodus 70 1, 71 1.

Digitized by Google

L. Commodus, qui et L. Verus, 70 2, 71 1 2 14.
imp. Commodus 71 21 22 23, 72 1—24, 73 4 5 6, 77 15.
Commodus mensis 72 15.
concordiae sacrificium 77 1, statua 54 35, templum 50 8, 55 8 9.
congiarium 43 21, 51 21, 53 28, 54 29, 59 2, 60 25, 71 32, 72 16, 73 5, 76 1, 78 34.
consecratio Augusti 56 42, Pertinacis 74 4.
consiliarii Augusti 53 21, 56 28 41. Tiberii 57 7, 60 4. Mamaeae 80 1.
consules fr 13 1. nullo ante magistratu gesto 48 33, 51 4, 56 26 28, 62 23, 76 5. per interregem creati 39 27 31, 40 45. annui esse desinunt 42 56, 43 46, 53 32.
copae 79 13.
Corcyra fr 49 6, l. 42 10 11, 48 54, 49 17, 50 9 11 12. Corcyraei 41 49, 66 25.
cordax 50 27.
Corduba 43 32 39, 45 10. Cordubenses 42 15.
Corduene 37 5.
Corfinium 41 10.
Corinthus fr 72 1, l. 43 50, 50 13. Corinthii fr 42, l. 66 25.
Cornelia Calvisii Sabini uxor 59 18.
Cornelia Orestilla 59 8.
Cornelia Paula 79 9.
Cornelia Paulina 61 10, 62 25.
Cornelia Pompeii uxor 42 2.
Cornelii forum 46 35.
C. Cornelius tr. pl. 36 38 39 40.
C. Cornelius (Patavinus) 41 61.
L. Cornelius duumvir navalis fr 39 5.
Cornelius Balbus 54 25.
L. Cornelius Balbus a. 714 cos. suffectus 48 32.
C. Cornelius Cethegus a. 557 cos. fr 59.
Cornelius Cinna inter percussores Caesaris 44 50.
L. Cornelius Cinna a. 667 cos. fr 102 4 11, 109 3, l. 36 25, 45 47, 46 49.
Cn. Cornelius Cinna Magnus a. 758 cos. 55 14.
Cornelius Cossus Gaetulicus 55 28.
P. Cornelius Dolabella a. 471 cos. fr 39 2.
P. Cornelius Dolabella 41 40, 42 29, 43 51, 44 22 53, 45 15, 46 40, 47 21 26 28 30.
Cornelius Fronto 68 1, 71 35.
Cornelius Fuscus 68 9.
Cornelius Gallus 51 9 17, 53 23.
Cn. Cornelius Lentulus a. 553 cos. fr 55 5 et 59.
Cn. Cornelius Lentulus a. 736 cos. 54 12.
P. Cornelius Lentulus princeps senatus 46 20.
Cn. Cornelius Lentulus Augur a. 740 cos. 54 24.
L. Cornelius Lentulus Crus a. 705 cos. 40 66, 41 3.
Cn. Cornelius Lentulus Marcellinus a. 698 cos. 39 27—30.
P. Cornelius Lentulus Marcellinus a. 736 cos. 54 12.
P. Cornelius Lentulus Spinther a. 697 cos. 39 1 6 12 16 17.
P. Cornelius Lentulus Sura a. 683 cos. 37 30 32 34 35, 46 20.
L. Cornelius Merula 54 36.
A. Cornelius Palma 68 14, 69 2.
P. Cornelius Rufinus a. 477 cos. fr 40 1.
Cornelius Sabinus 59 29.
P. Cornelius Scipio a. 738 cos. 54 19.
Q. Cornelius Scipio a. 702 cos. 40 51 53 57, 41 51, 42 9 13 56 57, 43 3 8 29.
P. Cornelius Scipio Africanus maior fr 57 29, 39 45, 47 8, 53 6, 62, 63, 72 5, 82.
P. Cornelius Scipio Africanus minor fr 70, 80, 84.
L. Cornelius Scipio Asiaticus fr 63 et 65.
Cn. Cornelius Scipio Asina fr 43 21.
P. Cornelius Scipio Nasica fr 57 61.
Cornelius Scipio Salutio 42 58.
Cn. Cornelius Sisenna 36 1.
L. Cornelius Sulla dictator fr 102 4, 103, 105, 108—9, l. 36 31 34, 37 10, 40 45, 42 18, 43 43 49 50, 44 5, 47 3—5. eius monumentum 77 13.
L. Cornelius Sulla a. 786 cos. 58 20.
P. Cornelius Sulla dictatoris ἀδελφιδοῦς 36 44, 37 25.
L. Cornelius Sulla Faustus dictatoris f. 40 50, 42 13, 43 12.
L. Cornificius a. 719 cos. 48 21, 49 6 7 18 33.

30*

Digitized by Google

Q. Cornificius 48 17.
corocotta animal Indicum 76 1.
Corocotta latro 56 43.
coronae 44 4 6 11, 45 6, 46 40, 49 14, 50 10, 51 5 19, 53 16 26 30, 56 42, 61 21, 63 9 20, 79 16.
Corsica 55 32.
corvi 45 17, 54 19, 58 5.
Cos ins. 51 8.
Costuboci 71 12.
Cotini 71 12.
L. Cotta a. 689 cos. 36 27, 37 1, 40 5 6.
M. Cotta 36 23.
Cottiae Alpes 60 24.
Cotys Armeniae rex 59 12.
Cotys Thraciae rex 54 20.
Cremona 64 10, 65 1.
Cremutius Cordus 57 24.
Crenides 47 35.
crepidae 77 7.
Creta 49 32, 53 12. Cretenses fr 111, l. 36 1—2, 45 32.
Crispina Commodi uxor 71 33, 72 4.
C. Crispus a. 797 cos. 60 23.
M. Crispus 47 27.
crocodili 55 10.
cruci affixus rex 49 22.
Ctesiphon Parthorum regia 40 14 40, 68 28 30, 71 2, 75 9.
Culene 77 24.
culeus 61 16.
Cumae 48 50.
cuniculi 66 4, 69 12.
curatores annonae 54 1. viarum 54 8 26, 59 15, 60 17. vicorum 55 8.
curia Hostilia 40 50, 44 5, 45 17. Iulia 47 19, 51 22. Octaviae 55 8, Pompeii 44 16. in curia imagines 71 34. ante curiam Ianus 73 13.
curiae fr 5 8.
Curiatius Maternus 67 12.
C. Curio 38 16, 40 59 62 64 66, 41 1 41, 42 56, 43 30.
Curio C. f. 51 2.
M' Curius Dentatus fr 37 1.
currus 42 47, 43 21, 47 33, 49 18, 59 7 13, 61 16, 63 20, 74 4.
cursores tabellarii 78 35.
M. Curtius fr 30, 45 32, 53 8.
Mettius Curtius 56 5.
custodia liberior 37 32, 58 3 18.
Cutilia aqua 66 17.
Cydonia Cretae urbs 36 2. Cydoniatae 51 2.
cymbalistae 50 27.
Cynici 66 13 15.
Cynobellinus 60 20 21.
Cyprii servi 39 23.
Cyprus 39 12 22, 48 40, 49 32, 53 12, 54 4, 68 32.
Cyrenaica 53 12.
Cyrene 42 13, 49 32, 68 32.
Cyrnus fl. 36 53 54, 37 1 3.
Cyrrhestica Syria 49 20.
Cyrrhus Syriae urbs 71 22.
Cythera 54 7.
Cyzicus 51 7, 70 4, 73 6, 79 7. Cyziceni 54 7 23.
Daci 51 22 23, 67 6, 68 6, 72 3. Dacia 71 11 12 19, 72 3 8.
Dacringi 71 12.
Dada s. Dadasa cast. 36 14.
Dalmatae 49 38, 51 21, 54 34. Dalmatia 49 36, 53 12, 54 20.
Dalmaticae manubiae 49 43.
Damasippus fr 109 4.
damnati 54 3, 57 20, 58 11 27 40, 59 10 29, 63 13, 65 21, 73 16, 76 10.
Damostratia Commodi concubina 72 12.
Danubius s. Ister 37 11, 49 36 37, 50 24, 51 22 23 24 26 27, 54 20 36, 68 13.
Daphne Antiochiae suburbium 51 7.
Dapyx Getarum regulus 51 26.
Dardani 38 10, 51 23 27.
Dardanus Troadis fr 105.
Darius et Xerxes 59 17.
Darius Arsacida 59 17.
Datus 78 15.
Daunii fr 2 3.
Decebalus Dacorum rex 67 6 7, 68 6—14.
December decimus mensis 54 21.
decemviri litibus iudicandis 54 26. sacrorum fr 74 1.
Decianus Catus 62 2.
Decidius Saxa 47 35—6, 48 24—5.
decimati milites 49 27 38.
Decius Iubellius fr 40 7.
P. Decius Mus a. 414 cos. fr 35 5—8, l. 53 8.
P. Decius Mus a. 475 cos. fr 40 43.
Decius Triccianus 78 13, 79 4.
decocta Neronis 63 28.
decuriones 49 14.
decursiones circa rogum 56 42, 74 5, 77 16.
dediti hostibus fr 42, 45, 61, 79, l. 45 32. provincialibus 76 9.

Digitized by Google

defectus lunae et solis v. eclipsis.
Deiotarus 41 63, 42 45, 46 2, 47 24 48, 48 33, 49 32.
delatores 40 52, 46 49, 57 19, 58 14 16 21, 66 19, 74 9, 78 18 21.
Deldo Bastarnarum rex 51 24.
Q. Dellius 49 39, 50 13.
Delphi fr 66 3, 90.
Delphicum oraculum 63 14. thesauri Delphici fr 90.
delphini 48 52, 49 43.
Demetrias opp. fr 57 57.
Demetrius Caesaris lib. 48 40.
Demetrius cynicus 66 13.
Demetrius Pharius fr 49 et 53.
Demetrius Pompeii lib. 39 38.
Democedes medicus 38 18.
Demochares Sex. Pompeii legatus 49 2 7 8 10.
democratia cum monarchia collata 44 1, 52 4.
Demosthenes fr 40 5.
denarius 57 4.
Dentheletae Thraces 51 23 25, 54 20.
detrimenti ne quid res publica capiat 37 31 43, 38 14, 41 3, 42 23, 46 31
devoti pro imperatoribus 53 20, 59 8, 69 11.
dei imperatores 44 9, 59 4 26, 67 13, 72 16, 77 5.
diadema 44 9 11, 62 23, 63 4 5, 67 7, 68 17 19, 78 27.
Diadumenianus Macrini f. 78 4 19 20 38 40.
Diaeus fr 72 1.
Diana Ephesia 39 16, 48 24. Taurica 36 13.
dictator fr 17 13.
dictatura fr 16, 36 34.
C. Didius 43 14 29 31 40.
Q. Didius 51 7.
imp. M. Didius Salvius Iulianus 46 46, 73 11—17.
Diegis Decebali legatus 67 7.
dies atri fr 21 3, 47 19, 51 19. dies aureus 63 5. dies fatales 42 5. natales v. natalicia. dierum nomina 37 18—9.
digitis numerare 36 13, 71 32, 73 11.
Dio Alexandrinorum legatus 39 14.
Dio Cassius fr 1, l. 43 46, 46 35, 49 36, 51 1, 53 19 20, 55 12, 60 2, 68 27, 69 1, 71 33, 72 4 7 16 18 20 23, 73 1 3 12 14 17, 74 4 5 11 14, 75 4 7 13 15 16, 76 1 2 8 16 17, 77 9 11 17, 78 8 10, 79 7, 80 1 4.
Diodorus citharoedus 63 8 20.
Diodorus Siculus fr 102 1.
Diogenes cynicus 66 15.
Diomedis campus fr 2 3.
Dionysia 69 16.
Dionysius Milesius 69 3.
Dionysius Papirius v. Papirius.
Dioscorides Alex. 42 41.
Dioscuri 59 28, 60 6, 69 28. eorum aedes 38 6.
diptychae tabulae 67 15.
diribitorium 55 8, 59 7, 66 24.
discedere in sententias 41 2.
Dodona fr 40 6, 101 2.
domina 48 44, 50 5, 63 13, 79 14 16.
dominus 54 4, 55 12, 56 27, 57 8 11, 67 13, 69 16, 79 16.
Domitia Domitiani uxor 66 3 26, 67 3 15.
Domitia Neronis amita 61 17.
Domitia Paulina Hadriani soror 69 11.
imp. Domitianus 53 18, 66 1 2 26, 67 1—18, 69 6, 72 14.
Cn. Domitius Aenobarbus a. 650 tr. pl. fr 92, l. 37 37.
Cn. Domitius Aenobarbus a. 722 cos. 48 7 16 54, 49 41, 50 2 13.
Cn. Domitius Aenobarbus a. 785 cos. 58 17 20 27, 61 2.
L. Domitius Aenobarbus a. 700 cos. 39 31 60 64, 41 10 25.
L. Domitius Aenobarbus a. 788 cos. 54 19.
Domitius Afer 59 19 20, 60 33.
Cn. Domitius Calvinus a. 701 et 714 cos. 40 17 45 46, 41 51, 42 46 49, 48 15 29 42.
Cn. Domitius Corbulo 59 15, 60 30, 62 19—23, 63 6 17, 66 3.
Domitius Florus 78 22.
domus Neronis 65 4, Tiberiana 71 35.
donativum 43 21, 46 46, 47 42, 49 14 31, 51 17, 56 32, 57 5 6, 59 2, 60 12, 61 3, 64 3 5 9, 65 22, 73 1 8 11, 76 1, 78 19 34, 79 1.
Doryphorus Neroni a libellis 61 5.
dos 79 12.
draco 50 8.
Dravus fl. 55 29.
Drusilla Caligulae soror 59 10 24.
Drusilla Caligulae f. 59 28 29.

Digitized by Google

Drusus Claudii f. 60 32.
Drusus Germanici f. 58 3 13 22 25, 59 3.
Drusus Liviae f. 54 10 19 22 25 32—3, 55 1 2, 60 5.
Drusus Tiberii f. 56 17 25 34, 57 4 6 13 14 20 22, 58 11.
M. Drusus Libo a. 739 cos. 54 21.
Dulcis portus 50 12.
Duras Dacorum rex 67 6.
Durius fl. 37 52.
Dynamis Asandri uxor 54 24.
Dyrrhachium 41 14 47 49 50, 47 37, 51 4.
Dyrrhachus heros 41 49.
Earinus eunuchus 67 2.
Eburones, Eburonia 40 5.
Ebusus ins. 43 29.
Eclectus Commodi cubicularius 72 4 19 22.
eclipsis solis 41 14, 55 22, 56 29, 60 26, 61 16, 78 30. lunae 65 8 11.
Edessa 68 21 30, 78 5.
P. Egnatius Celer philosophus 62 26.
M. Egnatius Rufus 53 24.
Elagabalus deus 78 31, 79 11.
Elagabalus imp. 78 30—.
Elegia Armeniae opp. 68 18—9, 71 2.
Elei 79 10.
elephanti fr 40 24, 39 38, 45 13, 49 7.
Elephantina urbs 54 5.
Eleuthera Cretae opp. 36 1 2.
Elison fl. 54 33.
emblemata 57 15.
emeriti 48 10 11 30, 51 3, 53 25.
Emesa 79 17. Emeseni 50 13, 51 2, 72 14.
Ennia Thrasylla Macronis uxor 58 28, 59 10.
Entellus Domitiano a libellis 67 15.
Epagathus Caracalli lib. 77 21, 78 39, 80 2.
Epaphroditus Neronis lib. 63 27 29, 67 14.
Epaphroditus Octaviani lib. 51 11 13.
Ephesus 39 17, 48 24, 51 20, 67 17.
Epicharis 62 27.
Epidamnus fr 49 6, l. 41 49.
C. Epidius Marullus 44 9.
Epirotae fr 40 26.
Epirus fr 40 3 4, 102 2, l. 53 12.
epistolae ad imperatores 57 11. imperatorum ad senatum 69 14.
Eprius Marcellus 66 16.
epulum 39 30 35, 40 49, 43 21, 48 31 32 34, 49 18, 51 22, 54 14 26, 55 2 8, 57 12, 59 11 13, 61 20, 67 4 8.
equites fr 97, l. 36 25, 38 7, 42 34, 43 23, 48 33, 52 19, 53 31, 54 2 30, 55 2 13 22 31, 56 27 42, 57 14, 59 9 10, 60 6, 61 9, 63 13, 65 6.
equus 36 35, 37 54, 43 14, 49 30, 52 13, 59 14 28, 61 6, 63 2, 69 10, 73 4, 75 14, 76 7.
Eretria 54 7.
Eribolus Nicomediae navale 78 39.
Eridanus fl. 37 9, 41 36.
Erucius Clarus Traiani legatus 68 30.
Erucius Clarus a. 946 cos. 72 22, 73 9.
Erythraeum mare 68 28.
Eryx Elymaeorum rex fr 4 2.
essedae 40 2, 60 20, 62 12.
Etruria 37 31.
Etrusci fr 2 3, 39 1, 49 15. vates fr 11 8, 36 28, 102.
Euander Arcas fr 3.
Euander Cretensis fr 66 3.
Euhodus Caracalli magister 76 3 6, 77 1.
Eumenes fr 66 1 et 3.
eunuchi 67 2.
evocati 45 12 38, 55 24.
Euphrates fl. 36 4, 37 5, 40 12 17, 68 28.
Euphrates philosophus 69 8.
Euprepes auriga 77 1.
Euripides 58 24, 60 29, 78 8.
Eusebius Pamphili 70 3.
Eutychianus Comazon 78 30 31 32 33 39, 79 4 21.
exactores publicorum debitorum 60 10.
excutere suspectos 46 45, 58 18, 60 3, 66 10.
Exedares Armenia eiectus 68 17.
exploratores 46 36, 50 9, 78 14.
exsules 46 48, 56 27, 57 22, 59 9. revocati fr 102 11, l. 38 27, 41 36, 43 27, 44 53, 45 17 25 47, 46 15, 48 36, 60 4, 77 3.
Exsuperatorius Commodus 72 15. mensis ib.
Fabii 306 ab Etruscis caesi fr 21.

Digitized by Google

Fabiorum sacrum gentile fr 25 5.
C. Fabius Caesaris legatus 41 20.
K. Fabius fr 25 5.
M. Fabius Armeniae praef. 36 10.
M. Fabius Carthaginem legatus fr 55 10.
Q. Fabius senator fr 42.
Fabius Agrippinus 79 3.
Q. Fabius Gurges a. 462 cos. fr 36 30.
Q. Fabius Maximus a. 709 cos. suff. 43 31 42, 46 2.
Q. Fabius Maximus Africanus a. 744 cos. 54 36.
Q. Fabius Maximus Rullianus a. 444 cos. fr 36.
Q. Fabius Maximus Verrucosus a. 521 cos. fr 47, 57 9 16—22 36.
Paulus Fabius Maximus a. 743 cos. 54 32.
Fabius Persicus 58 24.
Fabius Valens 64 extr.
Fabricius pons 37 45.
A. Fabricius praetor 61 6.
C. Fabricius Luscinus a. 472 cos. fr 36 32, 39 1, 40 1 29 30 33—8 44, l. 77 20.
faces in caelo transcurrentes 37 25, 39 20, 40 47, 41 14, 43 35, 45 17, 47 40, 50 8, 54 19 29, 56 24 29.
factiones quattuor in Circo 59 14, 61 6, 65 5, 67 4, 77 1.
Faesulae 37 30 33 39.
falces 39 43, 49 3.
P. Falcidius tr. pl. 48 33.
Falisci fr 24 1—2.
fama restituta 73 5.
fames 39 9, 48 7, 55 22 26 31, 59 17, 60 11, 72 13, 74 12.
Fango v. C. Fuficius F —.
L. Fannius 36 10.
Fannius Caepio 54 3.
fasces 36 22, 38 6 30, 41 52, 44 4, 45 28, 53 1, 54 1 25, 59 20, 67 4.
Faunus fr 4 3.
M. Favonius 38 7, 39 14 34, 40 45, 47 49.
Favorinus philosophus 69 3.
Faustina Marci uxor 74 3 71 22 29 30—1.
Faustulus fr 4 13.
Februarius fr 27.
felis 58 5.
Felix mensis 72 15.
Fenius Rufus 62 24.
fenus temperatum 41 37, 51 21, 58 21.
ferae v. Africanae.
fercula in triumpho 41 7.
feriae 38 6, 60 17. Latinae 39 30, 44 4, 46 33, 47 40, 49 16 42, 53 33, 54 6 17, 60 5.
Festus Caracalli cubicularius 78 33.
fetialis 50 4.
fides 47 7 10. fidei et Saturni templum 45 17.
filii a parentibus necati 37 36.
fiscus principum 53 16 22, 61 5, 79 11. fisci advocatus 78 13.
Flaccus 78 22.
L. Flaccus Pompeii legatus 36 54.
flamen Dialis 54 24 36, 59 13. Martialis 43 24.
via Flaminia 78 11.
Flavia Domitilla 67 14.
Flavia Titiana 73 7.
Flavianus sub Alexandro Severo praef. praet. 80 2.
L. Flavius tr. pl. 37 50.
Flavius Arrianus v. Arrianus.
Flavius Calvisius 71 28.
Flavius Clemens a. 848 cos. 67 14.
C. Flavius Fimbria fr 104.
Flavius Heracleo 80 4.
Flavius Maternianus 78 4 7 15.
Flavius Sabinus 60 20, 65 17.
L. Flavius Silva Nonius Bassus a. 834 cos. 66 26.
Flavius Subrius 62 24.
Flavius Sulpicianus 73 7 11, 75 8.
Flavius Titianus 77 21.
Flora 78 22.
Floralia 58 19.
floribus coronari 43 22, 63 4.
flumina derivare fr 77.
Fonteius Capito 64 2.
C. Fonteius Capito a. 765 cos. 56 26.
fores sponte apertae 42 26, 44 17, 60 34, 63 26, 65 8, 66 17.
formicae 54 19.
fortunae sacra 41 39, simulacrum 58 7, templa fr 76 2, 43 21, 44 5, 50 10. reducis ara 54 10. fortuna publica 42 26 et respiciens 42 26.
forum Augusti 68 10, 75 4. boarium 78 25, Caesaris 43 22, Romanum 51 19, Traiani 68 16 29, 69 4.
Forum Cornelii 46 35.


Digitized by Google

fossa 42 41, 60 30.
fretum Siculum 49 1.
frigida lavacra 53 30.
Frisii 54 32.
frumentum 38 13, 39 9 24, 41 16, 43 21, 51 17, 55 26 31, 60 31, 62 18, 65 9, 78 22.
Fucinus lacus 60 33.
C. Fuficius Fango 48 22.
Q. Fufius Calenus 38 8, 42 13 14 55, 46 1—28 32, 48 10 20.
Fufius Geminus 49 38.
fugitivi 48 19 36.
Fulcinius Trio 58 25.
fullonia ars 46 4.
fulmina 37 9 25, 39 15, 41 14 61, 42 26, 45 17 27, 47 40, 49 15, 50 15, 54 1 29, 55 1, 56 29, 57 14, 59 28, 60 35, 61 16, 76 11, 78 25.
Fulvia Plautilla v. Plautilla.
Fulvia Clodii, dein M. Antonii uxor 46 56, 47 8, 48 4 5 10 15 28, 51 6.
Fulvius praef. urbi 79 21.
A. Fulvius Catilinae socius 37 36.
Fulvius Diogenianus 78 36.
Q. Fulvius Flaccus fr 57 46.
Q. Fulvius Nobilior fr 81.
L. Fulvius Plautianus v. Plautianus.
Fulvius Setinus senator 43 23.
funditores 41 59 60, 47 43, 49 20, 50 16 23.
funebres ludi v. ludi.
funes ex capillis mulierum 74 12.
funus publicum 46 38 51, 47 17, 48 33, 53 30, 54 12 28 35, 55 2, 56 34 42, 57 21, 58 2 19 28, 59 3 11, 60 35, 68 15, 74 4.
Furiae 63 14.
L. Furius praetor a. 554 fr 57 81, 58 6.
P. Furius tr. pl. fr 95 3.
M. Furius Camillus fr 24, 25, 27, 28.
M. Furius Camillus a. 761 cos. 55 33.
Furius Camillus Scribonianus a. 785 cos. 58 17.
P. Furius Philus a. 618 cos. fr 82.
C. Furnius 48 13, 49 17 18, 52 42, 54 5 18.
Furtius Quadorum rex 71 13.
Fuscianus 79 4.
Fuscus Severiani nepos 69 2, 68 9.
A. Gabinius a. 696 cos. 36 23—36, 37 5, 38 9 15, 39 55, 42 2 3 5 11, 45 26, 46 8.
P. Gabinius 60 8.
Gabii 48 12.
M. Gabius Apicius 57 19.
Gades 37 52 53, 43 39. Gaditani 41 24.
Gaetulia 43 3 4, 53 26. Gaetuli 43 4, 55 28.
Gaiobomarus Quadorum rex 77 20.
Galaesus Camilli lib. 60 16.
Galatia 36 46, 42 48, 48 33, 49 32, 51 7, 53 26.
Galba Gallorum dux 39 1.
Serv. Sulpicius Galba Caesaris legatus 37 48, 39 5 65.
imp. Serv. Sulpicius Galba 51 3, 53 14, 56 30, 57 19, 58 20, 60 8, 63 23—64 6.
galea aurigarum 63 6, 79 15. gladiatorum 72 19 21, 75 8. phalangitarum 77 7.
Galeria Fundana Vitellii uxor 65 4.
Galli fr 25, 39 1, 50 2, 57 6, 77 6. Gallus et Galla in foro defossi fr 47.
Gallia 39 39 50, 40 43, 53 22. Aquitanica 53 12. Celtica 39 46 49, 40 41, 53 12. Cisalpina 37 9, 38 8, 41 36, 45 9, 46 45. comata 46 55. Lugdunensis 53 12, 54 36. Narbonensis 36 37, 43 51, 46 55, 52 42, 53 12. togata 46 55, 48 12. Transalpina 38 8, 48 10.
gallinae albae 48 52, 63 29.
Gallograecia v. Galatia.
C. Gallus a. 788 cos. 58 25.
Ganna fatidica 67 5.
Gannys Elagabalum educavit 78 38 39, 79 6.
Ganymedes eunuchus 42 39 40.
Gauda Masinissae nepos fr 89 4.
Gaugamela 68 26.
Gaziura 36 14.
Gellius Maximus 79 7.
Gellius Publicola 47 24.
L. Gellius Publicola a. 718 cos. 49 1.
gemellae legiones 55 23.
L. (an Livius) Geminius 59 11.
C. Geminius Rufus 58 4.
Gemoniae scalae 58 1 5 11, 60 16, 65 21.
genibus ad templum adrepere 43 21, 60 23.
genius P. R. 47 2, 50 8.
Gentius Illyriorum rex fr 66.
Genucla cast. 51 26.

Digitized by Google

Genusus fl. 41 52.
Gergovia Arvernorum urbs 40 35.
Germani 38 35 45, 40 31 39 40, 51 20, 53 12 26, 54 11 20 32, 55 1 6, 56 18 23, 57 18, 65 17, 66 3, 67 4, 71 3.
Germania 72 11. superior et inferior 53 12.
Germanicus Drusus 55 2, Tiberius 57 8.
Germanicus Drusi f. 55 12 27 31 32, 56 11 15 17 25, 57 3 5 6 14 18, 58 3 8, 59 3.
Geryonis boves fr 4 2 et 3.
Gessius Marcianus 78 30 34.
Getae 67 6 51 22 24 26 27.
Gigantes 66 22 23.
gladiatores 39 7 18, 43 23, 48 43, 51 22, 59 13, 60 13, 72 19, 77 19.
gladiatorii ludi v. ludi.
gladius Germanorum 38 49.
Glaphyra scortum 49 32.
Gomphi Thessaliae opp. 41 51.
Gordius auriga 79 15.
Gordyaei montes 68 26.
graculus 78 8.
Graeca lingua 40 9, 51 16, 55 3, 57 15, 60 8 17.
Graecus et Graeca in foro defossi fr 47.
Graecia 36 18, 38 38, 41 10, 49 44, 50 6 13, 51 4, 53 12, 54 7, 63 11.
Graecinus Laco 58 9 10 12, 60 23.
gravidae ductae 48 31 44, 59 23.
grues certantes 66 25.
gymnasia 53 27, 61 17 21, 68 15, 69 4.
gymnasiarcha Antonius 50 5 27.
Hadrianotherae 69 10.
imp. Hadrianus 65 3, 66 17, 68 13 15 33, 69 1—23, 70 1 3.
Hadrianus Afer 69 3.
Haemus mons 51 23 27, 67 6.
Hamilcar 43 21. alius 58 5.
Hannibal fr 43 18, 57.
Hannibal fr 54, 57 68 et 70 et 86.
Hanno fr 43 8 et 21, 46 1, 57 67.
Harmodius 47 20.
harmonia caelestis 37 18.
Hasdrubal fr 57 67 et 69.
hasta cruenta ad Bellonae 71 33. hastae C. et L. Caesaribus datae ab equitibus 55 12.
hastati Parthorum 40 15 22.
Helenus Octaviani lib. 48 30 45.
Helius Neronis lib. 63 12 18—9, 64 3.
Heliodorus Hadriano ab epistolis 69 3. Cassii Avidii p. 71 22.
hellanodicae 63 14.
Hellespontus 42 6.
Helvetii 38 31.
Helvidius Priscus 66 12, 67 13.
Helvius Agrippa pontifex 67 3.
Helvius Blasio 46 53.
Helvius Cinna tr. pl. 44 10 50, 45 6.
P. Helvius Pertinax v. Pertinax imp.
Heniochi 68 18, 71 14.
Heras cynicus 66 15.
Herculaneum 66 23.
Hercules fr 4 2, 37 52. in Capitolio 42 26. Gaditanus 43 39. Tyrius 42 49. Herculis dictum 47 49. ab Hercule octavus 79 10. Hercules Commodus 72 15.
heredes 55 25, 72 92.
hereditates 56 32 41, 57 17, 58 4 16, 59 15, 60 6, 77 9.
Herennius Senecio 67 13.
Hermae 54 9.
Herminius mons 37 52 53.
Hermogenes medicus 69 22.
Hermogenes rhetor 71 1.
Herodes Agrippae fr 55 27, 54 9.
Herodes Antipatri f. 49 22.
heros Iulius 51 20.
Hersilia fr 5 5.
hibernare in aedibus 78 3.
Hiempsal 41 41.
Hierapolis 68 27.
Hierapydna 36 2.
Hierocles Elagabali vir 79 15 21.
Hieron fr 43 1.
hieronicae 52 30, 63 14 20.
Hierosolyma 37 16 17, 49 22, 66 4 7, 69 12.
Hippocrates 38 18.
hippopotamus 51 22, 72 10 19.
hippotigris 77 6.
A. Hirtius a. 711 cos. 45 17, 46 36 39.
hirundines 50 15.
Hispalis 43 39.
Hispania 39 54, 42 15, 43 28, 44 41, 48 1 28, 50 6, 54 20, 59 21. Baetica 41 23, 43 29 31, 45 10, 53 12. Tarraconensis et Lusitanica 53 12.
Hispanorum devotio 53 20.
histrio manumissus 57 11. histrio-

Digitized by Google

nes 54 17, 56 47, 57 15 21, 59 2 5 29, 61 17, 63 8, 65 2, 68 10.
Homerus 69 4 28, 78 30.
honori et virtuti ludi celebrantur 54 18.
horae noctis et diei planetis assignatae 37 19. duae actori, tres reo datae 40 52.
M. Horatius Barbatus 44 25.
Horatius Cocles 45 31 32, 53 8.
M. Horatius Pulvillus a. 245 cos. fr 13 3.
hordeum 49 27 38.
horrea 72 24.
Hortensius fr 103 2.
Q. Hortensius a. 685 cos. fr 111 4, l. 38 16, 39 37.
Q. Hortensius Macedoniae propr. 47 21.
horti Agrippae 45 29, Asiatici 60 31, Caesaris 42 26, 44 35, Caesaris et Antonii 47 40. Sallustiani 66 10.
Hosidius Geta 47 10.
Cn. Hosidius Geta 60 9 20.
hostiae aufugientes 45 17.
curia Hostilia 44 5, 45 17.
Hostilius cynicus vel stoicus 66 13.
C. Hostilius Mancinus fr 79.
hydraulicum organon 63 26.
hymnus 59 7 29.
Hyrcanus Iudaeae rex 37 15, 48 26.
iacula ignita 48 47, 50 29 34. iaculis libelli alligati 40 9, 51 10.
Iamblichus Arabiae regulus 50 13, 51 2.
Iamblichus Iamblichi f. 54 9.
Ianiculus 37 27 28, 46 44 45.
Ianuarius fr 6 7.
Ianus fr 6 7, l. 51 20, 73 13. geminus 54 36.
Iapydes 49 34 35. Iapydia 51 21.
Iapyges fr 2 3.
Iazyges 68 10, 71 3 7 8 11 13 16—9, 72 2.
Iberi fr 48, 57 2. Asiatici 37 1, 49 24.
Iberus fl. 41 22, 42 16.
Iberus Caesaris lib. 58 19.
Ichniae Mesopotamiae cast. 40 12.
iecur 46 35, 78 7.
ignis 41 45, 50 8 34, 54 9. Augustis praefertur 71 35.
Ilerda 41 20.
Ilium fr 104 7.
Illyricum fr 40 3, l. 38 8. Illyrii 48 41.
Ilus s. Ascanius fr 4 5.
imagines 47 19, 48 42, 56 34 46, 62 23, 74 4.
immortalitas 50 24.
immunes medici 53 3, milites 78 28, professores 49 3.
imperatores 43 44, 46 38, 51 25, 52 40 41, 53 17 18 26, 60 21, 62 23, 63 15, 65 7.
impietas 57 9 19, 59 4 10, 60 3, 63 18, 66 9 19, 67 12, 68 1, 77 16, 78 12.
imprecatio 39 39, 69 17, 76 7.
incantatio 60 9, 69 22, 71 8.
incendium Romae 41 14, 50 10, 54 24 29, 55 8, 57 16, 58 26, 59 9, 62 16, 66 24, 72 24.
Incitatus equus 59 14.
incubatio 66 8.
Indi 54 9, 68 29. India 68 29.
Indibilis fr 57 43.
Indutiomarus 40 11.
inferi evocati 77 15.
inferiae 65 7, 68 30, 69 11, 75 13, 77 16.
Insubres fr 50 4, 58 5.
insula in Tiberi 36 3, apud Theram enata 60 29. insulae exsulibus permissae 56 27, 58 18.
intercalatio 40 62, 43 26, 48 33.
interrex 39 27 31, 40 45 49, 46 45.
Invictus mensis 72 15.
invidiae sacra 59 17.
Ionia 49 44, 58 25, 59 29.
Ionium mare fr 42.
Iosephus 66 1.
Iotape Artavasdis Medi f. 49 44, 51 16.
Iphigeniae gladius 36 13.
Isar fl. 37 47.
Isauri 55 28.
iselastici agones v. hieronicae.
Isis 40 47, 42 26, 47 16, 50 5. Ἰσεῖον 66 24. Isidis simulacrum 79 10.
Isidorus Bucolorum dux 71 4.
Issa ins. fr 49 1, 53. Issaei fr 49 2.
Issus 74 7.
Ister fl. 37 11, l. 49 36 37, 51 23 24 27, 54 36, 68 13, 71 3 5 7 15, 79 18.
Isthmus 44 5, 51 5, 63 15.
Istria 54 20. Istriani 38 10, 51 26.
Italia fr 4 2, 36 22, 48 2.
Italus fr 4 2.
Ituraei 49 32, 59 12.

Digitized by Google

Iuba Hiempsalis f. 41 41, 42 20, 56 43 8.
Iuba Iubae f. 51 15, 53 26.
Iudaea, Iudaei 37 16, 39 56, 47 28, 66 4—7, 67 14, 68 32
Iudaicos se dici nolunt Vespasiani 66 7. vita Iudaica 68 1.
iudices 37 26, 39 7, 40 55.
iudicia 40 52 53, 43 25, 52 31, 69 18, 71 6.
Iugurtha fr 89.
Iulia Antoniorum mater 48 15.
Iulia Augusti f. 47 8, 54 6 8 35, 55 9 13, 56 32.
Iulia Caesaris f. 39 64, 40 44, 43 22.
Iulia Domna Severi uxor 74 3, 75 15, 76 16, 77 2 10, 78 4 23—4.
Iulia Drusi f. 58 21, 60 18.
Iulia Livilla Caligulae soror 59 22, 60 4 8, 61 10.
Iulia Maesa v. Maesa.
Iulia Titi f. 67 3.
curia Iulia 44 5, 47 19, 51 22. rostra 56 34. septa 53 23. tribus 44 5, 51 20. aquae Iuliae 48 32, 49 14. Iuliae gentis ultimus 62 18.
M. Iulianus a. 791 cos. 59 9.
Iulianus sub Commodo praef. praet. 72 14.
Iulianus Domitiani legatus 67 10.
Iulianus sub Macrino praef. praet. 78 32 34 35.
Iulianus Nestor 78 15, 79 3.
Iulianus apud Severum delator 74 9.
Iulianus Salvius 72 5.
Iulii Luperci 44 6.
Iuliopolis Tarsus 47 26.
S. Iulius Syriae praef. 47 26.
Cn. Iulius Agricola 39 50, 66 20.
Iulius Alexander a Commodo interfectus 72 14.
Iulius Alexander Traiani legatus 68 30.
Iulius Asper 77 5.
Iulius Asper 78 22, 79 4.
C. Iulius Caesar 36 43, 37 8 10 22 27 36 44 52, 38, 39 10 23 33 40 63, 40 1 31 56 60, 41—44, 47 18.
L. Iulius Caesar a. 690 cos. 37 6 10 27, 41 5, 42 30, 47 6 8.
L. Iulius Caesar 41 5 41, 43 12.
Iulius Calvaster 67 11.
M. Iulius Cottius 60 24.
Iulius Crispus 75 10.
Iulius delator 78 21.
Iulius Fabius 69 23.
M. Iulius Fronto a. 849 cos. suff. 68 1.
Iulius Gallicus 60 33.
Iulius Maesae maritus 78 30.
Iulius Martialis 78 5 8 18.
Iulius mensis 44 5, 45 7.
Iulius Montanus 61 9.
Iulius Proculus 56 46.
Iulius Sabinus 66 3 16.
Iulius Sacerdos 59 22.
Iulius Severus 69 13 14.
Iulius Solon 72 12, 74 2.
C. Iulius Vindex 63 22, 68 2.
Iulus Antonii f. 51 15, 54 26 36, 55 10.
Iulus Ascanii f. fr 4 10, l. 41 34, 43 43.
Iunia Claudilla Caligulae uxor 58 25, 59 8.
M. Iunius Cappadociae praeses 68 19.
Iunius Blaesus 57 4.
C. Iunius Brutus a. 463 cos. fr 36 32.
M. Iunius Brutus Tarquinios pellit fr 11 10, l. 43 45, 44 12, 46 49.
M. Iunius Brutus Caesarem interficit 41 63, 43 45, 44 2 11 34, 45 52, 46 30 35 40 51, 47 20—49, 53 32.
Dec. Iunius Brutus 39 40, 41 19, 44 14 18, 45 9 14, 46 35, 53 1.
Iunius Cilo Bithyniae praef. 60 33.
L. Iunius Gallio Senecae frater 60 35.
Iunius Paulinus 77 11.
Iunius Priscus 59 18.
Iunius Rusticus 71 35.
C. Iunius Silanus a. 737 cos. 54 18.
D. Iunius Silanus a. 692 cos. 37 39.
L. Iunius Silanus 54 6.
L. Iunius Silanus Claudii gener 60 5 21 31.
M. Iunius Silanus a. 729 cos. 46 38 50 51, 53 25.
M. Iunius Silanus a. 799 cos. 60 27.
M. Iunius Silanus a. 772 cos. 57 18.
Iunius Torquatus 62 27.
Iuno Perusina 48 14.
Iuppiter Africani pater fr 57 40, Albanus 39 15, 47 40, Belus 78 8 40, Capitolinus fr 57 60, l. 37 44, 44 7, 45 17, 50 8, 51 22, 54 4 25, 55 1, 59 9, 65 17, 66 10. Feretrius 44 4, 51 24, 54 8, 55

Digitized by Google

2 5, Iulius 44 6, Latialis 59 28, liberator 62 26, Olympius 59 28, 69 16, rex 44 11, tonans 54 4, victor 48 40. Iovis epulum 39 30.
iurare in legem latam 38 7, per fortunam Caesaris 44 6 50, 57 8 9, 58 2 6 12, 59 3 9 11, 60 5, 74 4, 75 14.
ius maritorum 60 24, relationis 55 3, trium liberorum 55 2, 56 10.
iustitium 55 26, 59 7.
iuvenalia 61 19.
iuventatis aedes 54 19.
Iuventius Celsus 67 13.
M. Iuventius Lepidi legatus 46 51.
T. Labienus 37 26 37, 40 11 31 43, 41 4, 42 10, 43 2 30.
T. Labienus T. f. 48 24 39 40.
lac 50 15. asinarum 62 28.
Lacedaemonii fr 72, l. 54 7.
lacernae 67 8, 68 5.
Lacetania 45 10.
Laconicum 53 27.
Laelianus 61 6.
D. Laelius Africae praef. 48 21.
D. Laelius Balbus a. 748 cos. 55 9.
Laetus Severi legatus 75 2 3 6 10.
Laetus sub Caracallo 77 5.
L. Lamia praef. urbis 58 19.
L. Lamia Aemilianus 66 3.
laminae plumbeae 46 36, 57 18.
Lancia Asturum opp. 53 25.
Laodicea, Laodicenses 47 30.
lapidibus pluit 40 47.
Lappa Cretae opp. 36 1. Lappaei 51 2.
Larcius Lydus 63 21.
Larginus Proculus 67 16.
C. Largus a. 795 cos. 60 10.
Larissa 42 2.
Lasthenes Cretensis 36 2.
Latiaria 47 40.
Latiaris 58 1.
Latini fr 4 4, 8 2, 35.
latinitatis studiosus Tiberius 57 15 17.
Latinus mons 39 20.
Latinus rex fr 4 3, alter fr 4 10.
latrones ad bestias damnati 76 10.
lavacra frigida 53 30. promiscua 69 8.
laudatio funebris 39 64, 53 30, 54 28 35, 55 2, 56 34, 57 11 22, 58 28, 59 3 11, 74 5.
Lavinia fr 4 7.
Lavinium fr 4 7, 44 37.
laurea corona 37 23, 43 43, 48 16, 49 15. laureati fasces 41 52, 44 4, 45 28. laureatus populus 47 18, 63 4, 72 21.
Laurentia fr 4 13.
Laurentum fr 4 4.
laurus 41 39, 48 52, 53 16, 63 29. laurum manducare 72 21.
lectica 47 10, 57 15.
lectus 56 34 46, 59 9, 74 4.
legata populo 44 35, populo et militibus 56 40, 58 3, 59 1, diis 55 2.
leges 36 22, 37 9, 39 21, 41 14, 44 7 53, 45 17 23, 53 18 28, 56 32. agrariae Rulli 38 5, Caesaris 38 1 2, L. Antonii 45 9, triumvirorum 47 14. de ambitu 36 21 22. annales 46 29, 46 46, 53 28, 54 10, 56 17 28, 58 23, 60 5. Augustae 46 48, 48 9, 53 21, 54 3 10 16 30, 55 3 13 22 25. Caelii 42 22. Caesaris 38 1, 41 37, 42 51, 43 25, 58 21. Calpurnia 36 21. Cinnae fr 102 11. Claudii 60 11 29. Clodii 38 13 14 17. Cornelii 36 21 23. curiata 39 19, 41 43. de dictatura 44 51. Dolabellae 42 32. Domitia 37 37. Falcidia 48 33. Fufia 38 8. Gabinia 36 3. Gracchanae fr 83. Hadriani 69 16 23. de insignibus magistratuum a dictatore creatorum 43 48. Iuliae 38 7. de libertarum bonis 51 15. de magistratibus continentibus 36 14. Manilia 36 25. Metelli Nepotis 37 51. Nervae 68 2. Papia Poppaea 56 10 32. C. Papii 37 9. Plautia 37 31, 39 7. Pompeii 40 56, 52 55. Porcia 45 32. de praefectis provinciarum 39 56, 53 15. regia 42 20. Roscii 36 25. de sacerdotio duobus ex una familia non conferendo 39 17. de sumptibus Augusti 55 24, Caesaris 43 25, Pompeii 39 37. Severi 76 16. Sullae 37 37. Tiberii 57 15. C. Trebonii 39 33. de trium liberorum iure 55 2. de vectigalibus 38 7. de vestiaria 57 15. de Vestalibus 55 20. Voconia 56 10.
legiones 38 46, 55 23—4. III Gallica 65 14, 79 7. IV Scythica

Digitized by Google

45 13, 79 7. IV Martia 45 13. VII et XI Claudianae 55 23, 60 15. VIII Augusta 54 11. IX 41 26 35. X 38 46. XII fulminatrix 71 9. Albana 78 13 34, 79 2 4.
Lemanus lacus 39 5.
Lenticulus 45 47.
leo 39 38, 56 27, 60 13, 61 9, 67 14, 69 8, 72 14, 78 1 6 8 21.
Leontinus ager 45 30, 46 8.
Lesbus 53 32. Lesbii 49 17.
Leucas 50 13.
libatio 51 19.
libelli famosi 43 47, 56 27. libelli inter hostes sparsi 43 5, 47 48, 48 25. per libellos cum servis suis agit Pallas 62 14.
libertatis statua 58 12, templum 38 17, 43 44.
liberti 50 10 20, 51 3 15, 55 13 26 31, 56 23, 60 8 28 29, 64 2.
libertinas ducere 54 16, 56 7.
libertini 40 63, 43 27 47, 48 34.
L. Libo a. 769 cos. 57 15.
Liburni 49 34.
Licinia Vestalis fr 87 3.
Licinius Galliae procurator 54 21.
M. Licinius Crassus a. 684 et 699 cos. 36 42, 37 31 35 54, 38 4 17, 39 10 26 39 60, 40 12, 43 51, 49 21 24, 53 33.
M. Licinius Crassus a. 724 cos. 51 4 23.
M. Licinius Crassus a. 740 cos. 54 24.
P. Licinius Crassus Caesaris legatus 39 31 46, 40 21.
P. Licinius Crassus Dives a. 549 cos. fr 57 52.
M. Licinius Crassus Mucianus 65 8 9 22, 66 2 9 13.
L. Licinius Lucullus fr 76 2, l. 36 3a, 36 46, 37 7 49, 38 9, 43 21, 48 42.
L. Licinius Lucullus praetor 36 41.
L. Licinius Murena a. 692 cos. 37 39 54.
P. Licinius Nerva fr 92.
A. Licinius Nerva Silanus a. 760 cos.
Licinius Regulus 54 14.
Licinius Silanus 55 30.
C. Licinius Stolo fr 29 5.
Licinius Sura 68 9 15.
lictores 43 14 19 48, 47 19, 48 43, 53 13, 56 46, 57 17, 67 5.
Ligeris fl. 39 40, 40 38, 44 42.
Ligures fr 2 5, 58 6. comati 54 24.
Lilybaeum 49 8.
Lingones 40 38, 66 3.
Lipara ins. 49 1 7, 76 6. Liparenses 48 48.
Litavicus Aeduus 40 37.
Liternum fr 63, l. 38 26.
litterae ad S. P. Q. R. 41 52, 42 18, 54 11 24, 69 40. adversariorum combustae 41 63, 43 13 17, 44 47, 52 42, 59 4 6 10, 60 4 34, 67 11, 71 28, 72 7. litterae aureae in columnis argenteis 44 7. δι' ἀποῤῥήτων 40 9.
lituus fr 6 1.
Livia Drusilla Augusti uxor 48 15 34 43 52, 49 38, 51 13, 53 33, 54 16 19, 55 2 14—22, 58 2, 59 2.
Livilla Drusi uxor 58 11 24.
Livilla (s. Iulia) Gai soror 59 22, 60 4.
T. Livius hist. fr 102 1.
M. Livius Drusus a. 642 cos. fr 88.
M. Livius Drusus tr. pl. fr 96, l. 48 44.
M. Livius Drusus Libo a. 739 cos. 54 21.
Livius Geminius 59 11.
M. Livius Salinator fr 57 70.
Locrenses fr 57 62, l. 41 51.
locustae 56 24.
Lollia Paulina 59 12.
M. Lollius a. 733 cos. 54 6.
Longinus Traiani legatus 68 11.
loricati milites 47 43.
Lucani devicti 38 37.
Lucanus 62 29.
Lucianus Proclus 67 11.
Lucilla Marci f. 71 1, 72 4.
Lucius mensis 72 15.
lucos caedere 51 8.
Lucretia fr 11 14.
Q. Lucretius a. 735 cos. 54 9.
Q. Lucretius Ofella 37 10.
Lucrinus lacus 48 50.
lucta in pugna 71 7.
luctus 39 28 30, 48 37, 56 43, 58 2 12, 59 11, 69 10.
Lucullus v. Licinius L —.
Lucusta 60 34, 64 3.
ludi 37 46, 39 28 30, 46 31, 52 30, 54 3, 56 24 27 46, 57 11, 59 7, 60 6 31, 61 8, 68 2, 75 4. Actii 51 1 18, 53 1, 59 20, Apollinares 47 18, 48 33, 43 48. Au-

Digitized by Google

gustales 54 10 34, 55 8, 56 29 46 47. Capitolini 79 10. castrenses 53 26, 56 25, 60 17. Cereris 47 40. Circenses 43 14, 52 30, 55 22, 58 12, 59 7, 60 7 23 27, 61 6 16, 67 4, 72 13, 75 4, 76 7. Culeni 77 24. decennales 57 24, 58 24. extraordinarii 39 38, 43 22, 45 6, 51 22 23, 53 1, 56 27, 58 12, 59 7 13, 60 22 25, 66 25, 67 8. Florales 58 19, 78 22. gladiatorii 37 8 46 51, 39 7, 43 22, 47 40, 51 23, 53 1, 54 19 28, 55 8 27 31, 56 25, 57 14, 59 10 14, 60 5 13, 66 25, 68 10 15, 72 10 17, 76 7. gymnici 39 38, 51 1, 53 1, 59 9, 63 26. Honori et Virtuti 54 18. Iuvenalia Neronis 61 19, 67 14. Latiares 47 40. Lupercalia 44 6 11, 45 30, 46 5 19. magni qui et Romani 37 8, 48 52, 50 8. Martis 56 27 46. Megalenses 37 8, 43 48, 59 11. musici 39 38, 51 1, 59 7. Neronia v. quinquennalia. Palatini 56 46, 59 29. Palilia 43 42, 45 6. Parthica 69 2. quinquennales 44 6, 51 19, 53 1, 54 19. quinquennalia Neronia 61 21. Romani iidem qui magni. sacri 51 1 20. scenici v. musici. saeculares 54 18. triumphales 51 7, 60 23, 67 8, 68 10 15. Troiani v. Troiae ludus. Veneri genetrici 49 42. Vulcanalia 78 24 25.

Lugdunum 46 50, 54 32, 59 22, 65 1, 73 3, 75 6, 77 21. ἡ Λουγδουνίς 54 36.

Luna Cleopatra 50 5 25. Caligulae uxor 59 26 27.

lupa 37 9.

lupanar in Palatio 59 28, 60 31, 79 13.

Lupercalia v. ludi.

Luperci Iulii 44 6, 45 30.

Lupia fl. 54 33.

lupus 39 20, 40 17, 41 14, 43 2, 55 1.

Lupus Severi legatus 75 5 6.

M. Lurius 48 30.

Lusitania 37 52, 53 12 26.

Q. Lusius Quietus 68 8 22 30 32, 69 2.

lustratio 47 38 40.

lustrum condere 54 28.

Q. Lutatius Catulus 36 30, 37 37 44 46, 45 2.

C. Lutorius Priscus 57 20.

lux borealis 47 40.

Lycaonia 49 32, 53 26.

Lycia 63 26. Lycii 47 34 36, 60 17.

Lycomedes 51 2.

Lycurgi leges 63 14.

Lygii 67 5.

Lysanias 49 32.

Macedonia 38 10 18, 41 10, 47 4, 50 13, 51 27, 53 12, 54 20 34, 55 30.

Macedones Caracallo grati 77 8. bellum Macedonicum fr 58. phalanx Macedonica 77 18.

Macennitae, Macennitis 75 13.

Macella fr 93 4.

macellum Augusti 61 18.

Machaon servus 59 9.

Machares Mithridatis f. 36 50.

Macheloni 68 19.

machinae oppugnandis urbibus 39 4, defendendis 74 11.

imp. Macrinus 78 4—79 8.

Macrinus Vindex 71 3, 75 5.

Maeatae Britanni 76 12, 75 5.

Maecenas v. Cilnius M —.

Maedi 51 25.

Maeotis 36 50.

Maesa 78 24 30 38, 79 6 17 20.

magi 49 33, 52 36, 56 25, 57 15, 71 9, 79 11.

magister equitum fr 29 5. l. 42 21 27, 43 33, 45 6, 46 13.

magistratus 39 7, 40 17 45 46, 41 43, 43 45 48 51, 45 16, 46 49, 47 19, 48 53, 50 10, 51 21, 55 10, 57 21, 59 23.

magistri eloquentiae 66 13, 73 17, 71 31.

Mago fr 57 74, 58 5.

maiestatis crimen v. impietas.

Malchus Nabataeus 48 41, 49 32.

Mallis oraculum 72 7.

Mamaea 78 30, 80 1 2.

Mamertini fr 40 8 11, 43 5 10.

Mandonius fr 57 43.

Manilius delator 72 7, 78 21 22.

C. Manilius tr. pl. 36 42 44.

Manisarus 68 22.

Manius Etruscus fr 36 28.

Manius vitiatarum Vestalium index fr 87 5.

C. Manlius Catilinae socius 37 30 33.

M. Manlius Capitolinus fr 26.

P. Manlius Capitolinus dictator fr 29 5, 35 2—4.


Digitized by Google

Manlius Lentinus 37 47.
C. Manlius Maximus a. 649 cos. fr 91 2—4.
L. Manlius Torquatus a. 689 cos. 36 44, 37 1.
T. Manlius Torquatus a. 414 cos. fr 31 35.
C. Manlius Valens a. 849 cos. 67 14.
L. Manlius Vulso a. 498 cos. 43 20.
Mannus Arabs 68 21—2.
manumissio 39 24, 40 48, 48 34, 55 13, 56 33, 57 11.
manus agitare 61 20, alternare 63 2, amputare fr 75, 47 8, 51 25, 53 29, comprimere 40 41, iungere 68 10, tollere 69 6.
mappam mittere v. ludi Circenses.
M. Marcellus Octaviae f. 48 38, 51 21, 53 26 27 30 31 33, 54 26.
Marci nomine interdictum Antoniis 51 19, Manliis fr 26 1.
Marcia aqua 49 42.
Marcia Commodi pellex 72 4 13 22.
Marcia Cremutii Cordi f. 57 24.
Marcia Vestalis fr 87 3.
L. Marcius Septimi f. fr 57 41.
Marcius Agrippa 78 12.
C. Marcius Censorinus a. 746 cos. 55 5.
L. Marcius Censorinus a. 715 cos. 48 34.
C. Marcius Coriolanus fr 18.
Q. Marcius Crispus 47 27.
C. Marcius Figulus a. 690 cos. 37 6 10.
Marcius Livianus Turbo 69 18.
L. Marcius Philippus censor 41 14.
L. Marcius Philippus a. 698 cos. 39 16 18, 45 1.
Q. Marcius Rex a. 686 cos. 36 6 17 19, 43 1.
Marcius Verus 71.
Marcomanni 67 7, 71 3 8 11 12 13 15 20, 72 2, 77 20.
divus Marcus v. M. Antoninus.
mare ponte iunctum 59 17.
mare Caspium 37 5, Rubrum 51 6, 68 28, 75 14.
C. Marius fr 89, 94, 97 3, 98 3, 102 11—14, 109 3, l. 36 31, 44 28, 48 4.
C. Marius C. f. fr 102 15.
L. Marius 37 48.
Sex. Marius 58 22.
Marius Censorinus 79 2.
Marius Maximus 78 14 36, 79 2.
Marius Secundus 78 35.
Marsi fr 98.
Martis arma 44 17, campus 43 23 24, flamen 43 24, regia 43 24, scutum et galea 41 14, simulacrum 53 27, 77 8. Mars ultor 54 8, 59 22.
Masinissa fr 57 50—1 et 66—7 et 82.
Massagetae 69 15.
Massilia 40 54, 41 19.
Mastor Iazyx 69 22.
Masyus Semno 67 5.
mater castrorum 71 10. mater deum 46 33, 48 43. mater Idaea fr 54 61. mater patriae 57 12.
matrimonia vetita 42 35 44, 60 33, 68 2.
matronae consulares 79 15.
Mauritania 75 13.
Maximus v. Appius M —.
Maximus Parthenii lib. 67 17.
Maximus servus quaesturam petit 48 34.
Mazaei 55 32.
Mebarsapes 68 22.
Medeus Ponti rex 52 2.
Media 39 56, 69 15, 80 3.
medici 53 30, 69 22.
Mediolanum 73 11.
Megacles fr 40 18.
Megara 42 14.
Melitene 71 9.
Memmius Regulus a. 784 cos. suff. 58 9 13 25, 59 12.
memoria excellens 66 14.
Menapii 39 44.
Menas Sex. Pompeii lib. 48 30 38 45 46 48 54, 49 1 37.
Menecrates Sex. Pompeii lib. 48 46.
Menecrates citharoedus 63 1.
Menemachus 36 19.
Menenius Agrippa fr 17 10.
T. Menenius Lanatus a. 277 cos. fr 21 3.
mensae citrinae 61 10.
menses 43 26, 54 21, 44 5, 45 7, 55 6, 57 18, 67 4, 72 15.
Mercurius ἀέριος 71 8. Mercurii habitus 72 17 19.
L. Mesius 50 9.
Mesomedes musicus 77 13.
Mesopotamia 36 8, 37 5, 40 12, 68 22, 78 11 26, 80 3 4.
Messala v. Valerius M —.
Messapia fr 2 3.

Digitized by Google

Messene in Tigride ins. 68 28.
Messina fr 40 8, 43 4, 93 4. l. 48 17, 49 5 11.
Methona 50 11.
Metius Pomposianus 67 12.
Meton Tarentinus fr 39 10.
Metrophanes 36 45.
Metropolis Thessaliae opp. 41 51.
Mettius Fufetius fr 7 2.
Metulum Iapydum opp. 49 35.
Mezentius Etruscus fr 4 8.
Midaium Phrygiae opp. 49 18.
Miletus 47 8, 59 28.
miliarium aureum 54 8.
μίλιον fr 11 9.
milites uxores non habent 60 24, fr 57 34. classiarii legionarii 48 48, 49 1, 50 28. classici remiges 50 15, 79 3. perpetui 52 27, 56 40. praesidiarii 59 2. urbani 56 42, 59 2, 78 4.
militiae tempus stipendia praemia 53 11, 57 4 6 24, 54 25, 55 23.
Milon Pyrrhi amicus fr 40 31.
Milonia Caesonia 59 23 28.
Minerva 38 17, 48 39, 67 1 16. custos 45 17. ad Mutinam 46 33. eius calculus 51 19, currus 47 40, simulacrum 54 7.
Q. Minucius tr. pl. 37 43.
M. Minucius Augurinus a. 296 cos. fr 23.
M. Minucius Rufus magister equitum fr 57 17—20.
Misenum 48 36 50, 58 28.
missio militum 42 53.
Mithras 63 5.
Mithridates fr 97 4, 99, 101, 103, 105, 109 8. l. 36 3a 42, 37 11—14, 54 24.
Mithridates Armeniae rex 58 26.
Mithridates Bospori rex 60 8.
Mithridates Commagenae rex 54 9.
Mithridates Iberus 58 26.
Mithridates Medus 36 16. Phraatae f. 39 56.
Mithridates Pergamenus 42 41 43, 48 4, 47 26.
Mitylene fr 97 4, l. 42 2 4.
Mnester histrio 60 31.
Mona ins. 62 7.
Monaeses Parthus 49 23. alius 62 20 22.
moneta 52 29, 68 15.
Monobazus Adiabenus 63 1, 62 20 23.
mons Palatinus 62 18.
mons sacer 44 25.
morbus sacer 46 33.
Morini 39 44 50 51, 51 21.
mors voluntaria 69 8.
mortui intra duo milia passuum ab urbe non cremandi 58 3. mortuorum apparitiones 51 17, 77 15.
Mosa fl. 44 42, 60 30.
Mucia Sex. Pompeii et M. Scauri mater 48 16, 51 2.
Mucianus v. M. Licinius Crassus M —.
C. Mucius Scaevola 45 32, 46 19, 53 8.
Q. Mucius Scaevola pont. max. fr 97.
mugiles 75 15.
muli 47 40, 62 28, 64 1, 78 25.
mulli Massilienses 40 54.
C. Mummius censor fr 76, l. 63 8.
Munatia Plancina 58 22.
Munatius Flaccus 43 34.
L. Munatius Plancus a. 712 cos. 46 29 53, 47 16, 48 24 26, 50 3.
L. Munatius Plancus a. 766 cos. 56 28.
T. Munatius Plancus trib. pl. 40 49 55, 46 38.
Munda opp. 43 39.
murenae 54 23.
muria conditum cadaver 37 14.
murus Britannicus 72 7, Byzantius 74 14.
Musae fr 6 3.
muscae 66 9, 68 31.
C. Musonius Rufus 62 27, 66 13.
Mutina 46 35 36, 49 14.
Mylae 48 17, 49 2 6 7.
Mylasa 48 26.
Myndus 47 33.
Myrenses 47 34.
Mysi 51 27, 52 2 3. Mysia 38 10, 51 23, 68 11. Asiatica 51 2, Europaea 49 36, superior 79 17.
mysteria Eleusinia 71 31, 54 9.
Naevius Sartorius Macro 58 9 18 24 25 27.
nani 67 8.
naphtha 36 3a, 75 11.
Narbo 37 47. Narbonenses fr 56. provincia N. 48 30.
Narcissus Claudii lib. 60 14 19 31 33 34.
Narcissus gladiator Commodum suffocat 72 22, 73 16.

Digitized by Google

Narcissus libertus Neronis 64 3.
Naristae 71 21.
Q. Nasidius 50 13.
natalicia Antoniae 60 5, Augusti 51 5 19, 54 26 30 34, 55 6, 56 25 29, 57 14, 59 24. Britannici 60 17, Caesaris 44 4, 47 18, C. Caesaris Agrippae f. 54 8, Caligulae 59 7, Caracalli 78 5, Claudii 60 5, Commodi 72 16, Diadumeniani 78 19, Drusi 60 5, Drusillae 59 11 13 24, Getae 77 12, Hadriani 69 8, Liviae 60 5, Messalinae 60 12, Seiani 68 2, Severi 78 11 17, Tiberii 57 8, 58 12, 59 24, Titi 67 2, Vitellii 65 4.
natatio 77 11.
natatorium calidum 55 7.
navalis victoriae praemium 49 14, 51 21.
naves coriaceae 48 18, deciremes 50 23, duplici gubernaculo 74 11. leves et agiles Romanae 39 40. maximae 50 18 23 29, praetoriae 44 17, 50 15. solutiles 61 12, 76 1. speculatoriae 50 9. turritae 49 1 3, 50 18. per terram transportatae 50 12, 51 5, 68 28.
navigationis tempus 36 3 4, 40 1, 41 44 46, 42 56 58, 44 44, 51 4 5.
naumachia 43 23, 48 19, 55 10, 60 33, 61 9 20, 62 15, 66 25, 67 8.
Neapolis 48 48, 56 29, 60 6, 63 2 26, 66 21. Neapolitani 52 43.
Neapolis Thraciae 47 35.
necromantia 77 15.
Neptuni filius S. Pompeius 48 19, 31 5, 48. Neptuni templum fr 57 60.
imp. Nero 60 32—63 29, 64 9, 65 7, 66 1.
Neronia v. ludi quinquennales.
imp. Nerva 67 15—68 1.
nervi arcuum 40 24.
Nervii 39 3, 40 7.
Nestor 79 3.
Nicaea urbs 51 20, 73 6, 75 15.
Nicephorium Mesopotamiae opp. 40 13.
Nicomedes Bithyniae rex fr 99, 105 4, 43 20.
Nicomedenses 72 12. Nicomedia 49 18, 51 20, 77 18, 78 8 35, 79 67.
Nicopolis ad Actium 50 12, 51 1.
Nicopolis in Aegypto 51 18.
Nicopolis in Armenia 36 50, 42 46. Pompeii 49 39.
Nigidius Figulus 45 1.
Domitius Nigrinus 69 2.
Nilus fl. 66 8, 75 13.
L. Ninnius Quadratus 38 14, 39 35.
Ninus Assyriae urbs 68 26.
Nisibis 36 8 16, 75 1 2 3 9, 68 23 25 30, 78 26.
Nitocris Aegyptia 78 23.
noctuae 41 14.
Nola 56 29 46. Nolani fr 57 33.
nomina adoptatorum 40 51, 46 47, 55 27. Graecorum 57 12.
P. Nonius Asprenas a. 791 cos. 59 9.
Nonius Balbus trib. pl. 50 2.
Nonius Gallus 51 20.
Sex. Nonius Quintilianus a. 761 cos. 55 33.
Norba col. fr 18 4.
Norbanus praef. praet. Domitiani 67 15.
C. Norbanus a. 768 cos. 57 18.
L. Norbanus Balbus a. 772 cos. 57 18.
C. Norbanus Flaccus a. 716 et 730 cos. 47 35, 48 43, 53 28.
Norici 54 20, 76 9. Noricum 49 36, 54 22.
notae tachygraphicae 55 7.
Noviodunum 40 38.
Nucerini fr 57 31 et 35.
Numa fr 6.
Numantia 50 24. Numantini fr 77, 79, 83.
Numerianus grammaticus 75 5.
Numicius fl. fr 4 4.
Numidia 53 12.
Numitor fr 4 11.
nummi 44 4, 47 25, 60 22, 65 6, 77 14 12 16.
nundinae 40 47, 48 33, 60 24.
nuptiales ritus 56 5.
Nursia, Nursini 48 13.
nymphaeum 41 45.
Nymphidius 64 2.
obeliscus 63 21.
obsides 38 33, 44 37.
oceanus Britannicus 53 12. sanguinolentus 62 1. septentrionalis 44 43, 55 1.
Octavia Augusti soror 47 7, 48 31 54, 49 33 38 43, 50 3, 51 15, 54 35.
Octavia Claudii f. 60 31, 61 7, 62 13.
porticus Octaviae 49 43, 66 24.
C. Octavius Augusti pater 45 1.
Cn. Octavius a. 667 cos. fr 102 5 et 8.



Digitized by Google

L. Octavius Pompeii legatus 36 1 2, 42 11.
M. Octavius fr 83 4.
M. Octavius Dolabellae legatus 47 30, 41 40.
M. Octavius Caecina tr. pl. fr 83 4.
C. Octavius Caepia v. Augustus.
October mensis Domitianus dictus 67 4.
odeum 49 4.
Odrysae 51 25, 54 3.
Oedipus 63 9.
Oenotria fr 2 2.
oleum 48 43.
Olympica certamina 63 14.
onagri 76 1.
Opici 38 37.
opima spolia 49 4, 51 24.
M. Oppius aedilis 48 53.
P. Oppius quaestor 36 40.
Oppius Statianus 49 25 44.
optimi cognomen 68 23.
Opus opp. fr 57 57.
oraculum Aesculapii 77 15, Amphilochi 72 7, Apollinis Delphici 63 14, Apollinis Granni 77 15, Apolloniae 41 45, Herculis Gaditani 77 20, Iovis Beli 78 8 40, Serapidis 77 15. Aeneae datum fr 4 6, Caligulae 59 29, Pompeio 42 5, populo Romano fr 61.
orationes imperatorum quotannis in senatu recitatae 59 6, 60 10. de scripto habitae 56 33. columnis incisae 60 10, 61 3.
oratorum gestus fr 85.
orchestra 63 22.
Orchomenus fr 103 3.
Orestes histrio 60 28.
Orestes matricida 63 9.
Oreum fr 57 58.
Orgetorix Helvetius 38 31.
Oricum 41 45, 42 12.
ornamenta consularia 46 46.
Ornodapantes Parthus 40 30.
Orodes Parthus Phraatae f. 39 56, 40 12 28 30, 41 55, 44 45, 48 24, 49 23.
Oroeses Albanorum rex 36 54, 37 4.
orthostadium citharoedorum 63 17 22.
Osaces Parthus 40 28.
oscula fr 69, l. 41 9, 59 27, 61 10, 64 8, 65 5.
Osirin se vocat Antonius 50 5.
Osroeni 40 23, 75 1, 77 12.
Osroes Parthus 68 17 22.
ossa lecta 56 42, 59 3.
Ostia 36 22, 60 31. portus Ostiensis 60 11 31.
imp. Otho 64 5—15.
ovata opera 49 43.
ovatio Antonii 44 46, Augusti 49 15, 54 8, Caligulae 59 16, Drusi 54 33, Plautii 60 30, Tiberii 55 2.
pacis statua 54 35, templum 72 24.
Pacorus Medus 63 1.
Pacorus Parthus 40 28 30. II 48 24, 49 19.
Sex. Pacuvius an Apudius 53 20.
Padus 45 17.
paenula pulla 57 13.
Paeones 49 36.
Paetus Valerianus 79 4.
Palaestina 37 15 16.
Palatinus mons 62 18.
Palatium fr 3, 4 15, l. 49 15, 53 16.
Palilia v. ludi.
Palinurum promontorium 49 1.
Pallas Claudii lib. 61 3 10, 62 14.
palma 43 41, 48 43.
Palma v. A. Cornelius P —.
paludamentum 37 21, 42 40, 48 48.
paludes Pomptinae v. Pomptinae. Volcaeae 55 32.
Pammenes citharoedus 63 8.
Pamphylia 49 32, 53 26.
Pan fr 5 6.
Panares Cretensis 36 2.
Panathenaea 67 1.
pancratium 59 13.
Pandateria ins. 55 10, 67 14.
Pandion auriga 77 13.
Panellenia 69 16. Panellenium ib.
Pangaeus mons 47 35 40.
Pannonia 67 7, 71 3. superior 49 36, 80 1.
Pannonii 49 36, 51 21.
Panthea Drusilla 59 11.
pantherae 76 1.
Pantheum 53 27, 66 24, 69 7.
Panticapaeum 37 12.
Paphii 54 23.
Papinianus v. Aemilius P —.
Sex. Papinius a. 789 cos. 58 26.
C. Papirius Carbo M. Cottae accusator 36 40.
Cn. Papirius Carbo a. 669 cos. fr 106 1.
L. Papirius Cursor fr 36 6 23 24 26.
Papirius Dionysius 72 13 14.
C. Papirius Maso fr 48.

Digitized by Google

Papius Samn. fr 36 8.
C. Papius tr. pl. 37 9.
M. Papius Mutilus a. 762 cos. suffectus 56 10.
Paraetonium 51 9.
Parii 55 9.
Paris histrio 63 18. II 67 3.
parmae 55 12.
Parthamasiris Pacori f. 68 17—20.
Parthamaspates 68 30 32.
Partheni Illyrii 41 49, 42 10, 48 41.
Parthenius Domitiani cubicularius 67 15 17.
Parthi 39 56, 40 14, 43 51, 48 24 39—41, 51 18, 68 17, 75 9.
θέαι Παρθικαί 69 2.
Patara, Patarenses 47 34.
Patavium 41 61, 62 26.
pater patriae 44 4 48, 53 18, 56 41, 57 8, 58 12, 59 3, 60 3.
patre nullo nati 76 9. patres magistratus 77 4.
patina vegrandis 65 3.
Patrae 42 13 14, 50 9 13.
patricii 51 42.
patrimi matrimi 59 7.
Patrobius Neronis lib. 63 3, 64 3.
patroni causarum 54 18, 57 21.
Paulina Senecae uxor 62 25.
Pausilypus 54 23.
Paxi 50 12.
pedibus iter facit Hadrianus 69 9, Traianus 68 33.
Pediculi fr 2 3.
Q. Pedius a. 711 cos. suffectus 43 31 42, 46 46, 52 3.
Peloponnesus 50 9 12, 51 5.
Pelorus fl. 37 2.
Pelusium 39 58, 42 3, 51 9.
Peponilla Sabini uxor 66 16.
perduellio 37 27.
peregrini urbe pulsi 37 9.
Perennis praef. praet. sub Commodo 72 9 11.
Pergamus 41 61, 51 20, 59 28, 79 7. Pergameni 51 20.
Perinthus 73 6.
periodicus victor 63 8 20.
M. Perperna censor 41 14.
Perseus fr 66.
imp. Pertinax 71 3 22, 72 4 6 9, 73 1—10.
Pertinax equus 73 4.
Perusia, Perusini 48 14, 50 9.
C. Pescennius Niger 72 8, 73 13 14.
Pesinus opp. fr 57 61.
pestilentia 45 17, 53 33, 54 1, 72 14.
Q. Petilius Cerealis 65 18, 66 3.
ad Petram Arabia 68 14.
M. Petreius C. Antonii legatus 37 39, 38 3. Pompeii 41 20, 42 13, 43 2 8.
C. Petronius Aegypti praef. 54 5.
Petronius Secundus 67 15.
Peucetii fr 2 3.
phalanx 77 7.
Phameas fr 71 2.
Phaon Neronis lib. 63 27.
Pharasmanes Iberiae rex 58 26, II 69 15.
Pharnabazus Iberiae rex 49 24.
Pharnaces Mithridatis f. 37 12—14, 41 55 63, 42 9 45—48, 44 45 46, 45 29.
Pharnapates Pacori legatus 48 41.
ad Pharsalum pugna 41 55—63, 42 11 18, 47 21.
Pharus Aegypti 42 40. in portu Ostiensi 60 11.
Phasis fl. 36 50, 37 3.
Philadelphus Paphlagoniae rex 50 13.
Philippi urbs 47 35, 48 30, 51 4 6, 54 9.
Philippus a Flaminino victus fr 57 58 et 76, 58, l. 72 1.
Philiscus philosophus 38 18.
Philoctetes in Oenotria fr 2 2.
Philopator Tarcondimoti f. 51 2.
Philopoemen libertus 47 7.
philosophi urbe pulsi 63 2, 66 3, 67 13.
L. Philuscius 47 11.
Phocaea 41 25.
Phoebe Iuliae liberta 55 10.
Phoebus Neronis lib. 66 11.
Phoenice 36 53, 53 12.
phoenix 58 27.
Phraates Arsacis f. 36 45 51, 37 5 7, 39 56.
Phraates Orodis f. 49 23, 51 18, 53 33, 54 8.
Phraates Parthis a Tiberio rex datus 58 26.
Phyle castellum Atticum 44 27.
Phyllis Domitiani nutrix 67 18.
Pica Caerianus 79 3.
Picentes fr 98 3, l. 63 2. Picenum fr 107, l. 43 51.
Picus fr 4 3.
Pietas L. Antonii cognomen 48 5.
pileus fr 69, l. 47 25, 59 7, 63 29.
pili in manu 40 16.
Pinarius Scarpus 51 5 9.



Digitized by Google

Pindarus Cassii lib. 47 46.
Pinnes Breucus 55 34. Illyrius fr 49 3, 53.
Piraeeus 42 14.
piratae 36 20—37.
pisces 45 17, 49 5, 76 5 12.
Placentia 41 25, 48 10.
Planasia ins. 55 32.
planetae 37 18.
Platonis Phaedo 43 11.
L. Fulvius Plautianus praef. praet. sub Severo 46 46, 58 14, 75 14—6, 76 1—7, 78 11 22 24.
Fulvia Plautilla Plautiani f. 75 14, 76 1 et 6, 77 1.
Plautius Plautiani f. 76 6, 77 1.
A. Plautius tr. pl. 39 16.
A. Plautius in Britannia res gerit 60 19 21 30.
Q. Plautius a. 789 cos. 58 26, 60 30.
Plautius Hypsaeus 40 53.
Plautius Silvanus 55 34, 56 12.
Plotina Traiani uxor 68 5, 69 1.
Plutarchus fr 40 5, 107.
pluvia 40 47, 48 52, 51 17, 60 9 35, 63 26, 71 8, 75 4.
poculum 54 23, 58 3, 72 18, 76 5.
Polemo Ponti rex 49 25 33 44, 53 25, 54 24.
Polemo Polemonis f. 59 12.
Pola Agrippae soror 55 8.
Pola Gellii Publicolae mater 47 24.
Pollenius Sebennus 76 9.
Pollio consularis 79 2.
Pollux 37 8.
Polybius Augusti libertus 56 32.
Polybius Claudii libertus 60 29.
Polycletus Neronis libertus 63 12.
pomerium 39 63, 40 50, 41 3 15, 43 50, 49 15, 53 17 32.
Pompeianus v. Claudius P —.
Pompeii Campaniae opp. 66 23.
Pompeiopolis 36 37.
Cn. Pompeius Cn. f. 42 5 12, 43 29 40.
Q. Pompeius a. 613 cos. fr 77, 79, 82.
Sex. Pompeius Cn. f. 42 2 5 56, 43 30, 45 9 10, 46 40 48, 47 12 32 38, 48 2 7 15 16 17 29 36 45 54, 49 2 11 17—8, 51 2 5.
Sex. Pompeius a. 719 cos. 49 18 33.
Cn. Pompeius Magnus fr 107, 111 5, l. 36 1 2 18 23 42 45, 37 23 43 44 49 54, 38 4 14 30, 39 6 9 19 24 55 59, 40 45 50, 42 8, 43 49, 44 44 52, 45 28, 75 13, 76 5.
Cn. Pompeius Magnus Claudii gener 60 5 21 29.
Pompeius Bithynicus 48 17 19.
Sex. Pompeius Nepos a. 767 cos. 56 29.
Q. Pompeius Rufus a. 613 cos. fr 77.
Q. Pompeius Rufus tr. pl. 40 45 49 55.
Pompeius Strabo fr 107, l. 43 51, 49 21.
Pomponia Rufina 77 16.
Pomponius 59 26.
Q. Pomponius 59 6.
Pomponius Bassus 78 21, 79 5.
L. Pomponius Flaccus a. 770 cos. 57 17.
Pomponius Labeo 58 24.
M. Pomponius Marcellus 57 17.
Pomponius Secundus a. 794 cos. suff. 59 29.
paludes Pomptinae 44 5, 45 9, 68 15.
C. Pomptinus 37 47, 39 65.
pons Aelius 69 23, Fabricius 37 45, ligneus 37 58, 50 8, 71 1, ex navibus 68 26. in Rheno 40 32, Tiberis 53 22 33, 65 19. Traiani in Danubio 68 13.
Pontiae insulae 59 22.
pontifex maximus 37 37, 44 53, 54 27 28, 55 12, 56 31.
pontificatum adimere 49 15, 54 15 27.
pontifices 39 17, 40 62, 42 51, 43 41, 44 17, 48 32 44, 53 17.
Pontius Aquila 46 38 40.
Pontius Nigrinus 58 27.
Pontus fr 105 4, l. 36 10, 42 45, 53 12. Cappadocicus 51 2.
Popilia Prisca 58 4.
C. Popilius Laenas fr 68.
C. Popilius Laenas Ciceronem interficit 47 11.
M. Popilius Laenas fr 75.
Poppaea Sabina 61 11, 62 13 27, 63 26.
Poppaeus Sabinus Mysiae et Macedoniae praef. 58 25.
Q. Poppaeus Secundus a. 762 cos. suff. 56 10.
Porcia M. Bruti uxor 44 13, 47 49.
C. Porcius Cato a. 640 cos. fr 88.
C. Porcius Cato tr. pl. 39 15 27 28.
L. Porcius Cato a. 665 cos. fr 100.
M. Porcius Cato Censorius fr 65, l. 37 22.
M. Porcius Cato Uticensis 37 22 36 43 49 54 57, 38 3 7 17 30,

Digitized by Google

39 22 32 34, 40 55 58, 41 41, 42 9 56, 43 10—13, 44 13, 47 6.
M. Porcius Lecca 45 32.
porta Libitinensis 72 21. scelerata fr 21 3. triumphalis 56 42.
portae Caspiae 63 8. Ciliciae 48 41, 74 7.
porticus Agrippae 55 8. Liviae 54 23, 56 27, 68 10. Neptuni 53 27. Octaviae 49 43, 66 24. Pauli 49 42, 54 24. porticus nutans restituta 57 21.
portus Augusti 75 16. Baianus 48 50, 49 1. Comarus 50 12. Dulcis 50 12. Ostiensis 75 16. portus catenis clausi 51 9, 74 10.
Postumius ad Tarentinos legatus fr 39 7.
Q. Postumius senator 50 13.
Sp. Postumius 45 32.
L. Postumius Albinus fr 49 7.
Pothinus eunuchus 42 36 39.
Praaspa Mediae 49 25 26.
praecones 61 20, 63 14, 69 6, 73 16, 76 10.
praeconio certat Nero 63 8 14 22.
praefecti annonae 39 9, 52 24, 54 1, 55 26 31, 72 13. morum 43 14, 44 5, 54 10.
praefecti praetorii 52 23, 55 10, 69 19.
Praeneste fr 109 4, l. 48 10.
Praenestinorum praetor fr 36 24.
praetores fr 17 13.
praetoriani 53 11, 54 25, 55 23 24, 56 23, 57 19 24, 65 17, 74 2.
praetoriani equites 61 9, 74 1.
prasina factio 59 14, 63 6, 72 17, 73 4, 78 8, 79 14.
preces in Capitolio conceptae 39 39.
pretia rerum 47 17, 51 21, 60 17.
Priamus 58 23, 62 16.
primi pili centurio 48 42.
M. Primus 54 3.
principes iuventutis 55 12, 59 8, 71 35, 78 17. senatus 46 20, 53 1, 57 8, 73 5.
Publia Prisca 58 4.
L. Priscillianus delator 78 21.
Priscus Nicaeensis 74 11.
Privernates fr 35 11.
Probus Severi gener 75 3.
proconsules 53 13. proconsulare imperium 41 18 34, 53 32, 54 33, 58 7.
Proculeius Murenae frater 53 24, 54 3.
C. Proculeius eques 51 11.
Cn. Proculus a. 790 cos. 58 27, 59 6.
procuratores provinciarum 53 15, 57 23. vicorum 55 8.
prodigia expiata 39 20, 41 14.
Propontis 74 10.
propraetores 53 13.
proscriptio Sullana fr 109 12, l. 37 25, triumviralis 47 3—16. bonorum 42 50, 43 47, 45 28, 47 14 16.
proselyti Iudaeorum 37 17.
Proserpinae thesauri fr 40 48.
Protogenes Caligulae adulator 59 26, 60 4.
provinciae 38 38. inter principem et senatum divisae 53 12, 56 40. permutatae 53 14, 54 4, 55 28, 69 14. consulares Asia et Africa 53 14. annuae 43 25, 53 13. prorogatae 39 33 36, 40 56, 58 23, 59 22. provinciali non traduntur 71 31.
prunae ardentes 47 49.
Prusias fr 57 58, 69.
Pseudo-Agrippa 57 16. Pseudo-Condianus 72 6. Pseudo-Drusus 58 25. Pseudo-Nero 64 9.
Psylli 51 14.
Ptolemaei 51 16.
Ptolemaeus Auletes 39 12—6 55, 42 35.
Ptolemaeus Auletae f. 42 2—5 9 35 39 42—3.
Ptolemaeus Caesario v. Caesario.
Ptolemaeus Cypri rex 38 30, 39 22.
Ptolemaeus Iubae f. 59 25.
Ptolemaeus Philadelphus fr 41.
Ptolemaeus Philadelphus Antonii e Cleopatra f. 49 32 41, 51 15.
Ptolemaeus Philopator fr 57 38 et 58.
publicae aedes 43 44, 49 15, 54 27, 55 12.
publicani 38 7, 42 6, 48 43.
L. Publilius Celsus v. Celsus.
Pudens Avidio Cassio ab epistolis 71 29.
puellae nubiles post annum duodecimum 54 16.
puer 50 8. mactatus 38 30, 73 16, 74 11. togam virilem accipit ut necari possit 47 6.
pugio Protogenis libellus v. Protogenes.
Pusio eques Germanicus 55 33.
pulvinaria 59 7.

Digitized by Google

pulvini 50 12, 51 5, 68 28.
Punicum bellum primum fr 43. secundum fr 57. tertium fr 71.
Pupedius Silo 48 41.
M. Pupius Piso Calpurnianus a. 693 cos. 37 44.
purpura 49 16, 58 13.
Puteoli 48 50, 54 23, 63 3, 67 14.
Pylades histrio 54 17. II 68 10, 73 13.
pyramides 53 23.
Pyrenaei montes 41 20 24, 53 25.
Pyrrhicha saltatio 60 7 23.
Pyrrhus fr 40 3—48.
Pythagoras Neronis lib. 62 28, 63 13.
Pythia certamina 52 30.
Pythia vates 63 14.
Pythias Octaviae ancilla 62 13.
Pythius fr 11 11, 57 61.
Quadi 67 7, 71 8 11 13 16 18 20, 72 2.
Quadratus 70 3, 72 4.
quadrigis albis triumphare 43 14.
quaestiones ingenuorum et civium 57 19, 60 15.
quaestores 39 7, 43 47 48 51, 48 43, 53 2 14 28 32, 54 25 36, 55 4, 58 4, 60 2 10 24, 78 16.
quattuorviri viarum 54 26.
quindecimviri 42 51, 43 51, 44 15, 53 1.
quinquagesima pretii mancipiorum 55 31.
quinquatrus 54 28, 67 1.
Quintilium suburbanum 72 13.
Quintilii Condianus et Maximus 71 33, 72 5.
Sex. Quintilius Condianus Maximi f. 72 6 7.
Quintilius Varus a. 741 cos. 54 25.
Quintillus Plautianus 76 7.
C. Quintius Atticus a. 832 cos. suff. 65 17.
L. Quintius Cincinnatus dictator fr 23 2.
T. Quintius Crispinus a. 745 cos.
T. Quintius Flamininus Philippi victor fr 60, 63 8.
T. Quintius Scapula 43 29.
Quirinalis collis fr 6 2.
Quirinus fr 5 6, l. 41 14, 43 45, 54 19.
Quirites 42 53.
quod felix faustumque sit 68 3.
C. Rabirius 37 26.
Racius Constans 75 16.
rationalis summarum 79 21.
rationarium imperii 56 33.
Ravenna 71 11, 73 17.
regia 48 42.
regina regum 49 41.
regiones quattuordecim 55 8.
regni insignia 51 6.
relationis ius 53 32, 55 3.
reliqua vetera 53 2, 60 10, 65 6, 69 8, 71 32.
Remi 39 1, 40 11.
remiges 47 17, 48 49, 49 1, 50 11 28.
remos detergere 50 32 33.
Remus fr 4 13, 37 9. II fr 4 15 3.
rex regum 37 6. regum statuae 43 45.
rex sacrorum 54 27.
Rhaeti 54 22.
Rhaetinum Dalmatiae 56 11.
Rhandea 62 21.
Rhaptus Astingorum dux 71 12.
Rhascyporis 47 25, 48 2. II 54 34, 55 30.
Rhaus 71 12.
Rhea Ilia fr 4 12.
Rhegini, Rhegium fr 4 2, l. 40 7, 48 18 47.
Rhenus 38 33 34, 39 47 49, 40 32, 44 42, 48 49, 50 24, 51 22, 53 12, 54 20 32 33, 55 6, 56 24 25, 59 21.
rhinoceros 51 22, 55 27, 72 10, 77 6.
Rhodanus 37 48, 38 31, 44 42, 46 50.
Rhodope mons 49 36, 51 22.
Rhodus 55 9. Rhodii fr 58 4, 66 2, 68, l. 47 33 36, 50 18, 57 11, 60 25.
Rhymetalces 54 20 34, 55 30, 59 12.
rogus 56 42, 74 5.
Roles Getarum rex 51 24 26.
Roma fr 4 15. Roma quadrata fr 4 15. colonia 72 15. Romae fanum 51 20.
Romulus Romae quadratae conditor fr 4 15.
Romulus fr 4 13, 5, l. 37 9, 46 46, 47 19. Romuli casa 48 43, 54 29, 56 46.
Romus v. Remus.
L. Roscius tr. pl. 36 24 30 42, 41 5.
rostra 40 49, 42 18, 43 49, 44 4 51, 47 3, 51 1 19. vetera 43 49. Iulia 56 34.
Roxolani 71 19.

Digitized by Google

C. Rubellius Plautus 62 14.
Rubrius Gallus 63 27.
Rubrius Pollio 60 23.
L. Rufus 47 31.
P. Rufus 55 27.
Ruspina Africae opp. 42 58.
P. Rutilius Lupus a. 664 cos. fr 98.
P. Rutilius Rufus fr 97.
Rutuli fr 4 7 et 8, 11 15.
sabbathum 37 16, 49 22, 66 7.
Sabinae aquae v. aquae Cutiliae.
Sabinarum raptus 56 5.
Sabini fr 6 2 5.
Sabinianus 72 3.
Sabinus Galliae praef. 60 28.
Sabinus sub Severo 76 9, 78 13.
Calvisius Sabinus a. 779 cos. 58 1.
Sabos Arabiae felicis rex 53 29.
sacerdos 39 17, 42 51, 51 20, 53 17, 54 19, 58 12. Augusti 56 46, 59 3 7. Caligulae 59 28.
sacra facere funesta familia fr 13 3. temerata restituuntur 37 46.
sacramentum militare 42 53, 50 6, 57 3.
sacrificia aditialia 73 13. humana 37 30, 43 24, 48 14, 73 16, 79 11. lustralia 47 38 40, 54 28, 55 13.
Sadales Thrax 41 51 63, 47 25.
saecula octo fr 102.
sagittae 36 7, 40 22.
sagittarii 40 15, 41 59 60, 47 43, 50 16 18 23.
sagum 46 31, 50 4.
sal populo distributum 49 43.
Salabus Maurus 60 9.
salaria 43 47, 52 23 25, 53 15, 78 22.
Salassi fr 74 1, l. 49 34 38, 53 25
Salentia quae olim Iapygia fr 2 3.
Salii Collini fr 7 5.
Salomon 69 14.
Salonae 42 11, 55 29.
saltatio 53 31, 54 2, 59 5 29, 60 7, 61 17 19, 63 18, 65 6, 67 13, 68 20.
Q. Salvidienus Rufus 48 13 18 33. frater eius 48 33.
M. Salvius Iulianus 72 5.
imp. M. Salvius Otho 64 5—16.
Salustius Crispus 40 63, 42 52, 43 9.
salutatio 54 25, 56 26, 57 11 12, 59 7, 60 33, 66 10, 69 7 18.
salutis augurium 37 24, 51 20. salutis publicae statua 54 35.
Samnites fr 36, 102 10, 109.
Samosata 49 22, 68 19.
Samothracia fr 66 3.
Samus 54 7 9.
Sanatruces Vologaesi p. 75 9.
sanguis leporinus 72 6.
Sanquinius Maximus a. 792 cos. 59 13
Saoterus Nicomedensis 72 12, 77 21.
Sardinia fr 43 22, 46 1, 57 69. l. 36 41, 41 18, 48 28 30, 53 12.
Sargetia fl. 68 14.
Satala Armeniae urbs 68 18—9.
satellitium 44 6 7 15, 54 15.
Saturnalia 75 4, 77 2, 78 8.
Saturni fanum 45 17. dies 37 16, 49 22, 66 7. sphaera 37 18.
Saturnia olim Italia fr 4 1.
Saturninus centurio 76 3 6.
Sauromatae 54 20, 55 30.
Savus fl. 49 37, 51 27.
Saxa v. Decidius.
P. Scaevius 37 53.
Sceuas Batonis f. 56 16.
Scordisci 54 20 31.
Scribonia 48 34, 55 10.
Camillus Scribonianus a. 785 cos. 58 17, 60 15.
Scribonius Mithridatis se nepotem simulat 54 24.
C. Scribonius Curio 38 16, 40 60, 41 1 41, 43 30. eius f. 51 2.
L. Scribonius Libo 41 40 48, 48 16, 49 38.
Scribonius Proculus 59 26.
Scribonius Proculus cum Scribonio Rufo fratre suo a Nerone interfectus 63 17.
scuta collidere 36 32, 47 43.
Scyllaeum promontorium 48 47.
Scythae 37 11, 51 22 23 24, 75 3, 78 5. τὰ Σκυθικά 71 33.
secessiones populi 44 25.
Secilius an Sextilius ad Arsacem legatus 36 52.
Secundus v. Pomponius S —.
securi percutere 77 4.
secutor 72 22.
Segetica 51 23.
Segimerus 56 19.
Seianus v. L. Aelius S —.
L. Seianus praetor 58 19.
Seius Carus 79 4.
Seius Strabo 57 19.
Seleucia 40 16 20, 68 18 30, 71 2, 75 9
Seleucus Antiochi f. fr 62 2.

Digitized by Google

Seleucus Berenices maritus 39 57.
Selinus Ciliciae opp. 68 33.
sella aurea 44 6 11 17, 45 6, 49 27, 56 29, 58 4, 74 4. curulis 43 14, 44 4, 48 31, 50 2, 54 10, 57 15. operta 60 2. tribunicia 49 15, 53 27.
Semiramis 78 23.
Semnones 67 5, 71 20.
L. Sempronius Atratinus a. 720 cos. 49 39.
Sempronius Densus centurio 64 6.
C. Sempronius Gracchus fr 85.
Ti. Sempronius Gracchus Ti. et C. pater fr 65.
Ti. Sempronius Gracchus fr 83, l. 46 49.
Sempronius Rufus 77 17.
M. Sempronius Tuditanus a. 514 cos. fr 44.
P. Sempronius Tuditanus a. 550 cos. fr 57 70.
senatores unde 37 30 46, 40 63, 42 52, 43 20 27 47, 48 22, 51 17, 52 25 42, 54 26, 59 9, 67 11. eorum aetas 52 20, numerus 43 47, 52 42, 54 14. arena et orchestra prohibentur 43 23, 48 43, 51 22, 65 6, 67 13. seorsim spectant 55 22, 58 12, 59 7, 60 7, 61 16. vetantur extra Italiam proficisci 52 42, 55 26, 60 25, libertas ducere 54 16, vectigalia conducere 69 19.
senatus legitur 52 19 42, 54 13 26 35, 55 13, 56 41, 60 29. convenit in Apollinis 58 9, in Athenaeum 73 17, in Capitolium 39 9, 60 1, in Concordiae 46 28, 58 11, in Telluris 46 28, extra pomerium 40 50, 41 15, 54 16. convocatur edicto 55 3, a tribunis plebis 41 15, 56 46, 59 24, 60 17, 78 37.
senatus auctoritas 55 3. consulta 39 28 30, 41 2, 54 35 36, 55 3 26, 57 20.
senectam serpentes exuunt 61 2.
sententiam primum dicere in senatu 43 14, 54 25, 59 8
Sentinates 48 13.
Sentius centurio 68 22.
C. Sentius Saturninus a. 735 cos. 54 10, 55 28.
septa Iulia 53 23, 55 8, 59 10, 66 24.
septemviri 43 51, 48 32.
L. Septimius 42 3 38.
Cl. Septimius Albinus v. Clodius S—.
P. Septimius Geta Severi f. 76 2 7, 77 1 2 12 15, 78 24.
P. Septimius Geta Severi frater 76 2.
imp. L. Septimius Severus 39 50, 46 46, 51 17, 72 12 23.
sepulcrum Agrippae 54 28. Antoninianum 76 15, 78 9 24. Augusti 53 30, 54 28, 55 2, 56 32 33 42, 58 2 22, 59 3, 68 26, 69 23. C. et L. Caesarum 78 24. Cleopatrae 51 8. Hadriani 69 23. Pompeii 42 5, 69 11. Sullae 77 13.
sepultura 44 7, 46 38 51, 48 53.
Sequana 40 39.
Sequani 38 32, 40 39.
Serapion 50 27.
Serapion Aegyptius 78 4.
Serapis 40 47, 42 26, 47 16, 51 16, 77 15. Serapeum 77 23.
Seras an Serapas philosophus 68 1.
Serdi Thraciae populus 51 25.
Seretium Dalmatiae opp. 56 12.
L. Sergius Catilina 36 44, 37 10 29 39—42.
sericum 43 24.
serpentes 41 14, 45 17, 47 1, 51 15.
serra dissecti 68 32.
Sertoriani milites 39 46.
Sertorius 36 25 27 28, 44 47.
servi aegrotantes eiecti 60 29. Cyprii 39 23. indices contra dominos 41 38, 55 5, 57 19, 60 15. non lictores 48 43. remiges 47 17, 48 49, 49 1, 50 11.
Servianus 69 2 17, 76 7.
M. Servilius a. 788 cos. 58 25.
P. Servilius praetor 53 27.
Q. Servilius Caepio a. 614 cos. fr 78.
Q. Servilius Caepio a. 648 cos. fr 91.
Q. Servilius Caepio a. 668 cos. fr 96.
P. Servilius Casca percussor Caesaris 44 52, tr. pl. 46 49.
Servilius Glaucia fr 95 3.
P. Servilius Isauricus a. 706 cos. 41 43, 42 17 23, 45 16.
P. Servilius Isauricus a. 713 cos. 48 4 13.
P. Servilius Rullus 48 28.
Servius Tullius fr 10 et 11.
L. Sestius a. 731 cos. suff. 53 32.
Setinus v. Fulvius S —.

Digitized by Google

Severianus 71 2.
Sextilis mensis 55 6.
T. Sextius 48 21.
Sextus philosophus 71 1.
Sialetae 54 34.
Sibylla fr 50, l. 44 15.
Sibyllina oracula fr 106 3, l. 39 15 59 61, 41 14, 47 18, 48 43, 62 18. libri Sibyllini 54 17.
Sicambri 39 48, 40 32, 54 20 32 33 36, 55 6. ἡ Συγαμβρίς 54 32.
Sicilia fr 4 2, 18 5, 40 4, 43 4 16 22, 46, 57 59, 93, l. 36 25, 38 17, 41 18 41, 52 42, 53 12, 54 6.
Sicoris fl. 41 20.
Siculum fretum 49 1.
Sicyon 48 28.
Sidonii 54 7.
Sigerius Domitiani cubicularius 67 15.
sigillaria in Saturnalibus 59 6.
signa ab araneis obsessa 41 14, 47 2. recepta 49 44, 53 33, 54 8, 57 18, 60 8, 68 12.
signum mittere in circensibus 43 14, 59 7.
P. Silicius Corona senator 46 49.
Silius 60 31.
C. Silius Messalinam ducet 60 31.
Silius Messala 79 5.
C. Silius Nepos a. 766 cos. 56 28.
P. Silius Nerva a. 734 cos. 54 7 20.
Silvanus v. Plautius S —.
Silvia s. Rea Ilia fr 4 12.
Silvius Aeneae f. fr 4 8, Ascanii fr 4 10.
Similis praef. praet. 69 18—9.
simius 50 8.
simulacra cadentia 47 40, 48 43, 50 8. sponte conversa 41 61, 46 33, 54 7, 56 24, 58 7, 79 10. lignea 43 49. sanguinem spuentia 46 33, 47 40, 48 50, 50 8. sudantia 40 17 47, 43 35, 46 33.
Singara 68 22.
Sinope 54 24.
Sinuessa 67 14.
Sipus 48 27.
Sirmium 55 29.
Siscia Pannoniorum 49 37 38, 55 30.
Sisenna Gabinii f. 39 56.
Sitas Dentheletarum rex 51 23.
sitis remedia 40 15, 76 12.
P. Sittius 43 3.
Smyrna fr 97 4, l. 59 28, 71 32, 79 7.
Soaemis Elagabali mater 78 30 38, 79 6 17.
Soaemus Arabum Ityraeorum rex 59 12.
Soaemus Armenius 71 ineunte.
sodalitia 60 6.
sol vix occidit Britannis 76 13. adversus solem aulaea 43 24, 59 12. pilei 59 7. orientem adorare 65 14, 58 28, 71 34. solis currus 47 33, equi 75 14.
soleae 43 22.
Soli, quae postea Pompeiopolis 36 37.
Solon 38 26, 54 19.
Solonium Allobrogum opp. 37 48.
somnia 37 52, 41 24, 44 17, 45 1 2, 47 41, 48 21, 54 4, 66 1 8, 68 5, 72 7 23, 74 3 8, 76 5.
Sophene 36 52.
Sophocles 42 4.
Sophonisba fr 57 51.
Sophonius Tigellinus 59 23, 62 13 15 27, 63 12 21, 64 3.
sors 53 13, 55 3.
Sosibius Britannici educator 60 31.
Sossius 49 22.
C. Sossius a. 722 cos. 49 22 41, 50 2 14, 51 2.
Sossius Falco a. 946 cos. 72 22, 73 8 9.
Sossius Pappus 68 16.
Spasini vallum 68 28.
speculatores 78 14.
spei templum 50 10.
Sphaerus Octavii paedagogus 48 33.
Sphinx 51 3.
Sporaces Anthemusiae phylarchus 68 21.
Sporus 62 28, 63 12—3 27, 64 8.
stadium 53 1, 78 25.
Q. Statilius tr. pl. 51 42.
T. Statilius Sisenna Taurus a. 769 cos. 57 15.
T. Statilius Taurus a. 728 cos. 49 14 38, 50 13, 51 20 23, 53 23, 54 19.
T. Statilius Taurus a. 764 cos. 56 25.
T. Statilius Taurus a. 797 cos. 60 23.
M. Statilius Taurus Corvinus a. 798 cos. 60 25.
L. Statius Murcus 47 27 33 35 36, 48 19.
Statius Priscus 71 ineunte.

Digitized by Google

statua argentea 53 22. aureae 63 16, 68 2, 72 15, 74 4, 78 12. capitibus permutatis 72 22. conflatae 53 22, 68 1. deiectae fr 26, l. 48 31, 51 19, 58 11, 75 16. eburnea 43 45. equestris 69 15. statuarum in urbe multitudo 60 25.
stellae 45 7 17, 55 1, 73 14.
Stephanus Domitiani lib. 67 15 17.
stigmata servorum 44 28.
stoici 66 12 13.
Stratonice Mithridatis uxor 37 7.
Stratonicea urbs 48 26.
strenae imperatoribus dari solitae 54 35, 57 8 17, 59 24, 60 6.
struthiocamelus 76 1, 72 21.
Stymphalides 72 20.
sudatorium Laconicum 53 27.
Suetonius Paulinus a. 819 cos. 62 7—12, 63 1.
Suevi 39 47 48, 40 32, 51 21 22, 55 1, 67 5.
suffragia 54 3.
suillae carnes 79 11.
Sulpicius Arrenianus 78 21.
Sulpicius Asper 62 24.
Q. Sulpicius Camerinus a. 762 cos. 56 1.
Q. Sulpicius Camerinus Pythicus 63 18.
P. Sulpicius Galba fr 57 57, 58 3.
Serv. Sulpicius Galba v. Galba.
P. Sulpicius Quirinus a. 742 cos. 54 28.
S. Sulpicius Rufus a. 703 cos. 40 30 58.
sumptus publici 55 25.
supplicationes 37 36, 39 5 53, 41 6, 43 14 42 44, 45 7, 47 2 18, 48 3 41, 49 15, 54 24 34.
supplicia 57 20, 58 27.
Surdinius Gallus 60 29.
Surena Orodis legatus 40 16.
Surrentum 52 43.
Sybaritae 57 18.
sycophantae 58 1.
Sylla Cappadociae praef. 78 4.
Symbolum opp. 47 35.
Symphorium castellum 37 7.
Syphax fr 57 53 64—9 72—3.
Syracusae 48 17, 54 7. Syracusani fr 57 46, 66 25.
Syri 41 61. Syria 36 4 53, 39 55, 40 28. Cyrrhestica 49 20.
Syriacus 58 3.
tabellarii 78 14 34 39.
tabernae 72 24.
tabulae 54 3, 59 18. novae 37 25 30, 42 22 32 50. tiliaceae 67 15, 72 8.
Talaura 36 16.
Talymenus Sillaces 40 12.
Tamesis fl. 40 3, 60 20, 62 1.
Tanape Aethiopum regia 54 5.
Tanusia 47 7.
Tapae Daciae opp. 67 10, 68 8.
Tarautas Caracallus 78 9 10 11 13 15 17 18 20 21 26 27 28 31 32 36, 79 3.
Tarbus regulus 71 11.
Tarcondimotus Cilix 41 63, 47 26, 50 14, 51 2 7. eius f. 54 9.
Tarentum, Tarentini fr 39. Tarentinorum Victoria 51 22.
Tarpeium saxum fr 11 8, l. 42 32, 44 50, 47 45, 57 22, 58 15, 59 18, 60 18.
Aruns Tarquinius fr 11 10.
Sex. Tarquinius fr 11 15.
T. Tarquinius fr 11 10.
Tarquinius Priscus fr 9.
Tarquinius Superbus fr 11.
Tarracon 41 24, 53 25.
Tarrutenius Paternus 71 12 33, 72 5 9 10.
Tarsus, Tarsenses 47 26 31.
tauri 61 9.
Taurisci 49 34.
Tauromenium 49 5.
Taurus mons 36 4 13, 48 39, 71 23.
tegulae vectigales 46 31.
C. Telesinus a. 819 cos. 63 1.
Tencteri 39 47, 54 20.
Terentia Maecenatis uxor 54 19.
M. Terentius Seiani amicus 58 19.
Terentius Culles fr 57 86.
A. Terentius Varro 53 25.
C. Terentius Varro a. 538 cos. fr 57 24 et 30.
M. Terentius Varro 41 23, 43 36, 47 11.
Teridates 51 18, 53 33. II 63 1, 62 19—23. III 77 19 21, 78 27.
Teridates satrapa 71 14.
Terpnus citharoedus 63 8.
terrae motus 37 11 25, 41 14, 42 26, 45 17, 54 23 30, 55 22, 57 14 17, 78 25, 68 24, 70 4, 71 32.
tessera militaris 43 34 43, 47 43, 48 10, 53 1, 59 29, 60 16. tesserae in populum proiectae 49 43, 59 9, 61 18, 66 25, 67 4, 69 8.
testamentum 44 35, 50 3 20, 53

Digitized by Google

31, 56 32, 57 22, 58 4 25, 59 1, 61 1, 63 11.
testudo 49 29 30.
Teuta Agronis uxor fr 49 3, 53.
Thapsus Africae urbs 43 7.
Thasus ins. 47 35.
theatrum Balbi 66 24, Marcelli 54 26, Pompeii 39 38, 44 16, 63 8, 66 24. Tauri 59 10, 62 18.
Themistocles 38 26 27.
thensae 43 14 21 45, 44 6, 47 18 40, 50 8, 66 1.
Theocritus ex histrione dux 77 21.
Theophilus Paphlago fr 101.
Thera ins. 60 29.
theriaca 71 6.
thermae 48 51, 54 29, 66 25.
Thermus Valerii Flacci legatus fr 104 5.
Thessalia 41 51.
Thessalonice 41 18 43 44.
thorax 77 7, 78 3 37.
C. Thoranius trib. pl. 53 27.
Thraces fr 66, 101 2, 36 11. Thracia 50 13, 54 20. Thracia Byzantii porta 74 14.
P. Thrasea Paetus 61 15 20, 62 26, 66 12, 67 13.
Thrasea Priscus 77 5.
Thrasyllus 55 11, 57 15, 58 27.
Thucydides historicus 38 28.
Thucydides M. Veri legatus 71 ineunte.
Thyestes 63 9.
Thyrsus Octaviani lib. 51 8 9.
tiara 36 35.
Tiberinus fr 4 10. Elagabalus 79 1 21.
Tiberis fl. fr 4 17, 39 2, l. 37 45 58, 39 61, 45 17, 48 33, 53 20 33, 58 26, 78 25. pons 53 22.
imp. Tiberius 48 15, 49 37, 53 26, 57 1—59 2.
Tiberius Tiberii nepos 58 23, 59 1 8.
tibicen fr 85 2.
Tifata mons 42 25.
Tigellinus v. Sophonius T —.
Tigranes 36 3a 45 50, 37 5 7. II 36 50 51, 38 30. III 40 16, 54 9, 62 20.
Tigranocerta 36 3a 4, 60 20.
tigrides 54 9, 76 7, 77 6.
Tigris fl. 36 4, 37 5, 40 13 14, 68 26 28, 78 1.
Tillius Cimber 47 31.
Tingis, Mauritania Tingitana, 48 44.
Tisienus Gallus 48 13, 49 8 10.
Titanes 51 26.
C. Titius fr 100.
M. Titius 48 30, 49 18, 50 3 13.
P. Titius tr. pl. 46 49.
Titius Rufus 59 18.
Titius Sabinus 58 1.
Q. Titurius Sabinus 39 45, 40 5.
Togodumnus Britannus 60 20 21.
Tolosa fr 90, l. 38 32.
tonitrua 45 27, 59 28.
tonsores gratis praebiti 49 43.
L. Manlius Torquatus a. 689 cos. 36 27, 37 1.
Traianopolis 68 33.
imp. M. Ulpius Nerva Traianus 67 12, 68 3—33, 69 1 2.
Tralles 41 61. Tralliani fr 101.
L. Trebellius tr. pl. 36 24 30, 42 29.
C. Trebonius tr. pl. 39 33, 41 19, 42 22, 43 29 46, 44 14 19, 47 21 26 29 30.
Treviri 39 47, 40 11 31, 51 20.
L. Triarius Luculli legatus 36 12 14, 42 48.
Triballi 51 23 27. Τριβαλλική 51 22.
tribunal 44 12, 54 2.
tribuni plebis fr 17 13—5, 37 5, 42 29, 54 26 30, 56 27, 60 11. novem combusti fr 22 1. 37 43, 45 27, 46 49. 40 45, 41 2, 50 2, 57 15. 36 7 13, 38 6, 41 17. 60 28, 41 15, 56 47, 59 24, 60 16, 78 37. 37 50, 38 6 12, 40 45. 38 30. 42 27, 56 46 47. 41 36, 54 36. 65 7. 38 6. 44 10. 78 22. 36 21. tribunicia potestas 42 20, 44 5 50, 49 15, 51 19, 53 17 32, 54 12 28, 55 9 13, 56 28, 58 9.
tribuni militum 40 45, 77 11.
tribus fr 5 8. Iulia 51 20.
tributa menstrua 54 21.
Triccianus Albanorum militum dux 79 4.
Triccianus Pannoniae praef. 78 13.
Tridentini montes 54 22.
tripodes quingenti citrini 71 10.
Triteuta Pinnae mater fr 53.
triumphalis arcus 49 15, 51 19, 53 22 26, 54 8, 55 2, 56 17, 60 22, 66 7, 68 1 29.
triumphus fr 24 2, l. 36 8, 37 21, 42 18 20, 43 19 42, 48 42, 49 21 42, 51 19 21, 54 11 12 18 24 31, 63 20, 64 1.
triumviratus 43 2, 45 17, 46 41 45.

Digitized by Google

triumviri rerum capitalium et monetales 54 26.
Troiae ludus 43 23, 48 20, 49 43, 51 22, 54 26, 59 11.
tropaea 37 21, 41 24, 42 48, 50 8, 55 1.
tubicines 36 32, 47 43.
Tucca Numidiae opp. 48 21.
Tullianum 46 20.
L. Tullius a. 686 cos. 36 25.
M. Tullius Cicero fr 111 4, l. 36 43, 37 10 25 29 38 42, 38 9 10, 39 6 59, 40 54 55, 41 18, 42 10, 43 13 43 46, 44 20 22, 45 2 15 17, 46 21 32 42, 47 8 11. pater eius fullo 46 4 5. filius 46 18, 45 15, 51 19. uxor et filia 46 18.
Q. Tullius Cicero 40 7, 47 10.
Tullus Hostilius fr 7 2.
Turnus Rutulorum rex fr 4 7, 75 10.
turres vocales 74 14.
P. Turullius 51 8.
Tusculani fr 28. Tusculum fr 23 1, l. 58 24, 78 21.
tutor 49 38.
Tyana 75 15, 76 4.
Tyndaris Siciliae 48 17, 49 7.
tyrannicidae 47 20.
Tyrrheni 38 37. Tyrrhenia fr 4 1.
Tyrrhenus lacus 48 50.
Tyrii 54 7. Tyrus 42 49, 47 26, 48 26 27, 54 7.
Vaccaei 39 54, 51 20.
vadimonium deserere 60 28.
vale, salve 69 18.
Valeria Messalina 60 8 12 15 17 18 22 27 31.
Valeriani milites 36 16 18 46.
Valerianus Severi legatus 74 6.
Valerianus Paetus 79 4.
Valerius tr. mil. 75 10.
L. Valerius a. 472 classi praef. fr 39 4—5.
Valerius Asiaticus a. 799 cos. 59 29, 60 27.
M. Valerius Corvinus sexies cos. fr 34, l. 38 28.
L. Valerius Flaccus a. 668 cos. suff. fr 104.
P. Valerius Laevinus a. 474 cos. fr 40 17 28.
Valerius Largus 53 23 24.
Valerius Ligur 60 23.
M. Valerius Messala a. 701 cos. 40 17 45.
M. Valerius Messala Barbatus Appianus a. 742 cos. 54 28.
M. Valerius Messala Corvinus a. 723 cos. 47 11 24, 49 16 38, 50 10, 51 7, 53 27.
M. Valerius Messala Niger a. 693 cos. 37 46.
Valerius Messalinus 55 29.
L. Valerius Potitus 51 21.
L. Valerius Publicola fr 13 2 3, l. 45 32.
M' Valerius Volusus fr 17 6.
vallum 40 2, 43 38.
Vandalici montes 55 1.
Vandili 72 2.
Varius Marcellus 78 30 34.
P. Alfenius Varus a. 755 cos. 43 32.
Vatinius 63 15.
P. Vatinius a. 707 cos. suff. 42 55, 47 21.
P. Vatinius tr. pl. 38 6.
Ubii 39 48.
vectigalia 37 51, 38 7, 42 6, 45 23 25, 46 31, 47 14 16, 48 34, 50 10, 55 31, 58 16, 59 9 28, 60 4, 61 5, 66 14, 77 9, 78 12 18.
Vedius Pollio 54 23.
Veientes fr 25 1. Veii fr 5 11, 24 4.
vela 39 41, 43 24, 53 31, 59 12 23, 63 6.
Veleda 67 5.
Velitrae 45 1.
venationes 43 22, 48 33, 51 22, 56 27, 59 7 13, 60 7, 61 9 17, 66 25, 67 14, 68 15, 72 16, 77 10.
venena 51 14, 59 14, 60 4, 61 7, 78 6.
Veneta factio 65 5, 77 1.
Veneti 39 40. Venetia 39 45.
Venones 54 20.
Ventia Allobrogum opp. 37 47.
P. Ventidius a. 711 cos. suff. 43 51, 47 15, 48 10 39—41, 49 19—21.
Venus 43 22 43, 44 8, 45 37, 45 6. genetrix 49 42. Veneris signum 53 27, templum 51 22, 71 31. Veneris et Romae 69 4.
Veragri 39 5.
Vercingetorix 40 33 39 40 41, 43 19.
Verginius Rufus 63 24—27, 64 4, 68 2.
Vermina Syphacis f. fr 57 81.
C. Verres 46 7.
Verus Cappadociae praef. 71 23 29.
imp. L. Verus v. Commodus.
Vesontio 38 34, 63 24.
imp. Vespasianus 59 12, 60 20 30, 66 1—17.
Vesta 79 9. eius aedes fr 6 2, l. 50 8, 54 24. simulacrum 55 9.

Digitized by Google

Vestales fr 20 2 87, l. 47 19, 48 12 19 37, 51 19, 56 10, 65 18.
vestis mutata 37 33 40 43, 38 14 16, 39 28 39, 40 46 50, 41 3 17, 46 29 31 39 51. albata 63 4, 74 1. Graecanica 60 6, 69 16, 72 17. pulla 55 8. regia 44 6 11. scissa 40 64, 48 31 37, 54 1, 56 23. senatoria 59 9. triumphalis 37 21, 43 43, 44 4, 48 16 31, 53 26, 56 46, 59 7, 60 6, 63 4 20, 67 4.
Vesuvius 66 21, 76 2.
veterani milites 48 12.
Vetrasius Pollio 58 19.
L. Vettius 37 40, 38 9.
Veturia fr 18 7.
L. Veturius Philo a. 548 cos. fr 57 59.
vexilla 40 18.
Vezinas Dacus 67 10.
via Appia 40 48. Flaminia 53 22, 78 11. sacra 65 20, 66 15, 77 4. viae refectae 47 27, 49 43, 53 22, 68 7. viarum curatores 54 8 26.
Vibius Crispus 65 2.
C. Vibius Pansa a. 711 cos. 45 17, 46 33 36 37 39.
C. Vibius Postumius 56 15.
Vibius Rufus 57 15.
Vibullius Agrippa 58 21.
vicesima hereditatum 55 25, 56 28.
vicesima quinta bonorum pars 46 31.
vicomagistri 55 8.
victima aufugiens 41 39 61. a vulturibus discerpta 65 16.
victores in ludis sacris 52 30.
victoria in bellis civilibus 41 52, 42 18.
Victoriae simulacrum 47 40, 50 8, 51 22, 56 24. templum 45 17.
Victorinus 72 4 11.
viduae 59 7.
Vienna Narbonensis 46 50.
vigiles nocturni 55 26 31, 57 19, 58 12, 59 2.
vigilum praef. 52 24, 58 9, 61 6.
vigintiviri 54 26. vigintisexviri 54 26.
M. Vinicius 53 26.
M. Vinicius a. 798 cos. 60 25 27.
P. Vinicius a. 755 cos. 43 32.
T. Vinius 47 7.
vinum Pannonicum 49 36. refrigeratum 72 18, 76 5.
Vipsania Agrippae f. 57 2.
M. Vipsanius Agrippa 48 20 28 49, 49 1 14 38 42 43, 50 11 13 14 31, 51 3 21, 52 1 2 42, 53 1 23 27 30—2, 54 6 11 12 15 18 19 28—9 41 42.
P. Virgilius Maro 75 11.
Virginius Rufus 63 24, 64 4, 68 2.
virgis caedere fr 11 6, l. 49 22.
virgo aqua 54 11.
Viriathus fr 73, 75, 78 2, 80.
Viridovix Unellorum dux 39 45.
Virius Lupus 75 6.
Virtus 48 43, 54 18.
Visurgis fl. 54 33, 55 1 28.
imp. A. Vitellius 64 4, 65 22.
L. Vitellius A. frater 65 16 20 22.
L. Vitellius a. 787 cos. 58 24.
L. Vitellius Syriae praef. 59 27.
L. Vitellius a. 800 cos. tertium 60 29.
Q. Vitellius senator 51 22.
vitrum ductile 57 21.
vivaria 54 23.
Ulia Hispaniae opp. 43 31.
Domitius Ulpianus 80 1 2 4.
Ulpius Iulianus 78 4 15.
Ulpius Marcellus 72 8.
imp. M. Ulpius Traianus v. Traianus.
Ulysses 48 50.
Umbonius Silio 60 24.
Umbri, Umbria fr 39 1, l. 48 13.
Ummidius Quadratus 72 4.
Unelli 39 45.
Volcaeae paludes 55 32.
L. Volcatius Tullus a. 688 cos. 36 42.
L. Volcatius Tullus a. 721 cos. 49 43.
Volagaesus Parthus 62 19 22, 63 1 7, 66 11 15. II 69 15, 70 2, 71 2, 75 9. III 77 12 19.
Volagaesus Thrax 54 35.
Volsci fr 2 et 18.
Volumnia fr 18 7.
L. Volumnius Flamma fr 36 27.
vota 41 6, 44 6 50, 51 19, 54 19, 55 34, 57 11, 58 2, 59 3 24, 62 22, 69 17, 76 7, 79 8.
Urania 79 12.
urbani milites 55 24.
urinatores 42 12, 46 36, 74 12.
Ursus a. 837 cos. 67 3 4.
Usipetes 39 47, 54 20 32.
Utica fr 57 68, l. 41 41, 42 57. Uticenses 49 16.
Vulcanalia 78 25.
Vulcanus 48 14.

Digitized by Google

vultures 46 46, 47 3 40.
Vulturnum 48 46.
Uzitta Africae opp. 43 4.
Xanthii, Xanthus 47 34.
Xanthippus Lacedaemonius 43 24.
Xenophon 38 28.
Zama 48 23.
Zanticus Iapygum rex 71 16.
Zarmarus Indus 54 9.
Zeno stoicus 71 35.
Zenodorus tetrarcha 54 9.
Zenodotium 40 13.
Zermizegethusa 68 9.
Zeugma 40 17, 49 19.
Ziela Ponti urbs 42 47.
Zober Albanorum rex 49 24.
Zoticus 79 16.
Zyraxes Getarum rex 51 26.

---

t. 1 p. 8 ima 2 8] 8 3 p. 15 v. 9 *πειθαρχεῖν* p. 21 17 U] U (i. e. Ursini selecta de legationibus). p. 27 33 *Ἀγυλλαῖοι.* p. 42 *ima* Vaticano] a Maio excerpto i. e. Vaticano 73. p. 45 v. 12 *προσυποπτεύων*] *Δίων ι' βιβλίῳ* "*οὗτοι δὲ καὶ προσυποπτεύουσιν ὑμᾶς.*" Bekk. Anecd. p. 177 28. p. 46 13 *τοιοῦτον*] *οὕτω δ' ἀμφοτέρων ἐκ πλείονος διακειμένων τοιοῦτον*?* p. 47 32 *παρακῦψαι* p. 51 6 *ια' βιβλίῳ*] eidem libro ibidem hi loci tribuuntur: p. 131 12 *οἱ δὲ Καρχηδόνιοι τὰς ναῦς αὐτῶν ἀναπλεούσας οἴκαδε τηρήσαντες, συχνὰς χρημάτων γεμούσας εἷλον.* p. 133 24 *τὸν δῆμον ἐδείπνισεν.* p. 171 26 *ἐπειδὴ δὲ ὅ τε χειμὼν ἐπέμενε καὶ ὁμίχλη προσεγένετο, ἔσφηλε δι' αὐτομόλων δή τινων τὸν Ἀννίβαν.* p. 171 29 *σὺ μὲν καὶ τοῖς φίλοις τοῖς τι πλημμελήσασιν ἐπεξέρχῃ, ἐγὼ δὲ καὶ τοῖς ἐχθροῖς συγγινώσκω.* duodecimo autem hic: p. 124 4 *ἐκεῖνος μὲν γὰρ ἀπαλλοτριωθῆναι ὑμῶν τρόπον τινὰ ἠδυνήθη,* et hic: p. 133 26 *τεθνᾶσι δὲ οἱ μέν, οἱ δὲ ἑαλώκασιν, οἵ γε καὶ λόγου τινὸς ἄξιοι.* p. 53 *ima* *Ἀνδ-*] 2 *Ἀνδ-* p. 55 *ima* 8 *καίτοι*] *καίτοι —* p. 56 *ima* 2] 2 1 p. 58 *ima* 6 1] 8 1 7 3] 9 3 8 1] 10 1 p. 66 25 *ιε'*] indidem Bekk. Anecd. p. 119 21: *μὴ οἱ Συρακούσιοι νεωτερίσωσί τι, τὴν βοήθειαν ἀπογνόντες.* p. 72 11 *ιζ'*] ex *ιη'* Bekk. Anecd. p. 133 30: *καὶ πάντα μὲν τὰ βέλτιστα τῆς φιλοσοφίας ἄνθη δρεπόμενος.* p. 78 *ima* 6] 5 7] 6 p. 81 *ima* 3 3] 3 1 4] 2 p. 85 18 *ἔλαθε*] *ἐσιγήθη*?* p. 86 *summa* *ΡΗΟ*] *ΠΡΟ* v. 29 *Τόλοσαν* p. 88 *ima* 3 3] 3 4 p. 90 *ima* *ἡκόντων*?* *προαποδείξας* p. 93 ad fr 103: bellum — docet] belli Mithridatici Dio etiam libro 38 meminerat: grammaticus certe p. 107 12 *ἐπειγομένων*] *ἐπειγομένων λυθεῖσα?* p. 110 *ima* *δὲ*] *τε* p. 113 18 *συγχ —* p. 119 2 *adscribe* 4 p. 134 *ima* *χώραν μείνας ἄλλους*] *κατατρέχων τὴν χώραν ἄλλους*?* 1 5] 1 4 p. 147 *ima* 1] 2 6] 7 p. 157 *ima* 4 4] 3 4 p. 158 *ima* 3 3] 3 2 4] 3 p. 191 *extr.* ...] *τόσῳ ἐντονώτερον*? p. 192 c. 18 *adde* a. u. 698 p. 202 27 *γε*?* p. 219 38 *ἐλύθη*?* p. 226 5 *λήσασθαι* p. 250 *ima* 18 3 1] 18 4 1 p. 299 *ima* 3 2 3] 3 2 1 p. 306 6 *τῶν μὴ ἀντιταξαμένων*?* p. 309 34 *ὅτι καὶ*] *ὅτι τε*?* p. 324 11 *πολλοὺς* p. 364 6 *ἠδυνήθητε* p. 392 36 *ἐν* p. 428 23 *κἂν τῷ* p. 443 extr. *ἐπιβῇ,* p. 461 26 *ὑπερβάλλοντι* Meinekes: cf. p. 466 29 p. 536 1 fr 61] fr 57 13 (p. 61)

t. 2 p. 409 14 *τινὶ*] *Πανὶ* Meinekes memor Theocriti 1 16.

---

BEROLINI TYPIS G. REIMERI.

Digitized by Google

Digitized by Google

FEB 14

Digitized by Google